« Construxit vero idem Philopator etiam aliam navem, qua in Nilo fluvio navigaret, quæ *Thalamegus* (id est, *thalamum vehens*) vocabatur; cujus longitudo fuit dimidii stadii; latitudo, ubi maxima, triginta cubitorum; altitudo, simul cum erecto tabernaculo, parum a quadraginta cubitis aberat. Forma ejus nec longis navibus, neque rotundis erat similis : sed prorsus singularis, pro usus commoditate et altitudine fluvii. Nam inferne depressa navis erat et lata; corpus autem sublime eminebat : extremæ vero ejus partes, ac præsertim a prora, multum prominebant, dein sursum reflexæ speciem præbebant eleganter descriptam. Duas autem proras duasque puppes habebat; et super aquam multum eminebat, quoniam fluctus fluvii sæpe in altum attolluntur. In medio alveo constructa erant cœnacula et cubicula, et reliquæ ad vitæ usum pertinentes commoditates. Circum navem secundum tria latera ambulationes erant binæ, quarum circuitus paulo minus quinque jugerum erat : species vero et structura inferioris, peristylio erat similis; superioris, cryptoporticui parietibus et fenestris undique circumdato. Ingredienti a puppe primum occurrebat vestibulum (προστὰς Græcis vocatur) a parte anteriore apertum, circumcirca vero simplici columnarum serie circumdatum. In ea parte, quæ versus proram spectabat, propylæum constructum erat, ex ebore et ligno pretiosissimo factum : per quod postquam transieras, constructum erat quasi proscenium, superne tectum. Rursus deinde similiter in medio latere posteriore adjuncta erat alia *prostas*, in quam intrabatur per portam quadriforem. A dextra et sinistra fenestræ erant, quæ aeris salubritatem præstarent. His contiguus erat maximus œcus, columnis circum

ὁ μέγιστος οἶκος· περίπτερος δ' ἦν, εἴκοσι κλίνας ἐπιδεχόμενος. Κατεσκευάσθη δ' αὐτοῦ τὰ μὲν πλεῖστα ἀπὸ κέδρου σχιστῆς καὶ κυπαρίσσου Μιλησίας· αἱ δὲ τῆς περιστάσεως θύραι, τὸν ἀριθμὸν εἴκοσιν οὖσαι, θυΐναις κατεκεκόλληντο σανίσιν, ἐλεφαντίνους ἔχουσαι τοὺς κόσμους. Ἡ δ' ἐνήλωσις ἡ κατὰ πρόσωπον αὐτῶν, καὶ τὰ ῥόπτρα ἐξ ἐρυθροῦ γεγονότα χαλκοῦ, τὴν χρύσωσιν ἐκ πυρὸς εἰλήφει. Τῶν δὲ κιόνων τὰ μὲν σώματα ἦν κυπαρίσσινα, αἱ δὲ κεφαλαὶ Κορινθιουργεῖς, ἐλέφαντι καὶ χρυσῷ διακεκοσμημέναι. Τὸ δὲ ἐπιστύλιον ἐκ χρυσοῦ τὸ ὅλον· ἐφ' οὗ διάζωσμα ἐφήρμοστο, περιφανῆ ζῴδια ἔχον ἐλεφάντινα, μείζονα πηχυαίων, τῇ μὲν τέχνῃ μέτρια, τῇ χορηγίᾳ δ' ἀξιοθαύμαστα. Ἐπέκειτο δὲ καὶ στέγη καλὴ τῷ συμποσίῳ τετράγωνος κυπαρισσίνη· γλυπτοὶ δ' αὐτῆς ἦσαν οἱ κόσμοι, χρυσῆν ἔχοντες τὴν ἐπιφάνειαν. Παρέκειτο δὲ τῷ συμποσίῳ τούτῳ καὶ κοιτὼν ἑπτάκλινος· ᾧ συνῆπτο στενὴ σῦριγξ, κατὰ πλάτος τοῦ κύτους χωρίζουσα τὴν γυναικωνῖτιν. Ἐν δὲ ταύτῃ συμπόσιον ἐννεάκλινον ἦν, παραπλήσιον τῇ πολυτελείᾳ τῷ μεγάλῳ, καὶ κοιτὼν πεντάκλινος. Καὶ τὰ μὲν ἄχρι τῆς πρώτης στέγης κατεσκευασμένα τοιαῦτ' ἦν.

« Ἀναβάντων δὲ τὰς παρακειμένας πλησίον τῷ προειρημένῳ κοιτῶνι κλίμακας, οἶκος ἦν ἄλλος πεντάκλινος, ὀρόφωμα ῥομβωτὸν ἔχων· καὶ πλησίον αὐτοῦ ναὸς Ἀφροδίτης θολοειδής, ἐν ᾧ μαρμάρινον ἄγαλμα τῆς θεοῦ. Κατεναντίον δὲ τούτου ἄλλο συμπόσιον πολυτελὲς περίπτερον· οἱ γὰρ κίονες αὐτοῦ ἐκ λίθων Ἰνδικῶν συνέκειντο. Παρὰ δὲ καὶ τούτῳ τῷ συμποσίῳ κοιτῶνες, ἀκόλουθον τὴν κατασκευὴν τοῖς προδεδηλωμένοις ἔχοντες. Προάγοντι δὲ ἐπὶ τὴν πρῷραν οἶκος ὑπέκειτο Βακχικὸς, τρισκαιδεκάκλινος, περίπτερος, ἐπίχρυσον ἔχων τὸ γεῖσον ἕως τοῦ περιτρέχοντος ἐπιστυλίου· στέγη δὲ τῆς τοῦ θεοῦ διαθέσεως οἰκεία. Ἐν δὲ τούτῳ κατὰ μὲν τὴν δεξιὰν πλευρὰν ἄντρον κατεσκεύαστο, οὗ χρῶμα μὲν ἦν ἔχον τὴν πετροποιίαν ἐκ λίθων ἀληθινῶν καὶ χρυσοῦ δεδημιουργημένον· ἵδρυτο δ' ἐν αὐτῷ τῆς τῶν βασιλέων συγγενείας ἀγάλματα εἰκονικὰ λίθου λυχνέως. Ἐπιτερπὲς δ' ἱκανῶς καὶ ἄλλο συμπόσιον ἦν, ἐπὶ τῇ τοῦ μεγίστου οἴκου στέγῃ κείμενον, σκηνῆς ἔχον τάξιν· ὥστε τῇ μὲν οὐκ ἐπῆν ** διατόναια δὲ τοξοειδῆ διὰ ποσοῦ τινος ἐνετέτακτο διαστήματος, ἐφ' ὧν αὐλαῖαι κατὰ τὸν ἀνάπλουν ἁλουργεῖς ἐνεπετάννυντο. Μετὰ δὲ τοῦτο αἴθριον ἐξεδέχετο, τὴν ἐπάνω τῆς ὑποκειμένης προστάδος τάξιν κατέχον· ᾧ κλῖμάξ τε ἑλικτὴ, φέρουσα πρὸς τὸν κρυπτὸν περίπατον, παρέκειτο, καὶ συμπόσιον ἐννεάκλινον, τῇ διαθέσει τῆς κατασκευῆς Αἰγύπτιον. Οἱ γὰρ γεγονότες αὐτόθι κίονες ἀνήγοντο στρογγύλοι, διαλλάττοντες τοῖς σπονδύλοις, τοῦ μὲν μέλανος, τοῦ δὲ λευκοῦ, παράλληλα τιθεμένων. Εἰσὶ δ' αὐτῶν καὶ αἱ κεφαλαὶ τῷ σχήματι περιφερεῖς, ὧν ἡ μὲν ὅλη περιγραφὴ παραπλησία ῥόδοις ἐπὶ μικρὸν ἀναπεπταμένοις ἐστίν. Περὶ δὲ τὸν προσαγορευόμενον κάλαθον οὐχ ἕλικες, καθάπερ ἐπὶ τῶν Ἑλληνικῶν, καὶ φύλλα τραχέα περίκειται, λωτῶν δὲ ποταμίων κάλυκες, καὶ φοινίκων ἀρτιβλάστων καρπός· ἔστι δ' ὅτε καὶ πλειόνων ἄλλων ἀνθέων γέγλυπται γένη. Τὸ δ' ὑπὸ τὴν ῥίζαν, ὃ δὴ τῷ συνάπτοντι πρὸς τὴν κεφαλὴν ἐπίκειται σπονδύλῳ, κιβωρίων ἄνθεσι καὶ φύλλοις ὡσανεὶ καταπεπλεγμένοις ὁμοίαν εἶχε τὴν διάθεσιν. Τοὺς μὲν οὖν κίονας οὕτως Αἰγύπτιοι κατασκευά-

---

circa ornatus, triginta lectos capiens. In illo pleraque ex secta cedro aut Milesia cupresso fabrefacta erant : fores vero in circuitu, numero viginti, ex citreis tabulis compactæ, et multo ebore ornatæ. Quidquid in his clavorum aut ferramenti conspiciebatur, perinde ac annuli sive marculi ex rubro ære conflati, in igne deauratum erat. Columnarum scapi ex cypresso erant; capitula, Corinthii operis, ebore et auro exornata. Epistylium totum deauratum : cui adaptata erat præcinctio, ex qua eminebant eburnea signa, cubito majora; artificii illa quidem mediocris, sed materiæ pretio admiranda. Impositum etiam elegans tectum cœnaculo erat, quadratum, cupressinum; in quo multa erant sculpta ornamenta, inaurata in superficie. Cœnaculo huic proximum erat cubiculum septem lectorum : quod attingebat angustus meatus, e transverso secundum alvei navis latitudinem ductus, qui mulierum habitationem separabat. In gynæconitide cœnaculum erat novem lectorum, magnificentia par majori illi, et cubiculum lectorum quinque. Et ad primum quidem usque tectum, hæc ita disposita erant.

« Ubi vero per scalas prædicto cubiculo adjacentes ascenderas, aliud erat conclave quinque lectorum, tectum habens rhombi figura : et prope illud ædes Veneris, ad tholi formam constructa; in qua erat marmoreum deæ signum. Huic ex adverso aliud erat cœnaculum magnificum, columnis circumcirca ornatum : erant autem columnæ ex Indicis lapidibus constructæ. Rursusque huic cœnaculo juncta cubicula, ita instructa ut consentaneum erat his de quibus jam dictum est. Ad proram pergenti occurrebat œcus Bacchicus tredecim lectorum, columnis in circuitu ornatus, auratam habens suggrundam usque ad circumcurrens epistylium : tectum vero congruens dei ingenio. In eo œco a dextra parte antrum erat constructum, [cujus fornix (χῶμα) loco saxorum ex veris lapidibus *pretiosis* et auro erat confectus?] positæ autem in eo erant regiorum cognatorum imagines ad vivum expressæ ex lychnite lapide. Erat etiam alia cœnatio, amœna admodum, maximi œci tecto superstructa, tentorium referens : erat enim partim aperta, partim vero ex certis intervallis tensi superne circuli erant arcuati, super quibus, quum navigabatur, expandebantur aulæa purpurea. Cœnationem hanc excipiebat area subdialis, locum superiorem tenens ubi infra subjecta prostas erat : cui areæ contigua fuit scala tortilis, ad tectam ambulationem ducens, et cœnatio novem lectorum, Ægyptiorum more constructa ornataque. Erant enim columnæ, quæ ibi teretes erectæ cernebantur, vertebris ita variegatæ, ut alternatim altera nigra vertebra, altera alba, æquali altitudine invicem impositæ essent. Sunt autem earundem capitula forma rotunda, ita ut tota figura similis sit rosæ paululum explicatæ. Circa eam vero partem, quæ *calathus* vocatur, nullæ volutæ sunt, ut in Græcanicis columnis, neque aspera folia circumposita; sed lotorum aquatilium calyces, et palmarum recens germinantium fructus; non-

ζουσι, καὶ τοὺς τοίχους δὲ λευκαῖς τε καὶ μελαίναις διαποικίλλουσι πλινθίσιν· ἐνίοτε δὲ καὶ τοῖς ἀπὸ τῆς ἀλαβαστίτιδος προσαγορευομένης πέτρας. Πολλὰ δὲ καὶ ἕτερα κατὰ μέσον τῆς νεὼς τὸ κύτος, ἐν κοίλῃ, καὶ κατὰ πᾶν αὐτῆς μέρος, οἰκήματα ἦν. Ὁ δὲ ἱστὸς ἦν αὐτῆς ἑβδομήκοντα πηχῶν, βύσσινον ἔχων ἱστίον, ἀλουργεῖ παρασείρῳ κεκοσμημένον. » Πᾶς δ' ὁ τοῦ βασιλέως τοῦ Φιλαδέλφου πλοῦτος φυλαχθεὶς κατελύθη ὑπὸ τοῦ τελευταίου Πτολεμαίου, τοῦ καὶ τὸν Γαβινιακὸν συστησαμένου πόλεμον, οὐκ ἀνδρὸς γενομένου, ἀλλ' αὐλητοῦ καὶ μάγου. Inde a Πᾶς δὲ verba sunt Athenæi.

E LIBRO QUARTO.

2.

Athenæus V, 25, p. 196, A : Θαυμασάντων δὲ τῶν δαιτυμόνων τήν τε τοῦ βασιλέως διάνοιαν, ὡς οὐχ ἐπιφανής, ἀλλ' ὄντως ἐπιμανὴς ὑπῆρχε, προσέθηκεν ὁ Μασούριος περὶ τῆς ἐν Ἀλεξανδρείᾳ γεγενημένης ὑπὸ τοῦ πάντ' ἀρίστου Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ βασιλέως πομπῆς Καλλίξενον τὸν Ῥόδιον ἱστοροῦντα ἐν τῷ τετάρτῳ Περὶ Ἀλεξανδρείας, ὅς φησι· « Πρὸ δὲ τοῦ ἄρξασθαι τὴν κατασκευασθεῖσαν σκηνὴν ἐν τῷ τῆς ἄκρας περιβόλῳ, χωρὶς τῆς τῶν στρατιωτῶν καὶ τεχνιτῶν καὶ παρεπιδήμων ὑποδοχῆς, ἐξηγήσομαι. Καλὴ γὰρ εἰς ὑπερβολὴν ἀξία τε ἀκοῆς ἐγενήθη. Τὸ μὲν οὖν μέγεθος αὐτῆς ἑκατὸν τριάκοντα κλίνας ἐπιδεχόμενον κύκλῳ, διασκευὴν δ' εἶχε τοιαύτην. Κίονες διεστάθησαν ξύλινοι, πέντε μὲν κατὰ πλευρὰν ἑκάστην τοῦ μήκους, πεντηκονταπήχεις πρὸς ὕψος, ἑνὶ δὲ ἐλάττους κατὰ πλάτος· ἐφ' ὧν ἐπιστύλιον καθηρμόσθη τετράγωνον, ὑπερεῖδον τὴν σύμπασαν τοῦ συμποσίου στέγην. Αὕτη δ' ἐνεπετάσθη κατὰ μέσον οὐρανίσκῳ κοκκινοβαφεῖ περιλεύκῳ, καθ' ἑκάτερον δὲ μέρος εἶχε δοκούς, μεσολεύκοις ἐμπετάσμασι πυργωτοῖς κατειλημένας, ἐν αἷς φατνώματα γραπτὰ κατὰ μέσον ἐτέτατο. Τῶν δὲ κιόνων οἱ μὲν τέσσαρες ὡμοίωντο φοίνιξιν, οἱ δ' ἀνὰ μέσον θύρσων εἶχον φαντασίαν. Τούτων δ' ἐκτὸς περίστυλος ἐπεποίητο σῦριγξ, ταῖς τρισὶ πλευραῖς καμαρωτὴν ἔχουσα στέγην, ἐν ᾗ τὴν τῶν κατακειμένων ἀκολουθίαν ἑστάναι συνέβαινεν. Ἧς τὸ μὲν ἐντὸς αὐλαίαις περιείχετο φοινικίναις, ἐπὶ δὲ τῶν ἀνὰ μέσον χωρῶν δοραὶ θηρίων, παράδοξοι καὶ τῇ ποικιλίᾳ καὶ τοῖς μεγέθεσιν, ἐκρέμαντο. Τὸ δὲ περιέχον αὐτὴν ὕπαιθρον μυρρίναις καὶ δάφναις ἄλλοις τ' ἐπιτηδείοις ἔρνεσιν ἐγεγόνει συνηρεφές. Τὸ δ' ἔδαφος πᾶν ἄνθεσι κατεπέπαστο παντοίοις. Ἡ γὰρ Αἴγυπτος καὶ διὰ τὴν τοῦ περιέχοντος ἀέρος εὐκρασίαν καὶ διὰ τοὺς κηπεύοντας τὰ σπανίως καὶ καθ' ὥραν ἐνεστηκυῖαν ἐν ἑτέροις φυόμενα τόποις ἄφθονα γεννᾷ καὶ διὰ παντός, καὶ οὔτε ῥόδον οὔτε λευκόϊον οὔτ' ἄλλο ῥᾳδίως ἄνθος ἐκλιπεῖν οὐδὲν οὐδέποτ' εἴωθεν. Διὸ δὴ καὶ κατὰ μέσον χειμῶνα τῆς ὑποδοχῆς τότε γενηθείσης, παράδοξος ἡ φαντασία [τότε] τοῖς ξένοις κατέστη. Τὰ γὰρ εἰς μίαν εὑρεθῆναι στεφάνωσιν οὐκ ἂν δυνηθέντα ἐν ἄλλῃ πόλει ῥᾳδίως, ταῦτα καὶ τῷ πλήθει τῶν κατακειμένων ἐχορηγεῖτο εἰς τοὺς στεφάνους ἀφθόνως, καὶ εἰς τὸ τῆς σκηνῆς ἔδαφος κατεπέπαστο χύδην, θείου τινὸς ὡς ἀληθῶς ἀποτελοῦντα λειμῶνος πρόσοψιν.

---

nunquam vero etiam alia florum genera insculpta sunt. Quod autem radici capituli subest, nempe quod insidet illi vertebræ quæ capitulum proxime attingit, figuras referebat florum foliorumque fabarum Ægyptiarum. Columnas igitur hoc modo Ægyptii construunt : itemque parietes nigris laterculis albisque variegant, hisque nonnunquam ex lapide quem *alabastitidem* vocant. Erant vero multa etiam alia quum in medio navis alveo, tum qualibet in parte, conclavia. Malus navis cubitorum fuit septuaginta, byssinum habens velum, purpurea ornatum fimbria, cui funes aptarentur. » Universæ vero Ptolemæi Philadelphi divitiæ, ab aliis regibus conservatæ, dilapidatæ profligatæque sunt ab ultimo Ptolemæo, eodem qui bellum etiam Gabinianum conflavit; qui non vir fuit, sed tibicen et magus.

2.

Mirantibus convivis ingenium regis, quod non tam *illustre* (ἐπιφανὲς) quam revera *furiosum* (ἐπιμανὲς) fuisset, Masurius Callixenum Rhodium citavit pompam Alexandriæ celebratam a Ptolemæo Philadelpho, rege undecumque præstantissimo, libro quarto De Alexandria enarrantem. « Priusquam rem aggrediar, inquit ille, exstructum intra arcis ambitum *Tabernaculum*, seorsum a militum et artificum et peregrinorum diversoriis, exponam : supra modum enim pulcrum fuit, et memoratu dignum. Igitur amplitudo ejus tanta erat, ut centum et triginta lectos caperet, in orbem locatos; structura autem hujusmodi. Columnæ dispositæ erant ligneæ quinque ab utraque parte, qua in longitudinem patebat tentorium, ad quinquaginta cubitorum altitudinem; quattuor vero in latitudinem. His superne adaptatum erat epistylium quadratum, quod universum cœnaculi tectum sustentaret. Habebat illud in medio velum coccineum albo prætextum, in tholi formam expansum : ab utraque parte trabes erant, tapetiis obvolutæ albo distinctis turritis, quarum in medio expansa erant picta lacunaria. Quattuor ex columnis palmarum arborum formam referebant : quæ in medio erant, thyrsorum præbebant speciem. Extra has, tribus lateribus circumducta erat porticus, peristylio ornata, fornicato tecto instructa; in qua staret discumbentium comitatus. Hujus pars interior aulæis erat obducta puniceis : quorum in medio certis ex intervallis suspensæ ferarum pelles, cum varietate coloris, tum magnitudine admirabiles. Latus exterius, libero cœlo obversum, myrtis et lauris aliisque idoneis frondibus obumbrabatur. Totum vero solum floribus cujusque generis sparsum erat. Ægyptus enim, quum ob aeris temperiem, tum per eorum industriam qui hortos colunt, quæ parcius etiam suo quæque tempore in aliis regionibus gignuntur, ea copiosissima gignit, et qualibet anni tempestate; ut et rosa et leucoium et quodcumque aliud floris genus nunquam non suppetat. Quare, quum media hieme convivii illius solemnitas celebraretur, mira tunc species peregre venientibus accidebat. Nam qui ad unius coronæ contextum in alia urbe vix reperti flores fuissent, ii largissime et ad coronas tantæ multitudinis convivarum suppetebant, et per

26. « Διέκειτο δὲ ἐπὶ μὲν τῶν τῆς σκηνῆς παραστάδων ζῷα μαρμάρινα τῶν πρώτων τεχνιτῶν ἑκατόν. Ἐν δὲ ταῖς ἀνὰ μέσον χώραις πίνακες τῶν Σικυωνικῶν ζωγράφων, ἐναλλὰξ δ' ἐπίλεκτοι εἰκασίαι παντοῖαι, καὶ χιτῶνες χρυσοϋφεῖς, ἐφαπτίδες τε κάλλισται, τινὲς μὲν εἰκόνας ἔχουσαι τῶν βασιλέων ἐνυφασμένας, αἱ δὲ μυθικὰς διαθέσεις. Ὑπεράνω δὲ τούτων θυρεοὶ περιέκειντο ἐναλλὰξ, ἀργυροῖ τε καὶ χρυσοῖ. Ἐν δὲ ταῖς ἐπάνω τούτων χώραις, οὔσαις ὀκταπήχεσιν, ἄντρα κατεσκεύαστο, κατὰ μὲν τὸ μῆκος τῆς σκηνῆς ἓξ ἐν ἑκατέρᾳ πλευρᾷ, κατὰ πλάτος δὲ τέτταρα· συμπόσιά τε ἀντία ἀλλήλων ἐν αὐτοῖς τραγικῶν τε καὶ κωμικῶν καὶ σατυρικῶν ζῴων (προσώπων Preller.), ἀληθινὸν ἐχόντων ἱματισμὸν, οἷς παρέκειτο καὶ ποτήρια χρυσᾶ. Κατὰ μέσον δὲ τῶν ἄντρων νύμφαι ἐλείφθησαν, ἐν αἷς ἔκειντο Δελφικοὶ χρυσοῖ τρίποδες, ὑποστήματ' ἔχοντες. Κατὰ δὲ τὸν ὑψηλότατον τόπον τῆς ὀροφῆς ἀετοὶ κατὰ πρόσωπον ἦσαν ἀλλήλων χρυσοῖ, πεντεκαιδεκαπήχεις τὸ μέγεθος. Ἔκειντο δὲ κλῖναι σφιγγόποδες ἐν ταῖς δυσὶ πλευραῖς ἑκατόν· ἡ γὰρ κατὰ πρόσωπον ὄψις ἀφεῖτ' ἀναπεπταμένη. Ταύταις δ' ἀμφίταποι ἁλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας, καὶ περιστρώματα ποικίλα, διαπρεπῆ ταῖς τέχναις, ἐπῆν. Ψιλαὶ δὲ Περσικαὶ τὴν ἀνὰ μέσον τῶν ποδῶν χώραν ἐκάλυπτον, ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζῳδίων. Παρετέθησαν δὲ καὶ τρίποδες τοῖς κατακειμένοις χρυσοῖ, διακόσιοι τὸν ἀριθμὸν, ὥστ' εἶναι δύο κατὰ κλίνην, ἐπ' ἀργυρῶν διέδρων. Ἐκ δὲ τῶν ὄπισθεν πρὸς τὴν ἀπόψιν ἑκατὸν ἀργυραῖ λεκάναι, καὶ καταχύσεις ἴσαι, παρέκειντο. Ἐπεπήγει δὲ τοῦ συμποσίου καταντικρὺ καὶ ἑτέρα κλίνη πρὸς τὴν τῶν κυλικείων καὶ ποτηρίων τῶν τε λοιπῶν τῶν πρὸς τὴν χρῆσιν ἀνηκόντων κατασκευασμάτων ἔκθεσιν· ἃ δὴ πάντα χρυσᾶ τε ἦν καὶ διάλιθα, θαυμαστὰ ταῖς τέχναις. Τούτων δὲ τὴν μὲν κατὰ μέρος κατασκευὴν καὶ τὰ γένη μακρὸν ἐπεφαίνετό μοι δηλοῦν· τὸ δὲ τοῦ σταθμοῦ πλῆθος εἰς μύρια τάλαντ' ἀργυρίου τὴν σύμπασαν εἶχε κατασκευήν.

27. « Ἡμεῖς δὲ, ἐπειδὴ τὰ κατὰ τὴν σκηνὴν διεληλύθαμεν, ποιησόμεθα καὶ τῆς πομπῆς ἐξήγησιν· ἤγετο γὰρ διὰ τοῦ κατὰ τὴν πόλιν σταδίου. Πρώτη δ' ἐβάδιζεν Ἑωσφόρου· καὶ γὰρ ἀρχὴν εἶχεν ἡ πομπὴ, καθ' ὃν ὁ προειρημένος ἀστὴρ φαίνεται χρόνον. Ἔπειθ' ἡ τοῖς τῶν βασιλέων γονεῦσι κατωνομασμένη. Μετὰ δὲ ταύτας αἱ τῶν θεῶν ἁπάντων, οἰκείαν ἔχουσαι τῆς περὶ ἑκάστων αὐτῶν ἱστορίας διασκευήν. Τὴν δὲ τελευταίαν Ἑσπέρου συνέβαινεν εἶναι, τῆς ὥρας εἰς τοῦτο συναγούσης τὸν καιρόν. Τὰ δὲ κατὰ μέρος αὐτῶν εἴ τις εἰδέναι βούλεται, τὰς τῶν πεντετηρίδων γραφὰς λαμβάνων ἐπισκοπείτω. Τῆς δὲ Διονυσιακῆς πομπῆς πρῶτοι μὲν προῄεσαν οἱ τὸν ὄχλον ἀνείργοντες Σειληνοὶ, πορφυρᾶς χλαμύδας, οἱ δὲ φοινικίδας, ἠμφιεσμένοι. Τούτοις δ' ἐπηκολούθουν Σάτυροι, καθ' ἕκαστον τοῦ σταδίου μέρος εἴκοσι, λαμπάδας φέροντες κισσίνας διαχρύσους. Μεθ' οὓς Νῖκαι, χρυσᾶς ἔχουσαι πτέρυγας. Ἔφερον δ' αὗται θυμιατήρια ἑξαπήχη, κισσίνοις χρυσοῖς κλωσὶ διακεκοσμημένα, ζῳωτοὺς ἐνδεδυκυῖαι χιτῶνας, αὐταὶ

---

tabernaculi solum tanta profusione sparsi erant, ut illud vere divini cujusdam prati speciem præberet.

« Ad postes (*sive* columellas) circa totum tabernaculum disposita erant marmorea signa centum, primariorum artificum opera : et mediis inter illas spatiis suspensæ tabulæ pictæ operis Sicyonii, alternatimque variæ imagines ad vivum expressæ, et tunicæ auro intextæ, et paludamenta pulcerrima, quorum aliis intextæ erant regum imagines, aliis argumenta e fabulis deprompta. Superne super his scuta suspensa erant, alternatim argentea et aurea. Porro locis superioribus, in octo cubitos patentibus, antra constructa erant, sex ab utraque parte in longitudinem tabernaculi, quattuor vero in latitudinem : in eisque convivia, ex adverso alterum alterius, tragicarum et comicarum et satyricarum personarum, vero cultu habituque vestitarum, quibus aurea apposita erant pocula. Medio spatio, quod inter antra relinquebatur, nymphæa erant, in quibus positi aurei tripodes Delphici, suis basibus insistentes. In supremo tecti fastigio aquilæ erant aureæ, mutuo sese respicientes, quindecim cubitorum magnitudine. Secundum duo tabernaculi latera positi erant centum lecti aurei, pedibus in sphingum formam effictis : nam latus oppositum fronti relictum erat apertum. His substrata erant tapetia purpurea, utrimque villosa, e lana præstantissima : superstrata aulæa variegata, eximia arte insignia. Glabri tapetes Persici medium spatium, quod pedibus calcatur, tegebant, accurate delineatas animalium formas aliasque figuras intertextas habentes. Discumbentibus appositæ erant mensæ tripodes aureæ ducentæ, ut essent duæ pro quoque lectulo, argenteis repositoriis innixæ. A parte posteriori, quæ e conspectu remota est, centum pelves positæ erant argenteæ, totidemque labra. Fabrefactum vero etiam erat in parte adversa cœnaculi aliud repositorium, in quo calices et pocula, aliaque ad usum idonea, et vasa diversæ fabricæ exponebantur; quæ erant aurea omnia, et gemmis distincta, admirabili arte fabrefacta. Quorum singulorum structuram, et varia genera enarrare, longum mihi visum est. Sed pondus cunctorum illorum vasorum, in unam summam collatum, decem fere millium fuit talentorum argenti.

« Nunc, postquam quæ ad tabernaculum pertinent exposuimus, *pompam* etiam ipsam enarrabimus. Ducebatur igitur illa per stadium quod est Alexandriæ. Et prima quidem progrediebatur Luciferi pompa : etenim initium tota pompa capiebat, quo tempore stella illa oriebatur. Tum procedebat ea, quæ parentibus regum erat consecrata. Post hanc, deorum omnium dearumque pompæ; quælibet rebus omnibus instructa ornataque, quæ ad uniuscujusque numinis historiam spectant. Postrema pompa Hesperi erat, quoniam anni tempestas ita contrahebat tempus, ut ad seram usque vesperam universa pompa ageretur. Quarum pomparum si quis singularum particulatim rationem cognoscere cupit, is Quinquennalium ludorum descriptionem sumat, et ipse oculis suis lustret. In *Bacchica pompa*, primi incedebant turbam amoventes *Sileni*, purpureas lænas, alii puniceas induti. Hos sequebantur *Satyri*, ab utraque stadii parte viginti, lampadas gestantes hederæ foliis obvolutas auro fulgentibus. Deinde *Victoriæ*, aureas

δὲ πολὺν κόσμον χρυσοῦν περικείμεναι. Μετὰ δὲ ταύτας εἵπετο βωμὸς ἑξάπηχυς διπλοῦς, κισσίνῃ φυλλάδι διαχρύσῳ πεπυκασμένος, ἔχων ἀμπέλινον χρυσοῦν στέφανον, μεσολεύκοις μίτραις κατειλημένον. Ἐπηκολούθουν δ' αὐτῷ παῖδες, ἐν χιτῶσι πορφυροῖς λιβανωτὸν καὶ σμύρναν, ἔτι δὲ κρόκον, ἐπὶ χρυσῶν μαζονόμων φέροντες, ἑκατὸν εἴκοσι. Μεθ' οὓς Σάτυροι τεσσαράκοντα, ἐστεφανωμένοι κισσίνοις χρυσοῖς στεφάνοις· τὰ δὲ σώματα οἱ μὲν ἐκέχριντο ὀστρείῳ, τινὲς δὲ μίλτῳ καὶ χρώμασιν ἑτέροις. Ἔφερον δὲ καὶ οὗτοι στέφανον χρυσοῦν, ἐξ ἀμπέλου καὶ κισσοῦ εἰργασμένον. Μεθ' οὓς Σειληνοὶ δύο ἐν πορφυραῖς χλαμύσι καὶ κρηπῖσι λευκαῖς. Εἶχε δ' αὐτῶν ὁ μὲν πέτασον καὶ κηρύκειον χρυσοῦν, ὁ δὲ σάλπιγγα. Μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ, μείζων τετράπηχυς, ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ, φέρων χρυσοῦν Ἀμαλθείας κέρας· ὃς προσηγορεύετο Ἐνιαυτός. Ὧι γυνὴ περικαλλεστάτη κατὰ τὸ μέγεθος εἵπετο, πολλῷ χρυσῷ καὶ διαπρεπεῖ κεκοσμημένη, φέρουσα τῇ μὲν μιᾷ τῶν χειρῶν στέφανον περσαίας, τῇ δ' ἑτέρᾳ ῥάβδον φοίνικος· ἐκαλεῖτο δὲ αὕτη Πεντετηρίς. Ταύτῃ δ' ἐπηκολούθουν Ὧραι τέσσαρες διεσκευασμέναι, καὶ ἑκάστη φέρουσα τοὺς ἰδίους καρπούς. Ἐχόμενα τούτων θυμιατήρια δύο κίσσινα ἐκ χρυσοῦ, ἑξαπήχη, καὶ βωμὸς ἀνὰ μέσον τούτων τετράγωνος χρυσοῦ. Καὶ πάλιν Σάτυροι, στεφάνους ἔχοντες κισσίνους χρυσοῦς, φοινικίδας περιβεβλημένοι· ἔφερον δ' οἱ μὲν οἰνοχόην χρυσῆν, οἱ δὲ καρχήσιον. Μεθ' οὓς ἐπορεύετο Φιλίσκος ὁ ποιητὴς, ἱερεὺς ὢν Διονύσου, καὶ πάντες οἱ περὶ τὸν Διόνυσον τεχνῖται. Τούτων δ' ἐφεξῆς ἐφέροντο Δελφικοὶ τρίποδες, ἆθλα τοῖς τῶν ἀθλητῶν χορηγοῖς· ὁ μὲν παιδίσκων, ἐννέα πηχῶν τὸ ὕψος, ὁ δὲ πηχῶν δώδεκα, ὁ τῶν ἀνδρῶν.

« Μετὰ τούτους τετράκυκλος πηχῶν τεσσαρεσκαίδεκα, ὀκτὼ δὲ τὸ πλάτος, ἤγετο ὑπὸ ἀνδρῶν ὀγδοήκοντα καὶ ἑκατὸν, ἐπὶ δὲ ταύτης ἐπῆν ἄγαλμα Διονύσου δεκάπηχυ, σπένδον ἐκ καρχησίου χρυσοῦ, χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κροκωτὸν διαφανῆ· περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον. Προέκειτο δὲ αὐτοῦ κρατὴρ Λακωνικὸς χρυσοῦς μετρητῶν πεντεκαίδεκα καὶ τρίπους χρυσοῦς, ἐφ' οὗ θυμιατήριον χρυσοῦν καὶ φιάλαι δύο χρυσαῖ, κασσίας μεσταὶ καὶ κρόκου. Περιέκειτο δ' αὐτῷ καὶ σκιὰς ἐκ κισσοῦ καὶ ἀμπέλου καὶ τῆς λοιπῆς ὀπώρας κεκοσμημένη· προσήρτηντο δὲ καὶ στέφανοι, καὶ ταινίαι, καὶ θύρσοι, καὶ τύμπανα, καὶ μίτραι, πρόσωπά τε σατυρικὰ καὶ κωμικὰ καὶ τραγικά. Τῇ δὲ τετρακύκλῳ ἱερεῖς καὶ ἱέρειαι, καὶ πέρσεις τελεταὶ (αἱ περὶ τὰς τελετὰς conj. Preller.), καὶ θίασοι παντοδαποὶ, καὶ τὰ λίκνα φέρουσαι. Μετὰ δὲ ταῦτα Μακέται, αἱ καλούμεναι Μιμαλλόνες, καὶ Βασσάραι καὶ Λυδαὶ, κατακεχυμέναι τὰς τρίχας, καὶ ἐστεφανωμέναι τινὲς μὲν ὄφεσιν, αἱ δὲ μίλαξι, καὶ ἀμπέλῳ, καὶ κισσῷ· κατεῖχον δὲ ταῖς χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δὲ ὄφεις. Μετὰ δὲ ταύτας ἤγετο τετράκυκλος, πηχῶν ὀκτὼ πλάτος, ὑπὸ ἀνδρῶν ἑξήκοντα, ἐφ' ἧς ἄγαλμα Νύσης ὀκτάπηχυ καθήμενον, ἐνδεδυκὸς μὲν θάψινον χιτῶνα χρυσοποίκιλον, ἱμάτιον

---

habentes alas. Gestabant autem hæ thuribula sex cubitorum, hederæ frondibus aureis ornata : tunicis vestitæ erant auro variegatis, et ipsæ alio multo aureo ornatu nitebant. Has excipiebat *ara* cubitorum sex, duplex, multa fronde hederacea auro fulgente ornata : imposita ei erat corona pampinea ex auro facta, fasciis obvoluta albo distinctis. Eam sequebantur *pueri* purpureis tunicis amicti, centum et viginti, thus et myrrham et crocum aureis in patinis gestantes. Inde *Satyri* quadraginta, hederaceis aureis coronis redimiti : quorum alii corpus ostro, alii minio, aut aliis coloribus tinctum habebant. Gestabant autem hi etiam coronam (majorem) auream, ex vite et hedera confectam. Post hos duo *Sileni*, lænis purpureis et crepidis albis : quorum alter petasum gestabat, et aureum caduceum parvum; alter tubam. Medius autem inter hos incedebat vir majori statura, quattuor cubitorum, habitu et persona tragica, aureum tenens Amaltheæ cornu : *Annum* hunc vocabant. Quem sequebatur mulier pulcerrima statura, multo auro eleganter ornata, altera manu coronam ex persæa gestans, altera palmæ virgam : ea *Penteteris* vocabatur, sive *Lustrum*. Hanc excipiebant quattuor *Anni tempora*, [convenienten] ornatu instructa, unumquodque proprios fructus manu tenens. Proxime sequebantur thuribula duo, hederæ foliis ex auro obvoluta; et ara inter hæc media, quadrata, aurea. Tum rursus Satyri, coronis hederaceis aureis cincti, puniceis tunicis induti : gestabantque horum alii trullam auream, alii carchesium. [Poculi id genus est, sic nominatum.] Post hos incedebat *Philiscus* poeta, qui Bacchi sacerdos erat; et omnes scenici artifices. Deinde ferebantur *Delphici tripodes*, præmia ducibus athletarum destinata : unus, duci adolescentum, novem cubitorum altitudine; alter, duci virorum, cubitorum duodecim.

« Hos sequebatur plaustrum, quattuordecim cubitos in longitudinem, octo in latitudinem patens, quod trahebant homines centum et octoginta. Huic imposita erat *Bacchi statua* cubitorum decem, vinum fundens ex aureo carchesio, tunicam induta purpuream ad talos demissam, et super ea croceam pellucidam; circumjectum vero habebat pallium purpureum auro variegatum. Coram eo positus erat crater aureus, metretas capiens quindecim, et mensa tripus aurea, super qua thuribulum, et duæ phialæ cassia et croco repletæ. Superne obductum erat umbraculum, ex hedera et vite aliarumque arborum frugiferarum frondibus eleganter confectum; suspensæ autem ex eo erant etiam coronæ et tæniæ et thyrsi et tympana et fasciæ et personæ satyricæ et comicæ tragicæque. Currum sequebantur sacerdotes viri et feminæ, et [recens] initiati, et omnis generis *chori Bacchici*, et qui mysticam ferebant *vannum*. Sequebantur mulieres bacchantes, quæ *Macetæ* et *Mimallones* vocantur, et *Bassaræ*, et *Lydæ*, passis crinibus, coronatæque aliæ anguibus, aliæ coronis ex taxi frondibus et vite et hedera : manibus autem tenebant aliæ pugiones, aliæ angues. Post has aliud erat plaustrum, octo cubitorum latitudine, ab hominibus tractum sexaginta : super quo erat *Nysæ* signum octo cubitorum, residens, tunicam indutum colore thapsi [buxeo], variegatam auro;

δὲ ἠμφίεστο Λακωνικόν. Ἀνίστατο δὲ τοῦτο μηχανικῶς, οὐδενὸς τὰς χεῖρας προσάγοντος, καὶ σπεῖσαν ἐκ χρυσῆς φιάλης γάλα, πάλιν ἐκάθητο. Εἶχε δὲ ἐν τῇ ἀριστερᾷ θύρσον ἐστεμμένον μίτραις. Αὕτη δ' ἐστεφάνωτο κισσίνῳ χρυσῷ, καὶ βότρυσι διαλίθοις πολυτελέσιν. Εἶχε δὲ σκιάδα, καὶ ἐπὶ τῶν γωνιῶν τῆς τετρακύκλου κατεπεπήγεσαν λαμπάδες διάχρυσοι τέτταρες. Ἑξῆς εἵλκετο ἄλλη τετράκυκλος, μῆκος πηχῶν εἴκοσι, πλάτος ἑκκαίδεκα, ὑπὸ ἀνδρῶν τριακοσίων· ἐφ' ἧς κατεσκεύαστο ληνὸς, πηχῶν εἴκοσι τεσσάρων, πλάτος πεντεκαίδεκα, πλήρης σταφυλῆς. Ἐπάτουν δὲ ἑξήκοντα Σάτυροι, πρὸς αὐλὸν ᾄδοντες μέλος ἐπιλήνιον· ἐφειστήκει δ' αὐτοῖς Σειληνός· καὶ δι' ὅλης τῆς ὁδοῦ τὸ γλεῦκος ἔρρει. Ἑξῆς ἐφέρετο τετράκυκλος, μῆκος πηχῶν εἴκοσι πέντε, πλάτος τεσσαρεσκαίδεκα· ἤγετο δὲ ὑπὸ ἀνδρῶν ἑξακοσίων· ἐφ' ἧς ἦν ἀσκὸς, τρισχιλίους ἔχων μετρητὰς, ἐκ παρδαλῶν δερμάτων ἐρραμμένος· ἔρρει δὲ καὶ οὗτος, κατὰ μικρὸν ἀνιέμενος, κατὰ πᾶσαν τὴν ὁδόν. Ἠκολούθουν δ' αὐτῷ Σάτυροι καὶ Σειληνοὶ ἑκατὸν εἴκοσιν, ἐστεφανωμένοι, φέροντες οἱ μὲν οἰνοχόας, οἱ δὲ φιάλας, οἱ δὲ θηρικλείους μεγάλας, πάντα χρυσᾶ. (Cf. fr. 3.)

« Ἐχομένως ἤγετο κρατὴρ, ἀργυροῦς ἑξακοσίους χωρῶν μετρητὰς, ἐπὶ τετρακύκλου ἑλκόμενος ὑπὸ ἀνδρῶν ἑξακοσίων. Εἶχε δὲ ὑπὸ τὰ χείλη καὶ τὰ ὦτα καὶ ὑπὸ τὴν βάσιν ζῷα τετορνευμένα, καὶ διὰ μέσου ἐστεφάνωτο στεφάνῳ χρυσῷ διαλίθῳ. Ἑξῆς ἐπεφέρετο κυλικεῖα ἀργυρᾶ δωδεκαπήχη δύο, ὕψος πηχῶν ἕξ. Ταῦτα δ' εἶχεν ἄνω τε ἀκρωτήρια καὶ ἐν ταῖς γάστραις κύκλῳ, καὶ ἐπὶ τῶν ποδῶν ζῷα τριημιπήχη καὶ πηχυαῖα, πλήθει πολλά. Καὶ λουτῆρες μεγάλοι δέκα, καὶ κρατῆρες ἑκκαίδεκα, ὧν οἱ μείζους ἐχώρουν μετρητὰς τριάκοντα, οἱ δ' ἐλάχιστοι πέντε. Εἶτα λέβητες ἕξ, βανωτοὶ (μόνωτοι Preller.) εἴκοσι τέσσαρες, ἐπ' ἐγγυθήκαις (cf. fr. 4) πέντε, καὶ ληνοὶ ἀργυραῖ δύο, ἐφ' ὧν ἦσαν βῖκοι εἴκοσι τέσσαρες, τράπεζά τε ὁλάργυρος δωδεκάπηχυς, καὶ ἄλλαι ἑξαπήχεις τριάκοντα. Πρὸς δὲ τούτοις τρίποδες τέσσαρες, ὧν εἷς μὲν εἶχε τὴν περίμετρον πηχῶν ἑκκαίδεκα, κατάργυρος ὢν ὅλος, οἱ δὲ τρεῖς ἐλάττονες ὄντες διάλιθοι κατὰ μέσον ὑπῆρχον. Μετὰ τούτους ἐφέροντο Δελφικοὶ τρίποδες ἀργυροῖ ὀγδοήκοντα τὸν ἀριθμὸν, ἐλάττους τῶν προειρημένων, ὧν αἱ γωνίαι τετράμετροι· ὑδρίαι εἴκοσι καὶ ἕξ, ἀμφορεῖς Παναθηναϊκοὶ ἑκκαίδεκα, ψυκτῆρες ἑκατὸν ἑξήκοντα· τούτων ὁ μέγιστος ἦν μετρητῶν ἕξ, ὁ δὲ ἐλάχιστος δύο. Ταῦτα μὲν οὖν ἦν ἅπαντα ἀργυρᾶ.

« Ἐχόμενοι δὲ τούτων ἐπόμπευον οἱ τὰ χρυσώματα φέροντες, κρατῆρας Λακωνικοὺς τέτταρας, ἔχοντας στεφάνους ἀμπελίνους. Τετραμέτρητοι ἕτεροι, Κορινθιουργεῖς δύο (οὗτοι δ' εἶχον ἄνωθεν καθήμενα περιφανῆ τετορνευμένα ζῷα, καὶ ἐν τῷ τραχήλῳ καὶ ἐν ταῖς γάστραις πρόστυπα, ἐπιμελῶς πεποιημένα· ἐχώρει δ' ἕκαστος μετρητὰς ὀκτώ) ἐπ' ἐγγυθήκαις. Καὶ ληνὸς, ἐν ᾗ ἦσαν βῖκοι δέκα· ὁλκεῖα δύο, ἑκάτερον χωροῦν μετρητὰς πέντε· κώθωνες διμέτρητοι δύο (cf. fr. 5)· ψυκτῆρες εἴκοσι δύο, ὧν ὁ μέγιστος ἐχώρει μετρητὰς τριάκοντα, ὁ δὲ ἐλάχιστος μετρητήν. Ἐπόμπευσαν δὲ τρίποδες χρυσοῖ μεγάλοι τέτταρες· καὶ

---

pallam autem circumjectam habebat Laconicam. Surgebat hoc simulacrum ex machinatione ingeniose fabrefacta, nemine manum admovente; et, postquam ex aurea phiala lac libasset, rursus residebat. Læva thyrsum tenebat fasciis coronatum; capiti coronam impositam habebat hederaceam ex auro, cum racemis ex gemmis multi pretii. Umbraculum statuam tegebat: et in quattuor plaustri angulis defixæ erant lampades quattuor multo auro fulgentes. Inde rursus aliud plaustrum, longitudine viginti cubitorum, latitudine sedecim, trahebatur ab hominibus trecentis: super quo constructum erat *torcular* viginti quattuor cubitorum in longitudinem, quattuordecim in latitudinem, plenum uvarum. Calcabantque torcular sexaginta Satyri, canticum vindemiale ad tibiam canentes, quibus præerat Silenus, et per totam viam fluebat mustum. Post, aliud transvehebatur plaustrum, longitudine cubitorum viginti quinque, latitudine quattuordecim: quod viri trahebant sexcenti. Super hoc erat *uter*, tria millia continens metretarum, *ex pardalidum pellibus consutus*: fluebat autem et hic per totam viam, paulatim emisso vino. Eum sequebantur Satyri et Sileni centum et viginti, coronati, gestantes alii urceos, phialas alii, alii magna thericlea quæ vocantur pocula, omnia ex auro.

« Inde *crater* sequebatur argenteus, sexcentos metretas capiens, super plaustro a viris sexcentis tracto. Habebat ille et sub labiis et sub auribus et in basi figuras animantium aliasque cælatas: medius autem præcinctus erat aureo serto gemmis distincto. Deinde ferebantur duo *poculorum repositoria* [sive, *pocula*] argentea cubitorum duodecim, altitudine sex cubitorum. Hæc superne habebant figuras eminentes, et in ventre circumcirca; et in pedibus alias, sesquicubitales et cubitales, magno numero. Tum solia ampla decem, et crateres sedecim, quorum majores capiebant metretas triginta, minimi vero metretas quinque. Deinde lebetes sex, monoti viginti quattuor, super repositoriis quinque: et torcularii lacus argentei duo, super quibus urnæ erant viginti quattuor: et mensa tota argentea, duodecim cubitorum, aliæque triginta, cubitorum sex. Ad hæc *tripodes* quattuor: quorum unus, perimetrum sedecim cubitorum, totus argenteus erat; tres reliqui, minores, in medio gemmis erant distincti. Post istos ferebantur Delphici tripodes argentei quadrangulares, prædictis minores, numero LXXX: hydriæ XXVI: amphoræ Panathenaicæ XVI: refrigeratoria vasa CLX; quorum maximum metretas capiebat sex, minimum duo. Hæc igitur omnia *argentea* erant.

« Proximi incedebant, qui *aurea vasa* gestabant crateres Laconicos quattuor, coronis pampineis cinctos quattuor metretas capientes. Alii duo erant operis Corinthii, super repositoriis: habebantque hi superne sedentes figuras integras luculenter cælatas, aliasque anaglyphas in collo et in ventre; capiebantque singuli metretas octo. Tum lacus torcularius, in quo erant urnæ decem: labra duo, capiens utrumque metretas quinque: cothones duo, metretas binos

χρυσωματοθήκη χρυσῆ διάλιθος, πηχῶν δέκα ὕψος, ἔχουσα βασμοὺς ἕξ, ἐν οἷς καὶ ζῷα τετραπάλαιστα, ἐπιμελῶς πεποιημένα, πολλὰ τὸν ἀριθμόν· καὶ κυλικεῖα δύο, καὶ ὑάλινα διάχρυσα δύο· ἐγγυθῆκαι χρυσαῖ τετραπήχεις δύο, ἄλλαι ἐλάττους τρεῖς, ὑδρίαι δέκα, βωμὸς τρίπηχυς, μαζονόμια εἴκοσι πέντε. Μετὰ δὲ ταῦτα ἐπορεύοντο παῖδες χίλιοι καὶ ἑξακόσιοι, ἐνδεδυκότες χιτῶνας λευκοὺς, ἐστεφανωμένοι οἱ μὲν κισσῷ, οἱ δὲ πίτυϊ· ὧν διακόσιοι μὲν καὶ πεντήκοντα χοεῖς εἶχον χρυσοῦς, τετρακόσιοι δὲ ἀργυροῦς, ἕτεροι δὲ τριακόσιοι καὶ εἴκοσι ψυκτήρια ἔφερον χρυσᾶ, οἱ δὲ ἀργυρᾶ. Μεθ' οὓς ἄλλοι παῖδες ἔφερον κεράμια πρὸς τὴν τοῦ γλυκισμοῦ χρείαν· ὧν εἴκοσι μὲν ἦν χρυσᾶ, πεντήκοντα δὲ ἀργυρᾶ, τριακόσια δὲ κεκηρογραφημένα χρώμασι παντοίοις. Καὶ κερασθέντων ἐν ταῖς ὑδρίαις καὶ πίθοις πάντες κοσμίως ἐγλυκάνθησαν οἱ ἐν τῷ σταδίῳ. »

Ἑξῆς τούτοις καταλέγει τετραπήχεις τραπέζας· ἐφ' ὧν πολλὰ θέας ἄξια πολυτελῶς κατεσκευασμένα περιήγετο θεάματα. « Ἐν οἷς καὶ ὁ τῆς Σεμέλης θάλαμος, ἐν ᾧ ἔχουσι χιτῶνας τινὲς διαχρύσους καὶ λιθοκολλήτους τῶν πολυτιμήτων. Οὐκ ἄξιον δ' ἦν παραλιπεῖν τήνδε τὴν τετράκυκλον, μῆκος οὖσαν πηχῶν εἴκοσι δύο, πλάτος τεσσαρεσκαίδεκα, ὑπὸ ἀνδρῶν ἑλκομένην πεντακοσίων· ἐφ' ἧς ἄντρον ἦν βαθὺ καθ' ὑπερβολὴν κισσῷ καὶ μίλτῳ. Ἐκ τούτου περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν, λημνίσκοις τοὺς πόδας δεδεμέναι πρὸς τὸ ῥαδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. Ἀνέβλυζον δὲ ἐξ αὐτοῦ καὶ κρουνοὶ δύο, ὁ μὲν γάλακτος, ὁ δὲ οἴνου. Πᾶσαι δ' αἱ περὶ αὐτὸν Νύμφαι στεφάνους εἶχον χρυσοῦς· ὁ δὲ Ἑρμῆς καὶ κηρύκειον χρυσοῦν, ἐσθῆτας δὲ πολυτελεῖς. Ἐπὶ δὲ ἄλλης τετρακύκλου, ἣ περιεῖχε τὴν ἐξ Ἰνδῶν κάθοδον Διονύσου, Διόνυσος ἦν δωδεκάπηχυς, ἐπ' ἐλέφαντος κατακείμενος, ἠμφιεσμένος προφυρίδα, καὶ στέφανον κισσοῦ καὶ ἀμπέλου χρυσοῦν ἔχων, εἶχεν ἐν ταῖς χερσὶ θυρσόλογχον χρυσοῦν· ὑπεδέδετο δ' ἐμβάδας χρυσογραφεῖς. Προεκάθητο δ' αὐτοῦ ἐπὶ τῷ τραχήλῳ τοῦ ἐλέφαντος σατυρίσκος πεντάπηχυς, ἐστεφανωμένος πίτυος στεφάνῳ χρυσῷ, τῇ δεξιᾷ αἰγείῳ κέρατι χρυσῷ σημαίνων. Ὁ δὲ ἐλέφας σκευὴν εἶχε χρυσῆν, καὶ περὶ τῷ τραχήλῳ κίσσινον χρυσοῦν στέφανον. Ἠκολούθουν δὲ τούτῳ παιδίσκαι πεντακόσιαι, κεκοσμημέναι χιτῶσι πορφυροῖς, χρυσῷ διεζωσμέναι. Ἐστεφάνωντο δὲ αἱ μὲν ἡγούμεναι ἑκατὸν εἴκοσι χρυσοῖς πιτυΐνοις στεφάνοις, ἠκολούθουν δὲ αὐταῖς Σάτυροι ἑκατὸν εἴκοσι, πανοπλίας οἱ μὲν ἀργυρᾶς, οἱ δὲ χαλκᾶς ἔχοντες. Μετὰ δὲ τούτους ἐπορεύοντο ὄνων ἶλαι πέντε, ἐφ' ὧν ἦσαν Σειληνοὶ καὶ Σάτυροι ἐστεφανωμένοι. Τῶν δὲ ὄνων οἱ μὲν χρυσᾶς, οἱ δὲ ἀργυρᾶς προμετωπίδας καὶ σκευασίας εἶχον.

« Μετὰ δὲ τούτους ἐλεφάντων ἅρματα ἀφείθη εἴκοσι τέσσαρα, καὶ συνωρίδες τράγων ἑξήκοντα, κώλων δώδεκα, ὀρύγων ἑπτὰ, βουβάλων πεντεκαίδεκα, στρουθῶν συνωρίδες ὀκτὼ, ὀνελάφων ἑπτὰ, καὶ συνωρίδες τέσσαρες ὄνων ἀγρίων, ἅρματα τέσσαρα. Ἐπὶ δὲ

capientes; vasa refrigeratoria viginti duo; quorum maximum capiebat triginta metretas; minimum, metretam. Transferebantur etiam tripodes aurei magni quattuor : et aureæ supellectilis repositorium aureum gemmis distinctum, decem cubitorum altitudine, gradus habens sex, e quibus eminebant magno numero figuræ exstantes in quattuor palmorum altitudinem, solerter fabrefactæ : et poculorum armaria duo aurea, itemque duo vitrea (*sive* crystallina) auro distincta : scrinia aurea duo, cubitorum quattuor; alia minora tria; hydriæ decem; ara tricubitalis; lances distribuendis mazis inservientes viginti duæ. Post hæc ingrediebantur pueri mille et sexcenti, albis tunicis vestiti, coronati alii hedera, alii pinea : quorum ducenti et quinquaginta ferebant congios aureos, quadringenti vero argenteos; alii vero trecenti et viginti, ferebant vasa refrigeratoria aurea, reliqui vero argentea. Post hos alii pueri lagenas gestabant ad gustandum mustum, viginti aureas, quinquaginta argenteas, trecentas vero ceris pictas, variis colorum generibus. Et liquore in has ex hydriis et doliis misto, modeste demulsi sunt omnes qui in stadio erant. »

Post hæc commemorat idem auctor mensas quattuor cubitorum, super quibus multa visu digna pretiose elaborata circumferebantur spectacula. « In his erat *Semeles thalamus nuptialis :* in quo conspiciebantur signa tunicas induta auro et gemmis distincta pretiosissimis. Nec vero par erat prætermittere plaustri illius commemorationem, cujus longitudo cubitorum erat viginti duorum, latitudo cubitorum quattuordecim; trahebatur autem ab hominibus quingentis. Super quo *antrum* erat mirum in modum hedera et taxo umbratum : e quo columbæ, et palumbi et turtures per totam evolabant viam, fasciolis pedes ligati, quo facilius caperentur a spectatoribus. Ex eodem antro duo scaturiebant fontes; alter lac, vinum alter fundens. Nymphæ autem omnes, quæ deo præsto sunt, [*sive*, quæ circa antrum sunt,] coronas gestabant aureas; Mercurius vero etiam caduceum aureum, et vestes pretiosas. In alio plaustro, quo *reditus Bacchi ex India* continebatur, Bacchus erat duodecim cubitorum; elephanto insidens, purpura vestitus, et corona ornatus aurea hederacea et pampinea, manibus thyrsum aureum tenens mucronatum, soleis calceatus auro pictis. Ante ipsum, collo elephanti insidebat Satyriscus quinquecubitalis, coronatus corona pinea ex auro, dextra vero caprinum cornu tenens, quasi signum daret. Aureus elephanti ornatus erat; et collum corona hederacea ex auro cinctum. Sequebantur hunc puellæ quingentæ, purpureis ornatæ tunicis, et auro cinctæ : coronatæ autem erant centum et viginti, quæ ceteris præibant, pineis coronis aureis. Has sequebantur Satyri centum et viginti, toto corpore armati, argenteis alii armis, alii æneis. Post hos incedebant asinorum turmæ quinque, quibus insidebant Sileni Satyrique coronati. Asinorum alii frontalia reliquumque ornatum ex auro habebant, alii ex argento.

« Post hos prodierunt *elephantorum* currus viginti quattuor; et caprorum bigæ sexaginta; *colorum* [e cervino genere animans est] duodecim; orygum septem; bubalorum

πάντων τούτων ἀναβεβήκει παιδάρια, χιτῶνας ἔχοντα ἡνιοχικοὺς καὶ πετάσους. Παραναβεβήκει δὲ παιδισκάρια, διεσκευασμένα πελταρίοις καὶ θυρσολόγχοις, κεκοσμημένα ἱματίοις καὶ χρυσίοις. Ἐστεφάνωτο δὲ τὰ μὲν ἡνιοχοῦντα παιδάρια πίτυϊ, τὰ δὲ παιδισκάρια κισσῷ. Ἐπῆσαν δὲ καὶ συνωρίδες καμήλων, ἐξ ἑκατέρου μέρους τρεῖς· αἷς ἐπηκολούθουν ἀπῆναι ὑφ' ἡμιόνων ἀγόμεναι. Αὗται δ' εἶχον σκηνὰς βαρβαρικάς, ἐφ' ὧν ἐκάθηντο γυναῖκες Ἰνδαὶ καὶ ἕτεραι, κεκοσμημέναι ὡς αἰχμάλωτοι. Κάμηλοι δ' αἱ μὲν ἔφερον λιβανωτοῦ μνᾶς τριακοσίας, σμύρνης τριακοσίας, κρόκου καὶ κασσίας καὶ κινναμώμου καὶ ἴριδος καὶ τῶν λοιπῶν ἀρωμάτων διακοσίας. Ἐχόμενοι τούτων ἦσαν Αἰθίοπες δωροφόροι, ὧν οἱ μὲν ἔφερον ὀδόντας ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς δισχιλίους, ἄλλοι χρυσοῦς καὶ ἀργυροῦς κρατῆρας ἑξήκοντα, καὶ ψήγματα χρυσίου. Μεθ' οὓς ἐπόμπευσαν κυνηγοὶ δύο, ἔχοντες σιβύνας ἐπιχρύσους. Ἤγοντο δὲ καὶ κύνες δισχίλιοι τετρακόσιοι, οἱ μὲν Ἰνδοί, οἱ λοιποὶ δὲ Ὑρκανοὶ καὶ Μολοσσοὶ καὶ ἑτέρων γενῶν. Ἑξῆς ἄνδρες ἑκατὸν πεντήκοντα, φέροντες δένδρα, ἐξ ὧν ἀνήρτητο θηρία παντοδαπὰ καὶ ὄρνεα. Εἶτ' ἐφέροντο ἐν ἀγγείοις ψιττακοί, καὶ ταῴ, καὶ μελεαγρίδες, καὶ φασιανοὶ ὄρνιθες, καὶ ἄλλοι Αἰθιοπικοί, πλήθει πολλοί. » (Cf. fr. 6.) Εἰπὼν δὲ καὶ ἄλλα πλεῖστα, καὶ καταλέξας ζῴων ἀγέλας, ἐπιφέρει· « Πρόβατα Αἰθιοπικὰ ἑκατὸν τριάκοντα, Ἀράβια τριακόσια, Εὐβοϊκὰ εἴκοσι, ὁλόλευκοι βόες Ἰνδικοὶ εἴκοσι ἕξ, Αἰθιοπικοὶ ὀκτώ, ἄρκτος μὲν λευκὴ μεγάλη μία, παρδάλεις τεσσαρεσκαίδεκα, πάνθηρες ἑκκαίδεκα, λυγκία τέσσαρα, ἄρκηλοι τρεῖς, καμηλοπάρδαλις μία, ῥινόκερως Αἰθιοπικὸς εἷς.

« Ἑξῆς ἐπὶ τετρακύκλου Διόνυσος περὶ τὸν τῆς Ῥέας βωμὸν καταπεφευγώς, ὅτε ὑπὸ Ἥρας ἐδιώκετο, στέφανον ἔχων χρυσοῦν, Πριάπου αὐτῷ παρεστῶτος, ἐστεφανωμένου χρυσῷ κισσίνῳ. Τὸ δὲ τῆς Ἥρας ἄγαλμα στεφάνην εἶχε χρυσῆν. Ἀλεξάνδρου δὲ καὶ Πτολεμαίου ἀγάλματα, ἐστεφανωμένα στεφάνοις κισσίνοις ἐκ χρυσοῦ. Τὸ δὲ τῆς Ἀρετῆς ἄγαλμα, τὸ παρεστὸς τῷ Πτολεμαίῳ, στέφανον εἶχεν ἐλαίας χρυσοῦν. Καὶ Πρίαπος δ' αὐτοῖς συμπαρῆν, ἔχων στέφανον κίσσινον ἐκ χρυσοῦ. Κόρινθος δ' ἡ πόλις, παρεστῶσα τῷ Πτολεμαίῳ, ἐστεφάνωτο διαδήματι χρυσῷ. Παρέκειντο δὲ πᾶσι τούτοις κυλικεῖον μεστὸν χρυσωμάτων, κρατήρ τε χρυσοῦς, μετρητῶν πέντε. Τῇ δὲ τετρακύκλῳ ταύτῃ ἠκολούθουν γυναῖκες, ἔχουσαι ἱμάτια πολυτελῆ καὶ κόσμον· προσηγορεύοντο δὲ πόλεις, αἵ τ' ἀπ' Ἰωνίας, καὶ λοιπαὶ Ἑλληνίδες, ὅσαι τὴν Ἀσίαν καὶ τὰς νήσους κατοικοῦσαι ὑπὸ τοὺς Πέρσας ἐτάχθησαν· ἐφόρουν δὲ πᾶσαι στεφάνους χρυσοῦς. Ἐφέρετο καὶ ἐπ' ἄλλων τετρακύκλων θύρσος ἐνενηκοντάπηχυς χρυσοῦς, καὶ λόγχη ἀργυρᾶ ἑξηκοντάπηχυς, καὶ ἐν ἄλλῃ φαλλὸς χρυσοῦς, πηχῶν ἑκατὸν εἴκοσι, διαγεγραμμένος, καὶ διαδεδεμένος στέμμασι διαχρύσοις, ἔχων ἐπ' ἄκρου ἀστέρα χρυσοῦν, οὗ ἦν ἡ περίμετρος πηχῶν ἕξ.

« Πολλῶν οὖν καὶ ποικίλων εἰρημένων ἐν ταῖς πομπαῖς ταύταις, μόνα ἐξελεξάμεθα, ἐν οἷς ἦν χρυσὸς

---

quindecim; struthionum bigæ octo; onelaphorum septem; et asinorum silvestrium bigæ quattuor, totidemque quadrigæ. Quibus omnibus insidebant pueruli, aurigarum habitu, petasati : juxta illos sedebant puelli minores, pelta armati et thyrso mucronato, eleganti vestitu, et multo auro ornati : ac coronati quidem erant aurigantes pueri pineis coronis; puelli comites, hederaceis. Sequebantur bigæ camelorum ab utraque parte tres : quas excipiebant carpenta a mulis tracta. His imposita erant tentoria barbarica, in quibus sedebant mulieres Indicæ aliæque, captivarum habitu. Cameli [deinde alii] portabant thuris libras trecentas, myrrhæ trecentas; croci, et cassiæ, et cinnamomi et iridis et aliorum aromatum, ducentas. Proxime sequebantur Æthiopes dona ferentes : quorum alii gestabant dentes elephantorum sexcentas; alii, stipitum ebeni duo millia; alii, aureos et argenteos crateras sexaginta, et ramenta auri. Tum procedebant venatores duo [*forte*, bis mille,] venabula gestantes inaurata. Ducebantur vero etiam canes bis mille quadringenti : alii Indici, ceteri Hyrcani, Molossi, et aliorum generum. Deinde viri centum et quinquaginta gestabant arbores, quibus alligatæ erant feræ omnis generis et aves. Tum ferebantur, in caveis, psittaci, et pavones, et meleagrides, et phasiani, et aliæ aves Æthiopicæ, ingenti copia. » Alia insuper plurima postquam enarravit idem auctor, gregesque multos commemoravit animalium, hæc subjungit : « Oves Æthiopicæ centum et triginta, Arabicæ trecentæ, Euboicæ viginti, albi boves Indici viginti sex, Æthiopici octo, ursus albus ingentis staturæ unus, pardales quattuordecim, pantheræ sedecim, lynces quattuor, *arceli* [ex pardalium genere] tres, *camelopardalis* una, rhinoceros Æthiopicus unus.

« Deinde super plaustro cernebatur *Bacchus ad Rheæ aram confugiens*, quum eum Juno persequeretur : aurea corona cinctus erat, adstabatque ei Priapus, hederacea corona ex auro coronatus. Junonis vero simulacrum limbum habebat aureum. *Alexandri* vero et *Ptolemæi* signa coronis hederaceis ex auro erant redimita : Virtutis signum vero, adstans Ptolemæo, coronam habebat oleagineam ex auro. Et cum his quoque Priapus aderat, corona hederacea ex auro cinctus. Corinthus vero civitas, Ptolemæo adstans, diademate aureo redimita erat. In eodem cum his omnibus vehiculo locatum erat poculorum repositorium, vasis aureis onustum; et crater aureus, quinque capiens metretas. Hoc vehiculum sequebantur mulieres, pretiosis vestibus reliquoque cultu ornatæ : his nomina erant civitatum, partim Ionicarum, partim aliarum Græcarum, quotquot vel Asiam vel insulas incolentes Persis paruerant : erant autem omnes aureis coronis redimitæ. Transvehebantur porro aliis vehiculis Thyrsus aureus nonaginta cubitorum, et lancea argentea cubitorum sexaginta. Et in alio, Phallus aureus cubitorum centum et viginti, varie pictus, et sertis revinctus auro distinctis : in vertice stellam habebat, cujus circumferentia sex cubitorum.

« Tam multa igitur, tamque varia quum in his pompis commemoraverimus, ea sola selegimus in quibus aurum

καὶ ἄργυρος. Καὶ γὰρ διαθέσεις πολλαὶ ἀκοῆς ἦσαν ἄξιαι, καὶ θηρίων πλήθη, καὶ ἵππων, καὶ λέοντες παμμεγέθεις εἴκοσι καὶ τέσσαρες. Ἦσαν δὲ καὶ ἄλλαι τετράκυκλοι, οὐ μόνον εἰκόνας βασιλέων φέρουσαι, ἀλλὰ καὶ θεῶν πολλαί. Μεθ' ἃς χορὸς ἐπόμπευσεν ἀνδρῶν ἑξακοσίων· ἐν οἷς κιθαρισταὶ συνεφώνουν τριακόσιοι, ἐπιχρύσους ἔχοντες ὅλας κιθάρας καὶ στεφάνους χρυσοῦς. Μεθ' οὓς ταῦροι διῆλθον δισχίλιοι ὁμοιοχρώματοι, χρυσοκέρῳ, προμετωπίδας χρυσᾶς καὶ ἀνὰ μέσον στεφάνους ὅρμους τε καὶ αἰγίδας πρὸ τῶν στηθῶν ἔχοντες· ἦν δ' ἅπαντα ταῦτα χρυσᾶ.

« Καὶ μετὰ ταῦτα Διὸς ἤγετο πομπὴ καὶ ἄλλων παμπόλλων θεῶν, καὶ ἐπὶ πᾶσιν Ἀλεξάνδρου, ὃς ἐφ' ἅρματος ἐλεφάντων ἀληθινῶν ἐφέρετο χρυσοῦς, Νίκην καὶ Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχων. Ἐπόμπευσαν δὲ καὶ θρόνοι πολλοὶ, ἐξ ἐλέφαντος καὶ χρυσοῦ κατεσκευασμένοι· ὧν ἐφ' ἑνὸς ἔκειτο στεφάνη χρυσῆ, ἐπ' ἄλλου δίκερας χρυσοῦν, ἐπ' ἄλλου δὲ ἦν στέφανος χρυσοῦς, καὶ ἐπ' ἄλλου δὲ κέρας ὁλόχρυσον. Ἐπὶ δὲ τὸν Πτολεμαίου τοῦ Σωτῆρος θρόνον στέφανος ἐπέκειτο ἐκ μυρίων κατεσκευασμένος χρυσῶν. Ἐπόμπευσε δὲ καὶ θυμιατήρια χρυσᾶ τριακόσια καὶ πεντήκοντα, καὶ βωμοὶ δὲ ἐπίχρυσοι, ἐστεφανωμένοι χρυσοῖς στεφάνοις· ὧν ἑνὶ παρεπεπήγεσαν δᾷδες χρυσαῖ δεκαπήχεις τέσσαρες. Ἐπόμπευσαν δὲ καὶ ἐσχάραι ἐπίχρυσοι δώδεκα· ὧν ἡ μὲν δωδεκάπηχυς τῇ περιμέτρῳ, τεσσαρακοντάπηχυς ὕψει, ἡ δὲ πηχῶν πεντεκαίδεκα. Ἐπόμπευσαν δὲ καὶ Δελφικοὶ τρίποδες χρυσοῖ ἐννέα, ἐκ πηχῶν τεσσάρων· ἄλλοι ὀκτὼ, πηχῶν ἕξ· ἄλλος πηχῶν τριάκοντα, ἐφ' οὗ ἦν ζῷα χρυσᾶ πενταπήχη, καὶ στέφανος κύκλῳ χρυσοῦς ἀμπέλινος. Παρῆλθον δὲ καὶ φοίνικες ἐπίχρυσοι ὀκταπήχεις ἑπτὰ, καὶ κηρύκειον ἐπίχρυσον πηχῶν τεσσαράκοντα πέντε, καὶ κεραυνὸς ἐπίχρυσος πηχῶν τεσσαράκοντα, ναός τε ἐπίχρυσος, οὗ ἡ περίμετρος πηχῶν τεσσαράκοντα· δίκερας πρὸς τούτοις ὀκτάπηχυ. Πολὺ δὲ καὶ ζῴων πλῆθος ἐπιχρύσων συνεπόμπευεν, ὧν ἦν τὰ πολλὰ δωδεκαπήχη· καὶ θηρία ὑπεράγοντα τοῖς μεγέθεσι, καὶ ἀετοὶ πηχῶν εἴκοσι. Στέφανοί τ' ἐπίχρυσοι ἐπόμπευσαν τρισχίλιοι διακόσιοι, ἕτερός τε μυστικὸς χρυσοῦς, λίθοις πολυτελέσι κεκοσμημένος, ὀγδοηκοντάπηχυς· οὗτος δὲ περιετίθετο τῷ τοῦ Βερενικείου θυρώματι, αἰγίς τε ὁμοίω χρυσῆ. Ἐπόμπευσαν δὲ καὶ στεφάναι χρυσαῖ πάν πολλαὶ, ἃς ἔφερον παιδίσκαι πολυτελῶς κεκοσμημέναι ὧν μία δίπηχυς εἰς ὕψος, τὴν δὲ περίμετρον ἔχουσα ἑκκαίδεκα πηχῶν. Ἐπόμπευσε δὲ καὶ θώραξ χρυσοῦς πηχῶν δώδεκα, καὶ ἕτερος ἀργυροῦς πηχῶν ὀκτωκαίδεκα, * * * ἐννέα, ἔχων ἐφ' ἑαυτὸν κεραυνοὺς χρυσοῦς δεκαπήχεις δύο, καὶ στέφανον δρυὸς διάλιθον· ἀσπίδες χρυσαῖ εἴκοσι, πανοπλίαι χρυσαῖ ἑξήκοντα τέσσαρες, κνημῖδες χρυσαῖ τριπήχεις δύο, λεκάναι χρυσαῖ δώδεκα, φιάλαι πολλαὶ πάνυ τὸν ἀριθμὸν, οἰνοχόαι τριάκοντα, ἐξάλειπτρα μεγάλα δέκα, ὑδρίαι δώδεκα, μαζονόμια πεντήκοντα, τράπεζαι διάφοροι, κυλικεῖα χρυσωμάτων πέντε, κέρας ὁλόχρυσον πηχῶν τριάκοντα. Ταῦτα δὲ

erat aut argentum. Erant enim etiam alii multi apparatus memoratu digni, et animalium multitudo, et equorum, et leones eximiæ staturæ viginti quattuor. Erant vero et alia plaustra, non modo regum imagines, sed et deorum vehentia, bene multa. Post quæ chorus progrediebatur virorum sexcentorum : in quibus citharistæ trecenti concinebant, totas inauratas habentes citharas, et coronas aureas. Post hos transiere tauri bis mille, colore similes, cornibus inauratis, cum frontalibus aureis, et coronis inter cornua, et torquibus, et ægidibus ante pectora, cunctis aureis.

« Post ista ducebatur *Jovis pompa*, aliorumque plurimorum deorum : et postrema omnium *Alexandri*, qui in aureo transvehebatur curru, quem veri [*Indici ?*] trahebant elephanti : a latere utrimque adstabant ei Victoria et Minerva. Transvehebantur etiam sellæ multæ ex ebore et auro fabrefactæ : quarum super una positus erat aureus limbus; super alia, duplex cornu aureum; super alia, corona aurea; super alia, cornu ex solido auro totum. Super *Ptolemæi* vero *Soteris* sella posita corona erat ex aureis decies mille fabrefacta. Delata sunt quoque thuribula aurea trecenta et quinquaginta; et aræ auro obductæ, impositis aureis coronis : in earum ararum una firmatæ erant faces quattuor aureæ, cubitorum decem. Producti sunt etiam foci auro obducti duodecim : quorum unus perimetrum habebat cubitorum duodecim, altitudinem quadraginta cubitorum : alius, quindecim cubitos in ambitu habebat. Transferebantur porro Delphici tripodes aurei novem, quilibet quattuor cubitorum; alii octo, cubitorum sex; unus, triginta cubitorum, super quo exstabant figuræ aureæ quinquecubitales, et cingebat eum corona pampinea ex auro. Prætervehebantur porro palmæ arbores octocubitales inauratæ septem; et caduceus inauratus, cubitorum quadraginta quinque; fulmen inauratum, quadraginta cubitorum; et ædicula auro obducta, quadraginta cubitorum in circuitu; ad hæc, duplex cornu octo cubitorum. Ferebatur præterea simulacrorum auro obductorum magna multitudo, quorum pleraque duodecim cubitorum; et animantia immanis magnitudinis, et aquilæ viginti cubitorum. Tum coronæ aureæ deferebantur ter mille ducentæ : et alia *mystica corona* aurea, pretiosis lapidibus ornata, octoginta cubitorum (hæc fuit, qua cincta erat porta ædi Berenicæ;) et *ægis*, pariter aurea. Deferebantur item limb aurei magno admodum numero, quos gestabant puellæ pretiose ornatæ : eorum unus erat, cujus altitudo duorum cubitorum, ambitus cubitorum sedecim. Lorica etiam cernebatur aurea, duodecim cubitorum : et alia argentea, cubitorum octodecim, *** novem, super qua erant fulmina aurea duo decemcubitalia, et corona querna gemmis distincta. Tum clypei aurei viginti; totius corporis armaturæ aureæ sexaginta quattuor; ocreæ aureæ trium cubitorum duæ; pelves aureæ duodecim; phialarum ingens multitudo; gutti vinarii triginta sex; unguentaria vasa magna decem; hydriæ duodecim; mazonomia quinquaginta; mensæ diversi generis; calicum aureorum repositoria quinque; cornu, totum ex auro, cubitorum triginta. Erant autem aurea ista vasa præter illa, quæ in Bacci pompa delata sunt. Deinde sequebantur adhuc plaust

τὰ χρυσώματα ἐκτὸς ἦν τῶν ἐν τῇ τοῦ Διονύσου πομπῇ διενεχθέντων. Εἶτ' ἀργυρωμάτων ἅμαξαι τετρακόσιαι, καὶ χρυσωμάτων εἴκοσι, ἀρωμάτων δὲ ὀκτακόσιαι.

« Ἐπὶ δὲ πᾶσιν ἐπόμπευσαν αἱ δυνάμεις αἱ ἱππικαὶ καὶ πεζικαὶ, πᾶσαι καθωπλισμέναι θαυμασίως. Πεζοὶ μὲν ἐς πέντε μυριάδας καὶ ἑπτακισχιλίους καὶ ἑξακοσίους, ἱππεῖς δὲ δισμύριοι τρισχίλιοι διακόσιοι. Πάντες δ' οὗτοι ἐπόμπευσαν, τὴν ἁρμόζουσαν ἑκάστῳ ἠμφιεσμένοι στολὴν, καὶ τὰς προσηκούσας ἔχοντες πανοπλίας. Ἐκτὸς δ' ὧν πάντες οὗτοι εἶχον πανοπλιῶν, καὶ ἄλλαι πλεῖσται ἦσαν ἀποκείμεναι, ὧν οὐδὲ τὸν ἀριθμὸν ἀναγράψαι ῥᾴδιον. » Κατέλεξε δ' αὐτὸν ὁ Καλλίξενος. « Ἐστεφανώθησαν δ' ἐν τῷ ἀγῶνι καὶ στεφάνοις χρυσοῖς εἴκοσι· Πτολεμαῖος δὲ ὁ πρῶτος καὶ Βερενίκη εἴκοσι τρισὶν ἐφ' ἁρμάτων χρυσῶν καὶ τεμένεσιν ἐν Δωδώνῃ. Καὶ ἐγένετο τὸ δαπάνημα τοῦ νομίσματος τάλαντα δισχίλια διακόσια τριάκοντα ἐννέα, μναῖ πεντήκοντα· καὶ ταῦτ' ἠριθμήθη πάντα παρὰ τοῖς οἰκονόμοις, διὰ τὴν τῶν στεφανούντων προθυμίαν, πρὸ τοῦ τὰς θέας παρελθεῖν. Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, υἱὸς αὐτῶν, εἴκοσι χρυσαῖς, δυσὶ μὲν ἐφ' ἁρμάτων χρυσῶν, ἐπὶ δὲ κιόνων ἑξαπήχει μιᾷ, πενταπήχεσι πέντε, τετραπήχεσιν ἕξ. » Multa in his obscura sunt. Adi interpretes.

3.

Schol. Pind. Ol. XI, 39 : Ὅτι ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ ὁ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἁλοὺς ἔφυγε, διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κλεωνὰς συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Παταρεύς. Subjungimus reliqua quæ de Hercule traduntur.

10.

Schol. Apoll. Rhod. I, 131 : Ὕλας· οὗτος Ἡρακλέους ἐρώμενος, υἱὸς δὲ Θειοδάμαντος τοῦ Δρύοπος. Οὕτω Μνασέας. Ἑλλάνικος δὲ (fr. 39) κτλ. Cf. Argum. Theocrit. Id. XVIII. Fortasse de Hyla in Asiaticis dixerat.

11.

Ælianus H. A. XVIII, 47 : Λέγει Μνασέας ἐν τῇ Εὐρώπῃ [Διός] Ἡρακλέους ἱερὸν εἶναι καὶ τῆς τούτου γαμετῆς, ἣν ᾄδουσιν οἱ ποιηταὶ τῆς Ἥρας θυγατέρα. Οὐκοῦν ἐν τῷ τοῦ νεὼ περιβόλῳ τιθασοὺς ὄρνιθας τρέφεσθαι πολλούς φησι, καὶ τοῦτο δὲ εἶναι ἀλεκτρυόνας τε καὶ ἀλεκτορίδας τούσδε τοὺς ὄρνις. Νέμονται δὲ καὶ συναγελάζονταί σφισι κατὰ γένος, καὶ δημοσίας ἔχουσι τροφὰς, καὶ τῶν θεῶν ἀναθήματά εἰσι τῶν προειρημένων. Αἱ μὲν οὖν ἀλεκτορίδες ἐν τῷ τῆς Ἥβης (Ἥρας codd.) νέμονται νεῷ, οἱ δὲ ἐν Ἡρακλέους οἱ τῶνδε γαμέται. Ὀχετὸς δὲ ἄρα ἀεννάου τε καὶ καθαροῦ ὕδατος διαρρεῖ μέσος. Θῆλυς μὲν οὖν οὐδὲ εἷς εἰς Ἡρακλέους πάρεισιν, οἱ δὲ ἄρρενες, ὅταν ᾖ καιρὸς ὑποθόρνυσθαι, ὑπερπέτονται τὸν ὀχετόν· εἶτα ὁμιλήσαντες ταῖς θηλείαις ἐπανίασιν εἰς τὰ σφέτερα αὖθις περὶ τὸν θεὸν ᾧ λατρεύουσιν, καθηράμενοι τῷ διείργοντι τὰ γένη τῶν ὀρνίθων ὕδατι. Τίκτεται οὖν, οἷα εἰκὸς, πρῶτα ἐκ τῆς ὁμιλίας ᾠά· εἶτα ὅταν αὐτὰ θάλψωσι καὶ ἐκλέψωσι τοὺς νεοττοὺς αἱ μητέρες, τοὺς υἱεῖς οἱ ἄρρενες παρ' ἑαυτοὺς ἄγουσι καὶ ἐκτρέφουσιν, αἱ δὲ ὄρνις κἀκείναις ἐστιτρέφειν τὰς θυγατέρας.

Ἐν τῇ Εὐρώπῃ Διός]. « Depravata; ἐν τῆς ἐρώπ Διὸς Ἱεραχλέους ed. Gesn., qui in marg. conjecit ἐν τοῖς ἐρωτικοῖς Ἡρακλέους. ἐν τῇ ἐρω. m. ἐν τῇ Εὐρώπῃ διὸς ἱεραχλέους M., quod recepit Gronovius, qui ἐν τοῖς Εὐρώπης δευτέρῳ malit. » *Jacobs*. ἐν τοῖς Εὐρωπιακοῖς Reines. in Var. Lect. — Unger. in Theban. Parad. p. 428 conj. ἐν τῇ Εὐρώπῃ πεδίον Ἡρακλ. vel ἐν Εὐρώπης πεδίῳ vel ἐν τῆς Εὐρωπίας Δίῳ (Macedoniæ urbe). Fortasse Διὸς vox huc irrepsit ex sequentibus, ubi fuerit οἱ ποιηταὶ Διὸς καὶ Ἥρας θυγατέρα.

E LIBRO TERTIO.

12.

Athenæus VII, p. 296, B : Μνασέας δ' ἐν τρίτῳ τῶν Εὐρωπιακῶν Ἀνθηδόνος καὶ Ἀλκυόνης αὐτὸν (τὸν Γλαῦκον) γενεαλογεῖ. Ναυτικὸν δὲ αὐτὸν καὶ κολυμβητὴν ἀγαθὸν γενόμενον Πόντιον καλεῖσθαι· ἁρπάσαντα δὲ Σύμην, τὴν Ἰαλύσου καὶ Δωτίδος θυγατέρα, ἀποπλεῦσαι εἰς τὴν Ἀσίαν, καὶ τὴν ἐγγὺς τῆς Καρίας νῆσον ἔρημον κατοικίσαντα ἀπὸ τῆς γυναικὸς Σύμην αὐτὴν προσαγορεῦσαι. Cf. Müller. *Min.* p. 195.

---

vel quod sit perantiquus, ab Æthere originem ducens (nimirum Saturnos et Saturnios pervetustos appellari), vel quod, quum Jovis filius sit, ab avo illud nomen habeat, sicuti Achillem Æacidam vocant.

8.

Stymphalides dicuntur aves quæ circa lacum Stymphalidem degunt. Contra Mnaseas mirum in modum Stymphali cujusdam herois et Ornithis (*Avis*) mulieris filias esse Stymphalides, easque ab Hercule interfectas esse ait, quod ipsum non admisissent, sed Molionidas hospitio excepissent.

9.

In bello contra Augeam Hercules a Molionidis victus fugam arripuit, ac propterea succensens illis prope Cleonas insidias struxit, ut Mnaseas Patarensis (*Patrensis*) ait.

10.

Hylas Herculis amasius et filius Thiodamantis Dryope nati fuit, teste Mnasea.

11.

Mnaseas in Europa scribit esse templum quoddam Herculis et uxoris ejus, quam (*Jovis et*) Junonis filiam poetæ celebrant. In hujus templi consepto cicures aves multas nutriri ait, nempe gallos et gallinas. Compascuntur autem, et gregatim pro sui generis sexu degunt, et sumptu aluntur publico, diis quos diximus consecrati. Gallinæ in æde Hebes, gallinacei in Herculis pascuntur. Fluit autem in medio rivus perennis et limpidæ aquæ. Gallinarum igitur nulla ad Herculis templum accedit; at suo tempore mares stimulati libidine rivum transvolant, et postquam impleverint feminas, ad deum suum et suas redeunt sedes, lustrati purgatique interfluente rivo, quo sexus uterque dispescitur. Natis igitur, ut consentaneum est, ovis gallinæ incubant, pullosque excludunt; ac mares genitoribus, feminæ novellæ matribus accedunt et aluntur.

12.

Mnaseas tertio Europaicorum Glaucum Anthedonis et Alcyones filium fuisse ait : appellari autem Pontium (*marinum*) eo quod navigandi urinandique fuisset peritissimus;

13.

Stephan. Byz. : Ἐγγελᾶνες, ἔθνος Ἰλλυρίας, οἱ αὐτοὶ τοῖς Ἐγχελέαις, ὡς Μνασέας ἐν γ' τῶν Περιηγήσεων. Quum ex fragm. 12 colligas Mnaseam libro tertio, Bœotiæ περιήγησιν instituisse, Enchelensium mentio haud dubie pertinet ad historiam Cadmi et Harmoniæ. V. Apollodor. III, 5, 4, 1.

14.

Athenæus XII, p. 530, C : Οὐ μόνος δὲ ὁ Σαρδανάπαλλος διετέθρυπτο, ἀλλὰ καὶ Ἀνδρόκοττος ὁ Φρύξ. Καὶ γὰρ οὗτος ἐνεδύσατο ἀνθινὴν ἐσθῆτα καὶ γυναικὸς εὐπρεπέστερον ἐκοσμεῖτο, ὡς Μνασέας φησὶν ἐν τρίτῳ Εὐρώπης. Hæc fortasse attulit de Hercule Thebano loquens; quem apud Omphalen Sardanapalli (Herculis Sandonis) more vixisse narrabant (Lydus De Mag. III, 64 p. 262; Lucian. D. D. XIII, 2), cujusque festis sacerdos muliebri veste ornatus conspiciebatur (Plutarch. Qu. gr. 58. Müller. *Dor.* I, 450 sq.).

15

Idem IV, p. 158, C : Οἶδα δὲ καὶ τὴν Ὀδυσσέως τοῦ φρονιμωτάτου καὶ συνετωτάτου ἀδελφὴν Φακῆν καλουμένην, ἣν ἄλλοι τινὲς Καλλιστὼ ὀνομάζουσιν, ὡς ἱστορεῖν Μνασέαν τὸν Πατρέα ἐν τρίτῳ Εὐρωπιακῶν φησὶ Λυσίμαχος ἐν τρίτῳ Νόστων. Cf. Eustath. p. 1572, 52. Hæc quoque ad Bœotiæ periegesin revocare licet, siquidem in Bœotia natus Ulysses dicitur apud Istrum fr. 52.

16.

Fulgentius Exp. serm. ant. p. 168 : *Mnaseas III Europæ libro scripsit Apollinem postquam a Jove ictus et interfectus est, a vespillonibus ad sepulturam elatum esse.*

III Europæ libro] Leid. cod. *in Europæ libro.* Vett. edd. *in Cecrope libro.* Munck. Nescio num numeri signum in libris quibusdam Munckerus invenerit, an ipse eruerit e voce *in*, quam codd. præbent. Ex eodem libro tertio fluxisse puto sequentia.

17.

Photius Lex. : Πραξιδίκη· θεὸς ἧς κεφαλὴν μόνον ἱδρύοντο. Μνασέας δὲ ἐν τῷ Περὶ Εὐρώπης, Σωτῆρος καὶ τῆς ἀδελφῆς Πραξιδίκης γενέσθαι Κτήσιον υἱὸν, καὶ θυγατέρας Ὁμόνοιαν καὶ Ἀρετήν· ἃς ἀπὸ τῆς μητρὸς Πραξιδίκας κληθῆναι. Διονύσιος δὲ ἐν Κτίσεσιν Ὠγύγου θυγατέρας, Ἀλαλκομένειαν (Ἀλκομενίαν Phot.), Θελξίνειαν (Θελξινίαν Phot.), Αὐλίδα, ἃς ὕστερον Πραξιδίκας ὀνομασθῆναι. Eadem Suidas. Cf. Hesychius : Πραξιδίκη· δαίμονά τινά φασιν, τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις καὶ πραττομένοις. Διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι, καὶ τὰ θύματα ὁμοίως. Orpheus Hymn. in Proserp. 5 : Πραξιδίκη ἐρατοπλόκαμε, Δηοῦς θάλος ἁγνόν. Idem Argon. 30 : Ὄργια Πραξιδίκης καὶ ἀρείης νύκτας Ἀθήνης. De Praxidicis Haliarti v. Pausanias IX, 33, 2. 4. Cf. etiam Steph. Byz. v. Τρεμίλη; Meursius Regn. Athen. I, 9 p. 24; Müller. *Min.* p. 128.

18.

Schol. Eur. Phœn. 651 : Βρόμιον ἔνθα τέκετο μάτηρ Διὸς γάμοις, κισσὸς ὃν περιστεφὴς ἑλικτὸς εὐθὺς ἔτι βρέφος χλοηφόροισιν ἔρνεσιν κατασκίοισιν ὀλβίσας ἐνώτισεν, βάκχιον χόρευμα παρθένοισι Θηβαίαισι καὶ γυναιξὶν εὐίοις.] Ἱστορεῖ γὰρ Μνασέας, ὅτι τῶν Καδμείων βασιλείων κεραυνωθέντων, κισσὸς περὶ τοὺς κίονας φυεὶς ἐκάλυψεν αὐτὸν, μὴ αὐθημερὸν καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυφθέν. Διὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις.

Codex Guelph., omissis vv. ἱστορεῖ γὰρ Μνασέας, ita habet : Τῶν Κ. βασιλείων κερ., ἐξήμβλωσεν αὐ-

---

eundem rapta Syme Ialysi et Dotidis filia, in Asiam navigasse, insulamque desertam prope Cariam frequentasse, eamque ab uxoris nomine Symen vocasse.

13.

Enchelanes, gens Illyriæ, iidem cum Enchelensibus, ut Mnaseas ait tertio Periegeseos.

14.

Non unus Sardanapallus voluptatibus diffluxit, verum etiam Androcottus Phryx. Nam et hic floridam gestabat vestem, et quavis muliere venustius sese ornabat, ut ait Mnaseas libro tertio Europæ.

15.

Scio etiam Ulyssi prudentissimo intelligentissimoque sororem fuisse, cui Phace (*Lenticula*) fuerit nomen; quam nonnulli Callisto vocant, ut Mnaseam Patrensem tertio Europaicorum libro tradere ait Lysimachus in tertio Nostorum.

17.

Praxidice, dea, cujus caput solum consecrare solebant. Mnaseas autem in libris De Europa ait Soteris et sororis Praxidices filium fuisse Concordiam et Virtutem; easque de matre Praxidicas esse vocatas. Dionysius contra in Originibus perhibuit Ogygis filias, Alalcomeniam, Thelxiniam, Aulidem, quæ postea Praxidicæ vocatæ sint.

18.

Bacchum ubi peperit mater Jovis connubio, quem hedera circumdata flexuosa statim adhuc infantem virentibus frondibus umbrosis beans texit, bacchicis choreis celebrandam rem virginibus Thebanis et mulieribus Evïis] Narrat enim Mnaseas, dum Cadmea regia Jovis fulmine incensa flagraret, [Semelen abortu Bacchum enixam esse,] hederamque columnis se circumvolventem texisse infantem, ne quidquam flammis læderetur. Quare etiam περικιόνιος Bacchus a Thebanis appellatus est.

τὸν ἡ μήτηρ καταφλεχθεῖσα, κισσὸς δὲ περὶ τοὺς κίονας φὺς ἔτι βρέφος ὄντα κατὰ τοῦ νώτου περιείλιξεν, ὅπως μὴ κτλ.

E LIBRO OCTAVO.

19.

Schol. Il. O, 336 : Ὁμοίως τῷ ποιητῇ καὶ Ἑλλάνικος τὴν Ἐριώπην μητέρα Αἴαντός (Ajacis Locri, Oilei f.) φησι. Φερεκύδης δὲ ἐν εω (i. e. ἐν πέμπτῳ) καὶ Μνασέας ἐν η' Ἀλκιμάχην· ὁ δὲ τῶν Ναυπακτικῶν ποιητὴς διώνυμον αὐτήν φησι· « Τὴν δὲ μεθ' ὁπλοτάτην Ἐριώπην ἐξονόμαζεν, Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν. »

E LIBRIS INCERTIS.

20.

Stephan. Byz. v. Δωδώνη Δίτταὶ δ' εἰσὶ Δωδῶναι, αὕτη καὶ ἡ ἐν Ἰταλίᾳ, καθάπερ ἄλλοι καὶ Μνασέας. Italica Dodona aliunde non nota. « Fortassis incidit noster in depravatum Mnaseæ codicem, in quo pro *Bobonia* sive *Bononia*, *Dodone* vel *Dodonia*, vel simile mendum obrepserat. » Berkelius.

21.

Stephan. Byz. : Δώτιον, πόλις Θεσσαλίας, ὅπου μετῴκησαν οἱ Κνίδιοι, ὧν ἡ χώρα Κνιδία.. Ἐκλήθη δὲ ἀπὸ Δωτίας τῆς Ἐλάτου. Φερεκύδης δὲ ἀπὸ Δώτιος τοῦ Ἀστερίου καὶ Ἀμφικτυόνης τῆς Φθίου· ὡς δὲ Ἀρχῖνος, ἀπὸ Δώτου τοῦ Νεώνου τοῦ Ἕλληνος· Μνασέας δὲ ἀπὸ Δώτου τοῦ Πελασγοῦ. Cf. Müller. *Min.* p. 192.

22.

Stephan. Byz. : Ἄκανθος, πόλις Θρᾴκης ἀκάνθαις πεφραγμένη ὑπὲρ τὸν Ἄθω, ὅθεν κέκληται, ἢ ἀπό τινος Ἀκάνθου, ὡς Μνασέας.

23.

Photius Lex. : Ζάμολξις... Μνασέας δὲ παρὰ Γέταις τὸν Κρόνον (χρόνον Et. M.) τιμᾶσθαι καὶ καλεῖσθαι Ζάμολξιν.

24.

Schol. Apoll. Rh. II, 675 : Μνασέας δέ φησι νῦν τοὺς Ὑπερβορείους Δελφοὺς λέγεσθαι.

25.

Schol. Odyss. XVIII, 86 : Ἔχετος ἦν μὲν υἱὸς Βουχέτου, ἀφ' οὗ καὶ ἐν Σικελίᾳ πόλις Βούχετος καλεῖται. Σικελῶν δὲ τύραννος λέγεται. Τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν λωβώμενον· τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας, ὅτε θέλοιεν σφόδρα τινὰ τιμωρῆσαι καὶ ξένῳ παριβαλεῖν θανάτῳ, ἐκπέμπειν αὐτῷ· πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον κακίας· ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. Ἡ ἱστορία παρὰ Μνασέᾳ καὶ Μαρσύᾳ. Cf. not. ad fr. 10 Marsyæ Philippensis. Pro Μνασέα καὶ Μαρσύᾳ, olim fuerit M. ἢ M.; male exaratum nomen dubitationem movit scribæ.

25 a.

Schol. in Hom. Il. B, 671 ap. Cramer. Anecd. I, p. 277 : Ἀπὸ μιᾶς αἱ πᾶσαι [Μοῦσαι] λέγονται. Μνασέας δέ φησιν, ὅτι αἱ πᾶσαι τρεῖς εἰσίν· Μοῦσα, Θεά, Ὑμνώ. Ἐν μὲν οὖν Ἰλιάδι μεμνῆσθαι τῆς Θεᾶς· « Μῆνιν ἄειδε Θεά » · ἐν δὲ Ὀδυσσείᾳ τῆς Μούσας· « Ἄνδρα μοι ἔννεπε Μοῦσα » · ἐν δὲ τῇ Παλαμηδείᾳ τῆς Ὑμνοῦς.

19.

Cum Homero consentiens Hellanicus quoque Eriopen matrem Ajacis dicit. Pherecydes vero libro quinto et Mnaseas octavo Alcimachen ponunt.

20.

Duæ sunt Dodonæ, Epirotica hæc atque alia in Italia, uti tum alii tum Mnaseas testantur.

21.

Dotium urbs Thessaliæ, quo commigrarunt Cnidii, quorum regio Cnidia. Denominata est a Dotia Elati filia; secundum Pherecydem vero a Dotide, Asterii et Amphictyones, quæ ex Phthio nata est; secundum Archinum a Doto Neoni filio, Hellenis nepote; secundum Mnaseam, a Doto Pelasgi filio.

22.

Acanthus, urbs Thraciæ, super Athonem sita, spinisque circumsepta, unde etiam nomen habet, vel ab Acantho quodam, ut Mnaseas tradit.

23.

Mnaseas apud Getas Saturnum coli ac Zamolxin vocari.

24.

Mnaseas Hyperboreos nunc Delphos vocari ait.

25.

Echetus filius erat Bucheti, a quo Sicula urbs Buchetus nomen habet. Nimirum Siculorum tyrannus fuisse dicitur. Hunc aiunt indigenas omni modo vexasse, peregrinos autem contumeliosis suppliciis affecisse, tantamque ejus pravitatem fuisse, ut etiam longe remoti a Sicilia, si quem eximio modo punire et exquisito supplicii genere necare vellent, ad Echetum mitterent, ut qui multa sævitiæ instrumenta excogitasset. Quare populum sævæ tyrannidis impatientem lapidibus eum obruisse. Historia legitur apud Mnaseam et Marsyam.

(25 a

Ab una Musa omnes nominantur Musæ. Mnaseas dicit tres esse, quorum nomina, Musa, Thea, Hymno. In Iliade Homerum meminisse Theas, verbis : Μῆνιν ἄειδε, Θεά : in Odyssea vero Musæ : ἄνδρα μοι ἔννεπε, Μοῦσα ; in Palamedea autem Hymnûs.

Non concinit cum his Arnobius Adv. gent. III, 16 p. 121 : *Musas Mnaseas auctor est filias esse Telluris et Cœli... Ephorus has igitur numero esse tres effert, Mnaseas quem diximus quattuor, Myrsilus inducit septem, octo asseverat Crates.*

25 b.

Ammonius : Νηρεΐδες τῶν τοῦ Νηρέως θυγατέρων διαφέρει, Δίδυμος ἐν Ὑπομνήματι Βακχυλίδου ἐπινικίων. Φησὶ γὰρ κατὰ λέξιν· « Εἰσὶ τοίνυν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων· καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων ἤδη κοινότερον Νηρεΐδας καλεῖσθαι· καὶ τὰς μὴ γνησίας καὶ τὸν ἀριθμὸν [ν' εἶναι τὸν ἀρ. correx. Vulcanius), πλείους δὲ τὰς ἄλλας. Ταῦτά φησι Μνασέας ἐν τοῖς Περὶ τῆς Εὐρώπης τὸν τρόπον τοῦτον. »

β'. ΑΣΙΑ.

E LIBRO PRIMO.

26.

Schol. Apoll. Rhod. I, 1129 : Ὡς δὲ Μνασέας ἐν πρώτῳ Περὶ Ἀσίας, Ἰδαῖοι Δάκτυλοι λέγονται ἀπὸ τοῦ πατρὸς Δακτύλου καὶ τῆς μητρὸς Ἴδης. Cf. Welcker. *Trilog.* p. 179 not.

27.

Schol. Apoll. Rhod. I, 917 : Μυοῦνται δὲ ἐν τῇ Σαμοθρᾴκῃ τοῖς Καβείροις, ὧν Μνασέας φησὶ καὶ τὰ ὀνόματα. Τέσσαρες δ' εἰσὶ τὸν ἀριθμόν· Ἀξίερος, Ἀξιόκερσα, Ἀξιόκερσος. Ἀξίερος μὲν οὖν ἐστιν ἡ Δημήτηρ, Ἀξιόκερσα δὲ ἡ Περσεφόνη, Ἀξιόκερσος δὲ ὁ Ἅδης· ὁ δὲ προστιθέμενος τέταρτος, Κάσμιλος, ὁ Ἑρμῆς ἐστιν, ὡς ἱστορεῖ Διονυσόδωρος.

Codex Parisinus : Τοὺς δὲ μυοῦντας ἐν Σαμοθρᾴκῃ Καβείρους εἶναί φησι Μνασέας τρεῖς ὄντας τὸν ἀριθμὸν, Ἀξίερον, etc... Ἅδην. Οἱ δὲ προστιθέασι καὶ τέταρτον, Κάσμιλον. Ἔστι δὲ οὗτος ὁ Ἑρμῆς, ὡς ἱστορεῖ Διονυσόδωρος. De re vid. Welcker. *Trilog.* p. 236. 241. Müller. *Min.* p. 455. Movers. *Phœniz.* p. 23.

28.

Stephan. Byz. : Δάρδανος, πόλις Τρωάδος, ἡ πρότερον Τευκρίς. Μνασέας δέ φησιν, ὅτι Δάρδανος ἐξιὼν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τὸ Παλλάδιον ἀράμενος ἀφίκετο εἰς Σαμοθρᾴκην μετὰ Ἁρμονίας καὶ Ἰασίωνος, τῶν ἀδελφῶν· κἀκεῖ διάγοντα Κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο· καὶ ἀποθανούσης Τηλεψάης (l. Τηλεφάσσης) γαμεῖ τὴν Ἁρμονίαν ὁ Κάδμος καὶ ἀποστέλλει τὸν Δάρδανον εἰς τὴν Ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς Τεῦκρον τὸν Τρῶα· ὁ δὲ Τρὼς ἀναγνωρίσας τὸν Δάρδανον δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν καὶ ἀποθνήσκων τὴν βασιλείαν. Καὶ πόλιν ᾤκισε Δάρδανον, καὶ Δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο.

29.

Schol. Il. T, 291 : Κατὰ Μνασέαν Βρισέως υἱὸς ἦν Ἠετίων. Brises, Pedasi et Lyrnessi rex et sacerdos. Homer. Il. A, 392; I, 132, 274.

30.

Schol. Il. Υ, 234 : Μνασέας δέ φησιν ὑπὸ Ταντάλου ἡρπάσθαι (Γανυμήδην) καὶ ἐν κυνηγεσίῳ ἀναιρεθῆναι· πεσόντα ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ κατὰ τὸ ἱερὸν τοῦ Ὀλυμπίου Διός. Cf. Dosiadis fr. 3 a.

31.

Schol. Theocrit. XIII, 75 : Μνασέας δὲ Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος.

(25 b.)

Nereides a filiabus Nerei differunt. Didymus in Commentario ad Bacchylidis Epinicia sic ait verbotenus : « Sunt qui differre dicant Nereidas a Nerei filiabus. Et has quidem e Doride susceptas legitimas ejus filias haberi, illas vero ex aliis mulieribus natas vulgo Nereidas appellari; easque illegitimas numero esse quinquaginta, illarum autem majorem esse numerum. Hunc in modum de his Mnaseas in libris De Europa tradit. »

ASIA.

26.

Mnaseas libro primo De Asia Idæos Dactylos a Dactylo patre et ab Ida matre nominari tradit.

27.

Initiantur in Samothracia sacris Cabirorum, quorum nomina Mnaseas apponit. Quattuor (*tres*) numero sunt : Axieros, Axiocersa, Axiocersus; ex quibus Axierus est Ceres, Axiocersa vero Persephone, Axiocersus autem Pluton. Qui his additur quartus, Casmilus, Mercurius est, ut Dionysodorus tradit.

28.

Dardanus, Troadis urbs, quæ prius Teucris. Mnaseas narrat Dardanum e templo Minervæ egredientem Palladium abstulisse, et in Samothraciam cum Harmonia et Iasione fratre pervenisse. Cum eo ibi degente Cadmus Agenoris filius amicitiam junxit, et mortua Telephassa Harmoniam in uxorem duxit, et Dardanum cum suis sociis contra Teucrum Trojanum in Asiam misit. Verum Tros Dardanum agnoscens, dedit ei uxorem filiam suam Bateam et moriens regnum. Ille vero urbem condidit Dardanum, et Dardaniam regionem appellavit, quæ prius Teucris vocabatur.

29.

Secundum Mnaseam Brisei filius erat Eetion.

30.

Mnaseas dicit a Tantalo raptum Ganymedem et in venatione occisum esse. Sepultum vero in Olympo Mysiæ monte ad templum Jovis Olympii.

31.

Mnaseas Colchos a Colcho Phasidis filio nominatos esse dicit.

32.

E LIBRO SECUNDO.

Athenæus VIII, p. 346, D : Μνασέας δὲ ἐν δευτέρῳ Περὶ Ἀσίας φησὶν οὕτως· « Ἐμοὶ μὲν ἡ Ἀτεργάτις δοκεῖ χαλεπὴ βασίλισσα γεγονέναι, καὶ τῶν λαῶν σκληρῶς ἐπεστατηκέναι, ὥστε καὶ ἀπονομίσαι αὐτοῖς ἰχθὺν μὴ ἐσθίειν, ἀλλὰ πρὸς αὐτὴν ἀναφέρειν, διὰ τὸ ἀρέσαι αὐτῇ τὸ βρῶμα. Καὶ διὰ τόδε νόμιμον ἔτι διαμένειν, ἐπὰν εὔξωνται τῇ θεῷ, ἰχθῦς ἀργυροῦς ἢ χρυσοῦς ἀνατιθέναι· τοὺς δὲ ἱερεῖς πᾶσαν ἡμέραν τῇ θεῷ ἀληθινοὺς ἰχθῦς ἐπὶ τὴν τράπεζαν ὀψοποιησαμένους παρατιθέναι, ἐφθούς τε ὁμοίως καὶ ὀπτούς, οὓς δὴ αὐτοὶ καταναλίσκουσιν οἱ τῆς θεοῦ ἱερεῖς. » Καὶ μικρὸν προελθὼν πάλιν φησίν· « Ἡ δέ γε Ἀτεργάτις, ὥσπερ Ξάνθος λέγει ὁ Λυδὸς, ὑπὸ Μόψου (l. Μόξου) τοῦ Λυδοῦ ἁλοῦσα κατεποντίσθη μετὰ Ἰχθύος τοῦ υἱοῦ ἐν τῇ περὶ Ἀσκάλωνα λίμνῃ διὰ τὴν ὕβριν, καὶ ὑπὸ τῶν ἰχθύων κατεβρώθη. » Cf. Nicolai Dam. fr. 25, et quæ proxime antecedunt ap. Athenæum ex Antipatri Tarsensis Stoici libro quarto Περὶ δεισιδαιμονίας, quod testimonium probabiliter ab ipso Mnasea erat appositum.

33.

Idem VII, p. 301, D : Μνασέας δ' ὁ Πατρεύς φησιν· « Ἰχθύος δὲ γίνεται καὶ Ἡσυχίας τῆς ἀδελφῆς Γαλήνη καὶ Μύραινα καὶ Ἠλακατῆνες. »

34

Josephus C. Apion. I, 23, Mnaseam inter scriptores recenset, qui de Judæis aliqua tradiderint. Idem in Ant. Jud. I, 3, 6, postquam de diluvio et de arca quædam e Beroso apposuit, subjicit : Μέμνηται δὲ τούτων καὶ Ἱερώνυμος ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος, καὶ Μνασέας δὲ καὶ ἄλλοι πλείους.

35.

Schol. Luc. Dial. deor. 23, p. 61 ed. Jacobitz. : Μνασέας δὲ ὁ Παταρεὺς ἑρμαφρόδιτον τὸν Πρίαπον λέγει. Idem repetitur in schol. ad Jov. trag. c 6.

36.

Harpocratio : Σαβοί· Δημοσθένης Ὑπὲρ Κτησιφῶντος (§ 260). Οἱ μὲν Σαβοὺς λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι τῷ Διονύσῳ, καθάπερ τοὺς τῷ Βάκχῳ Βάκχους. Τὸν δὲ αὐτὸν εἶναι Σαβάζιον καὶ Διόνυσόν φασιν ἄλλοι τε καὶ Ἀμφίθεος β' Περὶ Ἡρακλείας. Οὕτω δέ φασι καὶ τούς Ἕλληνάς τινες (τῶν Ἑλλήνων τινὰς Suid.) τοὺς Βάκχους Σαβοὺς καλεῖν. Μνασέας δὲ ὁ Πατρεὺς υἱόν εἶναί φησι τοῦ Διονύσου Σαβάζιον.

Eadem Suidas et Photius, missa Amphithei (i. e. Nymphidis) mentione; Etym. M. Pro Μνασέας, tres Harpocr. libri Μνασίας; pro Πατρεὺς unus liber Παταρεύς.

37.

Plutarchus De Is. et Os. c. 37 : Ἐῶ δὲ Μνασέαν τῷ Ἐπάφῳ προστιθέντα τὸν Διόνυσον καὶ τὸν Ὄσιριν καὶ τὸν Σάραπιν.

γ'. ΛΙΒΥΗ.

38.

Parœmiogr. Append. III, 91, p. 433 ed. Leutsch.: Μὴ ἔνι δούλων πόλις· πόλις ἐστὶν ἐν Λιβύῃ Δούλων πόλις καλουμένη, ὡς Μνασέας ἱστορεῖ ὁ Πατρεὺς (Παταρεὺς cod. Vat.) ** καὶ τὸν εἰς ἐλευθερίαν * ἀναβοῶντα λέγειν·

Οὐκ ἔστι δούλων οὐδ' ἐλευθέρων πόλις

** ἐν ᾗ μόνος ἐλεύθερός ἐστιν ὁ τῆς Ἀρτέμιδος ἱερεύς. « Lacunosam esse nostram explicationem nemo,

32.

Mnaseas secundo libro De Asia ita scribit : « Mihi quidem videtur Atergatis dura fuisse regina, et inclementer imperasse populis; ut quæ etiam piscibus eos vesci vetuerit, sed ad se perferri captos jusserit, quum cibo eo delectaretur. Atque inde etiam nunc morem servari ait, ut quum vota faciunt deæ, argenteos aureosve pisces ei consecrent : utque sacerdotes quotidie veros pisces deæ paratos apponant, elixos pariter assosque; quos nempe ipsi deinde consumunt deæ sacerdotes. » Dein, paucis interjectis, sic pergit scribere Mnaseas : « Ipsa quidem Atergatis, ut Xanthus tradit Lydius, a Moxo Lydo capta cum Ichthye filio, in lacu qui est prope Ascalonem demersa est ob contumeliosa injustaque facinora, et a piscibus vorata. »

33.

Mnaseas Patrensis ait : « Ex Ichthye (*Pisce*) ejusque sorore Hesychia (*Quiete*) gignuntur Galene et Muræna et Elacatenes.

35.

Mnaseas Patrensis Priapum esse hermaphroditum dicit.

36.

Sabi. Demosthenes in Oratione pro Ctesiphonte. Nonnulli Sabos aiunt vocari eos, qui sacris Sabazii sive Bacchi initientur; quemadmodum Bacchos, qui Bacchi sacris initiati sint. Sabazium autem et Bacchum eundem esse tum alii tum Amphitheus (?) secundo De Heraclea tradunt. Sic etiam a Græcorum nonnullis Bacchos vocari Sabos. Mnaseas autem Patrensis Sabazium ait esse Bacchi filium.

37.

Mitto Mnaseam qui cum Epapho componit Bacchum et Osirin et Sarapin.

LIBYA.

38.

In Libya urbs est, quæ Servorum urbs vocatur, ut Mnaseas Patrensis dicit.

opinor, infitiabitur, si cum nostro loco contulerit Stephan. Byz. v. Δούλων πόλις, Suidam s. v., Apostolium VII, 37, Arsen. 184. Itaque post Πατρεὺς excidisse putaverim id, quod sic legitur in Stephano (Hecat. fr. 318) : καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίγνεται, κἂν ξένος ᾖ : tum ante ἐν ᾗ κτλ. ex eodem Stephano inserenda : ἔστι καὶ ἑτέρα ἱεροδούλων. Denique moneo ante v. ἀναβοῶντα inserendam videri v. ἀφελόμενον vel simile quid. » Leutsch. Cf. Ephor. fr. 96, Theopomp. fr. 122.

39.

Schol. Apoll. Rh. II, 498 : Μνασέας δέ φησι κατ' ἰδίαν αὐτὴν (sc. τὴν Κυρήνην) προαίρεσιν ἐς Λιβύην ἐληλυθέναι, οὐκ ἀπ' Ἀπόλλωνος διαχθεῖσαν.

40.

Hesychius : Βαρκαίοις ὄχοις· Λιβυκοῖς. Οὗτοι γὰρ ἐσπούδαζον περὶ ἱπποτροφίαν. Φασὶ δὲ αὐτοὺς καὶ πρώτους ἅρμα ζεῦξαι διδαχθέντας ὑπὸ Ποσειδῶνος· τὸ δὲ ἡνιοχεῖν ὑπὸ Ἀθηνᾶς, ὡς Μνασέας ἐν τοῖς Περὶ Λιβύης. Cf. schol. ad Sophocl. Electr. 729.

41.

Plinius H. N. VII, 2, 11 : *Mnaseas Africæ locum Sicyonem appellat, et Crathin amnem in Oceanum effluentem e lacu, in quo aves, quas Meleagridas et Penelopas vocat : et vere ibi nasci* (electrum), *ratione eadem, qua supra dictum est de Electride lacu.*

42.

Hyginus Fab. astr. II, 21 p. 395 Munck. : *Pleiades autem appellatæ sunt, ut ait Mnaseas, quod ex Atlante et Pleione Oceani filia sint quindecim filiæ procreatæ, quarum quinque Hyadas appellatas demonstrat, quod earum Hyas fuerit frater a sororibus plurimum dilectus : qui quum venans a leone esset interfectus, quinque, de quibus supra diximus, lamentationibus assiduis permotæ dicuntur interiisse : quare eas, quod plurimum de ejus morte laborarent, Hyadas appellatas. Reliquas vero decem sorores deliberasse de sororum morte, et earum septem sibi mortem conscisse : quare quod plures idem senserunt, Pleiadas dictas.* Cf. Timæus fr. 25, qui proxime ad Mnaseæ narrationem accedit.

Mnaseas] in Veneta aliisque antiq. edd. *Musæus*. Fortasse *Mnaseas* pro *Musæus* reponendum erat etiam cap. XIII, ubi : *Musæus* (al. *Mnaseas* Munck.) *autem dicit Jovem nutritum a Themide et Amalthea nympha, quibus eum mater Ops tradidisse existimatur. Amaltheam autem habuisse capram quandam in deliciis, quæ Jovem dicitur aluisse.* Quæ quidem Mnaseæ ingenio optime conveniunt.

INCERTÆ SEDIS.

43.

Photius Lex. : Π ύ θ ο υ χ ε λ ι δ ό ν ο ς· παροιμία ἀπό τινος Χελιδόνος θεολόγου ἀνδρὸς καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ· οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον· οἱ δ' ὅτι τὸ ἔαρ προσημαίνει. Eadem Suidas, Apostol. XVII, 2, Arsen. p. 416. Hesych. De posteriore proverbii explicatione vide quæ laudat Leutsch. in Parœmiogr. I, p. 448, de altera idem ib. : « Chelidonem χρησμολογόν τινα τῶν πάλαι nominat Suidas v. Χελιδόνας : adde Herodian. Π. μον. λέξ. p. 9, 6: χελιδών... εἴτε τὸ ὄρνεον εἴτε ὁ περὶ τελευτῶντος γράψας, ubi τελετῶν corrigit Lobeckius Aglaoph. II, p. 1352 : idem ibid. I, p. 304 vatem e falsa proverbii nostri explicatione natum esse conjecit. » Verba οἱ δὲ ὅτι θρ. τὸ ζῷον om. Suidas.

44.

Bekker. Anecd. p. 783, 15 : Στησίχορος ἐν δευτέρῳ Ὀρεστείας τὸν Παλαμήδην φησὶν εὑρηκέναι (τὰ γράμματα), Μνασέας δὲ Ἑρμῆν, ἄλλοι δὲ ἄλλον. Πιθανὸν δὲ κατὰ τόπον εὑρετὰς γεγενῆσθαι, διὸ καὶ ἄλλοι παρ' ἄλλοις εἰσὶ χαρακτῆρες τῶν στοιχείων.

Eadem ibid. p. 786 ita : Στησ. Παλαμήδην εὑρετὴν αὐτῶν ποιεῖται, ᾧ συμφωνεῖ Εὐριπίδης· Μνασέας δὲ κατὰ πάντα τόπον εὑρετὰς γεγενῆσθαι τῶν στοιχείων.

39. Mnaseas dicit Cyrenen suo consilio in Libyam profectam, non vero ab Apolline eo transportatam esse.

40.

Barcæis curribus, i. e. Libycis. Hi enim equis alendis eximiam navabant operam. Eosque a Neptuno doctos primos equos curribus junxisse, regere autem currus a Minerva edoctos esse testatur Mnaseas in libris De Libya.

43.

Percontare Chelidonem. Proverbium ductum a quodam Chelidone, theologo et ostentorum interprete, qui de deorum initiis disseruerat, ut Mnaseas Patrensis in Periplo tradit.

44.

Stesichorus in secundo Oresteæ Palamedem literarum inventorem dicit, Mnaseas Mercurium, alii alios; ac probabile est plurimis locis earum inventores fuisse, quare etiam apud alios alia sunt signa literarum.

45.

Herodian. p. 13, 25 ed. Df.: Ἴουρα· μέμνηται Μνασέας.

ΔΕΛΦΙΚΩΝ ΧΡΗΣΜΩΝ ΣΥΝΑΓΩΓΗ.

46.

Schol. Hesiod. Theog. 117: Μνασέας ὁ Πατρεὺς (Παταρεὺς cod.) ἐν τῇ τῶν Δελφικῶν χρησμῶν συναγωγῇ Εὐρυστέρνας ἱερόν φησιν ἀναστῆσαι.

47.

Schol. Pindar. Ol. II, 70: Ἐν δὲ τοῖς Παιᾶσιν (Πινδάρου) εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ Περὶ χρησμῶν γράφει·

Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων·

« Aliud hoc carmen ac vulgatum, cujus initium: Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς. » *Bœckh.*

Ex eodem Mnasea fluxisse videtur oraculum Cadmo sororem frustra investiganti datum, quod servavit schol. Eurip. Phœniss. 608 (unde migravit in schol. Ald. Aristoph. Ran. 1225; cf. Tzetz. Exeg. in Il. p. 16, Chil. V, 819. X, 454. XII, 112):

Φράζεο δή μοι μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε·
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν,
ἠθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί,
τὴν διά τε Φλεγύων καὶ Φωκίδος, ἔστ' ἂν ἵκηαι
βουκόλον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος.
Ἐνθάδε προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον
τήν, ἥ κεν νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
λευκὸν σῆμ' ἑκάτερθε περίτροχον ἠΰτε μήνης·
τήνδε σὺ ἡγεμόνα σχὲ περιτρίπτοιο κελεύθου.
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς οὐδέ σε λήσει·
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
ἕζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς, γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.
Καὶ σύ γ' ἐπ' ἀνθρώπους ὀνομάκλυτος ἔσσεαι αὖθις
ἀθανάτων λεχέων ἀντήσας, ὄλβιε Κάδμε.

Cf. Ungerus in Thebanis Paradoxis p. 2 sq.

48.

Eurip. Phœniss. 410: Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα. — Ποῖον; — Κάπρῳ λέοντί θ' ἁρμόσαι παίδων γάμους.] Ad hæc scholiasta: Ὁ χρησμὸς ὑπὸ Μνασέου οὕτως ἀναγέγραπται·

Κουράων δὲ γάμους ζεῦξον κάπρῳ ἠδὲ λέοντι,
οὕς κεν ἴδῃς προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο
ἁμοῦ στείχοντας, μηδὲ φρεσὶ σῇσι πλανηθῇς.

Καὶ οἱ μὲν λέγουσιν, ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλλεν Ἄδραστος· ὁ μὲν γὰρ εἶχε Καλυδώνιον σῦν, ὁ δὲ τὴν λεοντοπρόσωπον Σφίγγα· οἱ δ', ὡς χρύους γενομένου ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερόν, καὶ δορὰς εὑρόντες λέοντος καὶ συός, ἀναθήματα κυνηγετῶν, ἐφιλονείκησάν τε καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ τῶν γάμων ἔτυχον· ἀπείκασε γὰρ τὸν μὲν λέοντι, τὸν δὲ Τυδέα κάπρῳ, ὃς ἔγημε Δηϊπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν. — Δύο δέρματα ἔκειντο εἰς τὰ οἰκήματα τοῦ Ἀδράστου εἰς ἀνάπαυσιν τῶν ξένων, τὸ μὲν ἓν λέοντος, τὸ δὲ ἕτερον κάπρου. Καὶ ἐλθόντες εἰς τὰ προλεχθέντα οἰκήματα τοῦ Ἀδράστου ὁ Τυδεύς τε καὶ Πολυνείκης φιλονεικίαν ἐποιήσαντο ἄμφω, ἵνα αὐτὰ ἐπάρωσιν. Τοῦτο δὲ νοήσας ὁ Ἄδραστος κατὰ τὸν χρησμὸν ἔδωκε τὰς αὐτοῦ θυγατέρας τοῖς δυσὶ τούτοις.

Ἐφιλονείκησαν κτλ.] Pro his cod. Barocc. habet ita: Τυδεὺς μὲν τὴν κάπρου, Πολυνείκης δὲ τὴν λέοντος εἰληφότες ἐνεδύθησαν. Καὶ εἰς Ἄργος ἔπειτ' ἐλθόντες τοῦ κήδους τοῦ Ἀδράστου ἔτυχον.

49.

Zenobius V, 74: Πᾶσα γῆ πατρίς. Τοῦτο μέρος ἐστὶ χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Μελεῷ τῷ Πελασγῷ περὶ οἰκήσεως μαντευομένῳ. Μέμνηται τοῦ χρησμοῦ καὶ Μνασέας καὶ Διονύσιος ὁ Χαλκιδεύς (fr. 5).

Μελεῷ] « Servavi codd. scripturam, quum in Lutatio forma Μέλεος videatur exstare; a Pausania, aliis Μάλεος, Μάλης homo nominatur. V. O. Müllerus Etrusc. I, p. 83; II, p. 208. coll. G. Hermanno De Græca Minerva dissert. p. 6. » Leutsch.

50.

Suidas et Photius v. Ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι. Vide Ionis fragm. 12.

45.

Iura; hujus nominis Mnaseas meminit.

ORACULORUM DELPHICORUM COLLECTIO.

46.

Mnaseas Patrensis in Delphicorum oraculorum collectione Eurysternas fanum dicit condidisse.

47.

In Pæanibus Pindari exponitur De oraculo Laio dato, sicuti Mnaseas quoque in libro De oraculis scribit:

Lai, Labdacida, virorum celeberrime cunctorum.

48.

Oraculum Adrasto datum a Mnasea consignatum est hunc in modum:

Filiarum nuptias junge apro et leoni,
quos videbis ad vestibula domus tuæ e fano
meo venientes, neque animo tuo fallaris.

49.

Omnis terra patria] Particula est oraculi, quod deus Meleo Pelasgo de sede figenda interroganti dedit. Meminit ejus oraculi Mnaseas et Dionysius Chalcidensis.

Nescio an Mnaseæ nomen corruptum sit ap. Plutarch. De Pyth. orac. c. 19, ubi Ἀλυρίου (Μνασίου?) τοίνυν καὶ Ἡροδότου καὶ Φιλοχόρου καὶ Ἴστρου, τῶν μάλιστα τὰς ἐμμέτρους μαντείας φιλοτιμηθέντων συναγαγεῖν, ἄνευ μέτρου χρησμοὺς γεγραφότων, Θεόπομπος κτλ. (v. Philochor. fr. 195). De Alyrio nihil constat. — Porro ap. Plutarch. Qu. Gr. c. 19, ubi quæritur de Pythiæ versibus :

Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις,
οὐδ' ἱερὰν Ὑπέραν, ὅθι γ' ἄτρυγον οἶνον ἔπινες,

postquam Aristotelis narratio apposita, pergitur : Ὁ δὲ Μνασιγείτων φησὶν, Ὑπέρητος ἀδελφὸν ὄντα τὸν Ἄνθον ἔτι νήπιον ἀπολέσθαι, καὶ τὸν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανώμενον εἰς Φερὰς πρὸς Ἄκαστον (ἢ Ἄδραστον) ἐλθεῖν ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος. Ὡς οὖν εἱστιῶντο, τὸν παῖδα προσφέροντα τῷ ἀδελφῷ τὸ ποτήριον, ἐπιγνῶναι, καὶ εἰπεῖν πρὸς αὐτὸν ἡσυχῇ· Πῖν' οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις. Hic quoque Mnaseæ nomen corruptum esse possit videri. Sed impedit Plinii locus (VII, s. 56) ubi : *Quadriremem Aristoteles Carthaginienses, quinqueremem Mnesigiton Salaminios* (primos fecisse dicunt).. *ab ea ad decemremem Mnesigiton Alexandrum Magnum ferunt instituisse.*

Schol. Theocrit. XIII, 46 laudatur Ὄνατος ἐν τοῖς Ἀμαζονικοῖς, de Hyla, quippe qui non a nymphis tractus, sed pede lapsus in fontem inciderit. Eandem rem narrat schol. Apoll. Rh. I, 1236 et 1207, ubi citatur Ὄνασος ἐν πρώτῳ Ἀμαζονίδων (scr. Ἀμαζονικῶν, cf. Welck. *Cycl.* p. 320). Onasus quum aliunde non notus sit, Reinesius (v. Westermann. ad Voss. p. 420, n. 42) corrigendum putavit Μνασέας ἐν α' Ἀμ. Quod in medio relinquo. Si quid mutandum, reponi malim Διονύσιος (sc. Mytilenæus. Apud utrumque scholiasten ante Ὄνασος legitur verbum γενέσθαι. Scriptum in cod. dixeris : γενέσθ. ΔΙΟΝΥΣΟΣ). Idem Reinesius l. l. nomen Mnaseæ restituendum censet ap. schol. Apollon. Rh. IV, 264, ubi Κνωσσὸς in primo Γεωγραφικῶν τῆς Ἀσίας Ægyptios omnium antiquissimos dixisse traditur. Verum nemo unquam Periplum Mnaseæ Γεωγραφικὰ nominavit, nec nominare recte potuit. Deinde autem ex fragmentis liquet Mnaseam libro primo Ἀσίας egisse de septemtrionali Asiæ minoris parte, secundo libro de Syria; ita ut tertio demum libro ad Ægyptum pervenisse videatur. Fortasse apud schol. Apoll. nomen scriptoris ex Cnoso Cretæ urbe oriundi excidit. Quodsi vero corruptum est illud Κνωσσὸς, reposuerim Εὔδοξος.

SATYRUS.

Satyrus *peripateticus* (fr. 2. 4.) scripsit *Vitas virorum illustrium,* tum philosophorum, oratorum, poetarum, tum vero etiam regum et imperatorum. Certe Vita Philippi bis laudatur verbis disertis (fr. 3. 4). Quare ex iis quæ de Alcibiade et Dionysio jun. traduntur, colligo horum quoque virorum, et aliorum haud dubie, vitas a Satyro perscriptas esse. Cf. Hieronymus in præf. libri De vir. illustribus : *Quod Tranquillus in enumerandis gentilium literarum viris fecit illustribus, id ego in nostris faciam... Fecerunt quidem hoc idem apud Græcos Hermippus peripateticus, Antigonus Carystius, Satyrus, doctus vir, et longe omnium doctissimus Aristoxenus musicus.* Ejus operis compendium fecit Heraclides Lembus, quem sub Ptolemæo Philometore (181-146) floruisse scimus. Eidem biographo vindicandum esse librum Περὶ χαρακτήρων (fr. 20.) argumenti ratio suadet quammaxime.

Præterea Satyro tribuuntur liber, quo *demos Alexandriæ* recensuerat (fr. 21), atque opus, quo collegerat μύθους ἀρχαίους (fr. 22). Quibus accedit, ut videtur, liber *De lapidibus pretiosis* (*). Mittam scriptum istud De gemmis (fr. 25), quippe quod ad nos parum pertineat; quærendum autem est, num periegetica illa et mythologica ab eadem manu profecta sint, quæ historica et philosophica scripsit. Ex fragmentis hoc tantum liquet, eum, qui in demos Alexandriæ inquisiverat, non ante regnum Philopatoris opus suum composuisse. Neque dubito auctorem tum hujus libri, tum alterius De vetustis fabulis ejus esse Satyri, cujus Ptolemæus Hephæstion meminit lib. V (p. 194 in Mythogrr. Westermanni) : Σάτυρος, ait, ὁ Ἀριστάρχου γνώριμος, Ζῆτα ἐκαλεῖτο διὰ τὸ ζητητικὸν αὐτοῦ. Quod epitheton bene cadit in laboriosam istam periegetarum de locis earumque fabulis diligentiam (cf. Polemo στηλοκόπας, Nicanor Aristarcheus Στιγματίας dictus, διότι ἐπολυλόγησε περὶ στιγμῶν ap. Eustath. p. 20, 12. Dionysius Ἀσκάλαφος ap. Etym. M. p. 278). Jam quum Aristarchus sub Ptolemæo Philometore maxime floruerit, Satyrus, ejus *discipulus* (nam hoc sensu γνώριμος vox, ubi de viris literatis sermo est, adhiberi solet), non esse potest Satyrus peripateticus, cujus Vitas in compendium redegit Heraclides Lembus, qui et ipse sub Ptolemæo Philometore floruit. — Sin cum Clintono (F. H. ad an. 160) statuas γνώριμον vocabulum h. l. non *discipulum,* sed *familiarem* significare, atque Satyrum initio, Heraclidem vero versus finem regni Philometoris scripsisse, fieri sane potest ut alter alterius libro usus sit. Quamquam paullo artificiosior ratio hæc esse mihi videtur, præsertim quum scriptorum, quæ recensuimus, tam diversa sit indoles, ut inter duos potius auctores ea distribuere, quam ad eundem referre omnia animus inclinet. Nescio an Satyrus peripateticus, qui fragm. 15 cum Hieronymo Rhodio componitur, et ipse in Rhodo insula, peripateticorum tum seminario, docuerit, idemque sit cum *Satyro Rhodio,* qui anno 172 (sicuti postea Posidonius Rhodius) legationis princeps ad senatum Rom. a civibus missus est (Livius XLII, 14) (*).

(*) Satyri *De Mausoleo* librum, quem Vitruv. VIII præfat. memorat, architecti fuerit. Atque Satyrum architectum, qui sub Ptolemæo Philadelpho vixit, novimus ex Callixeno ap. Plin. XXXVI, s. 14, § 3.

(*) Alium Satyrum, qui eodem tempore vixit, *Iliensium legatum* pro Lyciis apud Romanos intercedentem habes ap. Polybium XXIII, 3, 3. — Satyrus *Achæorum legatus* ap. Polyb. XXXI, 6, 1. Addantur : *Satyrus Olynthius*, histrio, ap. Plutarch. Moral. p. 543, E; Athenæum p. 591, E, ibique Schwgh., Diodor. XVI, 55, 3, ibique Wesseling. — *S. Theogitonis*, *Marathonius*, *tragœdus* ap. Lucian. Necyom. 16, p. 126, et Jup. trag. 41, p. 487 Didot. — *S. Heracleæ tyrannus* ap. Memnonem. — *S. duo Bospori reges* ap. Diodor. XIV, 93, 1. XX, 22, 1 sqq. — *S. dux servorum in Sicilia* ap. Diodor. XXXVI, 10. — *S. unus ex triginta viris* ap. Xenophont. H. Gr. III, 54 et alibi. — *S. sophista* ap. Athen. p. 350, F. — *S. quidam*, quem ex Aristot. memorat Plutarch. Mor. p. 459, A. — *Satyrus Timoleontis amicus,* Theopomp. fr. 215. — *S. Dionysii jun. assentator,* Timæi fr. 127. — *S. Galeni præceptor,* Galen. V, p. 172 et passim. — *S. Eleus*, *olympionica*, Pausan. VI, 4, 5, etc.

ΒΙΟΙ

[ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ].

[ΑΛΚΙΒΙΑΔΟΥ.]

1.

Athenæus XII, p. 534, B: Περὶ δὲ τοῦ καλοῦ Ἀλκιβιάδου Σάτυρος ἱστορῶν « Λέγεται (φησὶν), ὅτι ἐν Ἰωνίᾳ μὲν ὢν, Ἰώνων ἐφαίνετο τρυφερώτερος, ἐν Θήβαις δὲ σωμασκῶν καὶ γυμναζόμενος, τῶν Θηβαίων αὐτῶν μᾶλλον Βοιώτιος, ἐν Θετταλίᾳ δὲ ἱπποτροφῶν καὶ ἡνιοχῶν, τῶν Ἀλευαδῶν ἱππικώτερος, ἐν Σπάρτῃ δὲ καρτερίαν καὶ ἀφέλειαν ἐπιτηδεύων, ἐνίκα τοὺς Λάκωνας, ὑπερῆρε δὲ καὶ τὴν τῶν Θρᾳκῶν ἀκρατοποσίαν. Τὴν δὲ αὐτοῦ γυναῖκα πειρῶν, ὡς ἕτερος, ἔπεμψεν αὐτῇ χιλίους Δαρεικούς. Κάλλιστος δὲ ὢν τὴν μορφὴν, κόμην τε ἔτρεφεν ἐπὶ πολὺ τῆς ἡλικίας, καὶ ὑποδήματα παρηλλαγμένα ἐφόρει, ἃ ἀπ' αὐτοῦ Ἀλκιβιάδεις καλεῖται. Ὅτε δὲ χορηγοίη πομπεύων ἐν πορφυρίδι, εἰσιὼν εἰς τὸ θέατρον ἐθαυμάζετο οὐ μόνον ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ καὶ ὑπὸ τῶν γυναικῶν. Διὸ καὶ Ἀντισθένης ὁ Σωκρατικὸς, ὡς ἂν αὐτὸς αὐτόπτης γεγονὼς τοῦ Ἀλκιβιάδου, ἰσχυρὸν αὐτὸν καὶ ἀνδρώδη καὶ ἀπαίδευτον καὶ τολμηρὸν καὶ ὡραῖον ἐφ' ἡλικίας γενέσθαι φησίν. Εἰς δὲ τὰς ἀποδημίας ὁπότε στέλλοιτο, τέσσαρσι τῶν συμμαχίδων πόλεων ὥσπερ θεραπαίναις ἐχρῆτο. Σκηνὴν μὲν γὰρ αὐτῷ Περσικὴν ἔπησσον Ἐφέσιοι, τροφὴν δὲ τοῖς ἵπποις αὐτοῦ Χῖοι παρεῖχον, ἱερεῖα δὲ παρίστασαν εἰς τὰς θυσίας καὶ κρεανομίας Κυζικηνοὶ, Λέσβιοι δὲ οἶνον παρεῖχον καὶ τὰ ἄλλα τὰ πρὸς τὴν καθ' ἡμέραν δίαιταν. Ἀφικόμενος δ' Ἀθήνησιν ἐξ Ὀλυμπίας, δύο πίνακας ἀνέθηκεν, Ἀγλαοφῶντος γραφήν· ὧν ὁ μὲν εἶχεν Ὀλυμπιάδα καὶ Πυθιάδα στεφανούσας αὐτὸν, ἐν δὲ θατέρῳ Νεμέα ἦν καθημένη, καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης, καλλίων φαινόμενος τῶν γυναικείων προσώπων. Καὶ στρατηγῶν δὲ ἔτι καλὸς εἶναι ἤθελεν· ἀσπίδα γοῦν εἶχεν ἐκ χρυσίου καὶ ἐλέφαντος πεποιημένην, ἐφ' ἧς ἦν ἐπίσημον ἔρως κεραυνὸν ἠγκυλημένος. Ἐπικωμάσας δέ ποτε ὡς Ἄνυτον, ἐραστὴν ὄντα καὶ πλούσιον, συνεπικωμάζοντος αὐτῷ τῶν ἑταίρων ἑνὸς Θρασύλλου (τῶν πενήτων δ' οὗτος ἦν), προπιὼν τῷ Θρασύλλῳ τὰ ἡμίση τῶν ποτηρίων τῶν ἐπὶ τῷ κυλικείῳ προκειμένων ἐκέλευσε τοὺς ἀκολούθους ἀποφέρειν πρὸς τὸν Θράσυλλον· εἶθ' οὕτω φιλοφρονησάμενος τὸν Ἄνυτον ἀπηλλάσσετο. Ὁ δὲ Ἄνυτος πάνυ ἐλευθερίως καὶ ἐρωτικῶς, λεγόντων τινῶν, ὡς ἀγνώμονα εἴη πεποιηκὼς ὁ Ἀλκιβιάδης, Οὐ μὰ Δί', ἔφη, ἀλλ' εὐγνώμονα· ἔχων ἐξουσίαν ἅπαντα λαβεῖν, τὰ ἡμίση κατέλιπεν. »

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

2.

Idem XII, p. 541, C: Περὶ δὲ τῆς Διονυσίου τοῦ νεωτέρου Σικελίας τυράννου τρυφῆς Σάτυρος ὁ περιπατητικὸς ἱστορῶν ἐν τοῖς Βίοις, πληροῦσθαί φησι παρ' αὐτῷ τριακονταχλίνους οἴκους ὑπὸ τῶν εὐωχουμένων.

VITÆ

[REGUM ET IMPERATORUM].

[ALCIBIADIS.]

1.

De formoso Alcibiade narrans Satyrus sic ait: « Dicunt, quum in Ionia esset, luxuriosiorem fuisse Ionibus; quum Thebis exercitationibus corporis daret operam, magis Bœotum quam ipsi Thebani; in Thessalia vero quum alendis equis et aurigationi vacaret, peritiorem illius artis fuisse quam Aleuadæ. Spartæ vero patientiæ et tenuitati victus cultusque studens, Spartanos superavit; in Thracia rursus Thraces meri potu antecelluit. Idem propriæ uxori (*Philaretæ*), quo eam tentaret, alieno nomine mille misit Daricos. Quum autem pulcerrima esset corporis forma, in magnam ætatis partem comam aluit, et insolitum genus calceorum gestabat, qui ab illo *Alcibiades* (cf. Pollux VII, 89) nominantur. Quoties ludos publicos suo sumptu ederet, purpura amictus in pompa procedens, atque ita theatrum ingrediens, admiratione percellebat non viros modo, verum mulieres quoque. Quare Antisthenes Socraticus, qui ipse etiam viderat Alcibiadem, ait, robustum eum et fortem et disciplinæ aspernantem et audacem et formosum tota fuisse ætate. Quoties peregre abiret, quattuor sociis civitatibus veluti famulis utebatur: nam tentorium ei Persicum figebant Ephesii; equis ipsius pabulum præbebant Chii; victimas ad sacrificia et ad viscerationes Cyziceni suppeditabant; Lesbii vero vinum et alia ad quotidianum victum necessaria. Athenas reversus ex Olympia, duas tabulas dedicavit, Aglaophontis pictoris opera: quarum altera Olympiadem exhibebat et Pythiadem coronantes illum; in altera erat Nemea sedens, et super ejus genibus Alcibiades, pulcriore forma faciei quam erant muliebres formæ. Jam dux quum esset exercitus, adhuc formosus esse volebat; itaque scutum habuit, ex auro et ebore confectum, in quo pro insigni erat Amor fulmen vibrans. Comessatum aliquando quum ivisset ad Anytum, a quo amabatur, divitem hominem, comite Thrasyllo uno e suis familiaribus (cui res erat angusta domi), propinans Thrasyllo dimidiam partem poculorum in abaco expositorum pedissequos auferre jussit et ad Thrasyllum asportare: deinde comiter valere jusso Anyto, discessit. Et liberaliter admodum amanterque Anytus, quibusdam dicentibus inique egisse Alcibiadem; « Imo vero, per Jovem, inquit, ex æquo et bono: quum enim potestatem habuisset omnia auferendi, dimidium reliquit. »

DIONYSII JUNIORIS.

2.

De Dionysii junioris luxuria, Siciliæ tyranni, verba faciens Satyrus Peripateticus in Vitis, « apud eum, ait, (*quotidie*) triginta lectos convivis laute epulantibus impleri solitos. »

ΦΙΛΙΠΠΟΥ.

3.

Athenæus VI, p. 248, F: Σάτυρος δ' ἐν τῷ τοῦ Φιλίππου βίῳ « Ὅτε (φησὶ) Φίλιππος τὸν ὀφθαλμὸν ἐξεκόπη, συμπροῆλθεν αὐτῷ καὶ ὁ Κλείσοφος, τελαμωνισθεὶς τὸν αὐτὸν ὀφθαλμόν. Καὶ πάλιν, ὅτε τὸ σκέλος ἐπηρώθη, σκάζων συνεξώδευε τῷ βασιλεῖ. Καὶ εἴ ποτε δριμὺ προσφέροιτο τῶν ἐδεσμάτων ὁ Φίλιππος, αὐτὸς συνέστρεφε τὴν ὄψιν, ὡς συνδαινύμενος. Ἐν δὲ τῇ Ἀράβων χώρᾳ οὐχ ὡς ἐν κολακείᾳ τοῦτ' ἐποίουν, ἀλλὰ κατά τι νόμιμον, βασιλέως παθόντος τι τῶν μελῶν, συνυποκρίνεσθαι τὸ ὅμοιον πάθος, ἐπεὶ καὶ γελοῖον νομίζουσιν, ἀποθανόντι μὲν αὐτῷ σπουδάζειν συγκατορύττεσθαι, πηρωθέντι δὲ μὴ χαρίζεσθαι τὴν ἴσην δόξαν τοῦ πάθους. »

Eadem Eustath. ad Il. ξ' p. 990, 34, post ἐξεκόπη addens ὀϊστῷ βληθεὶς ἐν πολέμῳ ὑπὸ Ἀστέρος. Res nota. De altero vulnere v. Justin. IX, 3.

4.

Athenæus p. 248, D, e Lynceo quædam afferens de Clisopho, interponit hæc: Ἀθηναῖος δ' ἦν γένος, ὥς φησι Σάτυρος ὁ περιπατητικὸς ἐν τῷ Φιλίππου Βίῳ.

5.

Idem XII, p. 557, B: « Ὁ δὲ Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει. Ἐν ἔτεσι γοῦν εἴκοσι καὶ δυσὶν, οἷς ἐβασίλευσεν, ὥς φησι Σάτυρος ἐν τῷ Περὶ τοῦ βίου αὐτοῦ, Αὐδάταν Ἰλλυρίδα γήμας, ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κύνναν· ἔγημε δὲ καὶ Φίλαν, ἀδελφὴν Δέρδα καὶ Μαχάτα. Οἰκειώσασθαι δὲ θέλων καὶ τὸ τῶν Θετταλῶν ἔθνος, ἐπαιδοποιήσατο ἐκ δύο Θετταλίδων γυναικῶν, ὧν ἡ μὲν ἦν Φεραία Νικησίπολις, ἥτις αὐτῷ ἐγέννησε Θετταλονίκην, ἡ δὲ Λαρισσαία Φίλιννα, ἐξ ἧς Ἀριδαῖον ἐτέκνωσε. Προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν, γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ Κλεοπάτραν. Καὶ τὴν Θράκην δὲ ὅτε εἷλεν, ἧκε πρὸς αὐτὸν Κοθήλας ὁ τῶν Θρακῶν βασιλεὺς, ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά. Γήμας δὲ καὶ ταύτην ἐπεισήγαγε τῇ Ὀλυμπιάδι. Ἐπὶ πάσαις δὲ ἔγημε Κλεοπάτραν ἐρασθεὶς, τὴν Ἱπποστράτου μὲν ἀδελφὴν, Ἀττάλου δὲ ἀδελφιδῆν· καὶ ταύτην ἐπεισάγων τῇ Ὀλυμπιάδι, ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν. Εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις ὁ μὲν Ἄτταλος, Νῦν μέντοι γνήσιοι, ἔφη, καὶ οὐ νόθοι βασιλεῖς γεννηθήσονται. Καὶ ὁ Ἀλέξανδρος ἀκούσας ἔβαλεν ᾗ μετὰ χεῖρας εἶχε κύλικι τὸν Ἄτταλον, ἔπειτα κἀκεῖνος αὐτὸν τῷ ποτηρίῳ. Καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν, Ἀλέξανδρος δ' εἰς Ἰλλυριούς. Καὶ ἡ Κλεοπάτρα δὲ ἐγέννησε τῷ Φιλίππῳ θυγατέρα, τὴν κληθεῖσαν Εὐρώπην. »

Εἴκοσι δυσί] Alii aliter, de quibus v. disputationem Clintoni in F. H. tom. II, p. 227.

ΠΟΙΗΤΩΝ.

ΣΟΦΟΚΛΕΟΥΣ.

6.

Vita Sophocl. p. 128 Westerm. : Σάτυρος δέ

PHILIPPI.

3.

Satyrus in Vita Philippi scribit: « Quum oculus excussus esset Philippo, prodibat cum illo Clisophus fasciis obligato eodem suo oculo: rursusque quum contuso crure claudicaret rex, una cum illo claudicans incedebat. Si quem cibum acriorem ori admoveret rex, ipse vultum contorquebat quasi simul eodem cibo vesceretur. In Arabum vero regione non ex adulatione hoc facere consueverunt, sed publico quodam instituto: ut, quum membro quodam doleat rex, eodem malo se affectos simulent. Quippe absurdum ducunt, mortuo rege studiose poscere homines, ut cum eo sepeliantur; quum autem aliqua corporis parte æger est, non in ejus gratiam ejusdem mali participationem præ se ferre. »

4.

Clisophus Atheniensis erat, ut S. peripateticus in Vita Philippi tradit.

5.

« Philippus semper, quoties bellum gereret, uxorem duxit. Viginti duobus quidem annis quos regnavit, ut ait Satyrus in libro De ejus vita, primum Audatam duxit Illyriam, quæ filiam ei peperit Cynnam: duxitque porro Philam, Derdæ et Machatæ sororem: tum, conciliaturus sibi Thessalorum gentem, ex duabus Thessalicis mulieribus liberos procreavit; quarum altera Pheræa erat, nomine Nicesipolis, quæ ei peperit Thessalonicam; altera Larissæa, Philinna, ex qua Aridæum suscepit. Molossorum vero regnum dotem accepit quum Olympiadem duceret, e qua ei natus est Alexander et Cleopatra. Dein Thraciam postquam cepit, venit ad eum Cothelas rex Thracum, Medam filiam ei adducens cum multis muneribus: quam et ipsam uxorem duxit secundum Olympiadem. Post istas omnes rursus Cleopatram duxit amore captus, Hippostrati sororem, Attali vero ex fratre neptem: qua juxta Olympiadem domum deducta, omnem reliquam vitam suam turbavit. Statim enim in ipsis nuptiis Attalus dixit: *Nunc quidem legitimi reges, non nothi, nascentur*: qua voce audita Alexander, quem in manibus habebat calicem, impegit Attalo, et hic rursus illi poculum. Et post hæc Olympias in Molossorum terram profugit, Alexander vero ad Illyrios. Cleopatra autem Philippo filiam peperit, cui Europæ nomen inditum. »

POETARUM.

SOPHOCLIS.

6.

Satyrus dicit Sophoclem etiam baculum incurvum in usum scenicum primum adhibuisse.

φησιν ὅτι καὶ τὴν καμπύλην βακτηρίαν αὐτὸς ἐπενόησε.

Ibid. p. 129 : Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν (sc. Sophoclem ab Iophonte tamquam ὑπὸ γήρως παραφρονοῦντα accusatum), « Εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ· εἰ δὲ παραφρονῶ, οὐκ εἰμὶ Σοφοκλῆς », καὶ τότε τὸν Οἰδίποδα παραναγνῶναι.

Eadem Musurus transcripsit in schol. Arist. Ran. 73. De re inter alios v. C. Hermann. Qu. OEdip. p. 51. 52, F. Ritter. in *Rhein. Mus.*, 1843, p. 195.

Ibid. p. 130 : Σάτυρος δέ φησι τὴν Ἀντιγόνην ἀναγιγνώσκοντα, καὶ ἐμπεσόντα περὶ τὰ τέλη νοήματι μακρῷ καὶ μέσην ἢ ὑποστιγμὴν πρὸς ἀνάπαυσιν μὴ ἔχοντι, ἄγαν ἀποτείναντα τὴν φωνὴν σὺν τῇ φωνῇ καὶ τὴν ψυχὴν ἀφεῖναι.

ΡΗΤΟΡΩΝ.

ΔΗΜΟΣΘΕΝΟΥΣ.

7.

Plutarch. V. X Oratt. p. 847, A, de Demosthene : Ἀποθανεῖν δ' αὐτὸν Φιλόχορος (fr. 138) μέν φησι φάρμακον πιόντα· Σάτυρος δὲ ὁ συγγραφεὺς, τὸν κάλαμον πεφαρμάχθαι, ᾧ γράφειν ἤρξατο τὴν ἐπιστολὴν, οὗ γευσάμενον ἀποθανεῖν. Cf. Eratosthen. fr. 15 et Westermann. Qu. Dem. IV, 32.

ΤΩΝ ΕΠΤΑ ΣΟΦΩΝ.

8.

Diog. L. I, 68 : Καὶ πρῶτος (sc. Χείλων Λακεδαιμόνιος) εἰσηγήσατο ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι, Σάτυρος δὲ Λυκοῦργον.

Num hæc in Chilonis Vita monuerit Satyrus, an etiam Lycurgi aliorumque fortasse νομοθετῶν Vitas (sicuti Hermippus) condiderit, nescio. De re v. Müller. *Dor.* II, p. 112.

9.

Diog. L. I, 82 : Βίας Τευτάμου, Πριηνεὺς, προκεκριμένος τῶν ἑπτὰ ὑπὸ Σατύρου.

Idem ib. : Ἐν ταῖς Ἀθήναις.. τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων, τοῦ χαλκοῦ, ἐπιγραφὴν ἔχοντος, Τῷ σοφῷ, Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας (sc. Messenias, quas paullo ante captivas redemerat et dote instructas parentibus reddiderat Bion)... οἱ δὲ τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος... εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφὸν, διηγησαμένας τὰ καθ' ἑαυτάς.

ΦΙΛΟΣΟΦΩΝ.

10.

Diog. L. VIII, 40, *de Pythagora* : Ἡρακλείδης δέ φησιν ἐν τῇ τῶν Σατύρου Βίων ἐπιτομῇ, κτλ. V. Heraclid. fr. 6.

11.

Diog. L. VIII, 53, *de Empedocle* : Σάτυρος δὲ ἐν τοῖς Βίοις φησὶν ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον. Ἐπὶ δὲ τῆς αὐτῆς Ὀλυμπιάδος (Ol. 70 sec. Aristot.) τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ πάλῃ, ἢ (ὡς Ἡρακλείδης ἐν τῇ Ἐπιτομῇ [Sotionis, uti videtur]) δρόμῳ.

12.

Idem VIII, 58, de eodem : Φησὶ δὲ Σάτυρος ἐν τοῖς Βίοις ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν

Satyrus narrat Sophoclem dementiæ accusatum dixisse : « Si sum Sophocles, non deliro; sin deliro, non sum Sophocles, » et deinde eum Œdipum fabulam recitasse.

Satyrus narrat Sophoclem Antigonam fab. recitantem, quum circa finem in perlongum comma, quod subdistinctionem ad respirationem non haberet, adeo vocem intendisse, ut una cum voce etiam animam amisisset.

ORATORUM.

DEMOSTHENIS.

7.

Mortuum Demosthenem esse tradit Philochorus epoto veneno; Satyrus autem historiarum scriptor, veneno imbutum fuisse calamum, quo scribere epistolam cœperit, eoque gustato ipsum periisse.

SEPTEM SAPIENTIUM.

8.

Chilo primus instituit, ut ephori regibus adjungerentur. Satyrus tamen non Chilonem, sed Lycurgum hoc fecisse dicit.

9.

Bias Teutami filius Prienensis, quem Satyrus reliquis septem sapientibus prætulit.

Invento Athenis a piscatoribus tripode æneo, cui erat inscriptum : *sapienti*, Satyrus quidem puellas, alii vero, ex quibus Phanodicus est, illarum patrem in concionem venisse tradunt, Biantemque, expositis quæ in se egisset, appellasse sapientem.

PHILOSOPHORUM.

11.

Satyrus in Vitis Empedoclem ait filium fuisse Exæneti, reliquisse autem et filium Exænetum, eademque Olympiade ipsum quidem equestri certamine vicisse, filium vero illius lucta, sive, ut Heraclides in Epitome, cursu.

12.

Satyrus in Vitis refert et medicum illum fuisse oratoremque optimum. Gorgiam enim Leontinum ipsius fuisse discipulum, virum in oratoria insignem, qui et artem rhetoricam scripserit : quem tradit Apollodorus in Chronicis centum et novem ætatis implesse annos. Hunc ait Satyrus

γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητὴν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ τέχνην ἀπολελοιπότα· ὅν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. Τοῦτόν φησιν ὁ Σάτυρος λέγειν ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι. Ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό τε καὶ ἄλλα πλείω, δι' ὧν φησι·

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρουραν·
καὶ πάλιν, ἣν ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις
θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
ῥεύματα δενδρεόθρεπτα, τὰ δ' ἐν θέρει ἀήσαντα·
ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

Φησὶ δὲ καὶ Τίμαιος (fr. 94) κτλ.... Ἡρακλείδης δ' ἐν τῷ Περὶ νόσων φησὶ καὶ Παυσανίᾳ ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν. Ἦν δ' ὁ Παυσανίας, ὥς φησιν Ἀρίστιππος καὶ Σάτυρος, ἐρώμενος αὐτοῦ, ᾧ δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως,

Παυσανίη, σὺ δὲ κλῦθι, δαΐφρονος Ἀγχίτου υἱέ.

Ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησε·

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτεω υἱόν
φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,
Cornelius Alexander Polyhistor.
Alexander Ephesius.
Posidonius Rhodius.
L. Lucullus.
M. T. Cicero.
M. Pomponius Atticus.
Asclepiades Myrleanus.
Atistodemus Nysæensis.
[Castor Rhodius.]
Artavasdes rex Armeniæ.
Theophanes Mytilenæus.
Timagenes Alexandrinus.
Aristo Alexandrinus.
Socrates Rhodius.
Olympus.
Empylus.

PTOLEMÆUS EVERGETES II.

ΥΠΟΜΝΗΜΑΤΑ

ἐν βιϐλίοις κδ'.

1.

E LIBRIS PRIMO ET QUINTO.

Athenæus X, p. 438, D : Πολυπότης δὲ ἦν καὶ Ἀντίοχος ὁ βασιλεὺς, ὁ κληθεὶς Ἐπιφανὴς, ὁ ὁμηρεύσας παρὰ Ῥωμαίοις, ὃν ἱστορεῖ Πτολεμαῖος ὁ Εὐεργέτης ἐν τῷ πρώτῳ τῶν Ὑπομνημάτων κἀν τῷ πέμπτῳ, φάσκων αὐτὸν εἰς τοὺς Ἰνδικοὺς κώμους καὶ μέθας τραπέντα πολλὰ ἀναλίσκειν. Καὶ τὰ περιλειπόμενα δὲ τῶν χρημάτων μεθ' ἡμέραν κωμάζων ὁτὲ μὲν ἐξέχει, ἄλλοτε δὲ ἐν ταῖς δημοσίαις ὁδοῖς ἱστάμενος ἔλεγε· Τίνι ἡ τύχη δίδωσι, λαβέτω. Καὶ ῥίψας τὸ ἀργύριον, ᾤχετο. Πολλάκις δὲ καὶ πλεκτὸν στέφανον ῥόδων ἔχων ἐπὶ τῆς κεφαλῆς, καὶ χρυσοϋφῆ τήϐενναν φορῶν μόνος ἐρέμϐετο, λίθους ὑπὸ μάλης ἔχων, οἷς ἔϐαλλε τῶν ἰδίων τοὺς ἀκολουθοῦντας αὐτῷ. Ἐλούετό τε καὶ εἰς τοὺς κοινοὺς λουτρῶνας, μύροις ἀλειφόμενος. Ὥστε καί ποτε συνιδών τις αὐτὸν ἰδιώτης ἔφη, Μακάριος εἶ, ὦ βασιλεῦ, πολυτελὲς ὄζεις. Καὶ ὃς ἡσθεὶς, Ἐγώ σε, φησὶν, ὑπέρκορον τούτου ποιήσω. Καὶ κατὰ τῆς κεφαλῆς αὐτοῦ ὑδρίσκην, ὑπὲρ δύο χόας ἔχουσαν παχέος μύρου, καταχυθῆναι ἐκέλευσεν, ὡς καὶ τὸ πλῆθος τῶν ἀγοραιοτέρων εἰς τὸ ἐκχυθὲν συγκυλισθῆναι. Ὀλίσθου τε γενομένου, αὐτός τε ὁ Ἀντίοχος ἔπεσε καγχάζων, καὶ οἱ πλεῖστοι τῶν λουομένων τὸ αὐτὸ ἔπασχον. Quæ in postremis narrantur inde a verbis Ἐλούετό τε, eadem e Polybio affert Athenæus V, p. 194, B.

2.

E LIBRO SECUNDO.

Idem II, p. 71, B : Πτολεμαῖος δ' ὁ Εὐεργέτης, βασιλεὺς Αἰγύπτου, εἷς ὢν τῶν Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν, ἐν δευτέρῳ Ὑπομνημάτων γράφει οὕτως· « Περὶ Βερενίκην τῆς Λιϐύης Λήθων ποταμὸς, ἐν ᾧ γίνεται ἰχθὺς λάϐραξ καὶ χρύσοφρυς καὶ ἐγχέλεων πλῆθος καὶ τῶν καλουμένων βασιλικῶν, αἳ τῶν τε ἐκ Μακεδονίας καὶ τῆς Κωπαΐδος λίμνης τὸ μέγεθός εἰσιν ἡμιόλιαι, πᾶν τε τὸ ῥεῖθρον αὐτοῦ ἰχθύων ποικίλων ἐστὶ πλῆρες. Πολλῆς δ' ἐν τοῖς τόποις κινάρας φυομένης, οἵ τε συνακολουθοῦντες ἡμῖν στρατιῶται πάντες δρεπόμενοι συνεχρῶντο καὶ ἡμῖν προσέφερον ψιλοῦντες τῶν ἀκανθῶν. »

3.

Idem IX, p. 387, E : Πτολεμαῖος δ' ὁ Εὐεργέτης ἐν δευτέρῳ Ὑπομνημάτων τέταρόν φησιν ὀνομάζεσθαι τὸν φασιανὸν ὄρνιν. Nominari avem τατύραν ait Pamphylus ap. Athen. l. l. Pro ἐν β' legendum suspicor ἐν ιϐ', collato fragmento 10.

4.

E LIBRO TERTIO.

Idem XIII, p. 576, E : Καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεὺς, Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν Ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας· Διδύμην μὲν, μίαν

1.

Insignis etiam potator ille rex Antiochus fuit, qui Epiphanes est cognominatus; is qui Romæ obses fuerat. De quo scribens Ptolemæus Evergetes primo et quinto Commentariorum libro, ait : « Indicis comessationibus et compotationibus sese tradentem, ingentes sumptus fecisse. Quod vero reliquum erat pecuniæ, id partim in diurnas (ait) comessationes profundebat, partim subinde stans in viis publicis edicebat, Cui fortuna dat, is capiat! atque ita projecta pecunia discedebat. Subinde vero etiam coronam e rosis plexam in capite gestans, togamque indutus auro textam, solus obambulabat, sub alis saxa tenens, quæ in suos qui eum sequerentur conjiceret. Lavatum ibat in publica balnea, et unguentis ungebatur. Ibi quum conspiciens eum aliquando quidam de plebe dixisset, Quam beatus es, rex! quam pretiose oles! delectatus ille, Ego, inquit, faciam ut tu horum habeas satietatem : et urnulam ultra duo congios capientem spissi unguenti in caput hominis jussit effundi. Quo quum continuo se præcipitaret tenuiorum hominum turba, lubrico in vestigio et ipse rex prolapsus est cachinnans, et plerisque lavantium idem accidit. »

2.

Ptolemæus Evergetes, Ægypti rex, qui fuit unus ex Aristarchi grammatici discipulis, in secundo Commentariorum sic scribit : « Circa Berenicen in Libya est flumen Lethon, in quo nascitur lupus piscis et aurata et anguillarum magna copia, et in his earum quæ regiæ vocantur, quæ sesquplo majores sunt quam quæ in Macedonia capiuntur et in Copaide lacu; atque adeo in universo suo cursu piscibus variis plenus est. Eo præterea tractu multa nascitur cinara; quam milites omnes, qui nos sequebantur, demessam, spinisque purgatam, et ipsi comedebant et nobis offerebant. »

3.

Ptolemæus Evergetes libro secundo Commentariorum *tetaron* nominari ait phasianum.

4.

Secundus Ægypti rex, Philadelphus cognomine, ut tradit Ptolemæus Evergetes tertio Commentariorum, plurimas habuit amasias : primum Didymen, unam ex indige-

τῶν ἐπιχωρίων γυναικῶν, μάλ' εὐπρεπεστάτην τὴν ὄψιν, καὶ Βιλιστίχην, ἔτι δὲ Ἀγαθόκλειαν καὶ Στρατονίκην, ἧς τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσῖνι θαλάσσῃ, καὶ Μύρτιον καὶ ἄλλας δὲ πλείστας, ἐπιρρεπέστερος ὢν πρὸς ἀφροδίσια.

Διδύμην] Eadem, opinor, memoratur ap. Callimachum Epigr. 13. — Βιλιστίχην] De hac cf. Plutarch. Amator. c. 9, 9, p. 753, F : Ἡ δὲ Βελεστίχη, (vgo Βελεστίη), πρὸς Διός, οὐ βάρβαρον ἐξ ἀγορᾶς γύναιον; ἧς ἱερὰ καὶ ναοὺς Ἀλεξανδρεῖς ἔχουσιν, ἐπιγράψαντος δι' ἔρωτα τοῦ βασιλέως, Ἀφροδίτης Βελεστίχης; Glossam Βελεστίχη habet etiam Suidas; idemque v. Σωτάδης carmen Sotadis εἰς Βελεστίχην memorat. Βλίστιχιν παλλακίδα habet Clemens Al. Cohortat. p. 42 ed. Pott., quam veram esse nominis formam censet Valckenarius ad Callimach. p. 116. Eandem mulierem notat Pausanias V, 8, 11, ubi Βελιστίχην ἐκ Μακεδονίας τῆς ἐπὶ θαλάσσῃ γυναῖκα bigis in Olympia vicisse ait (Olymp. 129. 264 a. C.). Eadem Euseb. Chron. p. 153, nisi quod in græcis res adscribitur Olympiadi 128, in latinis vero corrupte legitur : *vicit Philistiachus Macedii*. Non diversa ab Macedonia hac fuerit Bilistiche, quæ (ab aulicis Ptolemæi) dicebatur genus ab Atridis ducere. Athenæus XIII, p. 576, E: Βιλιστίχη δὲ ἡ Ἀργεία, ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σώζουσα, ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν.

Fragmentum e libro *quinto* vide in fragm. 1.

5.

E LIBRO SEPTIMO.

Idem II, p. 43, E : Πτολεμαῖος δὲ ὁ βασιλεὺς ἐν ἑβδόμῳ Ὑπομνημάτων, ἐπὶ Κορίνθου προάγουσι, φησίν, ἡμῖν διὰ τῆς Κοντοπορίας καλουμένης, κατὰ τὴν ἀκρώρειαν προσβαίνουσιν, εἶναι κρήνην νᾶμα ἀνιεῖσαν χιόνος ψυχρότερον· ἐξ ἧς πολλοὺς μὴ πίνειν, ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι.

E LIBRO OCTAVO.

6.

Idem XII, p. 549, E : Ὅτι δὲ τρυφῆς οὐκ ἦν ἀλλότριος ὁ βασιλεὺς οὗτος (Ptol. VII), αὐτὸς περὶ ἑαυτοῦ μαρτυρεῖ, ἐν τῷ ὀγδόῳ τῶν Ὑπομνημάτων διηγούμενος, ὅπως τε ἱερεὺς ἐγένετο τοῦ ἐν Κυρήνῃ Ἀπόλλωνος, καὶ ὅπως δεῖπνον παρεσκεύασε τοῖς πρὸ αὐτοῦ γενομένοις ἱερεῦσι, γράφων οὕτως· « Ἀρτεμίτια, μεγίστη ἑορτὴ ἐν Κυρήνῃ· ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος (ἐνιαύσιος δέ ἐστι) δειπνίζει τοὺς πρὸ αὐτοῦ ἱερευσαμένους, καὶ παρατίθησιν ἑκάστῳ τρυβλία· τοῦτο δέ ἐστι κεραμεοῦν ἄγγος, ἐπιδεχόμενον ὡς εἴκοσιν ἀρτάβας· ἐν ᾧ πολλὰ μὲν τῶν ἀγριμαίων ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα, καὶ τῶν ἡμέρων ὀρνίθων, ἔτι δὲ θαλαττίων ἰχθύων, ταρίχους τε ξενικοῦ πλείονα γένη· πολλάκις δέ τινες καὶ χαθάριον (sic Casaub. pro vgta : κιθάριον) ἀκολουθίσκον προσδιδόασιν. Ἡμεῖς δὲ περιειλόμεθα τὰ τοιαῦτα· φιάλας δ' ὁλαργύρους κατασκευάσαντες, τὸ τίμημα ἔχουσαν ἑκάστην ἧς προειρήκαμεν δαπάνης, ἵππον τε κατεσκευασμένον σὺν ἱπποκόμῳ καὶ φαλάροις διαχρύσοις ἐδώκαμεν, καὶ παρεκαλέσαμεν ἕκαστον ἐπὶ αὐτοῦ καθεσθέντα οἴκαδ' ἀπιέναι. »

7.

Idem VI, p. 229, D : Πτολεμαῖος δ' ὁ βασιλεὺς ἐν ὀγδόῳ Ὑπομνημάτων, περὶ Μασσανάσσου τὸν λόγον ποιούμενος, τοῦ Λιβύων βασιλέως, φησὶ τάδε· « Δεῖπνα Ῥωμαϊκῶς ἦν κατεσκευασμένα, κεράμῳ παντὶ χορηγούμενα ἀργυρῷ. Τὰς δὲ τῶν δευτέρων τραπέζας ἐκόσμει τοῖς Ἰταλικοῖς ἐθισμοῖς· τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ, γεγονότα πρὸς τὰ πλεκόμενα ταῖς σχοίνοις· μουσικοῖς τε ἐχρῆτο Ἑλληνικοῖς. »

---

nis mulieribus, eximia forma; tum Bilistichen: porro vero Agathocleam, et Stratonicen, cujus fuit ingens illud monumentum ad mare prope Eleusin : item Myrtium, et alias plurimas : erat enim ad Venerem inprimis proclivis.

5.

Ptolemæus rex, libro septimo Commentariorum, ait, Corinthum versus progredientibus nobis per viam quæ Contoporia dicitur, ubi ad jugum montis adscenditur, fontem esse, qui aquam emittat nive frigidiorem; e quo multi non bibant, metuentes ne gelu rigescant; ipse vero se bibisse ait.

6.

Non fuisse a luxuria alienum hunc regem, ipse etiam de se testatum fecit, octavo Commentariorum libro narrans quo pacto Cyrenis sacerdos fuerit Apollinis, et cœnam exhibuerit iis qui ante eum fuerant sacerdotes; ubi ita scribit : « Artemitia (*sive* Artemisia) maximum apud Cyrenenses festum : quo sacerdos Apollinis (annuum est autem id sacerdotium) cœna excipit eos qui ante illum sacerdotio functi sunt, apponitque singulis catinos : vas fictile hoc est, artabas fere capiens viginti; in quo positæ multæ carnes ferinæ diligenter paratæ, panificia multa, et domesticarum avium, marinorum piscium et peregrini salsamenti plura genera : subinde etiam nonnulli insuper dant elegantem puerum pedissequum. Nos vero, omissis his talibus, phialas conficiendas curavimus ex solido argento, unamquamque tanti pretii quanti constabat totus quem prædiximus apparatus; et præter phialam equum instructum phaleris inauratis cum equisone dedimus cuique, et suum quemque conscendere domumque abire jussimus. »

7.

Ptolemæus rex, octavo Commentariorum de Masinissa verba faciens, Libyæ rege, hæc scribit : « Cœnæ Romano more instructæ erant : omne fictile, quod apponebatur, argenteum erat. Secundas vero mensas Italico ornabat more : sportulæ vero omnes aureæ erant, ad earum similitudinem factæ quæ ex juncis plectuntur : musicisque utebatur Græcis. »

8.

Idem XII, p. 518, E: Ἔθος δὲ παρ' αὐτοῖς (τοῖς Συβαρίταις) καὶ τοὺς παῖδας μέχρι τῆς τῶν ἐφήβων ἡλικίας ἁλουργίδας τε φορεῖν καὶ πλοκαμῖδας ἀναδεδεμένους χρυσοφορεῖν. Ἐπιχωριάζειν δὲ παρ' αὐτοῖς διὰ τὴν τρυφὴν ἀνθρωπάρια μικρὰ, καὶ τοὺς σκωπαίους, ὥς φησιν ὁ Τίμων, τοὺς καλουμένους παρά τισι στίλπωνας, καὶ κυνάρια Μελιταῖα, ἅπερ αὐτοῖς καὶ ἕπεσθαι εἰς τὰ γυμνάσια. Πρὸς οὓς καὶ τοὺς ὁμοίους τούτοις Μασανάσσης ὁ τῶν Μαυρουσίων βασιλεὺς ἀπεκρίνατο, ὥς φησι Πτολεμαῖος ἐν ὀγδόῳ Ὑπομνημάτων, ζητοῦσι συνωνεῖσθαι πιθήκους· « Παρ' ὑμῖν, ὦ οὗτοι, αἱ γυναῖκες οὐ τίκτουσι παιδία; » Παιδίοις γὰρ ἔχαιρεν ὁ Μασανάσσης, καὶ εἶχε παρ' αὐτῷ τρεφόμενα τῶν υἱῶν (πολλοὶ δὲ ἦσαν) τὰ τέκνα, καὶ τῶν θυγατέρων ὁμοίως. Καὶ πάντα ταῦτα αὐτὸς ἔτρεφε μέχρι τριῶν ἐτῶν· μεθ' ἃ ἀπέπεμπε πρὸς τοὺς γεγεννηκότας, παραγινομένων ἄλλων.

E LIBRO NONO.

9.

Idem IX, p. 375, D: Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐν τῷ ἐνάτῳ τῶν Ἀπομνημονευμάτων· « Εἰς Ἄσσον (φησὶν) ἐπιδημήσαντί μοι, οἱ Ἄσσιοι παρέστησαν χοῖρον, ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἄρτιον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. Ἔφασάν τε τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ' αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας. »

E LIBRO DUODECIMO.

10.

Idem XIV, p. 654, C: Φασιανικός. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δυοκαιδεκάτῳ τῶν Ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζῴων τρεφομένων φησί· « Τά τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, οὓς οὐ μόνον ἐκ Μηδίας μετεπέμποντο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν, ἐποίησε πλῆθος, ὥστε καὶ σιτεῖσθαι. Τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν. » Αὕτη τοῦ λαμπροτάτου βασιλέως φωνὴ, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. Εἰ δὲ ἑοράκει, ὡς ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος χωρὶς τῶν ἤδη κατηναλωμένων, προσαναπεπληρώκει ἂν ταῖς πολυθρυλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων καὶ ἄλλην μίαν.

11.

Stephanus Byz.: Ἀγχιάλη, πόλις Κιλικίας... Ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρὸς, ὡς Ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων, καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ.

12.

Athenæus II, p. 61, C: Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων φησὶ, σίον ἐν ὕδατι γίνεσθαι, σελίνῳ ἐλείῳ τὸ φύλλον ἐοικός. Διὸ καὶ Πτολεμαῖος, ὁ δεύτερος

8.

Apud eosdem Sybaritas moris erat etiam, ut pueri usque ad adultam ætatem purpura induerentur, et obtortos capillorum cincinnos auro illigarent. Consuetum etiam illis, voluptatis causa pumilos domi alere, et scopæos illos (*noctuis similes*), ut ait Timon, quos *stilpones* nonnulli vocant: item catellos Melitenses, qui eos etiam in gymnasia sequebantur. Quibus hominibus horumque similibus Masinissa, rex Mauritaniæ, (ut tradit Ptolemæus, octavo libro Commentariorum) simios emendos conquirentibus, respondit: *Apud vos igitur, qui talia quæritis, mulieres nonne pariunt infantes?* Parvulis enim delectabatur Masinissa, et apud se filiorum suorum (quorum magnus numerus erat) filiarumque natos natasque alebat educabatque omnes, donec tertium ætatis annum complessent: quo tempore exacto parentibus eos remittebat, aliis in illorum locum succedentibus.

9.

Ptolemæus, Ægypti rex, nono libro Commentariorum, sic scribit: » Quum Assi versaremur, obtulerunt nobis Assii porcum, cui erat altitudo duorum cubitorum cum dimidio, et totum corpus congruens illi staturæ, color autem niveus. Narrabantque, Eumenem hæc talia animantia studiose apud ipsos emere, et quater mille drachmas pro unoquoque solvere. »

10.

Phasiana avis. Ptolemæus rex, duodecimo libro Commentariorum, de regia loquens, quæ est Alexandriæ, et de animalibus quæ in illa aluntur, ait: « Et ad phasianos quod attinet, quos *tetaros* appellant, non modo ex Media eos arcessebant; verum etiam altiles gallinas illis submittens, multiplicavit genus, ita ut iis etiam vesceretur. Nam cibum magnificum esse affirmant. » Ecce splendidissimi regis vocem, qui se ne gustasse quidem de phasiano profitetur; sed tanquam cimelium aliquod repositas has aves habebat. Qui si vidisset, quo pacto, præter eas quæ jam absumptæ sunt, cuique nostrûm una apposita est, famosas suas historias, his viginti quattuor Commentariorum libris comprehensas, una insuper aucturus erat.

11.

Anchiale, urbs Ciliciæ, condita est ab Anchiale Iapeti filia, uti ait Athenodorus de patria sua scribens laudansque Diodorum grammaticum Ptolemæi regis sententiæ adstipulantem.

12.

Speusippus, secundo Similium, *sion*, inquit, in aqua nasci, apio palustri folium simile habens. Itaque Ptole-

Εὐεργέτης, Αἰγύπτου βασιλεύσας, παρ' Ὁμήρῳ (Od. ε', 72) ἀξιοῖ γράφειν·

Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ σίου, ἠδὲ σελίνου.

Σία γὰρ μετὰ σελίνου φύεσθαι, ἀλλὰ μὴ ἴα. Hæc num ex Ὑπομνημάτων libris an alio ex scripto fluxerint, in medio relinquimus.

DIONYSIUS THRAX.

Suidas : Διονύσιος Ἀλεξανδρεύς, Θρᾷξ δ' ἀπὸ τοῦ πατρὸς Τήρου τοὔνομα κληθείς, Ἀριστάρχου μαθητής, γραμματικός, ὃς ἐσοφίστευσεν ἐν Ῥόδῳ (vg. Ῥώμῃ) ἐπὶ Πομπηίου τοῦ Μεγάλου, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ (legi jubet Clintonus : γραμματικός, καὶ ἐξηγήσατο Τυραννίωνι τῷ προτέρῳ, ὃς ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Πομπηίου). Συνέταξε δὲ πλεῖστα γραμματικά τε καὶ συνταγματικὰ καὶ ὑπομνήματα.

De temporibus Dionysii errasse Suidam in aperto est. Nam Aristarchus sec. Eusebium, quem sequitur Clintonus, floruit 156 a. C., sec. Ritschelii computum, *Alexandr. Bibl.* p. 90, moritur circa 152 a. C.; Tyrannio vero captivus Romam venit anno 71 (v. Plutarch. Lucull. c. 19, et plura ap. Clinton. F. H. ad an. 71.). Itaque floruit Dionysius circa an. 110 a. C. — Præter grammatica, quæ ad nos nihil pertinent, Dionysius etiam historicum vel periegeticum de Rhodo insula opus composuisse ex uno discimus Stephano Byzantio.

ΠΕΡΙ ΡΟΔΟΥ.

Steph. Byz. : Ταρσὸς, ἐπισημοτάτη πόλις Κιλικίας.. (Nomen urbs nacta est, uti ait) Διονύσιος ὁ Θρᾷξ ἐν τῷ Περὶ Ῥόδου, ἀπὸ τῆς τοῦ Βελλεροφόντου πτώσεως· μέρος γάρ τι τοῦ ποδὸς ταρσὸν καλεῖσθαι, τῆς ἐκείνου χωλείας ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων. Cf. Eustath. ad Dionys. Per. 869 : Ἄλλοι μέντοι τὸ ὄνομα τῆς πόλεως ὑπόμνημα τῆς τοῦ Βελλεροφόντου χωλείας εἶναί φασιν, ὡς τὸν τοῦ ποδὸς ταρσὸν ἐκεῖ χωλανθέντος, ὅτε τοῦ Πηγάσου κατέπεσεν.

De Menecrate Nysaense, item Aristarchi discipulo, vide fragm. Menecratis Elaitæ, tom. II, p. 344.

---

mæus, Evergetes alter, Ægypti rex, apud Homerum sic scribi vult :

Circumcirca vero prata mollia virebant σίου ἠδὲ σελίνου.

Sia enim, ait, cum apio nasci; non ἴα, id est, violas.

DE RHODO.

Tarsus, celeberrima urbs Ciliciæ, nomen nacta est, secundum Dionysium Thracem in libro De Rhodo, a lapsu Bellerophontis. Partem enim quandam pedis tarsum (*plantam*) vocari, atque hoc nomine urbi indito veteres claudicationis ejus fecisse memoriam.

AGATHARCHIDES CNIDIUS.

Testimonia. Strabo XIV, p. 656 : Ἄνδρες ἀξιόλογοι Κνίδιοι πρῶτον μὲν Εὔδοξος... εἶτ' Ἀγαθαρχίδης ὁ ἐκ τῶν περιπάτων, ἀνὴρ συγγραφεύς.

Photius Bibl. cod. 213 : Ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν· ἔνιοι δὲ αὐτὸν Ἀγάθαρχον ὀνομάζουσι. Τούτῳ πατρὶς μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο· ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ λέμβρου (ὁ Λέμβος Casaub.) Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέσχε γνωρίζεσθαι. Ἦν δὲ καὶ θρεπτὸς Κινναίου.

Γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν ἔγνωμεν ἐν βιβλίοις ι'· καὶ τῶν κατὰ τὴν Εὐρώπην δὲ εἰς θ' καὶ μ' παρατείνεται αὐτῷ ἡ ἱστορία· ἀλλὰ καὶ ε' βιβλία τὴν Ἐρυθρὰν αὐτῷ πᾶσαν καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. Τὴν οὖν εἰρημένην ἅπασαν συγγραφὴν καὶ αὐτὸς ἐπὶ τέλει τοῦ ε' λόγου εἰς μνήμην ἀνάγει· ἐν ᾧ καὶ πεπαῦσθαι τοῦ γράφειν διὰ τινάς τε αἰτίας ἄλλας, καὶ ὅτι τὰ τῆς ἡλικίας ἀποκλίνοι πρὸς τὸ ἔξωρον. Πλήν γε εἰσὶν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα (οὐδεμίαν?) οὐδέπω ἴσμεν. Ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς Ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ, καὶ μὴν καὶ περὶ τρωγλοδυτῶν βιβλία ε', ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, ἐκλογάς τε ἱστοριῶν αὐτὸν συντάξαι, καὶ περὶ τῆς προσφιλοῦς ὁμιλίας.

Ἔστι δὲ, ἐξ ὧν τὸν ἄνδρα τοὺς λόγους αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικὸς, καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι τῶν ἄλλων μᾶλλον χαίρων, λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος, οὐδὲ διὰ τῶν ἐθίμων δὲ διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' εἴ τις ἄλλος δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς κεχρημένος λέξεσι φαντασίαν πέμπουσαν ἀποτελεῖ τὴν φράσιν· οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν, ὡς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. Κέχρηται δὲ καὶ γνώμαις τὸ νουνεχὲς καὶ δραστήριον ἐπιδηλούσαις. Τροπὰς δὲ ὑπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος τὸ μὲν ἡδὺ καὶ κηλοῦν καὶ τὴν ψυχὴν διαχέον λεληθότως δι' ὅλου διασπείρει τοῦ γράμματος, εἰς τροπὴν δὲ ὅτι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. Ποιεῖ δὲ αὐτῷ τοῦτο μάλιστα οὐχὶ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολὴ, ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα μετά τινος σοφῆς καὶ ἠρεμαίας μεταχειρίσεως μετάβασίς τε καὶ μετατροπή. Ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα, καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. Καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου ἔν τε τῇ τῶν δημηγοριῶν δαψιλείᾳ τε καὶ διασκευῇ, τῷ μεγαλείῳ δὲ μὴ δευτερεύων τοῦ λόγου τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. Ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος· εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο, ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἔλαττον τῶν γραμματικῶν οὐ δεύτερος ἢ τῶν ῥητόρων, δι' ὧν καὶ γράφει καὶ διδάσκει, καταφαίνεσθαι.

(Agatharchidis de Hegesiæ scribendi genere judicium, quod ex præfatione ad librum quintum De mari Rubro servavit Photius (cod. 250), vide in fragm. Hegesiæ in Scriptor. rerum Alexandri M. p. 139.)

Agatharchides De mar. Rubr. ap. Phot. cod. 250, p. 445 a 33 Bekk. : Ἐγὼ δ' ἀφ' ἧς ἡμέρας ἡ τύχη με κατέστησεν ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ, νέου παντελῶς ὄντος, καὶ τῆς ὅλης βασιλείας, ἀπ' ἐκείνης εὐθὺς μέγαν ἐμαυτῷ πόνον ἐπέβαλον. Τίνα τοῦτον; τοῖς πρὸς ἡδονὴν ὁμιλοῦσιν ἐναντιοῦσθαι καὶ δυσχεραίνειν, σοῦ πρῶτον αὐτοῦ περιαιρούμενος οὐ τὴν ἐξουσίαν ἀλλὰ τὴν ἄγνοιαν, ἵνα τῶν τοσούτων ἀγαθῶν φρονῶν ἀπολαύσῃς, μὴ διαμαρτάνων. Τοῦτο γὰρ ἐζήτουν πατρὸς ἔχων εὔνοιαν χρόνου στοχαζομένην, οὐ κόλακος εἰρωνείαν καιρῷ προσομιλοῦσαν. Οἶδα γὰρ, πρεσβύτερος ὢν καὶ πολλῶν ἔμπειρος γεγονὼς πραγμάτων, διὰ τοὺς θωπεύειν ἐπιβεβλημένους τοὺς ἐν ταῖς ὑπεροχαῖς καὶ τὰς μεγίστας βασιλείας ἄρδην ἀνῃρημένας, τὴν Κασσάνδρου, τὴν Λυσιμάχου, τὴν Ἀλεξάνδρου τηλικαύτην οὖσαν, τὴν Μήδων, τὴν Σύρων, τὴν Περσῶν, ὥστε μηδὲ σπέρμα καταλελεῖφθαι τοῦ γένους κτλ. Lege etiam antecedentia, quæ ad eundem principem puerum directa sunt.

Idem ibid. p. 460 b 3 Bekk. : Τὰ μὲν οὖν ὑπὲρ τῶν ἐθνῶν τῶν ἐκκειμένων πρὸς μεσημβρίαν, ὡς ἦν ἐφ' ἡμῖν, ἐν πέντε βιβλίοις ἐπιμελῶς ἱστορήκαμεν· ὑπὲρ δὲ τῶν ἐν πελάγει νήσων ὕστερον τεθεωρημένων καὶ τῶν εὐωδῶν, ὅσα φέρειν συμβαίνει τὴν Τρωγλοδῦτιν χώραν, ἡμεῖς μὲν παραιτησάμενοι τὴν ἐξήγησιν ἄρδην ἀπολελοίπαμεν, οὔτε τὸν πόνον τῆς ἡλικίας ὁμοίως ὑποφέρειν δυναμένης, πολλῶν ἡμῖν ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ἀναγεγραμμένων, οὔτε τῶν Ὑπομνημάτων διὰ τὰς κατ' Αἴγυπτον ἀποστάσεις ἀκριβῆ παραδιδόντων σκέψιν. Cf. H. Dodwell. Dissert. De ætat. Agath. in Geogr. Hudson. tom. II, p. 67 sqq. J. G. Hager. De Agath., Chemnitz. 1766, 4.

Testimoniis hisce pauca quædam, quæ ad nos proxime spectant, subjecisse satis habeo. Ac primum quidem quod ætatem Agatharchidis attinet,

hoc certe patet, vixisse eum temporibus Ptolemæi VI (175 — 146), sub quo floruit Heraclides Lembus, cujus anagnosten fuisse Agatharchidem modo legimus. Educatus esse dicitur a Cinnæo. Homo ignotus mihi, alterumque ejus nominis exemplum desidero. Fortasse apud Photium pro Κινναίου manu leni rescribendum Κινέου. Quo concesso, cogitare liceret de Cinea Ptolemæi Philometoris ministro, quem Polybius (XXVIII, 16) in re ad an. 171 pertinente commemorat. — Præterea ex ipso Agatharchide novimus eum, quo tempore libros De mari Rubro scribebat, provectæ jam ætatis virum multaque expertum, tutelam gessisse regis juvenis vel pueri. Indicari Ptolemæum aliquem non liquet quidem, attamen veri simillimum est. « Henricus Dodwellus (Diss. De æt Agath. p. 70) regem qui in Agatharchidis fuit tutela, Ptolemæum esse censuit Alexandrum, editumque librum anno ab U. C. Varroniano 649 vel 650 (Ol. 168, 4 vel 169, 1. 105 v. 104 a. C., anno tertio vel quarto Alexandri); quo eodem tempore Artemidorus Ephesius, quippe Olymp. 169, uti Marcianus Heracleota (p. 115 ed. Mill.) docuit, florens, Geographiam suam in vulgus emiserit. Quod tamen ego in animum inducere non possum. Videor enim mihi animadvertisse ex Strabone, et ostendam opportuniore loco, Artemidorum Agatharchidis scrinia compilasse, et de Troglodytis Arabicique sinus accolis omnia iisdem pæne verbis esse exsecutum; unde conclusione quadam conficio, non unius, quæ viri doctissimi sententia, anni, sed plurium intervallum inter utriusque publicata scripta intercessisse: tantoque magis, quod eadem in Ægypto et Ptolemæorum gratia uterque egerit, nec fieri potuisse videatur, ut intra unius anni spatium Artemidorus tantum opus absolverit. Forte itaque Ptolemæus, cujus tutelam Agatharchides administravit, is est, quem Soterem Porphyrius, Physconem II alii appellant. [Regnavit Ptol. Soter II an. 117-107.] Quo modo et justam temporis intercapedinem Agatharchidem inter et Artemidorum habebimus, et illis satis fiet, quæ de Agatharchide prodita novimus. » Verba sunt Wesselingii (ad Diodor. III, 11,1), cui astipulatur Clintonus (F. H. tom. III, p. 535 sq. (*) et ad an. 213).

Opera Agatharchidis quæ viderit Photius recenset tria : Τὰ περὶ τῆς Ἐρυθρᾶς θαλάσσης, τὰ κατὰ τὴν Ἀσίαν, τὰ κατὰ τὴν Εὐρώπην. Et ipse Agatharchides in Epilogo operis De mari Rubro non nisi multa illa, quæ ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας conscripserit, memorat. Alterutrum horum operum Photius verbis : ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν, signasse putandus est. Nam mirum foret Photium opera Agatharchidis recensentem non attulisse eorum argumentum librorum, quos ipse legerat. Reliquiæ omnes ex tribus illis operibus petitæ sunt. Excerpta et fragmenta ex libris De mari Rubro jam nihil curamus; nam geographica sunt. Contra ad historias pertinent opera de rebus Asiæ et Europæ. Argumentum τῶν κατὰ τὴν Ἀσίαν (fr. 14. 18; τῶν Ἀσιατικῶν fr. 16; τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν fr. 17) quæ decem libris auctor absolvit, definire videtur Josephus A. J. XII, 1 (fr. 19), ubi de re ad Seleucum Nicatorem spectante laudatur Agatharchides ὁ τὰς τῶν διαδόχων ἱστορίας συγγραψάμενος. Nec ultra τῶν διαδόχων tempora auctorem descendisse vel inde colligas quod e libro nono (fr. 17) exstat locus de Hieronymo Cardiano, et quod libri octavi et decimi fragmenta item sunt de comitibus Alexandri. — Alia ratio fuit τῶν κατὰ τὴν Εὐρώπην ἐν βιβλ. μθ', quæ ex uno Athenæo novimus, modo laudato titulo Εὐρωπιακῶν (fr. 1. 3. 4. 5. 7. 10 — 12), modo simpliciter citato Agatharchide ἐν ιβ', ἐν λ' Ἱστοριῶν (fr. 2. 8), vel ἐν κζ', ἐν λα' (fr. 6. 9), tituli mentione omissa. In hisce libris quadraginta novem res eorum qui in Europa Alexandro successerunt, ad suam fere ipsius usque ætatem Ag. persecutus esse videtur. In libris 31. 34. 35. 38 dubium vix est quin versatus sit in narrandis rebus Philippi ejus qui pater erat Persei. Unde suspiceris reliquis libris undecim (ex quibus nihil superstes) usque ad finem regni Macedonici (168 a. C.) auctorem devenisse. — De indole harum historiarum quum certius judicium reliquiarum tenuitas non admittat, in præconio quo Photius Agatharchidem ornat, acquiescimus.

Inter reliquos libros, quos Agatharchidi tribui apud nonnullos Photius legerat, offendunt libri quinque Περὶ Τρωγλοδυτῶν. Neque erraverim aiens alium esse titulum operis *De mari Rubro*. Quæ deinde ponitur inscriptio Ἐπιτομὴ τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, in voce ultima mendam traxerit. Doctus quidam scribendum propo-

(*) Verba Clintonis hæc sunt: « The arguments by which he establishes (Dodwellus) this, are not convincing; and Wesseling with better reason thinks that the elder brother was the pupil. Dodwell objects to Soter that he reigned jointly with his mother. But *Alexander* himself reigned jointly with his mother : so that this objection would apply to both. The expression, ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ... καὶ τῆς ὅλης βασιλείας, could only apply to *Alexander* in in B. C. 107. But, as *Physcon* the father had married their mother *Ceopatra* more than twenty-three years before (v. p. 388), it is far more probable that Soter II should have been in minority at his accession in B. C. 117, than that *Alexander* should have been still a minor in B. C. 107, ten years after the fathers death. To this we may add the observation of Wesseling, that the date of Dodwell brings *Agatharchides* too neer the time of *Artemidorus*. »

suit ἀνδρῶν, quod merito respuit Jonsius (Scr. H. Phil. p. 207), fuisse suspicans : Περὶ ἀνέμων, adeo ut duo memorentur scripta, alterum De mirabilibus, De ventis alterum. Præstat, puto, Westermanni (Paradox. p. XVII) sententia, qui vocem ἀνέμων ex alius vocabuli, velut ἀκουσμάτων vel ἀναγνωσμάτων, compendio ortam esse censet. Fortasse legendum ἐθῶν, comparato libro Nicolai Dam., cui titulus : συναγωγὴ παραδόξων ἐθῶν. — De Ἐκλογαῖς ἱστοριῶν dicere nihil habeo. De Epitome τῆς Ἀντιμάχου Λύδης cf. Osann. in *Hermes,* XXXI, p. 199.

ΕΥΡΩΠΙΑΚΑ.

Ἐν βιβλίοις μθʹ.

1.

E LIBRO SEXTO.

Athenæus VII, p. 297, D : Φησὶ γοῦν Ἀγαθαρχίδης ἐν ἕκτῃ Εὐρωπιακῶν τὰς ὑπερφυεῖς τῶν Κωπαΐδων ἐγχελέων ἱερείων τρόπον στεφανοῦντας, καὶ κατευχομένους οὐλάς τ' ἐπιβάλλοντας θύειν τοῖς θεοῖς τοὺς Βοιωτούς· καὶ πρὸς τὸν ξένον τὸν διαποροῦντα τὸ τοῦ ἔθους παράδοξον καὶ πυνθανόμενον, ἓν μόνον εἰδέναι φῆσαι τὸν Βοιωτὸν, φάσκειν τε ὅτι δεῖ τηρεῖν τὰ προγονικὰ νόμιμα, καὶ ὅτι μὴ καθήκει τοῖς ἄλλοις ὑπὲρ αὐτῶν ἀπολογίζεσθαι.

2.

E LIBRO DUODECIMO.

Idem XII, p. 527, B : Ἀγαθαρχίδης δ' ἐν δωδεκάτῃ Ἱστοριῶν « Αἰτωλοὶ (φησὶ) τοσούτῳ τῶν λοιπῶν ἑτοιμότερον ἔχουσι πρὸς θάνατον, ὅσῳπερ καὶ ζῆν πολυτελῶς καὶ ἐκτενέστερον ζητοῦσι τῶν ἄλλων. » Cf. Droysen. *Hellenism.* II, p. 87.

3.

E LIBRO DECIMO SEXTO.

Idem XII, p. 550, B : Ἀγαθαρχίδης δ' ἐν τῇ ἑκκαιδεκάτῃ Εὐρωπιακῶν, Μάγαν φησὶ, τὸν Κυρήνης βασιλεύσαντα ἔτη πεντήκοντα, ἀπολέμητον γενόμενον, καὶ τρυφῶντα, κατάσαρκον γενέσθαι ἐκτόπως τοῖς ὄγκοις κατὰ τὸν ἔσχατον καιρὸν, καὶ ὑπὸ τοῦ πάχους ἀποπνιγῆναι, δι' ἀργίαν σώματος καὶ τὸ προσφέρεσθαι πλῆθος τροφῆς.

Mortem Magæ Cyrenarum regis Agatharchides in Εὐρωπιακοῖς narravit, quoniam quæ subsecuta Cyrenis sunt, ad regiæ in Macedonia familiæ historiam pertinent. Quæ de his comperta habemus, leguntur ap. Justinum XXVI, 3 : *Per idem tempus* (circa 250 a. C.) *rex Cyrenarum Magas decedit : qui ante infirmitatem Beronicen, unicam filiam, ad finienda cum Ptolemæo fratre certamina filio ejus* (Ptolemæo III Evergetæ) *desponderat. Sed post mortem regis, mater virginis Arsinoe, ut invita se contractum matrimonium solveretur, misit qui ad nuptias virginis, regnumque Cyrenarum, Demetrium, fratrem regis Antigoni* (Gonatæ, et patrem Antigoni Dosonis sec. Euseb. Chron. p. 181 ed. Mai.), *a Macedonia arcesserent : qui et ipse ex filia Ptolemæi procreatus erat. Sed nec Demetrius moram fecit. Itaque quum secundante vento celeriter Cyrenas advolasset, fiducia pulcritudinis, qua nimis placere socrui cœperat, statim a principio superbus, regiæ familiæ militibusque impotens erat, studiumque placendi a virgine in matrem contulerat. Quæ res suspecta primo virgini, dein popularibus militibusque invisa fuit. Itaque versis omnium animis in Ptolemæi filium, insidiæ Demetrio comparantur : cui quum in lectum socrus concessisset, percussores immittuntur*, etc.

4.

E LIBRO DECIMO NONO.

Idem XIV, p. 650, F : Σίδας δὲ ὅτι τὰς ῥοιὰς καλοῦσι Βοιωτοὶ, Ἀγαθαρχίδης ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Εὐρωπιακῶν οὕτως γράφει· « Ἀμφισβητούντων Ἀθηναίων πρὸς Βοιωτοὺς περὶ τῆς χώρας, ἣν καλοῦσι Σίδας, Ἐπαμινώνδας δικαιολογούμενος, ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεχρυμμένην ῥόαν, καὶ δείξας, ἤρετο

DE REBUS EUROPÆIS LIBRI XLIX.

1.

Scribit Agatharchides sexto Europiacorum, Bœotos ex anguillis Copaidibus eas quæ sint eximiæ magnitudinis, in victimarum modum coronatas, inspersa mola, inter preces diis immolare : et peregrino homini, miranti insolitum sacrificii genus, ejusque causam sciscitanti, respondisse Bœotum, nonnisi unum se scire dicereque, servanda esse instituta patria, neque decere rationem eorum reddere aliis.

2.

Agatharchides, duodecimo Historiarum libro, ait : « Ætoli aliis hominibus tanto paratiores sunt ad mortem, quo magis et impensius, quam alii, sumptuose vivere solent. »

3.

Agatharchides libro decimo sexto Rerum Europæarum scribit Magam, qui Cyrenis per annos quinquaginta regnavit, quum bellis non occuparetur et luxu difflueret, immensa carnis mole auctum fuisse sub extremum ætatis tempus; tandemque, quum corpus nunquam exercitaret, et ciborum copia oneraret ventrem, ipsa pinguedine esse suffocatum.

4.

Sidas a Bœotis nominata esse mala Punica Agatharchides docet, libro decimo nono De rebus Europæis, ita scribens : « Disceptantibus Atheniensibus cum Bœotis de agro quem *Sidas* vocant, Epaminondas jura Bœotorum defendens, subito malum Punicum, quod sinistra manu occul-

αὐτοὺς, τί καλοῦσι τοῦτο. Τῶν δ' εἰπόντων ῥόαν, Ἀλλ' ἡμεῖς, εἶπε, σίδαν. Ὁ δὲ τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὐτῷ πλεῖστον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς εἴληφε προσηγορίαν, καὶ ἐνίκησε. » De Sida Bœotiæ regione aliunde non constat, quantum sciam. De alia quadam planta, punico malo simili, quæ item *sida* nominatur et in palude circa Orchomenum nascitur, v. Theophrast. ap. Athen. l. l. ibique interpretes. *Sidam* Laconiæ oppidulum memorat Pausanias III, 22. Ceterum Agatharchides rem ad Epaminondæ tempora pertinentem data occasione attulisse putandus est. Sermo fortasse erat de Oropi regione, de qua toties inter Bœotos et Athenienses disceptatum est.

5.

E LIBRO VICESIMO SECUNDO.

Idem VI, p. 246, E: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Εὐρωπιακῶν, Ἀριστομάχου τοῦ Ἀργείων τυράννου παράσιτον γενέσθαι φησὶν Ἀνθεμόκριτον τὸν παγκρατιαστήν.

Duo fuerunt Aristomachi, Argivorum tyranni. Post Aristomachum I (v. Plutarch. Arat. c. 25) tyrannide potitur Aristippus, et mox post hujus obitum Aristomachus II (v. Plut. l. l. 29), qui deinde (a. 226) Achæorum fœderi se adjunxit (id. ib. 35 sqq.). Cf. de hoc Polyb. II. 44. 59. 60, Pausanias II, 8, 6. Quemnam Noster intellexerit, non liquet.

6.

E LIBRO VICESIMO SEPTIMO.

Idem XII, p. 550, B: Παρὰ δὲ Λακεδαιμονίοις ὁ αὐτὸς (Ἀγαθαρχίδης) ἱστορεῖ διὰ τῆς ἑβδόμης καὶ εἰκοστῆς οὐ τῆς τυχούσης ἀδοξίας νομίζεσθαι, εἴ τις ἢ τὸ σχῆμα ἀνανδρότερον ἔχων, ἢ τὸν ὄγκον τοῦ σώματος προπετὴς ἐφαίνετο, γυμνῶν κατὰ δέκα ἡμέρας παριστάμενων τοῖς ἐφόροις τῶν νέων. Καθεώρων δὲ οἱ ἔφοροι καὶ καθ' ἑκάστην ἡμέραν καὶ τὰ περὶ τὴν ἔνδυσιν καὶ τὴν στρωμνὴν τῶν νέων· εἰκότως. Καὶ γὰρ ὀψοποιοὶ ἦσαν παρὰ Λακεδαιμονίοις κρέως σκευασίας, ἄλλου δ' οὐδενός. Κἂν τῇ δ' ἑβδόμῃ εἰκοστῇ ὁ Ἀγαθαρχίδης ἔφη, Λακεδαιμόνιοι Ναυκλείδην τὸν Πολυβιάδου, παντελῶς ὑπερσαρκοῦντα τῷ σώματι, καὶ παχὺν διὰ τρυφὴν γενόμενον, καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν, καὶ Λυσάνδρου πολλὰ ὀνειδίσαντος ἐν τῷ κοινῷ, ὡς τρυφῶντι, παρ' ὀλίγον ἐξέβαλον ἐκ τῆς πόλεως, ἀπειλήσαντες τοῦτο ποιήσειν, εἰ μὴ τὸν βίον ἐπανορθώσαιτο. Εἰπόντος τοῦ Λυσάνδρου, ὅτι καὶ Ἀγησίλαος, ὅτε διέτριβε περὶ τὸν Ἑλλήσποντον πολεμῶν τοῖς βαρβάροις, ὁρῶν τοὺς Ἀσιαγενεῖς ταῖς μὲν στολαῖς πολυτελῶς ἠσκημένους, τοῖς σώμασι δ' οὕτως ἀχρείους ὄντας, γυμνοὺς πάντας ἐκέλευσε τοὺς ἁλισκομένους ἐπὶ τὸν κήρυκα ἄγειν, καὶ χωρὶς πωλεῖν τὸν τούτων ἱματισμόν, ὅπως οἱ σύμμαχοι γιγνώσκοντες, διότι πρὸς μὲν ἆθλα μεγάλα, πρὸς δ' ἄνδρας εὐτελεῖς ὁ ἀγὼν συνέστηκε, προθυμότερον ταῖς ψυχαῖς ὁρμῶσιν ἐπὶ τοὺς ἐναντίους. In altero libri numero erratum esse videtur; fortasse scr. κἂν τῇ δ' ὀγδόῃ εἰκ.; certe e libro 28 ejusdem plane argumenti locus affertur. Agebat in his libris Agatharchides de iis temporibus, quibus veterem Lycurgi rempublicam Agis et Cleomenes restituere tentarunt.

7.

E LIBRO VICESIMO OCTAVO.

Idem IV, p. 168, D: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ πρὸς ταῖς εἴκοσι τῶν Εὐρωπιακῶν, « Γνώσιππον (φησὶν) ἄσωτον γενόμενον ἐν τῇ Σπάρτῃ ἐκώλυον οἱ ἔφοροι συναναστρέφειν τοῖς νέοις. » De Gnosippo, si-

---

tum tenuerat, sumens ostendensque, quæsivit ex Atheniensibus, quo nomine hoc vocarent? Quumque illi respondissent ῥόαν: « At nos, inquit, sidam. » Habet autem is locus plurimas id genus arborum, unde principio nomen ei est inditum. Atque ita causam Epaminondas obtinuit. »

5.

Agatharchides Cnidius, libro vicesimo secundo Rerum Europæarum, Anthemocritum pancratiasten Aristomachi Argivorum tyranni parasitum fuisse refert.

6.

Apud Lacedæmonios, ut idem Agatharchides libro vicesimo septimo tradit, insigne probrum habebatur, si quis aut habitu corporis parum virili, aut mole ventris nimium prominente deprehenderetur, quum decimo quoque die nudos se juvenes ephoris inspiciendos præberent. Observabant etiam quotidie ephori quum vestitum tum cubilia juvenum; et merito quidem: nam et coqui apud Lacedæmonios nulli erant, nisi carni apparandæ; nec ullis in cupediis ars eorum versabatur. Porro in vicesimo septimo [*octavo?*] libro idem Agatharchides ait, Nauclidem Polybiadis filium, quum ob vitæ mollitiem supra modum corpulentus obesusque esset, a Lacedæmoniis in mediam concionem fuisse productum; et publice a Lysandro acerbe objurgatum ut mollem et voluptarium, propemodum ex urbe fuisse ejectum; idque futurum minitatos ei esse cives, ni vitam corrigeret. Qua occasione commemoravit Lysander, Agesilaum, quum barbaris bellum faceret ad Hellespontum, videretque Asiaticos homines sumptuosis stolis excultos, corporibus vero adeo imbelles et inutiles esse, captivos omnes ad præconem nudos duci jussisse, et vestimenta eorum separatim vendi: quo socii intelligentes præmiorum ampla spe adversus viles homines bellum geri, alacrioribus animis cum hostibus pugnarent.

7.

Agatharchides Cnidius, vicesimo octavo Rerum Europæarum: « Gnosippum Spartæ, ait, quum luxuriosus esset, vetuere ephori cum juvenibus conversari.

cuti de Hæresippo, qui fr. 8 memoratur, aliunde mihi non constat.

8.

E LIBRO TRICESIMO.

Idem VI, p. 251, F: Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ τῶν Ἱστοριῶν, « Αἰρήσιππος (φησὶν) ὁ Σπαρτιάτης, ἄνθρωπος οὐ μετρίως φαῦλος, οὐδὲ δοκῶν χρηστὸς εἶναι, πιθανὸν δ' ἔχων ἐν κολακείᾳ λόγον, καὶ θεραπεῦσαι τοὺς εὐπόρους μέχρι τῆς τύχης δεινός. »

9.

E LIBRO TRICESIMO PRIMO.

Idem XII, p. 527, F: Ἐν δὲ τῇ τριακοστῇ πρώτῃ Ζακυνθίους φησὶν (sc. Ἀγαθαρχίδης) ἀπείρους εἶναι πολέμου, διὰ τὸ ἐν εὐπορίᾳ καὶ πλούτῳ τρυφῶντας ἐθίζεσθαι. Temporum, quæ in antecedentibus libris tractantur, ratione habita, probabile mihi esse videtur, sermonem h. l. fuisse de Philippo rege, qui (an. 217) classe Zacynthum profectus res insulæ ex sua auctoritate constituit. Polyb. V, 102, 10. De Philippo Cephalleniam oppugnante v. idem V, 3 sq.

10.

E LIBRO TRICESIMO QUARTO.

Idem IX, p. 387, C: Ἀγαθαρχίδης δὲ ὁ Κνίδιος ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν, περὶ τοῦ Φάσιδος ποταμοῦ τὸν λόγον ποιούμενος, γράφει καὶ ταῦτα· « Πλῆθος δ' ὀρνίθων τῶν καλουμένων φασιανῶν φοιτᾷ τροφῆς χάριν πρὸς τὰς ἐμβολὰς τῶν στομάτων. » De his Ag. exposuerit ubi de Philippi rebus in Asia gestis sermo erat. Prusiæ genero auxilians Philippus Cium et Myrleam expugnavit, an. 203 a. C. Sequenti anno Attali ditionem invasit, uti constat.

11.

E LIBRO TRICESIMO QUINTO.

Idem XII, p. 527, F: Ἀγαθαρχίδης δ' ἐν τῇ τριακοστῇ πέμπτῃ τῶν Εὐρωπιακῶν, « Ἀρυκανδεῖς (φησὶ) Λυκίας, ὅμοροι ὄντες Λιμυρεῦσι, διὰ τὴν περὶ τὸν βίον ἀσωτίαν καὶ πολυτέλειαν κατάχρεοι γενόμενοι, καὶ διὰ τὴν ἀργίαν καὶ φιληδονίαν ἀδυνατοῦντες ἀποδοῦναι τὰ δάνεια, προσέκλιναν ταῖς Μιθριδάτου ἐλπίσιν, ἆθλον ἕξειν νομίσαντες χρεῶν ἀποκοπάς. »

Mithridates esse debet quartus hujus nominis rex Ponticus, qui (sec. Clinton. F. H. III, p. 424 sq.) regnasse videtur an. 240-190 a. C. Qua occasione hæc narrarit Ag., nescio. Consentaneum vero est desumpta esse ex narratione de rebus Philippi in Asia gestis.

E LIBRO TRICESIMO OCTAVO.

Idem VI, p. 272, D: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν τῇ ὀγδόῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν Δαρδανεῖς φησι δούλους κεκτῆσθαι τὸν μὲν χιλίους, τὸν δὲ καὶ πλείους. Τούτων δ' ἕκαστον ἐν μὲν εἰρήνῃ γεωργεῖν, ἐν πολέμῳ δὲ λοχίζεσθαι, ἡγεμόνα νέμοντας τὸν ἴδιον δεσπότην. Hæc pertinuisse videntur ad historiam bellorum, quæ Philippus contra Thraciæ gentes gessit.

13.

E LIBRO INCERTO.

Idem I, p. 28, D: Ἐν δὲ Ἴσσῃ τῇ κατὰ τὸν Ἀδρίαν νήσῳ, Ἀγαθαρχίδης φησὶν οἶνον γίνεσθαι, ὃν πᾶσι συγκρινόμενον καλλίω εὑρίσκεσθαι.

8.

Agatharchides tricesimo Historiarum libro: « Hæresippus Spartanus, inquit, homo erat non mediocriter improbus, et ne speciem quidem ullam boni viri habens, singulari vero in assentando vi persuadendi valebat; in colendis divitibus, dum fortuna floreret, mirus artifex. »

9.

Libro tricesimo primo Agatharchides ait Zacynthios esse belli imperitos, quod divitiis et omnium rerum copia abundantes, deliciis sint assueti.

10.

Agatharchides Cnidius quarto et tricesimo Rerum Europæarum, de Phaside verba faciens, hæc scribit: « Multitudo vero Phasianarum quæ vocantur avium pabuli causa eo convolant, ubi fluminis ostia mare influunt. »

11.

Agatharchides libro tricesimo quinto Rerum Europæarum scribit: « Arycandenses Lyciæ, Limyrensium vicini, quum propter luxuriam et sumptuosam vitam ingens æs alienum conflassent, et ob inertiam et voluptatis studium usuras non possent persolvere, Mithridatis partibus se adjunxerunt, sperantes mercedem se ab eo novas tabulas relaturas. »

12.

Agatharchides Cnidius octavo et tricesimo libro Rerum Europæarum Dardanos ait possidere servos, alium mille, alium etiam plures. Horum quemque pacis tempore colere agros; in bello vero centuriari et arma ferre duce domino.

13.

In Issa, Adriatici maris insula, vinum nasci Agatharchides ait, quod cum aliis omnibus collatum, antecellere bonitate compertum sit.

ΑΣΙΑΤΙΚΑ

ἐν βιβλ. ι'.

14.

E LIBRO SECUNDO.

Diodorus III, 11, 1 : Περὶ δὲ τῶν συγγραφέων ἡμῖν διοριστέον, ὅτι πολλοὶ συγγεγράφασι περὶ τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας, ὧν οἱ μὲν ψευδεῖ φήμῃ πεπιστευκότες, οἱ δὲ παρ' ἑαυτῶν πολλὰ τῆς ψυχαγωγίας ἕνεκα πεπλακότες, δικαίως ἂν ἀπιστοῖντο. Ἀγαθαρχίδης μὲν γὰρ ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν περὶ τὴν Ἀσίαν, καὶ ὁ τὰς Γεωγραφίας συνταξάμενος Ἀρτεμίδωρος ὁ Ἐφέσιος κατὰ τὴν ὀγδόην βίβλον, καί τινες ἕτεροι τῶν ἐν Αἰγύπτῳ κατοικούντων ἱστορηκότες τὰ πλεῖστα τῶν προειρημένων ἐν πᾶσι σχεδὸν ἐπιτυγχάνουσι.

Colligitur hinc Agatharchidem in Historiis Asiaticis haud pauca exposuisse eorum, quæ fusius postea in libris V De mari Rubro tractavit. Illis vero non acquievisse Diodorum, sed pleraque eorum, quæ lib. III, 2—48 de Æthiopibus habet, e majori illo opere descripsisse Excerpta Photiana docent. Quare quæ sunt apud Diodorum aliosque de istis populis et regionibus fragmenta Agatharchidis, non hoc loco exhibenda, sed cum Photianis Exc. componenda esse duximus. Expressis verbis Agatharchides laudatur apud Diodor. III, 8, 4 (cf. Ag. De m. Rubro p. 57 sq. ed. Hudson.) et III, 48 (cf. id. p. 66), et I, 41 de Nili incrementis, quem locum dabimus fr. 15, quamvis et ipse fortasse ex libris De m. Rubro petitus fuerit. Denique citatur Noster apud Strabon. XVI, p. 778 (de nomine maris Rubri), Plutarch. Sympos. VIII, 9, Ælian. V, 27 (de bestiis Æthiopiæ); Plin. H. N. VII, 2, p. 8 ed. Tauchn. (coll. Agath. p. 43 Huds.).

15.

Idem I, 41, 4, de Nili incrementis : Ἔγγιστα δὲ τῇ ἀληθείᾳ προσελήλυθεν Ἀγαθαρχίδης ὁ Κνίδιος· φησὶ γὰρ κατ' ἐνιαυτὸν ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν ὄρεσι γίνεσθαι συνεχεῖς ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς μετοπωρινῆς ἰσημερίας· εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, τὴν κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκχεομένους ὄμβρους λαμβάνειν τὴν αὔξησιν. Εἰ δὲ τὰς αἰτίας μηδεὶς ἀποδοῦναι δύναται μέχρι τοῦ νῦν τῆς τῶν ὑδάτων γενέσεως, οὐ προσήκειν ἀθετεῖσθαι τὴν ἰδίαν ἀπόφασιν· πολλὰ γὰρ τὴν φύσιν ἐναντίως φέρειν, ὧν τὰς αἰτίας οὐκ ἐφικτὸν ἀνθρώποις ἀκριβῶς ἐξευρεῖν· μαρτυρεῖν δὲ τοῖς ὑφ' ἑαυτοῦ λεγομένοις καὶ τὸ γινόμενον περί τινας τόπους τῆς Ἀσίας. Πρὸς μὲν γὰρ τοῖς ὅροις τῆς Σκυθίας τοῖς πρὸς τὸ Καυκάσιον ὄρος συνάπτουσι, παρεληλυθότος ἤδη τοῦ χειμῶνος, καθ' ἕκαστον ἔτος νιφετοὺς ἐξαισίους γίνεσθαι συνεχῶς ἐπὶ πολλὰς ἡμέρας, ἐν δὲ τοῖς πρὸς βορρᾶν ἐστραμμένοις μέρεσι τῆς Ἰνδικῆς ὡρισμένοις καιροῖς καὶ χάλαζαν ἄπιστον τὸ μέγεθος καὶ τὸ πλῆθος καταράττειν, καὶ περὶ μὲν τὸν Ὑδάσπην ποταμὸν ἀρχομένου θέρους συνεχεῖς ὄμβρους γίνεσθαι, κατὰ δὲ τὴν Αἰθιοπίαν μεθ' ἡμέρας τινὰς ταὐτὸ συμβαίνειν, καὶ ταύτην τὴν περίστασιν κυκλουμένην ἀεὶ τοὺς συνεχεῖς τόπους χειμάζειν. Οὐδὲν οὖν εἶναι παράδοξον εἰ καὶ κατὰ τὴν Αἰθιοπίαν τὴν κειμένην ὑπὲρ Αἰγύπτου συνεχεῖς ἐν τοῖς ὄρεσιν ὄμβροι καταράττοντες ἐν τῷ θέρει πληροῦσι τὸν ποταμόν, ἄλλως τε καὶ τῆς ἐναργείας αὐτῆς μαρτυρουμένης ὑπὸ τῶν περὶ τοὺς τόπους οἰκούντων βαρβάρων. Εἰ δὲ τοῖς παρ' ἡμῖν γινομένοις ἐναντίαν ἔχει τὰ λεγόμενα φύσιν, οὐ διὰ τοῦτ' ἀπιστητέον· καὶ γὰρ τὸν

DE REBUS ASIATICIS LIBRI X.

14.

Nunc de scriptoribus aliquid definiendum est. Multi enim de Ægypto et Æthiopia narrationes contexuere; quibus, quod vel mendaci famæ crediderint, vel ex ingenio suo voluptatis causa multa finxerint, merito fides deroganda est. Agatharchides autem Cnidius, libro secundo Rerum Asiaticarum, et Artemidorus Ephesius Geographiarum auctor, libro octavo, et quidam alii ex Ægypti incolis, qui historias de rebus a nobis supra recensitis ediderunt, veritatem prope in omnibus assequuntur.

15.

Quam proxime ad verum accessit Agatharchides Cnidius. Is enim memorat, quotannis in Æthiopiæ montibus pluvias exsistere continentes, a retrogressione solis æstiva usque ad diei et noctis exæquationem autumnalem. Consentaneum esse igitur rationi, Nilum hieme contrahi, ubi pro naturæ suæ modo a solis fontibus procurreret, et per æstatem ab imbribus effusis increscere. Etsi autem nemo hactenus generationis aquarum rationes reddere potuerit, suæ tamen sententiæ expositionem idcirco non repudiandam esse docet. Multa enim naturam ferre contra solitum, quorum causas homines accurate invenire non possent. Dictis a se testimonium id afferre, quod in aliquibus Asiæ locis accideret. Nam in finibus Scythiæ Caucasium montem attingentibus, jam hieme exacta, singulis annis per dies continue multos vim nivium immanem decidere. In Indiæ quoque partibus ad Boream conversis grandinem magnitudine et copia incredibili certis temporibus præcipitare; et circa Hydaspin fluvium ineunte æstate continenter pluere. Id ipsum in Æthiopia quoque aliquot diebus post contingere. Et hanc aeris intemperiem perpetuo circumactam locis contiguis tempestates inducere. Non igitur mirum, si et Æthiopiæ, supra Ægyptum sitæ, montana assiduis obruerentur imbribus, unde per æstatem fluvius auctior factus insurgeret; præsertim quum rem ita se habere barbari locorum accolæ testarentur. Quodsi hæc jam memorata contrariam habeant naturam iis, quæ apud nos fiunt, non propterea fidem esse derogandam. Nam austrum apud nos turbidum

νότον παρ' ἡμῖν μὲν εἶναι χειμέριον, περὶ δὲ τὴν Αἰθιοπίαν αἴθριον ὑπάρχειν, καὶ τὰς βορείους πνοὰς περὶ μὲν τὴν Εὐρώπην εὐτόνους εἶναι, κατ' ἐκείνην δὲ τὴν χώραν βληχρὰς καὶ ἀτόνους [καὶ παντελῶς ἀσθενεῖς]. Eadem brevius ex Agatharchide narrat Theophylactus Hist. lib. VII ap. Phot. cod. 65, p. 32, a, 4 ed. Bekker.

16.

E LIBRO OCTAVO.

Athenæus IV, p. 155, C: Ἀγαθαρχίδης δ' ὁ Κνίδιος ἐν ὀγδόῃ Ἀσιατικῶν ἱστορεῖ, ὡς οἱ ἑστιῶντες Ἀλέξανδρον τὸν Φιλίππου τῶν φίλων τὸ μέλλον παρατεθήσεσθαι τῶν τραγημάτων περιεχρύσουν· ὅτε δὲ θέλοιεν ἀναλίσκειν, περιελόντες τὸν χρυσὸν ἅμα τοῖς ἄλλοις ἐξέβαλλον, ἵνα τῆς μὲν πολυτελείας οἱ φίλοι θεαταὶ γένοιντο, οἱ δ' οἰκέται κύριοι.

17.

E LIBRO NONO.

Lucianus Macrob. c. 22: Ἱερώνυμος (Cardianus) δὲ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη τέτταρα καὶ ἑκατὸν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἐνάτῃ τῶν Περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενομένου τῶν πρὸς ὑγιείαν ἐλλιπῆ.

18.

E LIBRO DECIMO.

Athen. XII, p. 539, B: Φύλαρχος δ' ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῷ δεκάτῳ Περὶ Ἀσίας, καὶ τοὺς ἑταίρους φησὶ τοῦ Ἀλεξάνδρου ὑπερβαλούσῃ τρυφῇ χρήσασθαι. Ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. Κλεῖτος δὲ, ὁ Λευκὸς καλούμενος, κ. τ. λ. Sequentia exscripsimus in fragm. 43 Phylarchi, ubi vide.

E LIBRIS INCERTIS.

19.

Josephus C. Apion. I, c. 22: Οὐκ ὀκνήσω δὲ καὶ τὸν ἐπ' εὐηθείας διασυρμῷ, καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. Διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, ὃν τρόπον ἦλθε μὲν εἰς Συρίαν ἐκ Μακεδονίας, καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον, Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησε, ποιουμένου δὲ τὴν ἀπὸ Βαβυλῶνος στρατιὰν αὐτοῦ, τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν. Εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεὺς, ἁλισκομένης τῆς Ἀντιοχείας, εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ ἀπέθανεν. Ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης, καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν, παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ καὶ γέγραφεν οὕτως· « Οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας, καὶ μηδὲ τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρημένοις χρόνοις, μήτε γεωργίας ἅπτεσθαι, μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως, καὶ τῶν ἀνθρώπων ἀντὶ τοῦ φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει

---

esse et nimbosum, in Æthiopia vero serenum, et boreales ventos in Europa esse concitatos et vehementes, in illis regionibus remissos [prorsusque infirmos].

16.

Agatharchides Cnidius, Asiaticarum Historiarum libro octavo, narrat « Alexandri amicos, Philippi filii, epulis excipientes regem, deaurasse bellaria mensis imponenda: quoties vero comedere aliquid ex his voluissent, detrahentes aurum, simul cum ceteris rebus (ad comedendum inutilibus) abjecisse; ut magnificentiæ spectatores essent familiares, fructus autem illius ad servos rediret. »

17.

Hieronymus (*Cardianus*), in bellis versatus, multos labores perpessus et vulnera, annos vixit quattuor supra centum, ut ait Agatharchides in nono Historiarum Asiæ libro, atque admiratur virum, qui ad ultimum vitæ diem aptus fuerit consuetudini hominum, nec in ullius sensus usu aut sanitate quidquam desideraverit.

18.

Phylarchus libro Historiarum vicesimo tertio et Agatharchides Cnidius decimo De Asia, etiam amicos Alexandri immani luxuria esse scribunt. Quorum unus fuit Agnon, qui aureis clavis confixas crepidas calceosque gestabat.

19.

Non me pigebit nominare Agatharchidem, cum irrisione simplicitatis, ut ipsi visum est, nostrûm mentionem facientem. Is enim narrans de Stratonice, quemadmodum in Syriam quidem e Macedonia venerit, viro suo Demetrio derelicto; Seleuco autem uxorem eam ducere nolente, id quod ipsa exspectaverat, exercitum vero apud Babylonem illo colligente, res novas circa Antiochiam molita sit. Deinde, post regis reversionem capta Antiochia, in Seleuciam fugerit: quumque liceret ipsi statim navi discedere, somnio id facere prohibenti parendo capta sit et interierit. Ista præfatus Agatharchides, et cum dicteriis Stratonicæ exprobrans superstitionem, in exemplum adhibet quod de genere nostro dicitur, et in hunc modum scripsit: « Ii qui appellantur Judæi, quum urbem habeant firmissimam, quam ab indigenis Hierosolyma vocari accidit, soliti otiari diebus septimis, ita ut eo tempore nec arma ferant, nec agrum colant, nec alius omnino cujusquam ministerii curam habeant, sed in templo extensis manibus preces faciant ad vesperam usque,

δεσπότην πικρὸν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν. Τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε τηνικαῦτα φυγεῖν ἐνύπνια καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκ' ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορουμένων ἐξασθενήσωσιν. »

(**) Cicero Brut. c. 89: *Eodem anno* (sc. Sulla et Pompeio coss. a. 88) *etiam Moloni Rhodio Romæ dedimus operam et actori summo causarum et magistro.* Id. ib. c. 91: *Post a me tota Asia peragrata est et cum summis quidem oratoribus*, etc. *Quibus non contentus, Rhodum veni, meque ad eundem, quem Romæ audiveram, Molonem applicavi.* Cf Plutarch. Cic. c. 4. Strabo XIV, p. 6 5, Molonem inter illustres Alabandenses recenset, et p 660 inter eos, qui Rhodi ἐσοφίστευσαν. Molonem audivit etiam Lucceius (Cic. Ep. ad Att. II, 1) et Cæsar (Plut. Cæs. c. 3; Sueton. Cæs. c. 4). Cf. præterea Cic. De orat. I, 17, 28, De divin. I, 56; Quinctil. XII, 6. III, 1, 16; Walz. Rhet. Gr. tom. VIII, p. 494; Phœbammon p. 89; Porphyr. Qu. Hom. 4. Schol. Arist. Nub. 144, ubi: Τοῦτον (sc. τὸν χρησμὸν Pythiæ versibus trimetris conceptum de Socrate omnium hominum sapientissimo) Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ Κατὰ φιλοσόφων ἐψεῦσθαί φησι· τοὺς γὰρ Πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι. Inter eos qui de rebus Ægyptiorum scripserint, nominatur ap. Cosmam Topograph. Christ. XII, p. 341. Cf. Clinton. F. H. ad an. 88 et 78. Westermann. *Gesch. d. gr. Bereds.* p. 177, n. 9.

(***) Josephus C. Ap. II, 14: Καὶ Ἀπολλώνιος ὁ Μόλων καὶ Λυσίμαχος καί τινες ἄλλοι τὰ μὲν ὑπ' ἀγνοίας, τὸ πλεῖστον

Timochares, qui De rebus Antiochi scripsit, aliunde mihi non notus est. Diversus haud dubie fuit ab Timochare astronomo (schol. Arat. Phæn. 269), de quo vide Schœll. *Gesch. d. Gr. Lit.*, II, p. 244.

Theophilus num is sit qui Ἰταλικὰ, Πελοποννησιακὰ, Σικελίας περιήγησιν, alia scripsit (vide auctores ætatis incertæ), non dijudico.

Syriæ mensorem intelligo *Xenophontem*, quem ipse Alexander (Περὶ Συρίας) laudat fr. 97. Eundem esse statuo cum Xenophonte Lampsaceno et Peripli auctore, cujus meminit Plinius (*).

Ceterum sunt qui Judæorum Historiam Alexandro abjudicandam esse censeant. Argumentum rei idoneum non protulerunt, nisi forte argumenti speciem habere putes quæ Rumpfius affert p. 25 : « Ejusmodi commentarios de rebus Judæorum in unum redigere, id quod libro nomen Polyhistoris præ se ferente factum, Judæi neque Græci hominis est. Neque mirum, compilantem istum hominem historiæ suæ Alexandri Polyhistoris nomen inscripsisse, quippe qui diligentissimus antiquitatis mythorumque Asiæ minoris et Syriæ investigator eo tempore haberetur. Quum vero Christiani scriptores posterioris ætatis rem suam paganorum testimoniis confirmandam esse putarent eoque in studio criticam artem prorsus negligerent, nec Eusebius illam fraudem detexisse videtur. » Hæc ille. Videlicet constat scriptores Græcos usque ad Alexandri tempora Judæorum vix nomen protulisse, historiam omnino non curasse. Hoc ad omnes sequentis ævi historicos, qui Græci natione fuerint, transferunt. Si quæ obstare huic sententiæ videntur, ea indicta causa condemnant et verbo removent, figmenta dicentes ævi infimi virorumque obscurorum, qui Græcis nominibus abusi suis suorumque commodis consulere voluissent. Quod quo firmius animis multorum inhæret, tanto est absurdius et in literarum historiam recte intelligendam perniciosius. Quod fusius exponere non hic est locus.

In *Babyloniis* sive *Chaldæis* historiis Alexander præ ceteris *Berosum* exscripsit, cujus ampla fragmenta eidem debemus Eusebio, qui Judaica servavit. Ceterum videri possit Alexander non ipsum Berosum ob oculos habuisse, sed sua ex Apollodori libro nescio quo exscripsisse. Etenim in Eusebio Armen. p. 5 (fr. 5 Berosi) legitur ita : *Hac vero ratione narrationem exorditur* (Berosus), *ut Apollodorus ait.* At laborare ambiguitate h. l. textum Armeniacum annotavit Majus. Rumpf. probabiliter statuit in græcis fuisse ὡς καὶ Ἀπολλόδωρος λέγει. Idemque recte monet Syncellum p. 39, B (Berosi fr. 6) iis quæ Polyhistor e Beroso notaverit opponere ea quæ de eadem re ex eodem Beroso notaverit Apollodorus, adeo ut Polyhistor sua non possit ex Apollodoro mutuatus esse. Nisi fallor, ista καθὼς καὶ Ἀπολλόδωρος λέγει ex glossa ad marginem Eusebii adscripta in textum deinde illata sunt. Ceterum de Babyloniacis hisce Apollodori idem plane valet quod de Ægyptiacis ejusdem auctoris ad Manethonem notavimus.

δὲ κατὰ δυσμένειαν περί τε τοῦ νομοθετήσαντος ἡμῖν Μωϋσέως καὶ περὶ τῶν νόμων πεποίηνται λόγους οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδεμιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους... Τὴν κατηγορίαν ὁ Ἀπολλώνιος οὐκ ἀθρόαν, ὥσπερ ὁ Ἀπίων, ἔταξεν ἀλλὰ σποράδην καὶ διὰ πάσης τῆς συγγραφῆς. Ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ' αὖ δειλίαν ἡμῖν ὀνειδίζει· καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ ἀπόνοιαν. Λέγει δὲ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων· καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. Quæ longa disputatione Josephus refellere studet. — II, 7 : *Admiror autem etiam eos, qui ei* (Apioni) *hujusmodi* (Judæos accusandi) *fomitem præbuere, Posidonium et Apollonium Molonem : quoniam accusant quidem nos, quare nos eosdem deos cum aliis non velimus. Mentientes autem pariter, et de nostro templo blasphemias componentes incongruas, non se putant impie agere.* (Sequitur ex Apione historia de asini capite in templo Hieros.) — II, 2 : Μόλων δὲ καὶ ἄλλοι τινὲς, ὡς αὐτοῖς ἔδοξεν, de tempore exitus Jud. statuerunt.

(*) Plinius H. N. VII, s. 49 : *Xenophon in Periplo Tyriorum insulæ regem DC, atque, ut parce mentitus, filium ejus DCCC* (sc. annis vixisse ait). Antecedunt similia quædam ex Alexandro Polyhistore deprompta (v. fr. 39). Cf. Valer. Max. VIII, 13, 7 : ... *Xenophon, cujus* Περίπλους *legitur; is enim Latmiorum* (?) *regem octingentis vitæ annis donavit. Ac ne pater ejus parum benigne acceptus videretur, ei quoque sexcentos assignavit annos.*

Plinius IV, s. 27 : *Xenophon Lampsacenus a litore Scytharum tridui navigatione insulam esse immensæ magnitudinis, Baltiam, tradit. Eandem Pytheas Basileam vocat.* Eadem Solinus c. 22.

Plinius VI, s. 36 : *Contra hoc quoque promontorium* (sc. Hesperion ceras) *Gorgades insulæ narrantur, Gorgonum quondam domus, bidui navigatione distantes a continente, ut tradit Xenophon Lampsacenus. Penetravit in eas Hanno Pœnorum imperator, prodiditque*, etc. Quæ sequuntur ex Hannone petita, ea tamquam Xenophontis narrationem affert Solinus c. 60, sueta negligentia Plinium exscribens. — Præterea hujus Xenophontis nomen legis inter auctores ad Plin. lib. III et V. Cf. Salmasius in Solin. p. 17. — Ad Lampsacenum Xenoph. Reinesius referenda esse putat quæ leguntur ap. Tzetzem ad Lyc. 702 : Καὶ Ξενοφῶν καὶ ἕτεροι μυρίοι περί τε τοῦ Ἀόρνου στομίου καὶ τῆς Ἀσφαλτίτιδος λίμνης ἱστόρησαν.

ΧΑΛΔΑΙΚΑ.

Excerpsit Alexander libros Berosi, atque aliorum quorundam, ut videtur. Hæc exscripsimus in fragmentis Berosi, ubi vide. Sequentia duo fragmenta Ἀσσυριακά inscribimus, quamquam peculiare de rebus Assyriorum opus disertis verbis Alexandro non tribuitur.

[ΑΣΣΥΡΙΑΚΑ.]

1.

Syncell. p. 359, C : Ἐβασίλευσαν Ἀσσύριοι ἀπὸ Νίνου καὶ Σεμιράμεως μέχρι Βελεοῦν τοῦ Δελκετάδου· εἰς τοῦτον γὰρ τοῦ Σεμιράμεως γένους λήξαντος, Βελιταρᾶν κηπουργὸς ἐβασίλευσε καὶ τὸ ἐκείνου γένος ἑξῆς μέχρι Σαρδαναπάλλου, καθὰ Βίωνι δοκεῖ καὶ Ἀλεξάνδρῳ τῷ Πολυΐστορι.

2.

Agathias II, 25, p. 119 ed. Bonn. : Πρῶτοι μὲν γὰρ, ὧν ἀκοῇ ἴσμεν, Ἀσσύριοι λέγονται ἅπασαν τὴν Ἀσίαν χειρώσασθαι, πλὴν Ἰνδῶν τῶν ὑπὲρ Γάγγην ποταμὸν ἱδρυμένων. Νίνος τε πρότερον φαίνεται καὶ βασιλείαν ἐνταῦθα βεβαίαν καταστησάμενος, Σεμίραμίς τε αὖ μετ' ἐκεῖνον, καὶ ἑξῆς ἅπαντες οἱ τούτων ἀπόγονοι μέχρι καὶ ἐς Βελεοῦν τὸν Δερκετάδου· ἐς τοῦτον γὰρ δὴ τὸν Βελεοῦν τῆς τοῦ Σεμιραμείου φύλου διαδοχῆς παυσαμένης, Βεληταράς τις ὄνομα, φυτουργὸς ἀνὴρ καὶ τῶν ἐν τοῖς βασιλείοις κήπων μελεδωνὸς καὶ ἐπιστάτης, ἐκαρπώσατο παραλόγως τὴν βασιλείαν, καὶ τῷ οἰκείῳ ἐνεφύτευσε γένει, ὥς που Βίωνι γέγραπται καὶ Ἀλεξάνδρῳ τῷ Πολυΐστορι, ἕως ἐς Σαρδανάπαλλον, [ἐφ' οὗ] ὡς ἐκεῖνοί φασι, τῆς ἀρχῆς ἀπομαρανθείσης, Ἀρβάκης ὁ Μῆδος καὶ Βέλεσυς ὁ Βαβυλώνιος ἀνήρηνται αὐτὴν τοὺς Ἀσσυρίους, καθελόντες τὸν βασιλέα, καὶ ἐς τὸ Μηδικὸν μετέστησαν ἔθνος, ἔξ τε καὶ τριακοσίων ἤδη πρὸς τοῖς χιλίοις καὶ ὀλίγῳ πλειόνων ἐτῶν παρῳχηκότων, ἐξ οὗ τὰ πρῶτα ὁ Νίνος τῶν ἐκείνῃ κατέσχε πραγμάτων. Οὕτω γὰρ Κτησίᾳ τῷ Κνιδίῳ τοὺς χρόνους ἀναγραψαμένῳ καὶ Διόδωρος ξύμφησιν ὁ Σικελιώτης. Μῆδοι τοίνυν αὖθις ἐκράτουν, καὶ ἅπαντα τοῖς ἐκείνων ἐτάττοντο νόμοις. Ἔτη δὲ καὶ τούτων ἐν τῇ ἀρχῇ διανυσάντων οὐ μεῖον ἢ τριακόσια Κῦρος ὁ Καμβύσου τὸν Ἀστυάγην καταπολεμήσας, ἐπὶ Πέρσας τὴν ἡγεμονίαν μετήγαγε. Πῶς δὲ οὐκ ἤμελλεν, Πέρσης τε ὢν αὐτὸς ἰθαγενὴς, καὶ ἅμα χαλεπαίνων τοῖς Μήδοις διὰ τὰς σὺν Ἀστυάγει παρατάξεις; Κρατήσαντες δὲ καὶ οἱ Περσικοὶ βασιλεῖς ὀκτώ τε καὶ εἴκοσι καὶ διακόσια ἔτη, καὶ μέντοι καὶ τούτων ἀρχὴ τελεώτατα διερρύη, στρατῷ ἐπηλύτῃ καὶ βασιλεῖ ἀλλοτρίῳ καταλυθεῖσα. Ἀλέξανδρος γὰρ ὁ Φιλίππου Δαρεῖον ἀποκτείνας τὸν Ἀρσάμου τὸν βασιλέα, καὶ ἅπασαν τὴν Περσίδα παραστησάμενος ἐς Μακεδονικὴν τὰ πράγματα μετέθηκε πολιτείαν. Οὕτω γὰρ ἦν μεγαλουργὸς ἐς τὰ μάλιστα καὶ ἀμαχώτατος, ὡς, ἐπειδὴ αὐτὸν καὶ ἀποβιῶναι ξυνέβη, ὅμως τοὺς ἐκείνου διαδόχους, Μακεδόνας γε ὄντας, κατασχεῖν ἐπιπλεῖστον τῆς ἀλλοδαπῆς καὶ ὀθνείας, καὶ ἐπὶ μέγα δυνάμεως ἀφικέσθαι. Καὶ οἶμαι ἄχρι καὶ ἐς τόδε τοῦ καιροῦ ἦρχον ἂν καὶ ἐπεκράτουν, τῇ τοῦ οἰκιστοῦ κρατυνόμενοι δόξῃ, εἰ μὴ ἐς ἀλλήλους στασιάσαντες, καὶ θαμὰ κατά τε σφῶν αὐτῶν καὶ πρὸς Ῥωμαίους παραταξάμενοι, τοῦ πλείονος ἕκατι, διέλυσαν τὰς οἰκείας δυνάμεις, καὶ οὐκέτι ἀνάλωτοι τοῖς πέλας

[DE REBUS ASSYRIORUM.]

1.

Regnarunt Assyrii inde a Nino et Semiramide usque ad Beleum Dercetadæ filium : in hoc enim quum Semiramidis genus defecisset, Belitaran hortulanus ejusque posteri deinceps regnarunt usque ad Sardanapallum, uti Bioni et Alexandro Polyhistori videtur.

2.

Primi omnium, de quibus auditu aliquid accepimus, Assyrii dicuntur totam subegisse Asiam præter Indos, qui ultra Gangem fluvium sedes habent. Ninus ibi primum regiam potestatem constituisse dicitur, et post hunc Semiramis, et deinde omnes horum posteri usque ad Beleum Dercetadæ filium. In hunc enim Beleum successio stirpis Semiramideæ desiit, et Belitaras quidam nomine, vir insitor, regiorum hortorum præfectus et inspector, inopinato regnum sibi vindicavit, et suæ generi insevit, ut apud Bionem alicubi scribitur et apud Alexandrum Polyhistorem, usque ad Sardanapallum, cujus temporibus quum emarcuisset, ut illi dicunt, regia potestas, Arbaces Medus et Belesys Babylonius, rege interfecto, Assyriis eam ademerunt et in Medicam gentem transtulerunt, annis mille trecentis et paullo amplius jam præterlapsis, inde a quo primum Ninus in his regionibus rerum potitus erat. Ita enim Ctesiæ Cnidio tempora describenti Diodorus etiam Siculus assentitur. Medi itaque rursum imperium sunt adepti, omniaque ipsorum legibus constituebantur. Quum vero etiam hi annis non minus trecentis imperio essent potiti, Cyrus Cambysæ filius Astyage debellato ad Persas imperium traduxit. Quo pacto enim id non erat facturus, quum et Persa ipse esset indigena, simulque Medis infensus ob prœlia cum Astyage habita? Quum vero etiam Persici reges annis octo et viginti supra ducentos imperassent, etiam horum imperium penitus est collapsum, ab externo exercitu et rege alienigena dissipatum. Alexander enim Philippi filius interfecto Dario rege, Arsami filio, totaque Perside subacta, ad Macedonicum imperium res transtulit. Ita enim rerum gestarum magnitudine eximie clarus erat belloque insuperabilis, ut etiam postea, quum e vivis excessisset, successores tamen ipsius, Macedones quum essent, alienam exteramque regionem quam diutissime in potestate retinuerint, et ad summam potentiam evaserint. Et sane arbitror eos etiam in hunc usque diem regnaturos imperiumque obtenturos fuisse, Alexandri gloria suffultos, nisi inter se dissidentes frequentibusque prœliis tum adversus se mutuo tum adversus Romanos habitis, plura habendi studio suas ipsorum vires potentiamque fregissent,

ἐδόκουν. Τοιγάρτοι ἄρξαντες οὐ λίαν ἐλάττονα χρόνον τῶν Μήδων ὅτι μὴ ἑπτὰ ἔτεσι δέοντα (πειστέον γὰρ κἀνταῦθα τῷ Πολυΐστορι), ἐς τοσοῦτον δὴ οὖν κρατήσαντες, Παρθυαῖοί γε αὐτοὺς, ἔθνος κατήκοον καὶ ἥκιστα ἐν τῷ πρὸ τοῦ ὀνομαστότατον, παρέλυσαν τῆς ἀρχῆς τοὺς Μακεδόνας. Καὶ εἶτα ἐκεῖνοι τῶν ὅλων πλὴν Αἰγύπτου ἡγοῦντο, Ἀρσάκου μὲν πρότερον τῆς ἀποστάσεως ἀρξαμένου, ὡς καὶ Ἀρσακίδας τοὺς μετ' αὐτὸν ὀνομάζεσθαι, Μιθριδάτου δὲ οὐ πολλῷ ὕστερον ἐς μέγα τι κλέος τὸ Παρθυαίων ὄνομα ἐξενεγκότος. Ἑβδομήκοντα δὲ ἐτῶν ἤδη ἐπὶ διακοσίοις παρωχηκότων ἀπὸ Ἀρσάκου τοῦ προτέρου ἐς Ἀρτάβανον τὸν ἔσχατον βασιλέα, ἡνίκα τὰ Ῥωμαίων πράγματα ὑπὸ Ἀλεξάνδρῳ τῷ Μαμαίας παιδὶ ἐτετάχατο, κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ τὸ Χοσρόου τοῦ καθ' ἡμᾶς βασιλεύειν ἤρξατο γένος.

In hoc loco quam maxime offendunt verba : πειστέον γὰρ κἀνταῦθα τῷ Πολυΐστορι κτλ. Statuerat igitur Alexander Polyhistor successores Alexandri M. (i. e. reges Syriæ) Asiam tenuisse septem tantum annis minus quam Medos olim. Medis in antecc. tribuuntur anni circiter trecenti. Secundum hæc Macedones regnassent an. 293 (331-39 a. C.). Ac revera ita computasse Agathiam liquet ex seqq., ubi Parthi deinceps principatum Asiæ tenuisse dicuntur per annos 270, i. e. usque ad an. 229 p. Chr.; quamquam is quoque computus non est accuratissimus; quum Parthorum imperium eversum sit an. 226 p. C. Sed hoc utut est, satis patet quæ de Macedonum regno inepta produntur, non dicta esse ex mente Alexandri Polyhistoris. Temere hujus auctoris testimonium adduci censuit Niebuhrius ad h. l. Ne longus sim, Alexander hæc tradidisse mihi videtur. « Post Medos, dixerit, in Asia regnarunt Persæ per annos 228 (559-331 a. C.); deinde Alexander ejusque successores, Syriæ reges, per annos 345 (231-87) ad illud usque tempus quo Syriam occupavit Tigranes. Hinc Asiæ principatus penes Parthos erat, qui olim (an. 250 vel 256) sub Arsace a Syris defecerant. Igitur Macedonicæ stirpis reges septem tantum annis minus quam Medi olim regnarunt. Nam Medi regnarunt annis 252 (252 — 245 = 7). » Sic, puto, Alexander. Agathias eo peccavit quod in calculis subducendis profectus est ab annis 300, quos in antecc. Medis assignaverat. Alexander si ita statuisset, perineptus homo foret, et quam erat junior. Deinde quum Macedonum regnum ad annum exputet, jure postulamus etiam Medorum tempora, ex quibus pendet alter computus, accurate fuisse tradita, non vero indicata esse ore rotundo vagisque illis : ἔτη οὐ μεῖον ἢ τριακόσια (quibus Ctesianus computus, annorum 315, inest). Probabile igitur, Alexandrum pro more suo diversas de Medorum regno sententias protulisse, eam vero, qua Alexandri de Macedonum in Asia temporibus supputatio nititur, ab Agathia confusam esse cum altera. Ceterum annos 252 Medis assignat æqualis Polyhistoris Castor Rhodius (v. fragm. Chron. p. 160); Tigranem vero anno 87 a. C. Seleucidarum regnum occupasse cum Nostro statuit Justinus XL, 1 (Cf. Clinton. F. H. tom. III, p. 340).

ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ.

Eusebius Pr. Ev. IX, 17 p. 418 sqq. (tom. II, p. 370 sqq. ed. Gaisfd.)

3.

ΕΥΠΟΛΕΜΟΥ

περὶ Ἀβραάμ,

ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Πολυΐστορος Περὶ Ἰουδαίων γραφῆς.

Cap. 17 : Συνᾴδει δὲ τούτοις καὶ ὁ Πολυΐστωρ Ἀλέξανδρος, πολύνους ὢν καὶ πολυμαθὴς ἀνὴρ, τοῖς τε μὴ πάρεργον τὸν ἀπὸ παιδείας καρπὸν πεποιημένοις Ἕλλησι γνωριμώτατος, ὃς ἐν τῇ Περὶ Ἰουδαίων συντάξει τὰ κατὰ τὸν Ἀβραὰμ τοῦτον ἱστορεῖ κατὰ λέξιν τὸν τρόπον.

« Εὐπόλεμος δὲ ἐν τῷ Περὶ Ἰουδαίων, τῆς Ἀσσυρίας φησὶ πόλιν Βαβυλῶνα πρῶτον μὲν κτισθῆναι ὑπὸ

---

effecissentque ut non amplius finitimis insuperabiles viderentur, quum alioquin imperassent non minore temporis spatio quam Medi, septem videlicet annis minus; nam etiam hac in re credendum est Polyhistori. Quum itaque tanto tempore imperassent, a Parthis, gente aliis subdita minimeque antea celebri, imperio sunt exuti; qui deinceps eo universo, Ægypto excepta, sunt potiti, Arsace quidem primum defectionis auctore, adeo ut Arsacidæ, qui eum secuti sunt, dicti fuerint. Mithridates vero non multo post ad magnam gloriam Parthorum nomen evexit. Annis autem septuaginta supra ducentos ab Arsace primo ad Artabanum ultimum regem usque elapsis, quum Romanorum res sub Alexandro Mamææ filio essent constitutæ, sub id tempus Chosrois progenies apud nos regnare cœpit.

3.

EUPOLEMI NARRATIO.

De Abrahamo ex Alexandri Polyhistoris opere De Judæis.

Hisce Polyhistor Alexander plane suffragatur, vir summi ingenii multæque eruditionis idemque Græcis hominibus, qui non leviter et defunctorie doctrinæ fructum degustarunt, longe notissimus. Is igitur in ea quam de Judæis texuit historia res Abrahami sic ad verbum exsequitur.

« Eupolemus, inquit, in ea quam de Judæis Assyriis habet disputatione auctor est primum quidem Babylonem urbem

τῶν διασωθέντων ἐκ τοῦ κατακλυσμοῦ· εἶναι δὲ αὐτοὺς Γίγαντας· οἰκοδομεῖν δὲ τὸν ἱστορούμενον πύργον. Πεσόντος δὲ τούτου ὑπὸ τῆς τοῦ θεοῦ ἐνεργείας, τοὺς Γίγαντας διασπαρῆναι καθ' ὅλην τὴν γῆν. Δεκάτῃ δὲ γενεᾷ, φησὶν, ἐν πόλει τῆς Βαβυλωνίας Καμαρίνῃ (ἥν τινας λέγειν πόλιν Οὐρίην, εἶναι δὲ μεθερμηνευομένην Χαλδαίων πόλιν) ἐν τρισκαιδεκάτῃ [fort. ἐν τοίνυν δ.] γενέσθαι Ἀβραὰμ γενεᾷ, εὐγενείᾳ καὶ σοφίᾳ πάντας ὑπερβεβηκότα, ὃν δὴ καὶ τὴν ἀστρολογίαν καὶ Χαλδαϊκὴν εὑρεῖν, ἐπί τε τὴν εὐσέβειαν ὁρμήσαντα εὐαρεστῆσαι τῷ θεῷ. Τοῦτον δὲ διὰ τὰ προστάγματα τοῦ θεοῦ εἰς Φοινίκην ἐλθόντα κατοικῆσαι, καὶ τροπὰς ἡλίου καὶ σελήνης καὶ τὰ ἄλλα πάντα διδάξαντα τοὺς Φοίνικας εὐαρεστῆσαι τῷ βασιλεῖ αὐτῶν. Ὕστερον δὲ Ἀρμενίους ἐπιστρατεῦσαι τοῖς Φοίνιξι· νικησάντων δὲ καὶ αἰχμαλωτισαμένων τὸν ἀδελφιδοῦν αὐτοῦ, τὸν Ἀβραὰμ μετὰ οἰκετῶν βοηθήσαντα ἐγκρατῆ γενέσθαι τῶν αἰχμαλωτισαμένων, καὶ τῶν πολεμίων αἰχμαλωτίσαι τέκνα καὶ γυναῖκας. Πρέσβεων δὲ παραγενομένων πρὸς αὐτὸν, ὅπως χρήματα λαβὼν ἀπολυτρώσῃ ταῦτα, μὴ προελέσθαι τοῖς δυστυχοῦσιν ἐπεμβαίνειν, ἀλλὰ τὰς τροφὰς λαβόντα τῶν νεανίσκων ἀποδοῦναι τὰ αἰχμάλωτα, ξενισθῆναί τε αὐτὸν ὑπὸ πόλεως ἱερὸν Ἀργαριζὶν, ὃ εἶναι μεθερμηνευόμενον ὄρος Ὑψίστου· παρὰ δὲ τοῦ Μελχισεδὲκ ἱερέως ὄντος τοῦ Θεοῦ καὶ βασιλεύοντος λαβεῖν δῶρα. Λιμοῦ δὲ γενομένου, τὸν Ἀβραὰμ ἀπαλλαγῆναι εἰς Αἴγυπτον πανοικίᾳ κἀκεῖ κατοικεῖν, τήν τε γυναῖκα αὐτοῦ τὸν βασιλέα τῶν Αἰγυπτίων γῆμαι, φάντος αὐτοῦ ἀδελφὴν εἶναι. Περισσότερον δὲ ἱστόρησεν ὅτι οὐκ ἠδύνατο αὐτῇ συγγενέσθαι, καὶ ὅτι συνέβη φθείρεσθαι αὐτοῦ τὸν λαὸν καὶ τὸν οἶκον· μάντεις δὲ, αὐτοῦ καλέσαντος, τοῦτο φάναι, μὴ εἶναι χήραν τὴν γυναῖκα· τὸν δὲ βασιλέα τῶν Αἰγυπτίων οὕτως ἐπιγνῶναι, ὅτι γυνὴ ἦν τοῦ Ἀβραὰμ, καὶ ἀποδοῦναι αὐτὴν τῷ ἀνδρί. Συζήσαντα δὲ τὸν Ἀβραὰμ ἐν Ἡλιουπόλει τοῖς Αἰγυπτίων ἱερεῦσι πολλὰ μεταδιδάξαι αὐτοὺς, καὶ τὴν ἀστρολογίαν καὶ τὰ λοιπὰ τοῦτον αὐτοῖς εἰσηγήσασθαι, φάμενον Βαβυλωνίους ταῦτα καὶ αὐτὸν εὑρηκέναι, τὴν δὲ εὕρησιν αὐτῶν εἰς Ἐνὼχ ἀναπέμπειν, καὶ τοῦτον εὑρηκέναι πρῶτον τὴν ἀστρολογίαν, οὐκ Αἰγυπτίους. Βαβυλωνίους γὰρ λέγειν πρῶτον γενέσθαι Βῆλον, ὃν εἶναι Κρόνον· ἐκ τούτου δὲ γενέσθαι Βῆλον καὶ Χαναὰν, τοῦτον δὲ τὸν Χαναὰν γεννῆσαι τὸν πατέρα τῶν Φοινίκων, τούτου δὲ Χοὺμ υἱὸν γενέσθαι, ὃν ὑπὸ τῶν Ἑλλήνων λέγεσθαι Ἄσβολον, πατέρα δὲ Αἰθιόπων, ἀδελφὸν δὲ τοῦ Μεστραῒμ, πατέρα Αἰγυπτίων. Ἕλληνας δὲ λέγειν τὸν Ἄτλαντα εὑρηκέναι ἀστρολογίαν· εἶναι δὲ τὸν Ἄτλαντα τὸν αὐτὸν καὶ Ἐνώχ· τοῦ δὲ Ἐνὼχ γενέσθαι υἱὸν Μαθουσάλαν, ὃν πάντα δι' ἀγγέλων Θεοῦ γνῶναι, καὶ ἡμᾶς οὕτως ἐπιγνῶναι.

4.

ΑΡΤΑΠΑΝΟΥ

Περὶ τοῦ αὐτοῦ, ἀπὸ τῆς αὐτῆς γραφῆς τοῦ Πολυΐστορος.

Cap. 18 : Ἀρτάπανος δέ φησιν ἐν τοῖς Ἰουδαϊκοῖς

---

ac postmodo turrim illam historicorum omnium ore jactatam ab iis qui diluvium effugissent (Gigantes illi erant) excitatam, eaque deinde summa numinis potestate disjecta, toto passim orbe distractos ac dissipatos Gigantes. Idem ætate decima Camarinæ, quæ Babyloniæ civitas est, quamque Urien nonnulli vocant, Græci Chaldæopolin interpretantur, Abrahamum natum esse tradit, qui quum nobilitate et sapientia omnes anteiret, tum vero astrologiam pariter et Chaldaicam invenerit, et singulari studio pietatis divinam sibi gratiam conciliarit. Hunc porro divino jussu, collocato rerum suarum in Phœnicia domicilio, solis lunæque conversiones ac reliqua id genus omnia Phœnices docuisse, quæ res summe gratiosum eum apud regem effecerit. Postea vero quum appetitos bello Phœnices Armenii superassent, ipsumque Abrahami nepotem captivum abducerent, Abrahamum servorum manu stipatum auxilium ei tulisse, victores suam in potestatem redegisse, eorumque liberos et uxores belli jure captos abegisse. Verum legatis ad ipsum ab hoste missis, qui captivos pecunia redimerent, victis eum insultare ferocius noluisse, sed militum suorum stipendio contentum captivos liberaliter reddidisse. Addit insuper eum in sacro urbis Argarizin, hoc est Altissimi monte, susceptum hospitio, dona simul a Melchisedeco dei sacerdote, qui ibidem regnabat, accepisse. Postmodum urgente fame Abrahamum in Ægyptum cum universa familia secessisse, ibique fixa sede, cum ejus uxore, quam sororem ille suam vocaret, Ægyptiorum regem matrimonium iniisse. Hic vero fusius exsequitur, quemadmodum nec illius congressu rex frui potuerit, et populum ejus universum regiamque adeo familiam gravissima pestis invaserit : tandemque rex, consultis vatibus minime viduam esse mulierem respondentibus, ubi eam Abrahami uxorem esse comperisset, viro suo reddiderit. Ceterum quum apud Heliopolim Abrahamus Ægyptiorum sacerdotum consuetudine plurimum uteretur, multa ipsos necnon astrologiam quæque ad eam pertinent omnia, illo docente didicisse tradit, sic tamen eorum inventionem Babyloniis atque Abrahamo ipsi attribuens, ut principem illorum auctorem Enochum fuisse statuat, quippe qui primus omnium astrologiam invenerit, non autem Ægyptii. Enimvero Babylonios dicere solitos, primum exstitisse Belum, qui Saturnus vulgo nominetur, quique Belum alterum cum Chanaane susceperit : hunc vero Chanaanem Phœnicum parentem genuisse, cujus filius Chumus exstiterit, quem Asbolum Græci nominant : eum Mestraimi fratrem, Æthiopumque simul et Ægyptiorum parentem fuisse : tametsi Atlantem Græci astrologiæ inventorem esse velint; sed nimirum Atlantem eundem esse quem Enochum, qui Methusalamum filium habuerit, huncque ab angelis dei omnia didicisse, quæ tandem ad nos cognitionemque nostram permanarint.

4.

ARTAPANI NARRATIO.

De eodem, ex eodem Polyhistoris opere.

Artapanus in rerum Judaicarum historia Judæos scribit Erminth nominari, quæ vox, si græce loqui velis, Judæos

τοὺς μὲν Ἰουδαίους ὀνομάζεσθαι Ἑρμιοὺθ', ὅ εἶναι μεθερμηνευθὲν κατὰ τὴν Ἑλλάδα φωνὴν, Ἰουδαῖοι· καλεῖσθαι δὲ αὐτοὺς Ἑβραίους ἀπὸ Ἀβραάμου. Τοῦτον δέ φησι πανοικίᾳ ἐλθεῖν εἰς Αἴγυπτον πρὸς τὸν τῶν Αἰγυπτίων βασιλέα Φαρεθώνην, καὶ τὴν ἀστρολογίαν αὐτὸν διδάξαι· μείναντα δὲ ἔτη ἐκεῖ εἴκοσι πάλιν εἰς τοὺς κατὰ Συρίαν ἀπαλλαγῆναι τόπους· τῶν δὲ τούτῳ συνελθόντων πολλοὺς ἐν Αἰγύπτῳ καταμεῖναι διὰ τὴν εὐδαιμονίαν τῆς χώρας. Ἐν δὲ ἀδεσπότοις εὕρομεν τὸν Ἀβραὰμ ἀναφέροντα εἰς τοὺς Γίγαντας, τούτους δὲ οἰκοῦντας ἐν τῇ Βαβυλωνίᾳ, διὰ τὴν ἀσέβειαν ὑπὸ τῶν θεῶν ἀναιρεθῆναι, ὧν ἕνα Βῆλον ἐκφεύγοντα τὸν θάνατον ἐν Βαβυλῶνι κατοικῆσαι, πύργον τε κατασκευάσαντα ἐν αὐτῷ διαιτᾶσθαι, ὃν δὴ ἀπὸ τοῦ κατασκευάσαντος Βήλου Βῆλον ὀνομασθῆναι. Τὸν δὲ Ἄβραμον τὴν ἀστρολογικὴν ἐπιστήμην παιδευθέντα πρῶτον μὲν ἐλθεῖν εἰς Φοινίκην, καὶ τοὺς Φοίνικας ἀστρολογίαν διδάξαι, ὕστερον δὲ εἰς Αἴγυπτον παραγενέσθαι.

5.

ΜΟΛΩΝΟΣ

Περὶ τοῦ αὐτοῦ ἀπὸ τῆς αὐτῆς γραφῆς.

Cap. 19 : Ὁ δὲ τὴν συσκευὴν τὴν κατὰ Ἰουδαίων γράψας Μόλων, κατὰ τὸν κατακλυσμόν φησιν ἀπὸ τῆς Ἀρμενίας ἀπελθεῖν τὸν περιλειφθέντα ἄνθρωπον μετὰ τῶν υἱῶν, ἐκ τῶν ἰδίων ἐξελαυνόμενον ὑπὸ τῶν ἐγχωρίων· διανύσαντα δὲ τὴν μεταξὺ χώραν ἐλθεῖν εἰς τὴν ὀρεινὴν τῆς Συρίας οὖσαν ἔρημον. Μετὰ δὲ τρεῖς γενεὰς Ἀβραὰμ γενέσθαι, ὃν δὴ μεθερμηνεύεσθαι Πατρὸς φίλον, ὃν δὴ σοφὸν γενόμενον τὴν ἐρημίαν μεταδιώκειν· λαβόντα δὲ δύο γυναῖκας, τὴν μὲν ἐντοπίαν συγγενῆ, τὴν δὲ Αἰγυπτίαν θεράπαιναν, ἐκ μὲν τῆς Αἰγυπτίας γεννῆσαι υἱοὺς ιβ', οὓς δὴ εἰς Ἀραβίαν ἀπαλλαγέντας διελέσθαι τὴν χώραν, καὶ πρώτους βασιλεῦσαι τῶν ἐγχωρίων· ὅθεν ἕως καθ' ἡμᾶς δώδεκα εἶναι βασιλεῖς Ἀράβων ὁμωνύμους ἐκείνοις. Ἐκ δὲ τῆς γαμετῆς υἱὸν αὐτῷ γενέσθαι ἕνα, ὃν Ἑλληνιστὶ Γέλωτα ὀνομασθῆναι. Καὶ τὸν μὲν Ἀβραὰμ γήρᾳ τελευτῆσαι· Γέλωτος δὲ καὶ γυναικὸς ἐγχωρίου υἱοὺς ἕνδεκα γενέσθαι, καὶ δωδέκατον Ἰωσήφ, καὶ ἀπὸ τούτου τρίτον Μωσῆν. »

Τοσαῦτα ὁ Πολυΐστωρ, οἷς μεθ' ἕτερα ἐπιφέρει λέγων·

« Μετ' οὐ πολὺν δὲ χρόνον τὸν θεὸν τῷ Ἀβραὰμ προστάξαι, Ἰσαὰκ τὸν υἱὸν ὁλοκαρπῶσαι αὐτῷ· τὸν δὲ ἀναγαγόντα τὸν παῖδα ἐπὶ τὸ ὄρος πυρὰν νῆσαι καὶ ἐπιθεῖναι τὸν Ἰσαάκ. Σφάζειν δὲ μέλλοντα κωλυθῆναι ὑπὸ ἀγγέλου, κριὸν αὐτῷ πρὸς τὴν κάρπωσιν παραστήσαντος. Τὸν δὲ Ἀβραὰμ τὸν μὲν παῖδα καθελεῖν ἀπὸ τῆς πυρᾶς, τὸν δὲ κριὸν καρπῶσαι.

6.

ΦΙΛΩΝΟΣ

Περὶ τοῦ αὐτοῦ.

Cap. 20 : Φησὶ δὲ περὶ τούτου καὶ Φίλων ἐν τῷ πρώτῳ τῶν Περὶ Ἱεροσόλυμα·

Ἔκλυον ἀρχεγόνοισι τὸ μυρίον ὥς ποτε θεσμοῖς
Ἀβραὰμ κλυτοηχὲς ὑπέρτερον ἅμματι δεσμῶν
Παμφαὲς, πλήμμυρε, μεγαυχητοῖσι λογισμοῖς
θειοφιλῆ θέλγητρα. Λιπόντι γὰρ ἀγλαὸν ἕρκος
αἰνοφύτων, ἔκκαυμα βριήπυος αἰνετὸς ἴσχων.

---

sonet; eosdem vero Abrahami ex nomine Hebræos nuncupari. Abrahamum autem in Ægyptum cum universa familia ad Pharethonen Ægyptiorum regem sese contulisse, quem quum astrologiæ præceptis instituisset, atque viginti continentes annos ibidem degisset, in Syriam denuo remigrasse, plerisque suorum ob regionis ubertatem in Ægypto residentibus. Quamquam in libris quibusdam, quorum auctores incerti sunt, Abrahamum invenimus ad Gigantes referri; hos porro quum Babyloniam incolerent a diis propter impietatem exstinctos ac sublatos fuisse, uno tantum Belo superstite, qui exitio subductus Babylonem tenuerit, sedemque sibi in ea turri, quam ipsemet excitaverat, quamque Belum conditoris ex nomine appellarunt, delegerit. Abrahamum autem astrologiam apprime callentem, primum in Phœniciam, ubi Phœnices eadem scientia imbuerit, ac deinde in Ægyptum migrasse.

5.

MOLONIS NARRATIO

De eodem, ex eodem Alexandri opere.

Molo, qui adversus Judæos opus integrum edidit, virum quendam, qui cum filiis diluvium effugerat, ab indigenis ex Armenia pulsum, ædibusque ac possessionibus ejectum suis, intermedia regione peragrata in desertos Syriæ montes secessisse commemorat. Abrahamum vero post tertiam ætatem natum esse, cujus nomen Patris amicum significet. Eundem, quum sapientiæ laude præstaret, solitudinem percurrisse ac perlustrasse universam : tum duabus ductis uxoribus, altera quidem indigena et affini, Ægyptia vero altera, quæ servitutem ante serviebat; ex Ægyptia liberos duodecim genuisse, qui in Arabiam profecti eam inter se diviserint, locique hominibus principes imperaverint : ex quo factum sit ut reges Arabum duodecim primis illis cognomines ad nostra usque tempora numerentur. Ex legitima autem uxore filium unicum suscepisse, cujus nomen apud Græcos γέλωτα, *i. e. risum*, sonet, quique Abrahamo seniore jam defuncto, liberos ex conjuge indigena duodecim procrearit, quorum postremo Josepho nomen fuit, a quo Moses tertius numeretur. » Hæc Polyhistor, qui nonnullis interjectis, rursus ita subdit : « Paullo post jussum a deo Abrahamum fuisse ait, ut Isaacum filium ipsi in holocaustum immolaret, eundem adolescente secum in montem abducto, succensisse pyram, eique simul Isaacum imposuisse. Verum ipsi, quum jam filium jugulaturus esset, ab angelo facinus inhibente arietem ad sacrificium oblatum esse, quem ille, subducto pyræ filio, immolarit. »

Ἀθάνατον ποίησεν ἑὴν φάτιν, ἐξ ὅτ' ἐκείνου
ἔκγονος αἰνογόνοιο πολύμνιον ἔλλαχε κῦδος.
Ἀρτίχερος θηκτοῖο ξιφηφόρον ἐντύνοντος
λήμμασι, καὶ σφαράγοιο παρακλιδὸν ἀθροισθέντος,
ἀλλ' ὁ μὲν ἐν χείρεσσι κερασφόρον ὤπασε κριόν·

καὶ τὰ τούτοις ἑπόμενα. »

Ταῦτα μὲν δὴ ἀπὸ τῆς προειρημένης τοῦ Πολυΐστορος γραφῆς.

Φίλωνος] « Is credo est, quem Josephus In Apion. I, p. 1051 Demetrio et Eupolemo annumerat, ac πρεσβύτερον Φίλωνα vocat : fortassis ut eum a Philone Judæo et Philone Byblio distinguat, qui ambo juniores. At sequentes vetustioris hujus poetæ versus, mihi quidem tenebræ καὶ μηδὲν ὑγιές. Nec manuscripti codices hilum juvant. Saltu igitur hæc superare malui, quam in singulis fere verbis offendere. » VIGER.

7.

ΚΛΕΟΔΗΜΟΥ ΤΟΥ ΚΑΙ ΜΑΛΧΟΥ.

Josephus Ant. Jud. I, 15 init. (et Euseb. P. E. IX, 20, p. 422, B) : Γαμεῖ δ' αὐτὸς Χετούραν ὕστερον, ἐξ ἧς αὐτῷ παῖδες ἓξ γίνονται, πρός τε πόνους καρτεροὶ καὶ δεινοὶ συνιέναι· Ζαμβράνης, Ἰαζάρης, Μαδάνης, Μαδιάνης, Ἰωσούβακος, Σοῦος. Φύονται δὲ καὶ τούτοις παῖδες· καὶ Σούου μὲν Σαβαθάνης γίνεται καὶ Δαδάνης. Τούτου δὲ Λατούσιμος, Ἄσσουρις, Λουόμης· Μαδιάνου δὲ Ἐφᾶς, Ὠφρὴν, Ἄνωχος, Ἐβιδᾶς, Ἐλδᾶς. Τούτοις ἅπασι τοῖς παισὶ καὶ υἱωνοῖς Ἅβραμος ἀποικιῶν στόλους μηχανᾶται, καὶ τήν τε Τρωγλοδῦτιν καταλαμβάνουσι, καὶ τὴν τῆς Εὐδαίμονος Ἀραβίας, ὅσον ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν καθήκει. Λέγεται δὲ ὡς οὗτος ὁ Ὠφρὴν (Ἀφρὴν Eus.) στρατεύσας ἐπὶ τὴν Λιβύην κατέσχεν αὐτὴν καὶ οἱ υἱωνοὶ αὐτοῦ, κατοικήσαντες ἐν αὐτῇ, τὴν γῆν ἀπὸ τοῦ ἐκείνου ὀνόματος Ἀφρικὴν προσηγόρευσαν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ, λέγων οὕτως· « Κλεόδημος δέ φησιν ὁ προφήτης, ὁ καὶ Μάλχος, ὁ ἱστορῶν τὰ περὶ Ἰουδαίων, καθὼς καὶ Μωϋσῆς ἱστόρησεν ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ τῆς Χετούρας Ἀβράμῳ ἐγένοντο παῖδες ἱκανοί. » Λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα, ὀνομάζων τρεῖς, Ἀφέραν, Σουρεὶμ, Ἰάφραν (Ἀφὲρ, Ἀσοὺρ, Ἀφράν Eus.). Ἀπὸ Σουρεὶμ μὲν τὴν Ἀσσυρίαν κεκλῆσθαι, ἀπὸ δὲ τῶν δύο, Ἀφέρα τε καὶ Ἰάφρα, πόλιν τε Ἄφραν καὶ τὴν χώραν Ἀφρικὴν ὀνομασθῆναι. Τούτους γὰρ Ἡρακλεῖ συστρατεῦσαι ἐπὶ Λιβύην καὶ Ἀνταῖον, γήμαντά τε τὴν Ἄφρα θυγατέρα Ἡρακλέα γεννῆσαι υἱὸν ἐξ αὐτῆς Δίδωρον (Διόδωρον E.), τούτου δὲ γενέσθαι Σοφῶνα (Σοφωνᾶν Eus.), ἀφ' οὗ τοὺς βαρβάρους Σόφακας (Σοφὰς Eus.) λέγεσθαι.

8.

ΔΗΜΗΤΡΙΟΥ

Περὶ τοῦ Ἰακώβ.

Euseb. l. l. cap. 21 : Ἀπίωμεν δὲ πάλιν ἐπὶ τὸν Πολυΐστορα.

« Δημήτριός φησι τὸν Ἰακὼβ γενόμενον ἐτῶν ἑβδομήκοντα πέντε φυγεῖν εἰς Χαρρὰν τῆς Μεσοποταμίας, ἀποσταλέντα ὑπὸ τῶν γονέων διὰ τῆς πρὸς ἀδελφὸν κρυφίαν ἔχθραν Ἠσαῦ, διὰ τὸ εὐλογῆσαι αὐτὸν πατέρα δοκοῦντα εἶναι τὸν Ἠσαῦ, καὶ ὅπως λάβῃ ἐκεῖθεν γυναῖκα. Ἀφορμῆσαι οὖν τὸν Ἰακὼβ εἰς Χαρρὰν τῆς Μεσοποταμίας, τὸν δὲ πατέρα καταλιπόντα Ἰσαὰκ ἐτῶν ἑκατὸν τριάκοντα ἑπτὰ, αὐτὸν δὲ ὄντα ἐτῶν ἑβδο-

---

7.

Duxit ille (*Abrahamus*) Cheturam, ex qua nati sunt ei sex filii, viribus ad labores et acri ingenio præditi : Zambranes, Jazares, Madanes, Madianes, Josubacus, Suus. Ipsis vero etiam liberi nascuntur : et Suo quidem Sabathanes atque Dadanes. Huic autem Latusimus, Assuris, Luomes; Madianæ vero Ephas, Ophren, Anochus, Ebidas, Eldas. Filiis his omnibus ac nepotibus Abrahamus deducendi colonias auctor fuit, terramque occupaverunt Troglodyticam et regionem Arabiæ Felicis, quatenus ad Rubrum mare protenditur. Dicitur autem Ophrenem expeditione in Libyam suscepta ipsam occupasse, ejusque nepotes, collocatis in ea sedibus, terram ex illius nomine Africam nuncupasse. Hujus autem sermonis testem habeo etiam Alexandrum Polyhistorem, qui sic loquitur : « Cleodemus vates, qui et Malchus vocatur, rerum Judaicarum historiam contexens, sicuti etiam Moyses Judæorum legislator narravit, Abrahamo natos esse dicit plures ex Chetura liberos. » Refert autem illorum etiam nomina, tres recensens, Apheram, Surim, Japhram. A Suri quidem Assyriam appellatam : a duobus vero, Aphera et Japhra, urbem Aphram et regionem Africam nomen accepisse. Hos porro Herculi contra Libyam et Antæum militanti auxilium tulisse ait; Herculem etiam, quum Aphræ filiam uxorem duxisset, ex illa genuisse Didorum; ex hoc vero Sophonem prognatum, a quo Sophaces inter Barbaros nomen habent.

8.

E DEMETRIO.

De Jacobo.

Deinceps ad Polyhistorem redeamus. « Demetrius, inquit, auctor est Jacobum annos quinque et septuaginta natum, Charram Mesopotamiæ civitatem confugisse, idque parentum suorum voluntatem secutum, partim ut occulto sese Esau fratris odio subduceret, paternæ jactura benedictionis, quam sibi ipse furtim simulata Esau specie Jacobus expresserat, concitato; partim ut inde uxorem duceret. Sic igitur eum, relicto Isaaco parente septimum ac trigesimum supra centesimum annum agente, hanc in urbem pervenisse, ubi jam ipse annum septimum ac septuagesimum attigisset. Eundem post septem annos quos ibi versatus erat, filias Labani materni avunculi duas, Liam et Rachelem, duxisse, circa annum ætatis quartum et octo-

μήκοντα ἑπτά. Διατρίψαντα οὖν αὐτὸν ἐκεῖ ἑπτὰ ἔτη Λάβαν τοῦ μητρῴου δύο θυγατέρας γῆμαι, Λείαν καὶ Ῥαχὴλ, ὄντα ἐτῶν ὀγδοήκοντα τεσσάρων· καὶ γενέσθαι ἐν ἑπτὰ ἔτεσιν ἄλλοις αὐτῷ παιδία ιβ'· ὀγδόῳ μὲν ἔτει, μηνὶ δεκάτῳ, Ῥουβίν· καὶ τῷ ἔτει τῷ ἐννάτῳ, μηνὶ ὀγδόῳ, Συμεών· καὶ τῷ ἔτει δὲ τῷ δεκάτῳ, μηνὶ ἕκτῳ, Λευίν· τῷ δὲ ἑνδεκάτῳ ἔτει, μηνὶ τετάρτῳ, Ἰούδαν. Ῥαχήλ τε μὴ τίκτουσαν ζηλῶσαι τὴν ἀδελφὴν, καὶ παρακοιμίσαι τῷ Ἰακὼβ τὴν ἑαυτῆς παιδίσκην Ζελφὰν, τῷ αὐτῷ χρόνῳ ᾧ καὶ Βάλλαν συλλαβεῖν τὸν Νεφθαλείμ, τῷ ἑνδεκάτῳ ἔτει, μηνὶ πέμπτῳ, καὶ τεκεῖν τῷ δωδεκάτῳ ἔτει μηνὶ δευτέρῳ υἱὸν, ὃν ὑπὸ Λείας Γὰδ (vg. Γὰθ) ὀνομασθῆναι· καὶ ἐκ τῆς αὐτῆς τοῦ αὐτοῦ ἔτους καὶ μηνὸς δωδεκάτου ἕτερον τεκεῖν, ὃν καὶ αὐτὸν προσαγορευθῆναι ὑπὸ Λείας Ἀσήρ. Καὶ Λείαν πάλιν ἀντὶ τῶν μήλων τῶν μανδραγόρου, ἃ Ῥουβὶν εἰσενεγκεῖν παρὰ Ῥαχὴλ, συλλαβεῖν ἐν γαστρὶ, καὶ τῷ αὐτῷ χρόνῳ τὴν παιδίσκην αὐτῆς Ζελφὰν, τῷ δωδεκάτῳ ἔτει, μηνὶ τρίτῳ, καὶ τεκεῖν τοῦ αὐτοῦ ἔτους μηνὸς δωδεκάτου υἱὸν, καὶ ὄνομα αὐτῷ θέσθαι Ἰσσαχάρ. Καὶ πάλιν Λείαν τῷ τρισκαιδεκάτῳ ἔτει, μηνὶ δεκάτῳ υἱὸν ἄλλον τεκεῖν ᾧ ὄνομα Ζαβουλὼν, καὶ τὴν αὐτὴν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μηνὶ ὀγδόῳ τεκεῖν υἱὸν ὄνομα Δάν. Ἐν ᾧ καὶ Ῥαχὴλ λαβεῖν ἐν γαστρὶ τῷ αὐτῷ χρόνῳ, ᾧ καὶ Λείαν τεκεῖν θυγατέρα Δείναν, καὶ τεκεῖν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει μηνὶ ὀγδόῳ υἱὸν, ὃν ὀνομασθῆναι Ἰωσήφ, ὥστε γεγονέναι ἐν τοῖς ἑπτὰ ἔτεσι τοῖς παρὰ Λάβαν δώδεκα παιδία. Θέλοντα δὲ τὸν Ἰακὼβ πρὸς τὸν πατέρα εἰς Χαναὰν ἀπιέναι, ἀξιωθέντα ὑπὸ Λάβαν ἄλλα ἔτη ἓξ μεῖναι, ὥστε τὰ πάντα αὐτὸν μεῖναι ἐν Χαρρὰν παρὰ Λάβαν ἔτη εἴκοσι. Πορευομένῳ δὲ αὐτῷ εἰς Χαναὰν ἄγγελον τοῦ Θεοῦ παλαῖσαι, καὶ ἅψασθαι τοῦ πλάτους τοῦ μηροῦ τοῦ Ἰακώβ· τὸν δὲ ναρκήσαντα ἐπισκάζειν· ὅθεν οὐκ ἐσθίεσθαι τῶν κτηνῶν τὸ ἐν τοῖς μηροῖς νεῦρον. Καὶ φάναι αὐτῷ τὸν ἄγγελον, ἀπὸ τοῦδε μηκέτι Ἰακὼβ, ἀλλ' Ἰσραὴλ ὀνομασθήσεσθαι. Καὶ ἐλθεῖν αὐτὸν τῆς Χαναὰν γῆς εἰς ἑτέραν πόλιν Σικίμων, ἔχοντα παιδία Ῥουβὶν ἐτῶν ιβ' μηνῶν δυοῖν, Συμεῶνα ἐτῶν ιβ' (ια' C. F. G.) μηνῶν τεσσάρων, Λευὶν ἐτῶν ιβ' (ι' C. F. G.) μηνῶν ἕξ, Ἰουδὰν ἐτῶν θ' μηνῶν ὀκτὼ, Νεφθαλεὶμ ἐτῶν ὀκτὼ μηνῶν δέκα (τριῶν C. F. G.), Γὰδ ἐτῶν ὀκτὼ μηνῶν δέκα, Ἀσὴρ ἐτῶν ὀκτὼ, Ἰσσαχὰρ ἐτῶν ὀκτὼ, Ζαβουλὼν ἐτῶν ἑπτὰ μηνῶν δυοῖν, Δείναν ἐτῶν ἓξ μηνῶν τεσσάρων, Ἰωσὴφ ἐτῶν ἓξ μηνῶν τεσσάρων. Παροικῆσαι δὲ Ἰσραὴλ παρὰ Ἐμμὼρ ἔτη δέκα, καὶ φθαρῆναι τὴν Ἰσραὴλ θυγατέρα Δείναν ὑπὸ Συχὲμ τοῦ Ἐμμὼρ υἱοῦ, ἐτῶν οὖσαν δεκαὲξ μηνῶν τεσσάρων. Ἐξαλλομένους δὲ τοῦ Ἰσραὴλ υἱοὺς, Συμεῶνα μὲν ὄντα ἐτῶν εἰκοσιενὸς μηνῶν τεσσάρων, Λευὶν δὲ ἐτῶν εἴκοσι μηνῶν ἕξ, ἀποκτεῖναι τόν τε Ἐμμὼρ, καὶ Συχὲμ τὸν υἱὸν αὐτοῦ, καὶ πάντας

gesimum, aliorumque septem annorum spatio liberos omnino suscepisse duodecim. Quippe octavi anni mense decimo Rubenum genuisse, noni octavo Simeonem, decimi sexto Levinum, undecimi quarto Judam. Tum vero a Rachele, quod sterilis esset, muliebri adversus sororem invidia flagrante, Zelpham ancillam in Jacobi lectum eodem tempore submissam esse, quo etiam Balla Nephthalimum conceperit, anni scilicet undecimi mense quinto, ac duodecimi secundo filium peperisse, quem Gadum Lia nominaverit; alterumque deinceps ejusdem anni mense duodecimo, cui Aseris nomen eadem Lia dederit. Rursus vero Liam pro mandragoræ pomis, quæ Rubenus ad Rachelem attulerat, eodemque tempore Zelpham ancillam, hoc est anni duodecimi mense tertio, filium concepisse, ejusdemque anni duodecimo genuisse, quem Issacharem nuncuparit. Atque iterum Liam decimi tertii decimo alterum suscepisse nomine Zabulonem, iterumque decimi quarti octavo Danum peperisse. Rachelem vero quum eodem fere tempore, quo Lia Dinam filiam susceperat, uterum gestare cœpisset, anni decimi quarti mense octavo filium procreasse, quem Josephum appellarit; atque ita liberos omnino duodecim Jacobo, septem annis quibus apud Labanum vixerat, natos fuisse. Jam vero, ad patrem licet in terram Chananæam redire cupientem, Labani tamen precibus victum alios sex annos ibidem commoratum esse, itaque Charræ apud Labanum totos et continentes viginti annos egisse. Quibus exactis, patriam repetenti obvium Dei angelum, postquam aliquamdiu cum eo luctatus esset, femur ejus qua parte latius est, percussisse, Jacobumque simul eo membro torpescentem claudicare cœpisse. Quo factum deinceps, ut ex pecudibus femoris nervum Judæorum attingat nemo. Ab angelo autem futurum audiisse, ut in posterum non Jacobus, sed Israel vocaretur Itaque in eam terræ Chanaan successisse partem, quæ Sicimis adversa esset, liberorum suorum comitatu stipatum. E quibus Rubenus annos duodecim mensesque duos natus erat, Simeon annos totidem ac menses quattuor, Levinus annos duodecim mensesque sex, Judas annos novem ac menses octo, Nephthalimus annos octo mensesque decem, Gadus totidem, Aser et Issachar annos octo, Zabulon annos septem mensesque duos, Dina et Josephus annos sex et menses quattuor. Ceterum Israelem annis sibi decem juxta Emmorem domicilium delegisse; cujus filiæ Dinæ annos natæ sedecim mensesque quattuor, quum Sychemus Emmoris filius stuprum obtulisset, Symeonem, qui mensem quartum supra annum vigesimum primum, et Levinum, qui mensem sextum supra annum vigesimum ageret, Israelis filios, sororis injuria graviter commotos, Emmonem ac Sychemum ejus filium, maresque universos impetu facto cecidisse, quo tempore annorum septem supra centum Jacobus esset. Eum porro, quum Lusam Bathelis urbem venisset, a Deo jussum, relicto Jacobi nomine, Israelem nuncupari cœpisse. Tum Caphratham, indeque Ephratham, quam Bethleemum vocant, petiisse, ubi Rachel, suscepto Benjamino, diem supremum obierit, postquam annos tres et viginti cum ea Jacobus vixisset; inde rursus Mambren Chebronis oppidum ad Isaacum patrem venisse. At Josephum eo tempore quum esset annorum septendecim, Ægyptiis venditum, totos tredecim annos in vinculis fuisse, donec ipse quidem tricesimum, Jacobus vero decimum supra centesimum ætatis an-

τοὺς ἄρσενας, διὰ τῆς Δείνης τὴν φθοράν· Ἰακὼβ δὲ τότε εἶναι ἐτῶν ἑκατὸν ἑπτά. Ἐλθόντα δὲ οὖν αὐτὸν εἰς Λουζὰ τῆς Βαιθὴλ, φάναι τὸν Θεὸν μηκέτι Ἰακὼβ ἀλλ' Ἰσραὴλ ὀνομάζεσθαι. Ἐκεῖθεν δὲ ἐλθεῖν εἰς Χαφραθὰ, ἔνθεν παραγενέσθαι εἰς Ἐφραθὰ, ἣν εἶναι Βηθλεὲμ, καὶ γεννῆσαι αὐτὸν ἐκεῖ Βενιαμὶν, καὶ τελευτῆσαι Ῥαχὴλ, τεκοῦσαν τὸν Βενιαμὶν, συμβιῶσαι δ' αὐτῇ τὸν Ἰακὼβ ἔτη εἰκοσιτρία. Αὐτόθεν δὲ ἐλθεῖν τὸν Ἰακὼβ εἰς Μαμβρὶ τῆς Χεβρὼν, πρὸς Ἰσαὰκ τὸν πατέρα. Εἶναι δὲ τότε τὸν Ἰωσὴφ ἐτῶν δεκαεπτὰ, καὶ πραθῆναι αὐτὸν εἰς Αἴγυπτον, καὶ ἐν τῷ δεσμωτηρίῳ μεῖναι ἔτη δεκατρία, ὥστ' εἶναι αὐτὸν ἐτῶν τριάκοντα, Ἰακὼβ δὲ ἐτῶν ἑκατὸν δέκα, ἐν ᾧ καὶ τελευτῆσαι τὸν Ἰσαὰκ ἔτει ἑνὶ ἔμπροσθεν, ἐτῶν ὄντα ἑκατὸν ὀγδοήκοντα. Κρίνοντα δὲ τῷ βασιλεῖ τὸν Ἰωσὴφ τὰ ἐνύπνια, ἄρξαι Αἰγύπτου ἔτη ἑπτὰ, ἐν οἷς καὶ συνοικῆσαι Ἀσενὲθ, Πεντεφρῆ τοῦ Ἡλιουπόλεως ἱερέως θυγατρὶ, καὶ γεννῆσαι Μανασσῆν καὶ Ἐφραΐμ· καὶ τοῦ λιμοῦ ἐπιγενέσθαι ἔτη β'. Τὸν δὲ Ἰωσὴφ ἔτη ἐννέα εὐτυχήσαντα, πρὸς τὸν πατέρα μὴ πέμψαι, διὰ τὸ ποιμένα αὐτόν τε καὶ τοὺς ἀδελφοὺς εἶναι· ἐπονείδιστον δὲ Αἰγυπτίοις εἶναι τὸ ποιμαίνειν. Ὅτι δὲ διὰ τοῦτο οὐκ ἔπεμψεν αὐτὸν δεδηλωκέναι. Ἐλθόντων γὰρ αὐτοῦ τῶν συγγενῶν, φάναι αὐτοῖς, ἐὰν κληθῶσιν ὑπὸ τοῦ βασιλέως, καὶ ἐρωτῶνται τί διαπράσσονται, λέγειν κτηνοτρόφους αὐτοὺς εἶναι. Διαπορεῖσθαι δὲ, διὰ τί ποτε ὁ Ἰωσὴφ Βενιαμὶν ἐπὶ τοῦ ἀρίστου πενταπλασίονα μερίδα ἔδωκε, μὴ δυναμένου αὐτοῦ τοσαῦτα καταναλῶσαι κρέα. Τοῦτο οὖν αὐτὸν πεποιηκέναι διὰ τὸ ἐκ τῆς Λείας τῷ πατρὶ αὐτοῦ γεγονέναι υἱοὺς ἑπτὰ, ἐκ δὲ Ῥαχὴλ τῆς μητρὸς αὐτοῦ δύο· διὰ τοῦτο τῷ Βενιαμὶν πέντε μερίδας παραθεῖναι, καὶ αὐτὸν λαβεῖν μίαν· γενέσθαι οὖν ἑπτὰ, ὅσας καὶ τοὺς ἐκ τῆς Λείας υἱοὺς λαβεῖν. Ὡσαύτως καὶ ἐπὶ τοῦ τὰς στολὰς δοῦναι ἑκάστῳ διπλᾶς, τῷ δὲ Βενιαμὶν πέντε καὶ τριακοσίους χρυσοῦς, καὶ τῷ πατρὶ ἀποστεῖλαι κατὰ ταῦτα, ὥστε τὸν οἶκον αὐτοῦ τῆς μητρὸς εἶναι ἴσον. Οἰκῆσαι δὲ αὐτοὺς ἐν γῇ Χαναὰν, ἀφ' οὗ ἐκλεγῆναι Ἀβραὰμ ἐκ τῶν ἐθνῶν καὶ μετελθεῖν εἰς Χαναὰν, Ἀβραὰμ ἐτῶν εἴκοσι πέντε, Ἰσαὰκ ἐτῶν ἑξήκοντα, Ἰακὼβ ἐτῶν ἑκατὸν τριάκοντα, γίνεσθαι τὰ πάντα ἔτη ἐν γῇ Χαναὰν σιε'. Καὶ τῷ τρίτῳ ἔτει λιμοῦ οὔσης ἐν Αἰγύπτῳ, ἐλθεῖν εἰς Αἴγυπτον τὸν Ἰακὼβ, ὄντα ἐτῶν ἑκατὸν τριάκοντα, Ῥουβὶν ἐτῶν με', Συμεῶνα ἐτῶν μδ', Λευὶν ἐτῶν μγ', Ἰούδαν ἐτῶν μβ' μηνῶν τριῶν, Ἀσὴρ ἐτῶν μ' μηνῶν ὀκτὼ, Νεφθαλεὶμ ἐτῶν μα' μηνῶν ζ', Γὰδ ἐτῶν μα' μηνῶν γ', Ζαβουλὼν ἐτῶν μ', Δείναν ἐτῶν λθ', Βενιαμὶν ἐτῶν κη'. Τὸν δὲ Ἰωσὴφ φησὶ γενέσθαι ἐν Αἰγύπτῳ ἔτη λθ'. Εἶναι δὲ ἀπὸ τοῦ Ἀδὰμ ἕως τοῦ εἰσελθεῖν εἰς Αἴγυπτον τοὺς τοῦ Ἰωσὴφ συγγενεῖς ἔτη ͵γχκδ'· ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς Ἰακὼβ παρουσίας εἰς Αἴγυπτον ἔτη ͵ατξ'· ἀφ' οὗ δὲ ἐκλεγῆναι Ἀβραὰμ ἐκ τῶν ἐθνῶν καὶ ἐλθεῖν ἐκ Χαρρὰν εἰς Χαναὰν ἕως εἰς Αἴγυπτον τοὺς περὶ Ἰακὼβ ἐλθεῖν ἔτη σιε'. Ἰακὼβ δὲ ἐκ Χαρρὰν πρὸς Λάβαν ἐλθεῖν, ἐτῶν ὄντα π', καὶ γεννῆσαι Λευίν· Λευὶν δὲ ἐν Αἰγύπτῳ ἐπιγενέσθαι ἔτη ιζ', ἀφ' οὗ ἐκ Χαναὰν αὐτὸν ἐλθεῖν εἰς Αἴγυπτον, ὥστε εἶναι αὐτὸν ἐτῶν ξ', καὶ γεννῆσαι Κλάθ· τῷ αὐτῷ δὲ ἔτει ᾧ γενέσθαι Κλὰθ, τελευτῆσαι Ἰακὼβ ἐν Αἰγύπτῳ, εὐλογήσαντα τοὺς Ἰωσὴφ υἱοὺς, ὄντα

---

num confecisset, Isaaco jam anno superiore, hoc est ætatis octogesimo supra centesimum, vita functo. Ac Josephum quidem post felicem regis somniorum explicationem, toti Ægypto annis septem præfuisse, quo tempore Asenethem Pentephræ Heliopolios sacerdotis filiam conjugem duxerit, atque ex ea Manassem Ephraimumque susceperit. Tum annis duobus fame laborari cœptum. Eundem vero novem annorum spatio, quibus fortunate admodum vixerit, patrem accersere noluisse, quod tam ipse quam fratres pascendis ovibus operam darent, quæ vitæ ratio apud Ægyptios probro duceretur. Atque hanc ei cur patrem non acciret causam fuisse, ab eo re ipsa declaratum. Fratribus enim suis, quum ad eum aliquando venissent, hoc in mandatis ipsum dedisse, ut, si forte a rege accerserentur, rogati quod vitæ genus profiterentur, equis alendis sese vacare responderent. Benjaminum quod attinet, quæsitum a plerisque, quamobrem Josephus inter prandendum partem ei quintuplo singulis majorem apponi voluerit, quum tot cibis adolescens par esse non posset. Cujus rei hanc ille rationem afferebat, quod Jacobo patri septem ex Lia, ex Rachele vero matre sua duo tantum liberi nati essent; eoque Benjamino partes quinque, sibi autem duas tribuisse, ut cum septenario Liæ filiorum numero partium numerus æquaretur. Similiter stolas singulis quidem geminas, at Benjamino quinque cum aureis trecentis dedisse, totidemque ad patrem misisse, ne qua in re materna familia alteri concederet. Ceterum ex quo Abrahamus universis e gentibus divina voluntate selectus, in terram Chananæam primus concesserat, ipsum quidem annos viginti quinque, Isaacum vero sexaginta, Jacobum denique triginta supra centum ibidem degisse, qui omnes annorum quindecim supra ducentos summam efficiant. Atque hoc ipso, qui famis apud Ægyptios tertius erat, cunctam eorum familiam in Ægyptum migrasse, quum Rubenus annos quinque supra quadraginta natus esset, Simeon quattuor et quadraginta, Levinus tres et quadraginta cum tribus insuper mensibus, Aser quadraginta et menses octo, Nephthalimus unum et quadraginta mensesque septem, Gadus totidem menses que tres, Zabulon quadraginta, Dina novem ac triginta, Benjaminus octo et viginti. Josephum autem in Ægypto annis novem ac triginta vixisse. Itaque ab Adamo ad illud usque tempus, quo Josephi cognatio in Ægyptum migravit, annos sexcentos et viginti quattuor supra tres mille numerari : a diluvio usque ad eundem Jacobi in Ægyptum adventum, trecentos et sexaginta supra mille : ex quo autem Abrahamus e gentium medio segregatus, Charrâ in terram Chananæam venerat, quindecim supra ducentos. Porro Jacobum ad Labanum Charra venisse circiter octogenarium, ibique Levinum genuisse, qui anno decimo septimo quam in Ægyptum venerat, hoc est ætatis sexagesimo, Clathum procreavit; eoque ipso anno Jacobum in Ægypto, postquam Josephi liberis bene precatus esset, annosque quadraginta

ἐτῶν ρμζ', καταλιπόντα Ἰωσὴφ ἐτῶν νς'. Λευὶν δὲ γενόμενον ἐτῶν ρλζ' τελευτῆσαι, Κλὰθ δὲ ὄντα ἐτῶν μ' γεννῆσαι Ἀμρὰμ, ὃν ἐτῶν εἶναι ιδ' ἐν ᾧ τελευτῆσαι Ἰωσὴφ ἐν Αἰγύπτῳ ὄντα ρι' ἐτῶν· Κλὰθ δὲ γενόμενον ἐτῶν ἑκατὸν λγ' τελευτῆσαι. Ἀμρὰμ λαβεῖν γυναῖκα τὴν τοῦ θείου θυγατέρα Ἰωχαβὲτ, καὶ ὄντα ἐνιαυτῶν οε' γεννῆσαι Ἀαρὼν καὶ Μωσῆν· γεννῆσαι δὲ Μωσῆν τὸν Ἀμρὰμ ὄντα ἐτῶν οη', καὶ γενόμενον Ἀμρὰμ ἐτῶν ρλς' τελευτῆσαι. »

Ταῦτά μοι κείσθω ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Πολυΐστορος γραφῆς. Ἑξῆς [l. ἐξ ἧς] ἐπισυνήφθω καὶ τάδε. Postrema hæc nonnullos induxerunt, ut quod sequitur Theodoti fragmentum Eusebium non ex Alexandro sed aliunde assumpsisse putarent. Sed quum reliqua omnia ex eodem Polyhistore fluxerint, et fr. 10 Eusebius pergat : Τούτοις καὶ τὰ ἑξῆς περὶ τοῦ Ἰωσὴφ ἐκ τῆς αὐτῆς Πολυΐστορος γραφῆς ἐπισυνήφθω, quæ parum apte dicta forent, si proxime antecedentia aliunde deprompta essent : nullus dubito quin Theodoti quoque narratio ex Alexandro petita sit. Quare scribi velim ἐξ ἧς (pro ἑξῆς) ἐπισ. καὶ τάδε.

9.

ΘΕΟΔΟΤΟΥ

περὶ τοῦ αὐτοῦ.

Cap. 22 : Τὰ δὲ Σίκιμά φησι Θεόδοτος ἐν τῷ Περὶ Ἰουδαίων ἀπὸ Σικιμίου τοῦ Ἑρμοῦ λαβεῖν τὴν ὀνομασίαν· τοῦτον γὰρ καὶ κτίσαι τὴν πόλιν· κεῖσθαι δ' αὐτήν φησιν ἐν τῇ Περὶ Ἰουδαίων οὕτως·

Ἡ δ' ἄρ' ἔην ἀγαθή τε καὶ αἰγινόμος καὶ ὑδρηλὴ,
οὐδὲ μὲν ἔσκεν ὁδὸς δολιχὴ πόλιν εἰσαφικέσθαι [v. l.)
ἀγρόθεν· οὐδέ ποτε δριὰ λαχνήεντα πονεῦσιν (πονοῦσιν
(δρία λαχνήεντ' ἀπόερσεν tentavit H. Grot. ad Ev. Joh.
ἐξ αὐτῆς δὲ μάλ' ἄγχι δύ' οὔρεα φαίνετ' ἐρυμνὰ. [IV, 5)
ποίης τε πλήθοντα καὶ ὕλης· τῶν δὲ μεσηγὺ
ἀτραπιτὸς τέτμηται, ἀραίη [αὐλῶπις]· ἐν δ' ἑτέρωθι
(τέτμητ' ἀραὴ αὐλῶπις· ἔνερθεν Ἡ ἱερὴ Σίκιμον conj.
ἥδ' ἱερὴ Σικίμων καταφαίνεται, ἱερὸν ἄστυ, [Grotius)
νέρθεν ὑπὸ ῥίζῃ δεδμημένον, ἀμφὶ δὲ τεῖχος
λισσὸν ὑπώρειαν, ὑπὸ δ' ἔδραμεν αἰπύθεν (αἰπύεν Scal.)
(ὑποδέδραμεν αἰπυὸν ἕρκος conj. Grot.) [ἕρκος

Ὕστερον δέ φησιν αὐτὴν ὑπὸ Ἑβραίων κατασχεθῆναι, δυναστεύοντος Ἐμμώρ· τὸν γὰρ Ἐμμὼρ υἱὸν γεννῆσαι Συχέμ. Φησὶ δέ·

Ἐνθένδε, ξένε, ποιμενόθι πόλιν ἤλυθ' Ἰακὼβ,
εὐρεῖαν Σικίμων· ἐπὶ δ' ἀνδράσι τοῖσιν ἔτησιν
ἀρχὸς Ἐμὼρ σὺν παιδὶ Συχὲμ, μάλ' ἀτειρέε φῶτε.

Εἶτα περὶ Ἰακὼβ καὶ τὴν εἰς Μεσαποταμίαν αὐτοῦ παρουσίαν, καὶ τῶν δύο γυναικῶν γάμον, καὶ τὴν τῶν τέκνων γένεσιν, καὶ τὴν παρουσίαν τὴν ἐκ Μεσοποταμίας εἰς τὰ Σίκιμα,

('Επεὶ δ') Ἰακὼβ Συρίην κτηνοτρόφον ἵκτο, καὶ εὐρὺ
ῥεῖθρον Εὐφρήταο λίπεν ποταμοῦ κελάδοντος·
ἤλυθε γὰρ κἀκεῖθι λιπὼν δριμεῖαν ἐνιπὴν
αὐτοκασιγνήτοιο· πρόφρων ὑπέδεκτο δόμονδε
Λάβαν, ὅς οἱ ἔην μὲν ἀνεψιὸς, ἀλλὰ τότ' οἶος
ἤνασσεν Συρίης, νειηγενὲς αἷμα λελογχώς.
Τῷ δὲ γάμον κούρης μὲν ὑπέσχετο καὶ κατένευσεν
ὁπλοτάτης· οὐ μὴν τελέθειν ἐπεμαίετο πάμπαν,
ἀλλὰ δόλον τολύπευσεν, καὶ ἐς λέχος ἀνέρι πέμπε
Λείαν, ἥ οἱ ἔην προγενεστέρη. Οὐδέ μιν ἔμπης
ἔλλαθεν, ἀλλ' ἐνόησε κακορραφίην, καὶ ἔδεκτο

---

septem supra centum exegisset, diem obiisse, relicto Josepho annorum sex et quinquaginta. Addit Levinum anno ætatis trigesimo septimo supra centesimum vita excessisse; Clathum vero annorum quadraginta quum esset, Abrahamum genuisse, cujus anno decimo quarto Josephus circa annum ætatis decimum supra centesimum obierit : supremum autem Clathi diem anno illius tricesimo tertio supra centesimum contigisse. Rursus Abrahamum cum avunculi sui filia, quam Jochabaren vocabant, matrimonium iniisse, ex eaque anno ætatis suæ quinto ac septuagesimo Aaronem, tertioque post anno Mosem suscepisse; ac tandem annos natum sex et triginta supra centum ex hac vita migrasse. Atque hæc omnia ex Alexandri Polyhistoris scripto, ex quo etiam sequentia attexemus.

EX THEODOTO

de eodem.

Ille enim eo quem de Judæis scripsit libro, Sicima a Sicimo quodam Mercurii filio, ejus urbis conditore, nomen accepisse auctor est, cujus situm his expressit versibus :

Quippe hæc terra ferax, tenerisque aptissima capris,
irriguique soli; brevis unde excursus in urbem.
At nulli fessos molli lanugine saltus
hic recreant. Tecti juncto prope vertice montes
hinc gemini excipiunt, herbasque nemusque ministrant.
Quos inter raro angustus discrimine callis
rumpit iter. Parte adversa se tollit in auras
urbs ingens Sicimûm, radicem exstructa sub imam :
quà circum lævi consurgunt mœnia saxo,
atque infra supraque urbem munimine cingunt.

Eandem ab Hebræis regnante Emmore occupatam fuisse, postmodum affirmat. Emmorem enim Sychemum genuisse Sic autem cecinit :

Illinc, o hospes, tandem vaga liquit Iacob
pascua, et immensam Sicimum successit in urbem
dum socios Emmor populos, atque Emmore natus
imperio premeret Sychemus, patri æmula pestis.

Tum Jacobi partim in Mesopotamiam adventum, partim nuptias duabus cum mulieribus initas, partim liberos ex utraque susceptos, partim denique hanc ipsam ex Mesopotamiæ finibus Sicimorum in urbem migrationem exsequitur :

At pecorum altricem in Syriam concedit Iacob,
atque sonante vagos volventem gurgite fluctus
deserit Euphratem : irati simul aspera fratris
jurgia declinat. Blando pia tecta nepoti
pectore Labanus, Syriæ tum, stirpe recenti,
sceptra tenens, pandit. Cui mox promissa minoris
(sic male certa fides) natæ connubia mutat,
majoremque viro thalami in penetralia furtim

παῖδ' ἑτέρην, ἀμφοῖν δ' ἐμίγη σὺν ὁμαίμοσιν ἧσι
Τῷ δ' υἱεῖς ἐγένοντο νόῳ πεπνυμένοι αἰνῶς
ἕνδεκα, καὶ κούρη Δεῖνα περικαλλὲς ἔχουσα
εἶδος, ἐπίτρεπτον δὲ δέμας, καὶ ἀμύμονα θυμόν.

Ἀπὸ δὲ Εὐφράτου φησὶ τὸν Ἰακὼϐ ἐλθεῖν εἰς τὰ Σίκιμα πρὸς Ἐμμὼρ· τὸν δ' ὑποδέξασθαι αὐτὸν, καὶ μέρος τι τῆς χώρας δοῦναι.

Καὶ αὐτὸν μὲν τὸν Ἰακὼϐ γεωμορεῖν, τοὺς δὲ υἱοὺς αὐτοῦ ἕνδεκα τὸν ἀριθμὸν ὄντας ποιμαίνειν, τὴν δὲ θυγατέρα Δεῖναν καὶ τὰς γυναῖκας ἐριουργεῖν· καὶ τὴν Δεῖναν παρθένον οὖσαν εἰς τὰ Σίκιμα ἐλθεῖν πανηγύρεως οὔσης, βουλομένην θεάσασθαι τὴν πόλιν· Συχὲμ δὲ τὸν τοῦ Ἐμμὼρ υἱὸν ἰδόντα ἐρασθῆναι αὐτῆς, καὶ ἁρπάσαντα ὡς ἑαυτὸν διακομίσαι καὶ φθεῖραι αὐτήν. Αὖθις δὲ σὺν τῷ πατρὶ ἐλθόντα πρὸς τὸν Ἰακὼϐ, αἰτεῖν αὐτὴν πρὸς γάμου κοινωνίαν· τὸν δὲ οὐ φάναι δώσειν πρὶν ἂν ἢ πάντας τοὺς οἰκοῦντας τὰ Σίκιμα περιτεμνομένους ἰουδαΐσαι· τὸν δὲ Ἐμμὼρ φάναι πείσειν αὐτούς. Φησὶ δὲ περὶ τοῦ δεῖν περιτέμνεσθαι αὐτοὺς ὁ Ἰακὼϐ,

Οὐ μὲν γὰρ θεμιτόν γε τόδ' Ἑϐραίοισι τέτυκται,
γαμϐροὺς ἄλλοθεν εἰς γε νυοὺς ἀγέμεν ποτὶ δῶμα,
ἀλλ' ὅστις γενεῆς ἐξοίχεται εἶναι ὁμοίης.

Εἶτα ὑποϐὰς περὶ τῆς περιτομῆς,

Ὅς ποτ' ἐῆς πάτρης ἐξήγαγε δῖον Ἀϐραὰμ,
αὐτὸς ἀπ' οὐρανόθεν κέλετ' ἀνέρα παντὶ σὺν οἴκῳ
σάρκ' ἀποσυλῆσαι πόσθης ἄπο, καί ῥ' ἐτέλεσσεν·
ἀστεμφὲς δὲ τέτυκται, ἐπεὶ θεὸς αὐτὸς ἔειπε.

« Καὶ μετ' οὐ πολλὰς ἡμέρας τύραννον αὐτὸν ἀναδείξας ὁ φιλόσοφος, καὶ τὸ τῶν Πυθαγορικῶν ἀναδείξας δόγμα περὶ τῆς ἐπιβουλῆς, καὶ τί ἠβούλετο αὐτοῖς ἡ φιλοσοφία, ἣν ὁ καλὸς Πυθαγόρας εἰσηγήσατο, καθάπερ ἱστόρησε Θεόπομπος ἐν ὀγδόῃ Φιλιππικῶν καὶ Ἕρμιππος ὁ Καλλιμάχειος· εὐθέως καὶ οὗτος τοὺς μὲν εὖ φρονοῦντας τῶν πολιτῶν (παρὰ τὰ Ἀριστοτέλους καὶ Θεοφράστου δόγματα· ὡς ἀληθῆ εἶναι τὴν παροιμίαν τὴν λέγουσαν, μὴ παιδὶ μάχαιραν) ἐκποδὼν εὐθὺς ἐποιήσατο, φύλακας δ' ἐπὶ τὰς πύλας κατέστησεν, ὡς νύκτωρ πολλοὺς τῶν Ἀθηναίων, εὐλαβουμένους τὸ μέλλον, διὰ τῶν τειχῶν αὐτοὺς καθιμήσαντας φεύγειν. Καὶ ὁ Ἀθηνίων ἱππέας ἐπαποστείλας, οὓς μὲν ἐφόνευσεν, οὓς δὲ καὶ δεδεμένους κατήγαγε, δορυφόρους ἔχων πολλοὺς τῶν φρακτικῶν καλουμένων. Συνάγων δὲ καὶ ἐκκλησίας πολλάκις, τὰ Ῥωμαίων φρονεῖν προσεποιεῖτο· καὶ πολλοῖς αἰτίας ἐπιφέρων, ὡς διαπεμπομένοις πρὸς τοὺς φυγάδας, καὶ νεωτερίζουσιν, ἐφόνευεν αὐτούς· καὶ τὰς πύλας, τριάκοντα καταστήσας ἐφ' ἑκάστης, οὔτ' εἰσιέναι τὸν βουλόμενον, οὔτ' ἐξιέναι εἴα. Ἀνελάμβανε δὲ καὶ τὰς οὐσίας πολλῶν, καὶ τοσαῦτα χρήματα συνήθροισεν, ὡς καὶ φρέατα πληρῶσαι πλείονα. Ἐξαπέστειλε δὲ καὶ ἐπὶ τὴν χώραν ὥσπερ δδοιδόκους τῶν ἀποχωρούντων, οἵτινες αὐτοὺς ἀνῆγον ὡς αὐτόν· καὶ ἀκρίτους ἀπώλλυε, προσβασανίσας καὶ στρεβλώσας. Πολλοῖς δὲ καὶ προδοσίας δίκας ἐπῆγεν, ὡς τοῖς φυγάσι περὶ καθόδου συνεργοῦσιν· ὧν οἱ μὲν διὰ τὸν φόβον πρὸ τῆς κρίσεως ἔφευγον, οἱ δ' ἐν τοῖς δικαστηρίοις κατεδικάζοντο, αὐτοῦ τὰς ψήφους φέροντος. Ἐνειργάσατο δ' ἐν τῇ πόλει καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἔνδειαν, κριθίδια καὶ πυροὺς ὀλίγους διαμετρῶν. Ἐξέπεμπε δὲ καὶ ἐπὶ τῆς χώρας ὁπλίτας, τοὺς θηρεύσοντας, εἴ τις τῶν ἀνακεχωρηκότων ἐντός ἐστι τῶν ὅρων ἢ τῶν Ἀθηναίων τις εἰς τὴν ὑπερόριον ἀποδημεῖ· καὶ τὸν ληφθέντ' ἀπετυμπάνιζεν, ὧν ἐνίους καὶ προκατανάλισκε ταῖς βασάνοις. Ἐκήρυσσέ τε, δύντος τοῦ ἡλίου πάντας οἰκουρεῖν, καὶ μετὰ λυχνοφόρου μηδένα φοιτᾶν.

Καὶ οὐ μόνον τὰ τῶν πολιτῶν διήρπαζεν, ἀλλ' ἤδη καὶ τὰ τῶν ξένων, ἐκτείνας τὰς χεῖρας καὶ ἐπὶ τὰ εἰς Δῆλον τοῦ θεοῦ χρήματα. Ἐκπέμψας γοῦν εἰς τὴν νῆσον Ἀπελλικῶντα τὸν Τήιον, πολίτην δὲ Ἀθηναίων γενόμενον, ποικιλώτατόν τινα καὶ ἀψίκορον ζήσαντα βίον· ὁτὲ μὲν γὰρ ἐφιλοσόφει, καὶ τὰ περιπατητικὰ καὶ τὴν Ἀριστοτέλους βιβλιοθήκην καὶ ἄλλας συνηγόραζε συχνάς· ἦν γὰρ πολυχρήματος· τά τ' ἐκ τοῦ Μητρῴου τῶν παλαιῶν αὐτόγραφα ψηφίσματα ὑφαιρούμενος ἐκτᾶτο, καὶ ἐκ τῶν ἄλλων πόλεων, εἴ τι παλαιὸν εἴη καὶ ἀπόθετον. Ἐφ' οἷς φωραθεὶς ἐν ταῖς Ἀθήναις ἐκινδύνευσεν ἄν, εἰ μὴ ἔφυγεν. Καὶ μετ' οὐ πολὺ πάλιν κατῆλθε, θεραπεύσας πολλούς· καὶ συναπεγράφετο τῷ Ἀθηνίωνι, ὡς ἂν ἀπὸ τῆς αὐτῆς δὴ αἱρέσεως ὄντι. Ἀθηνίων δ', ἐπιλαθόμενος τῶν δογμάτων τῶν τοῦ περιπάτου, χοίνικα κριθῶν εἰς τέσσαρας ἡμέρας διεμέτρει τοῖς ἀνοήτοις Ἀθηναίοις, ἀλεκτορίδων τροφὴν, καὶ οὐκ ἀν-

---

tum vos simul omnes. » Hæc locutus, alios sibi magistratus cooptavit, propositis eorum quos voluerat nominibus.

Et paucis post diebus tyrannidem occupans philosophus, et Pythagoricorum decreta de insidiis quam vim habeant ostendens, et quorsum tetenderit illis philosophia ea, quam præclarus introduxerat Pythagoras; quemadmodum Theopompus docuit octavo libro Rerum Philippicarum, et Hermippus Callimachi discipulus; continuo hic quoque, quicumque bene animati erant ex civibus (contra Aristotelis et Theophrasti præcepta; ex quo veritatem agnoscas proverbii, Ne gladium puero!) recta e medio sustulit, custodes vero ad portas locavit. Quo factum, ut Atheniensium multi, imminens metuentes periculum, noctu per muros loris sese demittentes profugerent: quos Athenio missis equitibus persecutus, partim occidit, partim vinctos retraxit: multos enim habebat satellites ex eorum genere, qui *cataphracti* (id est, undique armati) appellantur. Nonnunquam etiam convocatis concionibus, simulabat studium partium Romanarum [quo cognosceret aliorum voluntatem?]; multosque, crimine impacto quod ad profugos missitarent, novisque rebus studerent, morte afficiebat; et, ad quamque portam triginta locatis satellitibus, neminem intrare portas aut egredi patiebatur. Multorum vero etiam facultates rapiebat, et tantam pecuniæ collegit vim, ut plures etiam puteos impleret. Emittebat quoque in circumjectam regionem obsessores viarum, et profugientium exploratores, qui eos ad ipsum retraherent: quos, indicta causa, inter tormenta et cruciatus necabat. Multos etiam proditionis crimine in judicium postulavit, quod exulibus reditum procurare studerent: quorum alii timore ante judicium profugerunt, alii in judiciali foro, ipso suffragia rogante, condemnati sunt. Rerum etiam ad vitam necessariarum in urbe inopiam invexit, vile hordeum et paululum tritici distribuens. Mittebat etiam in agros milites, pervestigaturos si quis vel eorum, qui profugissent, intra fines reperiretur, aut si quis Atheniensium extra fines proficisceretur: et qui deprehensus esset, is fustibus cæsus securi percutiebatur, ac nonnulli etiam ante in ipsis tormentis vitam finiebant. Denique per præconem edicebat, ut sub solis occasum quisque domi se teneret, et nemo ne cum lucerna quidem foras egrederetur.

Nec vero civium solum fortunas diripiebat, verum etiam peregrinorum; thesauris quoque Delii dei manum injiciens. Misit quippe in illam insulam Apellicontem, Teium genere, sed in civium numerum Atheniensium receptum; hominem qui vitam inconstantissimam et novi semper aliquid sectantem agebat. Fuit enim tempus quum philosopharetur, et Peripatetica omnia et Aristotelis bibliothecam aliasque multas coemeret: erat enim a pecunia abunde instructus. Tum vero et ex Magnæ Matris templo autographa veterum plebiscita et senatusconsulta surrepta, et ex aliis civitatibus, quidquid priscum et rarum ac reconditum esset, corraserat. Quo in furto deprehensus Athenis, capitis adiisset periculum, ni fuga evasisset. Sed non multo post, officiis et obsequiis demeritus multos, Athenas rediit; ibique consiliis cœptisque suffragatus est

θρώπων, αὐτοῖς διδούς. Ἀπελλικῶν δὲ, μετὰ δυνάμεως ἐξορμήσας εἰς Δῆλον, καὶ πανηγυρικῶς μᾶλλον ἢ στρατιωτικῶς ἀναστρεφόμενος, καὶ προφυλακὴν ἀμελεστέραν πρὸς τὴν Δῆλον μερίσας, μάλιστα δὲ τὰ ἐξόπισθε τῆς νήσου ἐάσας ἀφύλακτα, καὶ οὐδὲ χάρακα βαλλόμενος ἐκοιμᾶτο. Τοῦτο δὲ ἐπιγνοὺς ὁ Ὀρόβιος, στρατηγὸς Ῥωμαίων φυλάσσων τὴν Δῆλον, φυλάξας ἀσέληνον νύκτα καὶ ἐκβιβάσας τοὺς ἑαυτοῦ στρατιώτας, κοιμωμένοις καὶ μεθύουσιν ἐπιπεσὼν, κατέκοψε τοὺς Ἀθηναίους, καὶ τοὺς μετ' αὐτῶν συστρατευομένους, ὡς βοσκήματα, ἑξακοσίους τὸν ἀριθμὸν, ἐζώγρησε δὲ καὶ περὶ τετρακοσίους. Καὶ ὁ καλὸς στρατηγὸς Ἀπελλικῶν ἔλαθε φυγὼν ἐκ Δήλου. Πολλοὺς δὲ καὶ συμφυγόντας κατιδὼν ὁ Ὀρόβιος εἰς ἐπαύλεις, συγκατέφλεξεν αὐταῖς οἰκίαις, καὶ πάντ' αὐτῶν τὰ πολιορκητικὰ ὄργανα σὺν τῇ ἑλεπόλει, ἣν εἰς Δῆλον ἐλθὼν κατεσκευάκει. Στήσας οὖν τρόπαιον ἐπὶ τῶν τόπων ὁ Ὀρόβιος, καὶ βωμὸν, ἐπέγραψε·

Τούσδε θανόντας ἔχει ξείνους τάφος, οἳ περὶ Δῆλον
μαρνάμενοι ψυχὰς ὤλεσαν ἐν πελάγει,
τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεραΐζον,
κοινὸν Ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

De Athenione vel potius Aristione, vid. Plutarch. Sulla c. 12. 13. 23, Moral. p. 809, E; Appianus Mithrid. c. 28 (qui Posidonium inspexisse videtur); Pausanias I, 20, 3; Strabo IX, 398; Eutrop. V. 3. Res pertinet ad a. 87 et 86.

FRAGMENTA SEDIS INCERTÆ.

42.

Plutarch. Marius c. 1 : Γαΐου Μαρίου τρίτον οὐκ ἔχομεν εἰπεῖν ὄνομα, καθάπερ οὐδὲ Κοΐντου Σερτωρίου τοῦ κατασχόντος Ἰβηρίαν οὐδὲ Λευκίου Μομμίου τοῦ Κόρινθον ἑλόντος. Ὁ γὰρ Ἀχαϊκὸς τούτῳ γε τῆς πράξεως ἐπώνυμον γέγονεν, ὡς ὁ Ἀφρικανὸς Σκηπίωνι καὶ ὁ Μακεδονικὸς Μετέλλῳ. Ἐξ οὗ καὶ μάλιστα Ποσειδώνιος ἐλέγχειν οἴεται τοὺς τὸ τρίτον ὄνομα Ῥωμαίοις κύριον εἶναι νομίζοντας, οἷον τὸν Κάμιλλον καὶ τὸν Μάρκελλον καὶ τὸν Κάτωνα· γίνεσθαι γὰρ ἂν ἀνωνύμους τοὺς ἀπὸ μόνων τῶν δυεῖν προσαγορευομένους. Λανθάνει δὲ αὐτὸν, ὅτι τούτῳ τῷ λόγῳ πάλιν αὐτὸς ἀνωνύμους ποιεῖται τὰς γυναῖκας· οὐδεμιᾷ γὰρ γυναικὶ τίθεται τῶν ὀνομάτων τὸ πρῶτον, ὅπερ οἴεται κυρίως ὄνομα Ῥωμαίοις ὑπάρχειν ὁ Ποσειδώνιος.

43.

Id. Marcell. c. 1 : Μάρκον δὲ Κλαύδιον τὸν πεντάκις ὑπατεύσαντα Ῥωμαίων Μάρκου μὲν υἱὸν γενέσθαι λέγουσι, κληθῆναι δὲ τῶν ἀπὸ τῆς οἰκίας πρῶτον Μάρκελλον, ὅπερ ἐστὶν Ἀρήιον, ὥς φησι Ποσειδώνιος. Ἦν γὰρ τῇ μὲν ἐμπειρίᾳ πολεμικὸς, τῷ δὲ σώματι ῥωμαλέος, τῇ δὲ χειρὶ πλήκτης, τῇ δὲ φύσει φιλοπόλεμος καὶ τούτῳ δὴ πολὺ τὸ γαῦρον ἀγέρωχον ἐπιφαίνων ἐν τοῖς ἀγῶσι, τῷ δὲ ἄλλῳ τρόπῳ σώφρων, φιλάνθρωπος, Ἑλληνικῆς παιδείας καὶ λόγων ἄχρι τοῦ τιμᾶν καὶ θαυμάζειν τοὺς κατορθοῦντας ἐραστὴς, αὐτὸς δὲ ὑπ' ἀσχολιῶν ἐφ' ὅσον ἦν πρόθυμος ἀσκῆσαι καὶ μαθεῖν οὐκ ἐξικόμενος.

πρῶτον] hoc falsum. Vide interpretes ad h. l. Ceterum quæ de hoc Marcello e Posidonio afferuntur, ea per excursum exposita fuerint iis locis, ubi de M. Marcello, Posidonii patrono, sermo erat, nisi forte statuas peculiari scriptione Posidonium de celeberrimo patroni proavo egisse.

44.

Idem Fab. Max. c. 19, Fabium Maximum et Marcellum, contra Hannibalem duces, hunc manu promptum, illum lentum et cunctatorem, inter se

---

Athenionis, ob sectæ societatem. At Athenio, Lycei præcepta oblitus, chœnicem hordei in quattuor dies dimetiebatur stolidis Atheniensibus, gallinarum eis dans pabulum, non alimentum hominum. Apellicon vero, postquam cum exercitu Delum trajecit, tanquam ludos et festa celebrans magis, quam ut belli dux, ibi agebat : stationibus adversus urbem negligentius collocatis; ea maxime insulæ parte, quæ a tergo erat, prorsus sine custodia relicta; ne castris quidem vallo munitis, secure dormiebat. Quo cognito, *Orbius*, prætor Romanorum [*Orobium* scriptor Græcus vocat], qui Delum urbem præsidio tenebat, observata nocte illuni, eductis suis militibus dormientes ebriosque adortus, pecudum more Athenienses et qui cum illis arma sociaverant trucidavit, sexcentos numero; ad quadringentos vero vivos cepit. Præclarus dux Apellico clam fuga ex insula se eripuit. Orbius vero, quum multos in villas confugisse intellexisset, simul cum ædificiis eos cremavit; cunctasque machinas ad oppugnandam urbem paratas, cum helepoli quam Delum profectus Apellico construxerat, igne absumpsit. Igitur erecto eisdem in locis tropæo et ara, hos versiculos Orbius aræ inscripsit :

Defunctos hoc sepulcrum habet, qui Deli
pugnantes, vitam ad mare amiserunt :
sanctam quum insulam Athenienses vastarent,
Marte cum Cappadocum rege communicato.

42.

Caii Marii tertium nomen non exstat, sicuti neque Q. Sertorii, ejus qui Hispaniam obtinuit, neque L. Mummii, a quo Corinthus deleta est. Quod enim hic Achaicus dicitur, id a re gesta cognomentum ei est factum, sicut Africani Scipioni et Macedonici Metello. Hoc argumento Posidonius potissimum refutari eos censet, qui tertium nomen Romanis proprium esse putant, Camillum verbi causa, Marcellum, Catonem : nempe ea ratione effici ait, ut quibus duo tantum nomina essent, ii nomine vero carerent. Atqui is non sensit hac ratione simul et illud astrui, nullam mulierem habere nomen : quandoquidem inter genera ista nominum primum quod Posidonius nomen proprium Romanis esse arbitratur, nulli mulieri imponitur.

43.

M. Claudium, qui consul Romanorum quinquies fuit, Marci filium fuisse perhibent : primoque ei ex ea familia Marcelli cognomen fuisse, quod, auctore Posidonio, a Marte deductum, bellicosum significat. Erat enim et peritus rei

componens, ait : Διὸ τοῦτον μὲν ὁ Ποσειδώνιός φησι θυρεὸν, τὸν δὲ Μάρκελλον ξίφος ὑπὸ τῶν Ῥωμαίων καλεῖσθαι, κιρναμένην δὲ τὴν Φαβίου βεβαιότητα καὶ ἀσφάλειαν τῇ Μαρκέλλου συνηθείᾳ σωτήριον γενέσθαι τοῖς Ῥωμαίοις.

Idem Marcell. c. 9 : Ἐπὶ τὸν Μάρκελλον ἀφεώρων καὶ τὸ θαρραλέον αὐτοῦ καὶ δραστήριον πρὸς τὴν ἐκείνου (Φαβίου) κεραννύντες καὶ ἁρμόττοντες εὐλάβειαν καὶ πρόνοιαν ποτὲ μὲν ἀμφοτέρους ἅμα χειροτονοῦντες ὑπάτους, ποτὲ δὲ ἐν μέρει τὸν μὲν ὕπατον, τὸν δὲ ἀνθύπατον ἐξέπεμπον. Ὁ δὲ Ποσειδώνιός φησι τὸν μὲν Φάβιον θυρεὸν καλεῖσθαι, τὸν δὲ Μάρκελλον ξίφος.

45.

Idem Marcell. c. 19 : Ὅτι μέντοι Μάρκελλος ἤλγησε καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς (Ἀρχιμήδους) ἀπεστράφη καθάπερ ἐναγῆ, τοὺς δὲ οἰκείους ἀνευρὼν ἐτίμησεν, ὁμολογεῖται.

C. 20. Τῶν δὲ Ῥωμαίων τοῖς ἐκτὸς ἀνθρώποις δεινῶν μὲν εἶναι πόλεμον μεταχειρίσασθαι καὶ φοβερῶν εἰς χεῖρας ἐλθεῖν νομιζομένων, εὐγνωμοσύνης δὲ καὶ φιλανθρωπίας καὶ ὅλως πολιτικῆς ἀρετῆς ὑποδείγματα μὴ δεδωκότων, πρῶτος δοκεῖ τότε Μάρκελλος ὑποδεῖξαι τοῖς Ἕλλησι δικαιοτέρους Ῥωμαίους. Οὕτω γὰρ ἐχρῆτο τοῖς συμβάλλουσι καὶ τοσαύτας πόλεις καὶ ἰδιώτας εὐεργέτησεν, ὥστε εἴ τι περὶ Ἕνναν ἢ Μεγαρεῖς ἢ Συρακοσίους ἔργον ἦν εἰργασμένον οὐκ ἐπιεικὲς αὐτοῖς, τοῦτο τῶν πεπονθότων αἰτίᾳ μᾶλλον ἢ τῶν πεποιηκότων δοκεῖν γεγονέναι. Μνησθήσομαι δὲ ἑνὸς ἀπὸ πολλῶν. Πόλις ἐστὶ τῆς Σικελίας Ἐγγύιον οὐ μεγάλη, ἀρχαία δὲ πάνυ καὶ διὰ θεῶν ἐπιφάνειαν ἔνδοξος, ἃς καλοῦσι Ματέρας. Ἵδρυμα λέγεται Κρητῶν γενέσθαι τὸ ἱερόν· καὶ λόγχας τινὰς ἐδείκνυσαν καὶ κράνη χαλκᾶ, τὰ μὲν ἔχοντα Μηριόνου, τὰ δὲ Οὐλίξου, τουτέστιν Ὀδυσσέως, ἐπιγραφὰς, ἀνατεθεικότων ταῖς θεαῖς. Ταύτην προθυμότατα καρχηδονίζουσαν Νικίας, ἀνὴρ πρῶτος τῶν πολιτῶν, ἔπειθε μεταθέσθαι πρὸς Ῥωμαίους, ἀναφανδὸν ἐν ταῖς ἐκκλησίαις παρρησιαζόμενος καὶ κακῶς φρονοῦντας ἐξελέγχων τοὺς ὑπεναντίους. Οἱ δὲ φοβούμενοι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν ἐβουλεύσαντο συναρπάσαι καὶ παραδοῦναι τοῖς Φοίνιξιν. Αἰσθόμενος οὖν ὁ Νικίας ἤδη καὶ παραφυλαττόμενον ἀδήλως ἑαυτὸν ἐξέφερεν ἐν φανερῷ λόγους περὶ τῶν Ματέρων ἀνεπιτηδείους καὶ πολλὰ πρὸς τὴν νομιζομένην ἐπιφάνειαν καὶ δόξαν ὡς ἀπιστῶν καὶ καταφρονῶν ἔπραττεν, ἡδομένων τῶν ἐχθρῶν, ὅτι τὴν μεγίστην αἰτίαν αὐτὸς ἐφ' ἑαυτὸν ὧν πείσεται παρεῖχε. Γεγονότων δὲ τῶν πρὸς τὴν σύλληψιν ἑτοίμων, ἦν μὲν ἐκκλησία τῶν πολιτῶν, ὁ δὲ Νικίας μεταξύ τι λέγων καὶ συμβουλεύων πρὸς τὸν δῆμον ἐξαίφνης ἀφῆκεν εἰς τὴν γῆν τὸ σῶμα κα' μικρὸν διαλιπὼν, οἷον εἰκὸς, ἡσυχίας σὺν ἐκπλήξει γενομένης, τὴν κεφαλὴν ἐπάρας καὶ περιενεγκὼν ὑποτρόμῳ φωνῇ καὶ βαρείᾳ κατὰ μικρὸν συντείνων καὶ παροξύνων τὸν ἦχον, ὡς ἑώρα φρίκῃ καὶ σιωπῇ κατεχόμενον τὸ θέατρον, ἀπορρίψας τὸ ἱμάτιον καὶ περιρρηξάμενος τὸν χιτωνίσκον ἡμίγυμνος ἀναπηδήσας ἔθεε πρὸς τὴν ἔξοδον τοῦ θεάτρου βοῶν ὑπὸ τῶν Ματέρων ἐλαύνεσθαι. Μηδενὸς δὲ τολμῶντος ἅψασθαι μηδὲ ἀπαντῆσαι διὰ δεισιδαιμονίαν, ἀλλ' ἐκτρεπομένων, ἐπὶ τὰς πύλας ἐξέδραμεν οὔτε φωνῆς τινος οὔτε κινήσεως πρεπούσης δαιμονῶντι καὶ παραφρονοῦντι φεισάμενος. Ἡ δὲ γυνὴ συνειδυῖα καὶ συντεχνάζουσα τῷ ἀνδρὶ λα-

---

bellicæ, et corpore robusto et manu promptus, et natura belli cupidus, ideoque in certaminibus alacrem se et ferocem ostendebat : moribus fuit honestis et humanus; Græcam disciplinam ac litteras eo usque colebat, ut qui in iis excellerent in admiratione et honore haberet, ipse negotiis impeditus, ne tantum, quantum cupiebat, studii et exercitationis illis impenderet.

44.

Itaque Fabio scuti, Marcello gladii nomen tribui a Romanis solitum Posidonius tradit : ac Fabii in tutis consiliis constantiam, Marcelli consuetudine temperatam, salutarem Romanis fuisse.

45.

Id quidem in confesso est, indoluisse ea re (*cæde Archimedis*) Marcellum, percussoremque ut sceleratum hominem fuisse abominatum, compertosque Archimedis necessarios honoribus affecisse. Enimvero quum Romani exteris adhuc bello tantum gerendo strenui pugnaque terribiles viderentur, nequedum æquitatis, humanitatis, civiliumque omnino virtutum specimina aliquot exhibuissent : primus Marcellus videtur Græcis ostendisse, esse justiores, quam crederentur, Romanos. Ita enim eos, quibuscum res ipsi erat, tractavit totque ejus in civitates et privatos homines exstiterunt beneficia, ut, si quid durius Ennensibus, Megarensibus, Syracusanisve acciderit, non magis hoc iis qui fecissent, quam qui passi essent, ascribi potuerit. De multis unum proferam. Oppidum est Siciliæ non magnum, nomine Engyium, perantiquum tamen et ob deas, quas Matres vocant, ibi visas celebre. Templum ibi a Cretensibus positum ferunt : ostentabanturque hastæ et galeæ æneæ, Merionis et Ulixæ, id est Ulyssis, inscriptione, qui eas deabus dedicassent. Ejus cives quum impense rebus Carthaginiensium faverent, Nicias, primi inter eos ordinis, suasit ut Romanis accederent, libere in concionibus adversarios male sentire coarguens : at hi gloriam viri et potentiam timentes, statuerunt correptum eum Pœnis tradere. Nicias ubi jam occulte se custodiri sensit, de Matribus sermones in publicum extulit illicitos, multa in eorum numinum contemptum egit, tanquam diffidens et contemnens quæ de eorum præsentia et majestate ferebantur. Gratum id inimicis fuit, quod ille maximam sui male tractandi causam ultro præberet. Jam ergo omnibus ita comparatis, ut ei manus injicerent, convocatisque in concionem tum civibus, Nicias ad populum verba faciens, subito ad terram corpus dimisit, parumque moratus, ut par est, silentio cum stupore facto, inde levato capite ac circumacto, tremula voce ac gravi primum, deinde sensim eam intendens atque exacuens, ut vidit horrore et silentio occupatam concionem, projecta toga ac dilacerata tunica, seminudus exsiluit et ad exitum theatri se proripuit, agitari se a Matribus clamans

θοῦσα τὰ παιδία πρῶτον μὲν ἱκέτις προεκυλινδεῖτο τοῖς μεγάροις τῶν θεῶν, ἔπειτα πλανώμενον ἐκεῖνον προσποιουμένη ζητεῖν κωλύοντος οὐδενὸς ἀσφαλῶς ἀπῆλθεν ἐκ τῆς πόλεως. Καὶ διεσώθησαν μὲν οὕτως εἰς Συρακούσας πρὸς Μάρκελλον· ἐπεὶ δὲ πολλὰ τοὺς Ἐγγυίους ὑβρίσαντας καὶ πλημμελήσαντας ἐλθὼν Μάρκελλος ἔδησε πάντας ὡς τιμωρησόμενος, ὁ δὲ Νικίας ἐδάκρυσε παρεστὼς, τέλος δὲ χειρῶν καὶ γονάτων ἁπτόμενος παρῃτεῖτο τοὺς πολίτας ἀπὸ τῶν ἐχθρῶν ἀρξάμενος, ἐπικλασθεὶς ἀφῆκε πάντας καὶ τὴν πόλιν οὐδὲν ἠδίκησε, τῷ δὲ Νικίᾳ χώραν τε πολλὴν καὶ δωρεὰς πολλὰς ἔδωκε. Ταῦτα μὲν οὖν Ποσειδώνιος ὁ φιλόσοφος ἱστόρησε.

46.

Plutarch. ibid. c. 30 : Ἦν δὲ ἀνάθημα Μαρκέλλου δίχα τῶν ἐν Ῥώμῃ γυμνάσιον μὲν ἐν Κατάνῃ τῆς Σικελίας, ἀνδριάντες δὲ καὶ πίνακες τῶν ἐκ Συρακουσῶν ἔν τε Σαμοθρᾴκῃ παρὰ τοῖς θεοῖς, οὓς Καβείρους ὠνόμαζον, καὶ περὶ Λίνδον ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. Ἐκεῖ δὲ αὐτοῦ τῷ ἀνδριάντι τοῦτ' ἦν ἐπιγεγραμμένον, ὡς Ποσειδώνιός φησι, τὸ ἐπίγραμμα·

Οὗτός τοι Ῥώμης ὁ μέγας, ξένε, πατρίδος ἀστὴρ,
Μάρκελλος κλεινῶν Κλαύδιος ἐκ πατέρων,
ἑπτάκι τὰν ὑπάταν ἀρχὰν ἐν Ἄρηι φυλάξας,
καὶ πολὺν ἀντιπάλων ἐγκατέχευε φόνον.

Τὴν γὰρ ἀνθύπατον ἀρχὴν, ἣν δὶς ἦρξε, ταῖς πέντε προσκατηρίθμησεν ὑπατείαις ὁ τὸ ἐπίγραμμα ποιήσας.

47.

Plutarch. Brut. c. 1 : Τὸ δὲ πατρῷον γένος (Μάρκου Βρούτου) οἱ διὰ τὸν Καίσαρος φόνον ἔχθραν τινὰ καὶ δυσμένειαν ἀποδεικνύμενοι πρὸς Βροῦτον οὔ φασιν εἰς τὸν ἐκβαλόντα Ταρκυνίους ἀνήκειν· οὐδὲν γὰρ ἐκείνῳ λειφθῆναι γένος ἀνελόντι τοὺς υἱοὺς, ἀλλὰ δημότην τοῦτον, οἰκονόμου υἱὸν ὄντα Βρούτου, ἄρτι καὶ πρῴην εἰς ἄρχοντα προελθεῖν. Ποσειδώνιος δ' ὁ φιλόσοφος τοὺς μὲν ἐνηλίκους φησὶν ἀπολέσθαι τοῦ Βρούτου παῖδας, ὡς ἱστόρηται· τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ' οὗ τὸ γένος ὡρμῆσθαι· καὶ τῶν γε καθ' αὑτὸν ἐκ τῆς οἰκίας γεγονότων ἐπιφανῶν ἀνδρῶν ἀναφέρειν ἐνίους πρὸς τὸν ἀνδριάντα τοῦ Βρούτου τὴν ὁμοιότητα τῆς ἰδέας. Eadem leguntur in Crameri Anecdot. Parisin. II, p. 20.

Sequuntur fragmenta geographici utplurimum argumenti.

48.

Strabo III, p. 147, postquam de metallorum in Turditania copia et præstantia dixerat, pergit ita : Ποσειδώνιος δὲ, τὸ πλῆθος τῶν μετάλλων ἐπαινῶν καὶ τὴν ἀρετὴν, οὐκ ἀπέχεται τῆς συνήθους ῥητορείας, ἀλλὰ συνενθουσιᾷ ταῖς ὑπερβολαῖς. Οὐ γὰρ ἀπιστεῖν τῷ μύθῳ φησὶν, ὅτι τῶν δρυμῶν ποτε ἐμπρησθέντων ἡ γῆ τακεῖσα, ἅτε ἀργυρῖτις καὶ χρυσῖτις, εἰς τὴν ἐπιφάνειαν ἐξέζεσε διὰ τὸ πᾶν ὄρος καὶ πάντα βουνὸν ὕλην εἶναι νομίσματος ὑπό τινος ἀφθόνου τύχης σεσωρευμέ-

---

Ita quum attingere eum aut occurrere religioni omnes ducerent ac de via decederent, ad portas urbis procurrit, neque voci neque motui, quales divino furore concitum edere par est, pepercit. Atque uxor rei conscia, maritique artibus subserviens, liberis secum acceptis, primum supplicem se ad dearum ædem devolvit : deinde errantem maritum quærere se simulans, nemine obstante, tuto urbe excessit. Hac arte usi, Syracusas ad Marcellum salvi pervenerunt. Marcellus autem Engyinos, multis eorum injuriis et delictis lacessitus, superveniens omnes sumendi causa supplicii quum vinxisset, Nicias assistens flevit, ac tandem manus et genua Marcelli tangens pro civibus, ac primo quidem loco pro inimicis suis, deprecatus est : cujus precibus fractus Marcellus omnes dimisit, neque quicquam mali civitati fecit; Niciam vero agro multo donisque splendidis honoravit. Hæc Posidonius philosophus memoriæ prodidit.

46.

Præter ea, quæ Romæ dedicarat, Marcelli monumenta erant gymnasium Catanæ in Sicilia, statuæ et tabulæ de Syracusanis in Samothrace apud deos, quos Cabiros nuncupant, et in Minervæ templo apud Lindum. Ibi hoc epigramma statuæ ejus fuisse ascriptum, Posidonius refert;

Ille, hospes, patriæ sidus memorabile Romæ,
Marcellus claris Claudius a proavis,
Terque quaterque tulit bella in Mavortia fasces
Consulis, hostili cæde madefaciens.

Hujus enim carminis auctor duos proconsulatus quinque annumeravit consulatibus.

47.

Paternum genus nonnulli, qui cum Bruto ob interemptum Cæsarem inimicitias habuerunt eumque oderunt, negant ad eum Brutum pertinere, qui reges ejecerit, quippe ei necatis filiis nullam relictam prolem, sed hunc Brutum cujusdam filium Bruti dispensatoris plebeium non ita pridem ad magistratus dignitatem se extulisse. Posidonius autem adultos jam Bruti filios, ita ut narratur, a patre occisos affirmat, relictum autem tertium adhuc infantem, et ab eo Brutorum genus propagatum, et vero quosdam qui eo genere orti essent viros illustres suoque vixissent tempore, similitudinem formæ in statua prisci Bruti expressam facie sua retulisse.

48.

Posidonius multitudinem metallorum laudans et præstantiam, non abstinet solita sibi sermonis exornatione, sed nimiis amplificationibus quasi instinctu quodam poetico rapitur. Ait enim se fidem huic fabulæ non derogare, quod nemoribus aliquando inflammatis, terra argento auroque abundans liquefacta in superficiem ea metalla effervescendo ejecerit; quia omnis mons et omnis collis locupletissimæ cujusdam fortunæ dono sit numismatis materia cumulatus : omninoque, ait, videns aliquis ista loca, dixerit thesauros esse perennes naturæ, aut principatus ærarium perpetuum : non enim dives modo, inquit, terra illa est, sed et infra se opes habet conditas : et revera apud istos homines infra terram non Hades, sed Pluto (sive Dis *quasi* dives) habitat. Sic ille oratione omnibus rhetorices numeris absoluta

νην. Καθόλου δ' ἂν εἶπε, φησίν, ἰδών τις τοὺς τόπους, θησαυροὺς εἶναι φύσεως ἀενάους ἢ ταμιεῖον ἡγεμονίας ἀνέκλειπτον· οὐ γὰρ πλουσία μόνον, ἀλλὰ καὶ ὑπόπλουτος ἦν, φησίν, ἡ χώρα, καὶ παρ' ἐκείνοις ὡς ἀληθῶς τὸν ὑποχθόνιον τόπον οὐχ ὁ Ἅδης, ἀλλ' ὁ Πλούτων κατοικεῖ. Τοιαῦτα μὲν οὖν ἐν ὡραίῳ σχήματι εἴρηκε περὶ τούτων, ὡς ἂν ἐκ μετάλλου καὶ αὐτὸς πολλῷ χρώμενος τῷ λόγῳ. Τὴν δ' ἐπιμέλειαν φράζων τὴν τῶν μεταλλευόντων παρατίθησι τὸ τοῦ Φαληρέως, ὅτι φησὶν ἐκεῖνος ἐπὶ τῶν Ἀττικῶν ἀργυρείων οὕτω συντόνως ὀρύττειν τοὺς ἀνθρώπους, ὡς ἂν προσδοκῶντας αὐτὸν ἀνάξειν τὸν Πλούτωνα· καὶ τούτων οὖν ἐμφανίζει παραπλησίαν τὴν σπουδὴν καὶ τὴν φιλεργίαν, σκολιὰς τεμνόντων καὶ βαθείας τὰς σύριγγας, καὶ πρὸς τοὺς ἐν αὐταῖς ἀπαντῶντας ποταμοὺς πολλάκις τοῖς Αἰγυπτίοις ἀναντλούντων κοχλίαις· τὸν δόλον (τὸ δὲ λοιπὸν?) οὐ ταὐτὸ εἶναι τούτοις που καὶ τοῖς Ἀττικοῖς, ἀλλ' ἐκείνοις μὲν αἰνίγματι ἐοικέναι τὴν μεταλλείαν· ὅσα μὲν γὰρ ἀνέλαβον, φησίν, οὐκ ἔλαβον, ὅσα δὲ εἶχον, ἀπέβαλον· τούτοις δ' ὑπεράγαν λυσιτελῆ, τοῖς μὲν χαλκουργοῖς τέταρτον μέρος ἐξάγουσι τῆς γῆς τὸν χαλκόν, τοῖς δὲ ἀργυρεύουσι τῶν ἰδιωτῶν ἐν τρισὶν ἡμέραις Εὐβοϊκὸν τάλαντον ἐξαίρουσι. Τὸν δὲ καττίτερον οὐκ ἐπιπολῆς εὑρίσκεσθαί φησιν, ὡς τοὺς ἱστορικοὺς θρυλεῖν, ἀλλ' ὀρύττεσθαι· γεννᾶσθαι δ' ἔν τε τοῖς ὑπὲρ τοὺς Λυσιτανοὺς βαρβάροις καὶ ἐν ταῖς Καττιτερίσι νήσοις, καὶ ἐκ τῶν Βρεττανικῶν δὲ εἰς τὴν Μασσαλίαν κομίζεσθαι. Ἐν δὲ τοῖς Ἀρτάβροις, οἳ τῆς Λυσιτανίας ὕστατοι πρὸς ἄρκτον καὶ δύσιν εἰσίν, ἐξανθεῖν φησι τὴν γῆν ἀργυρίῳ, καττιτέρῳ, χρυσίῳ λευκῷ· ἀργυρομιγὲς γάρ ἐστι· τὴν δὲ γῆν ταύτην φέρειν τοὺς ποταμούς· τὴν δὲ σκαλίσι τὰς γυναῖκας διαμώσας πλύνειν ἐν ἠθητηρίοις πλεκτοῖς ἐπὶ κίστην. Οὗτος μὲν περὶ τῶν μετάλλων τοιαῦτ' εἴρηκε.

Ex Posidonio suam de Iberiæ metallis narrationem mutuatus est Diodorus V, 37 sqq. iisdem fere quibus Strabo interdum verbis usus : e. g. cap. 37 init. : Μεγάλην δ' ἔχει παραλλαγὴν τὰ μέταλλα ταῦτα συγκρινόμενα τοῖς κατὰ τὴν Ἀττικήν. Ἐκεῖνα μὲν γὰρ οἱ μεταλλεύοντες καὶ τῆς ἐργασίας μεγάλας προϊέμενοι δαπάνας ἃ μὲν ἤλπισαν ἐνίοτε λαβεῖν οὐκ ἔλαβον, ἃ δ' εἶχον ἀπέβαλον, ὥστε δοκεῖν αὐτοὺς ὥσπερ αἰνίγματος τρόπον ἀτυχεῖν. (De ænigmate isto v. Homer. Vit. c. 35.) Idem cap. 38, 4 : Γίνεται δὲ καὶ καττίτερος ἐν πολλοῖς τόποις τῆς Ἰβηρίας, οὐκ ἐξ ἐπιπολῆς εὑρισκόμενος, ὡς ἐν ταῖς ἱστορίαις τινὲς τεθρυλήκασιν, ἀλλ' ὀρυττόμενος κτλ.

Ad verba Strabonis ὅτι τῶν δρυμῶν κτλ. cf. Seneca Epist. 90 : *In hoc quoque dissentio* (a Posidonio), *sapientes fuisse, qui ferri metalla et æris invenerunt, quum incendio silvarum adusta tellus in summo venas jacentes liquefacta fudisset.* Hæc sicuti reliqua quæ Seneca l. l. e Posidonio affert, ex capite de philosophia omnium rerum inventrice desumpta sunt. Quem locum Posidonius in opere Προστρεπτικὰ inscripto tractasse videtur.

Historiarum locum, quem Strabo attigit, Athenæus quoque ante oculos habuit lib. VI, p. 233, D; ubi, postquam Zenonis sententiam de divitiis exposuisset, quo essent loco habendæ, ut neque expetendæ neque fugiendæ, sed in numero τῶν ἀδιαφόρων essent, subjicit : Οὐδὲν γὰρ ἡ φύσις ἐκβέβληκεν ἐκ τοῦ κόσμου τῶν εἰρημένων, ἀλλ' ἐποίησεν ὑπογείους αὐτῶν φλέβας, πολύπονον καὶ χαλεπὴν ἐχούσας ἐργασίαν, ὅπως οἱ περὶ ταῦτα σπουδάζοντες ὀδυνώμενοι μετίωσι τὴν κτῆσιν, καὶ οὐχ οἱ μεταλλεύοντες μόνοι, ἀλλὰ καὶ οἱ τὰ μεταλλευθέντα συναγείροντες μυρίοις μόχθοις θηρεύωσι τὴν περίβλεπτον ταύτην πολυκτησίαν. Δείγματος μὲν οὖν χάριν *** ἐπείπερ ἐπιπόλαιον αὐτῶν ἐστι τὸ γένος, εἴ γ' ἐν ταῖς ἐσχατιαῖς τῆς οἰκουμένης καὶ ποτάμια τὰ τυχόντα ψήγματα χρυσοῦ καταφέρει, καὶ ταῦτα γυναῖκες καὶ ἄνδρες ἀσθενεῖς τὰ σώματα σὺν ταῖς ἄμμοις ὑποψήχοντες διιστᾶσι, καὶ πλύναντες ἄγουσιν ἐπὶ τὴν χώνην, ὡς παρὰ τοῖς Ἐλουητίοις φησὶν ὁ ἐμὸς Ποσειδώνιος, καὶ ἄλλοις τισὶ τῶν Κελτῶν. Καὶ τά τε πάλαι μὲν Ῥιπαῖα καλούμενα ὄρη, εἶθ' ὕστερον Ὄλβια προσαγορευθέντα, νῦν δὲ Ἄλπια (ἔστι δὲ τῆς Γαλατίας) αὐτομάτως ὕλης ἐμπρησθείσης ἀργύρῳ διερρύη. Τὸ μέντοι γε πολὺ τούτου βαθείαις καὶ κακοπάθοις μεταλλείαις εὑρίσκεται κατὰ τὸν Φαληρέα Δημήτριον, ἐλπιζούσης τῆς πλεονεξίας ἀνάξειν ἐκ τῶν μυχῶν τῆς γῆς αὐτὸν τὸν Πλούτωνα. Χαριεντιζόμενος γοῦν

---

de his rebus loquitur, quasi ex metallis et ipse copiosa verba extulerit. Diligentiam porro fodientium indicans Phalerei (Demetrii) illud dictum adducit, qui de Atticis metallis dixerat tanta assiduitate homines ibi fodere, ac si sperarent se ipsum Plutonem (sive Ditem) eruturos; atque nunc Turdetanorum similem demonstrat industriam laborandique studium, qui profundos obliquosque agant cuniculos, et fluvios, qui sæpe in istis occurrunt, exhauriant Ægyptiis cochleis. Ceterum non idem evenire his atque Atticis : nam apud hos metallica opera simile quippiam habere ænigmatis illius : quæ enim adepti fuerint, inquit, Athenienses, ea non percepisse, quæ autem habuissent, amisisse. Turdetanis vero illa incredibilem in modum prosunt : nimirum æris opificibus æs, quod quadrans est glebæ effossæ, eruentibus; qui autem argentifodinas possident, triduo Euboicum talentum efferentibus. Addit porro stannum non, ut historici divulgarunt, in superficie terræ inveniri, sed effodi; nasci autem apud barbaros qui supra Lusitaniam degunt, et in Cassiteridibus insulis; ex Britannicis quoque Massiliam afferri. Apud Artabros autem, qui Lusitaniæ versus occasum et septentrionem ultima habent, efflorescere ait terram argento, stanno, auro albo : est enim hoc permixtum argento : hanc terram fluviis deferri, et a mulieribus sarculis exhauriri, lavarique in colis textis in modum cistæ. Hæc ille de his metallis retulit.

φησιν ὅτι « Πολλάκις καταναλώσαντες τὰ φανερὰ τῶν ἀδήλων ἕνεκα, ἃ μὲν ἔμελλον, οὐκ ἔλαβον, ἃ δ' εἶχον, ἀπέβαλον, ὥσπερ αἰνίγματος τρόπον ἀτυχοῦντες. » Λακεδαιμόνιοι δ' ὑπὸ τῶν ἐθῶν κωλυόμενοι εἰσφέρειν εἰς τὴν Σπάρτην, ὡς ὁ αὐτὸς ἱστορεῖ Ποσειδώνιος, καὶ κτᾶσθαι ἄργυρον καὶ χρυσὸν, ἐκτῶντο μὲν οὐδὲν ἧττον, παρακατετίθεντο δὲ τοῖς ὁμόροις Ἀρκάσιν· εἶτα πολεμίους αὐτοὺς ἔσχον ἀντὶ φίλων, ὅπως ἀνυπεύθυνον τὸ ἄπιστον διὰ τὴν ἔχθραν γένηται. Τῷ μὲν οὖν ἐν Δελφοῖς Ἀπόλλωνι τὸν πρότερον ἐν τῇ Λακεδαίμονι χρυσὸν καὶ ἄργυρον ἱστοροῦσιν ἀνατεθῆναι, δημοσίᾳ δὲ εἰς τὴν πόλιν Λύσανδρον εἰσαγαγόντα πολλῶν κακῶν αἴτιον γενέσθαι. Γύλιππον γοῦν, τὸν Συρακοσίους ἐλευθερώσαντα, ἀποθανεῖν ἀποκαρτερήσαντα λόγος, καταγνωσθέντα ὑπὸ τῶν ἐφόρων νοσφισάμενον ἐκ τοῦ Λυσανδρείου χρήματος. Τοῦ δὲ ἀνατιθεμένου θεῷ καὶ συγχωρουμένου δήμῳ, καθάπερ κοσμήματος καὶ κτήματος, οὐ ῥᾴδιον ἦν τὸν θνητὸν ὀλίγωρον γενέσθαι.

Quæ deinceps apud Athenæum de Gallis Cordistis similia traduntur, ea item Posidonio deberi statuit Bakius p. 169. Quod addubitaverim, quum non conveniant iis quæ Strabo e Posidonio refert IV, p. 188. Ex Athenæi loco nonnulla excerpsit Eustathius p. 1485, 63 sqq.

49.

Strabo III, p. 157 : Μετὰ ταύτην (τὴν τῶν Ἐξιτανῶν πόλιν) Ἄβδηρα, Φοινίκων κτίσμα καὶ αὐτή. Ὑπὲρ δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε εἴρηκε καὶ Ἀρτεμίδωρος καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ἀνὴρ ἐν τῇ Τουρδητανίᾳ παιδεύσας τὰ γραμματικὰ καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκώς.

50.

Strabo III, p. 162 : Φησὶ δὲ Ποσειδώνιος, Μάρκον Μάρκελλον πράξασθαι φόρον ἐκ τῆς Κελτιβηρίας τάλαντα ἑξακόσια· ἐξ οὗ τεκμαίρεσθαι πάρεστιν ὅτι καὶ πολλοὶ ἦσαν οἱ Κελτίβηρες καὶ χρημάτων εὐποροῦντες, καίπερ οἰκοῦντες χώραν παράλυπρον. Πολυβίου δ' εἰπόντος τριακοσίας αὐτῶν καταλῦσαι πόλεις Τιβέριον Γράκχον, κωμῳδῶν φησι τοῦτο τῷ Γράκχῳ χαρίσασθαι τὸν ἄνδρα, τοὺς πύργους καλοῦντα πόλεις, ὥσπερ ἐν ταῖς θριαμβικαῖς πομπαῖς. Καὶ ἴσως οὐκ ἄπιστον τοῦτο λέγει· καὶ γὰρ οἱ στρατηγοὶ καὶ οἱ συγγραφεῖς ῥᾳδίως ἐπὶ τοῦτο φέρονται τὸ ψεῦσμα, καλλωπίζοντες τὰς πράξεις, ἐπεὶ καὶ οἱ φάσκοντες πλείους ἢ χιλίας τὰς τῶν Ἰβήρων ὑπάρξαι πόλεις ἐπὶ τοῦτο φέρεσθαί μοι δοκοῦσι, τὰς μεγάλας κώμας πόλεις ὀνομάζοντες.

51.

Strabo III, p. 163, de Iberiæ proventibus loquens : Κάστορας φέρουσι μὲν οἱ ποταμοί· τὸ δὲ Καστόριον οὐκ ἔχει τὴν αὐτὴν δύναμιν τῷ Ποντικῷ· ἴδιον γὰρ τῷ Ποντικῷ πάρεστι τὸ φαρμακῶδες, καθάπερ ἄλλοις πολλοῖς. Ἐπεὶ, φησὶν ὁ Ποσειδώνιος, καὶ ὁ Κύπριος χαλκὸς μόνος φέρει τὴν καδμίαν λίθον καὶ τὸ χαλκανθὲς καὶ τὸ σπόδιον. Ἴδιον δ' εἴρηκεν ἐν Ἰβηρίᾳ ὁ Ποσειδώνιος καὶ τὸ τὰς κορώνας [μὴ] μελαίνας εἶναι, καὶ τὸ τοὺς ἵππους τῶν Κελτιβήρων ὑποψάρους ὄντας, ἐπειδὰν εἰς τὴν ἔξω μεταχθῶσιν Ἰβηρίαν μεταβάλλειν τὴν χρόαν· ἐοικέναι δὲ τοῖς Παρθικοῖς· καὶ γὰρ ταχεῖς εἶναι καὶ εὐδρόμους μᾶλλον τῶν ἄλλων.

52.

Strabo XIII, p. 614 sq. : Φασὶ δ' ἐν τῇ Πιτάνῃ τὰς πλίνθους ἐπιπολάζειν ἐν τοῖς ὕδασι, καθάπερ καὶ ἐν τῇ Τυρρηνίᾳ γῇ τις [τοῦτο] πέπονθε· κουφοτέρα γὰρ ἡ γῆ τοῦ ἐπίσου ὄγκου ὕδατός ἐστιν, ὥστ' ἐποχεῖσθαι. Ἐν Ἰβηρίᾳ δέ φησιν ἰδεῖν Ποσειδώνιος ἔκ τινος γῆς ἀργιλώδους, ᾗ τὰ ἀργυρώματα ἐκμάττεται, πλίνθους πηγνυμένας καὶ ἐπιπλεούσας.

49.

Post hanc Abdera, Phœnicum opus hæc quoque. Supra hæc loca in montanis monstratur Odyssea (Ulyssea), et in ea fanum Minervæ, ut Posidonius tradit, et Artemidorus, et Asclepiades Myrleanus, qui in Turdetania grammaticam docuit, et descriptionem gentium in istis regionibus agentium edidit.

50.

Narrat Posidonius, Marcum Marcellum exegisse e Celtiberia tributum talentûm sexcentorum, quod argumento est Celtiberos et populosam fuisse gentem, et pecuniosam, quanquam solum colerent utcunque incommodum. Quod autem dixit Polybius, Tiberium Gracchum trecentas urbes Celtiberiæ dejecisse, id ridet, et Polybium dicit in Gracchi gratiam turres urbium nomine appellasse, ut fit in pompis triumphalibus. Ac fortasse fide non indigna profert : nam et bellorum duces et scriptores rerum gestarum proclives sunt ad hoc mendacii, ut actiones exornent : quando ii etiam qui plures quam mille fuisse urbes Hispaniæ dicunt, eo adducti videntur, quod magnos pagos urbium loco censerent.

51.

Fibros seu castores producunt fluvii; sed Hispanicum castorium non easdem habet cum Pontico vires : huic enim vis medica peculiaris est, quemadmodum in aliis quoque rebus multis id videre est. Nam et Posidonius refert, solum Cyprium æs ferre Cadmiam lapidem, et vitriolum, et spodium. Idemque hoc Hispaniæ tradit peculiare esse, quod cornices non nigræ sunt; et quod Celtiberorum equi, quum sint subvariegati, ubi in exteriorem Hispaniam pervenerunt, colorem mutant : esse autem eos Parthicorum similes, celeritate et cursus dexteritate ceteris præstantiores.

52.

Aiunt apud Pitanam lateres coctos in aqua non subsidere; sicuti in Etruria quoque terra quædam ejusmodi est : levior enim est terra quam aquæ copia æqualis, ideoque ei innatat. Posidonius se in Hispania vidisse affirmat e quadam terra argillacea, qua argentea detergent vasa, lateres concretos et aquæ innatantes.

53.

Strabo III, p. 165 : Iberis tum alia communia sunt cum Celtis, Thracibus, Scythis, tum fortitudo non virorum modo, sed etiam mulierum : Γεωργοῦσιν αὗται, τεκοῦσαί τε διακονοῦσι τοῖς ἀνδράσιν, ἐκείνους ἀνθ' ἑαυτῶν κατακλίνασαι· ἔν τε τοῖς ἔργοις πολλάκις τίκτουσι καὶ λούουσι καὶ σπαργανοῦσιν, ἀποκλίνασαι πρός τι ῥεῖθρον. Ἐν δὲ τῇ Λιγυστικῇ φησιν ὁ Ποσειδώνιος διηγήσασθαι τὸν ξένον ἑαυτῷ Χαρμόλεων, Μασσαλιώτην ἄνδρα, ὅτι μισθώσαιτο ἄνδρας ὁμοῦ καὶ γυναῖκας ἐπὶ σκαφητὸν, ὠδίνασα δὲ μία τῶν γυναικῶν ἀπέλθοι ἀπὸ τοῦ ἔργου πλησίον, τεκοῦσα δ' ἐπανέλθοι ἐπὶ τοὔργον αὐτίκα, ὅπως μὴ ἀπολέσειε τὸν μισθόν· αὐτὸς δὲ ἐπιπόνως ἰδὼν ἐργαζομένην, οὐκ εἰδὼς τὴν αἰτίαν πρότερον ὀψὲ μάθοι καὶ ἀφείη, δοὺς τὸν μισθόν· ἡ δ' ἐκκομίσασα τὸ νήπιον πρός τι κρηνίον, λούσασα καὶ σπαργανώσασα οἷς εἶχε διασώσειεν οἴκαδε.

Eandem historiam narrat Diodorus IV, 20, fontem celans.

54.

Strabo V, p. 218 : Δευτέρα δὲ λεγέσθω ἡ Λιγυστικὴ ἡ ἐν αὐτοῖς τοῖς Ἀπεννίνοις ὄρεσι, μεταξὺ ἱδρυμένη τῆς νῦν λεχθείσης Κελτικῆς καὶ τῆς Τυρρηνίας, οὐδὲν ἔχουσα περιηγήσεως ἄξιον, πλὴν ὅτι κωμηδὸν ζῶσι, τραχεῖαν γῆν ἀροῦντες καὶ σκάπτοντες, μᾶλλον δὲ λατομοῦντες, ὥς φησι Ποσειδώνιος.

Posidonii verba premit Diodorus V, 29 : Τὴν γῆν ἐργαζόμενοι τὸ πλεῖον πέτρας λατομοῦσι διὰ τὴν ὑπερβολὴν τῆς τραχύτητος.

55.

Idem V, p. 215 : Ἐν αὐτῷ δὲ τῷ μυχῷ τοῦ Ἀδρίου καὶ ἱερὸν τοῦ Διομήδους ἐστὶν ἄξιον μνήμης, τὸ Τίμαυον· λιμένα γὰρ ἔχει καὶ ἄλσος ἐκπρεπὲς καὶ πηγὰς ἑπτὰ ποταμίου ὕδατος εὐθὺς εἰς τὴν θάλασσαν ἐκπίπτοντος, πλατεῖ καὶ βαθεῖ ποταμῷ. Πολύβιος δ' εἴρηκε πλὴν μιᾶς τὰς ἄλλας ἁλμυροῦ ὕδατος, καὶ δὴ καὶ τοὺς ἐπιχωρίους πηγὴν καὶ μητέρα τῆς θαλάττης ὀνομάζειν τὸν τόπον. Ποσειδώνιος δέ φησι ποταμὸν τὸν Τίμαυον ἐκ τῶν ὀρῶν φερόμενον καταπίπτειν εἰς βέρεθρον, εἶθ' ὑπὸ γῆς ἐνεχθέντα περὶ ἑκατὸν καὶ τριάκοντα σταδίους ἐπὶ τῇ θαλάττῃ τὴν ἐκβολὴν ποιεῖσθαι.

56.

Athenæus IX, p. 401, A : Πολύβιος δ' ἐν τῇ δωδεκάτῃ τῶν Ἱστοριῶν γίγνεσθαί φησι παρόμοιον τῷ λαγῷ ζῷον, τὸν κούνικλον καλούμενον, γράφων οὕτως· « Ὁ δὲ κούνικλος καλούμενος, πόρρωθεν μὲν δρώμενος, εἶναι δοκεῖ λαγὼς μικρός· ὅταν δ' εἰς τὰς χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφορὰν, καὶ κατὰ τὴν ἐπιφάνειαν καὶ κατὰ τὴν βρῶσιν. Γίνεται δὲ τὸ πλεῖον κατὰ γῆς. » Μνημονεύει δὲ αὐτῶν καὶ Ποσειδώνιος ὁ φιλόσοφος ἐν τῇ Ἱστορίᾳ. De *Corsicæ* insulæ cuniculis contra Timæum disputat Polybius XII, 3.

57.

Athenæus II, p. 45, F : Οὐ δεῖ δὲ προπίνειν, καθὰ τοὺς Καρμάνους φησὶ Ποσειδώνιος· τούτους γὰρ, φιλοφρονουμένους ἐν τοῖς συμποσίοις, λύειν τὰς ἐπὶ τῷ προσώπῳ φλέβας, καὶ τὸ καταρρέον αἷμα μιγνύντας τῷ πώματι προσφέρεσθαι, τέλος φιλίας νομίζοντας τὸ

53.

Mulieres Iberorum agros colunt, et quum peperere, suo loco viros decumbere jubent, iisque ministrant : interque operandum sæpenumero pariunt, et infantes lavant et involvunt ad alveum alicujus amnis acclinantes. Posidonius scriptum reliquit, sibi in Liguria hospitem suum Charmolaum narrasse Massiliensem : fuisse a se ad fossionem conductos viros simul et mulieres; inter has quandam doloribus partus correptam non longe ab opere digressam, edito fœtu ad opus rediisse, ne mercedem amitteret : quam ipse quum videret ægre opus facere, primoque causam ignoraret, tandem re cognita mercede data dimiserit : mulierem ad fonticulum quendam extulisse infantem, lotumque et quibus habebat pannis involutum, incolumem domum pertulisse.

54.

Secunda pars explicetur Liguria [*græce* Ligystice], in ipsis Apenninis montibus inter Galliam nunc dictam sita et Etruriam : quæ nihil relatu dignum habet, nisi quod per pagos dissipati vivunt Ligures, asperam terram arantes ac fodientes, aut potius saxa cædentes, ut ait Posidonius.

55.

In ipso intimo sinus Adriatici recessu Timavum est, Diomedis templum memorabile; habet enim portum, et splendidum lucum, et septem fluvialis aquæ fontes, qui uno eoque lato ac profundo alveo statim in mare effunduntur. Polybius contra affirmat omnes uno excepto esse salsos, et propterea incolas hunc locum fontem matremque maris appellare. Posidonius vero tradit flumen Timavum e montibus delatum voragine terræ absorberi, sub qua, ubi per centum et triginta stadia decurrerit, eum in mare sibi ostium parare.

56.

Polybius duodecimo libro Historiarum esse ait simile lepori animal quod cuniculum vocant. De quo ita scribit : « Cuniculus qui vocatur, procul intuentibus parvus lepus esse videtur : ubi vero in manum acceperis, multum sane discrepat, tum specie tum in cibo. Vivit autem plerumque sub terra. » Meminit horum etiam Posidonius in Historia.

57.

Nec vero ita propinandum est, ut Carmanos facere Posidonius ait : hi enim, in conviviis mutuæ benevolentiæ documentum sibi invicem daturi, sectis in fronte venis defluentem sanguinem potui miscent, bibuntque; summum hoc et extremum in amicitia existimantes, si suum invicem

γεύεσθαι τοῦ ἀλλήλων αἵματος. Μετὰ δὲ τὴν προσφορὰν ταύτην συγχρίεσθαι τὴν κεφαλὴν μύρῳ, μάλιστα μὲν ῥοδίνῳ, εἰ δὲ μὴ, μηλίνῳ, εἰς τὸ ἀποκρούεσθαί τι ἀπὸ τοῦ τόπου, καὶ μὴ βλάπτεσθαι ἀπὸ τῆς τῶν οἴνων ἀναθυμιάσεως· εἰ δὲ μὴ, ἰρίνῳ ἢ ναρδίνῳ.

58.

Strabo I, p. 28 : Ὅτι ὁ Περσῶν βασιλεὺς τὸν Χαλυβώνιον μόνον οἶνον ἔπινεν· ὅν φησι Ποσειδώνιος κἀν Δαμασκῷ τῆς Συρίας γίνεσθαι, Περσῶν αὐτόθι καταφυτευσάντων τὰς ἀμπέλους.

59.

Idem XVI, p. 749 : Ἡ δὲ Σελευκὶς ἀρίστη μέν ἐστι τῶν λεχθεισῶν μερίδων, καλεῖται δὲ Τετράπολις, καὶ ἔστι κατὰ τὰς ἐξεχούσας ἐν αὐτῇ πόλεις, ἐπεὶ πλείους γέ εἰσι· μέγισται δὲ τέτταρες, Ἀντιόχεια ἡ ἐπὶ Δάφνῃ καὶ Σελεύκεια ἡ ἐν Πιερίᾳ καὶ Ἀπάμεια καὶ Λαοδίκεια· αἵπερ καὶ ἐλέγοντο ἀλλήλων ἀδελφαὶ διὰ τὴν ὁμόνοιαν, Σελεύκου τοῦ Νικάτορος κτίσματα... Οἰκείως δὲ τῇ Τετραπόλει, καὶ εἰς σατραπείας διῄρετο τέτταρας ἡ Σελευκὶς, ὥς φησι Ποσειδώνιος, εἰς ὅσας καὶ ἡ Κοίλη Συρία, εἰς μίαν δ' ἡ Μεσοποταμία.

60.

Idem XVI, p. 755 : Τῶν δὲ πεδίων (Cœlesyriæ) τὸ μὲν πρῶτον, τὸ ἀπὸ τῆς θαλάττης, Μάκρας καλεῖται, καὶ Μάκρα πεδίον· ἐν τούτῳ δὲ Ποσειδώνιος ἱστορεῖ τὸν δράκοντα πεπτωκότα ὁραθῆναι νεκρὸν, μῆκος μὲν σχεδόν τι * καὶ * πλεθριαῖον, πάχος δ', ὥσθ' ἱππέας ἑκατέρωθεν παραστάντας ἀλλήλους μὴ καθορᾶν, χάσμα δὲ, ὥστ' ἔφιππον δέξασθαι· τῆς δὲ φολίδος λεπίδα ἑκάστην ὑπεραίρουσαν θυρεοῦ.

61.

Strabo XVI, p. 757 (de Phœnicum inventis loquitur) : Εἰ δὲ δεῖ Ποσειδωνίῳ πιστεῦσαι, καὶ τὸ περὶ τῶν ἀτόμων δόγμα παλαιοῦ ἐστιν ἀνδρὸς Σιδονίου, Μώχου, πρὸ τῶν Τρωϊκῶν χρόνων γεγονότος.

62.

Idem XIV, p. 743 : Ποσειδώνιος δέ φησι τοῦ ἐν τῇ Βαβυλωνίᾳ νάφθα τὰς πηγὰς, τὰς μὲν εἶναι λευκοῦ, τὰς δὲ μέλανος· τούτων δὲ τὰς μὲν εἶναι θείου ὑγροῦ, λέγω δὴ τὰς τοῦ λευκοῦ · ταύτας δ' εἶναι τὰς ἐπισπώσας τὰς φλόγας· τὰς δὲ τοῦ μέλανος, ἀσφάλτου ὑγρᾶς, ᾧ ἀντ' ἐλαίου τοὺς λύχνους καίουσι.

63.

Idem XVI, p. 764 (de ratione loquitur qua asphaltum e Serbonide lacu Syri educant) : Γόητας δὲ ὄντας σκήπτεσθαί φησιν ἐπῳδὰς ὁ Ποσειδώνιος τοὺς ἀνθρώπους, καὶ οὖρα καὶ ἄλλα δυσώδη ὑγρὰ, ἃ περικαταχέαντας καὶ ἐκπιάσαντας πήττειν τὴν ἄσφαλτον, εἶτα τέμνειν· εἰ μή τις ἐστὶν ἐπιτηδειότης τῶν οὔρων τοιαύτη, καθάπερ καὶ ἐν ταῖς κύστεσι τῶν λιθιώντων καὶ ἐκ τῶν παιδικῶν οὔρων ἡ χρυσοκόλλα συνίσταται. Ἐν μέσῃ δὲ τῇ λίμνῃ τὸ πάθος συμβαίνειν εὔλογον, ὅτι καὶ ἡ πηγὴ τοῦ πυρὸς καὶ τῆς ἀσφάλτου κατὰ μέσην ἐστὶ, καὶ τὸ πλῆθος· ἄτακτος δὲ ἡ ἀναφύσησις, ὅτι καὶ ἡ τοῦ πυρὸς κίνησις οὐκ ἔχει τάξιν ἡμῖν φανερὰν, ὥσπερ καὶ ἄλλων πνευμάτων πολλῶν. Τοιαῦτα δὲ καὶ τὰ ἐν Ἀπολλωνίᾳ τῇ Ἠπειρώτιδι.

Quæ antecedunt apud Strabonem et quæ se-

---

sanguinem degustassent. Post istam potationem unguento caput illinunt, rosaceo maxime, aut, si id non suppetit, melino, ad prohibendum potus effectum, et ne vini vapore lædantur : si melinum non adest, liliaceo aut nardino utuntur.

58.

Persarum rex Chalybonium solum vinum bibebat, quod Posidonius ait Damasci in Syria quoque nasci, transplantatis eo loci vitibus a Persis.

59.

Seleucis portionum quas diximus optima est : vocatur autem Tetrapolis a quattuor ante ceteras (sunt enim plures etiam) illustribus urbibus istius regionis, Antiochia apud Daphnen, Seleucia in Pieria, Apamea et Laodicea : quæ propter concordiam sorores dicebantur. Porro sicuti in quattuor urbes, sic etiam, Posidonio teste, in quattuor satrapias, quemadmodum etiam Cava Syria, Seleucis divisa est, dum Mesopotamia nonnisi unam satrapiam constituit.

60.

Pars camporum prima a mari Macras vocatur, et Macra campus, in quo Posidonius scribit visum fuisse serpentem mortuum jugeri longitudine, crassitudine tanta, ut equites ex utraque parte adsistentes, alter alterum videre nequiret; rictu eo, qui hominem equo insidentem reciperet, exuvii squamam quamlibet clypeo majorem.

61.

Si Posidonio credimus, etiam antiquum de atomis dogma est hominis Sidonii, Moschi, qui ante Trojani belli tempus vixit.

62.

Posidonius scribit e fontibus naphthæ Babyloniis quosdam nigrum naphtha, quosdam album producere : atque ex iis alios esse liquidi sulphuris, eos scilicet, qui album naphtha habent, quod et flammæ arripiant : eos vero, qui nigrum habent, bituminis liquidi esse quod pro oleo in lucernis usurpant.

63.

Posidonius narrat accolas, præstigiis deditos homines, incantationibus quibusdam uti, et lotia et alios ejusmodi fœtidos humores inspergere atque exprimere, quibus bitumen coaguletur; postea incidere : nisi forte aliqua lotii vis est, qualis in vesica eorum, qui calculo laborant, et ut ex pueri lotio chrysocolla conficitur. In medio autem lacus ista evenire consentaneum rationi est. Ignis enim ac bituminis fons et copia in medio est : quod autem non stato efflatur tempore, causa est, quia ignis motus ordinem non habet nobis manifestum, quemadmodum et multorum aliorum flatuum. Talia etiam apud Apolloniam Epiroticam eveniunt.

quuntur ex eodem fonte fluxerunt procul dubio. Τὰ ἐν Ἀπολλωνίᾳ quænam sint, e Posidonio docet Strabo libro septimo.

64.

Strabo VII, p. 316 : Ἐν δὲ τῇ χώρᾳ τῶν Ἀπολλωνιατῶν καλεῖταί τι Νυμφαῖον· πέτρα δ' ἐστὶ πῦρ ἀναδιδοῦσα· ὑπ' αὐτῇ δὲ κρῆναι ῥέουσι χλιαροῦ καὶ ἀσφάλτου, καιομένης, ὡς εἰκὸς, τῆς βώλου τῆς ἀσφαλτίτιδος· μέταλλον δ' αὐτῆς ἐστιν πλησίον ἐπὶ λόφου· τὸ δὲ τμηθὲν ἐκπληροῦται πάλιν τῷ χρόνῳ, τῆς ἐγχωννυμένης εἰς τὰ ὀρύγματα γῆς μεταβαλλούσης εἰς ἄσφαλτον, ὥς φησι Ποσειδώνιος. Λέγει δ' ἐκεῖνος καὶ τὴν ἀμπελῖτιν γῆν ἀσφαλτώδη, τὴν ἐν Σελευκείᾳ τῇ Πιερίᾳ μεταλλευομένην, ἄκος τῆς φθειριώσης ἀμπέλου· χρισθεῖσαν γὰρ μετ' ἐλαίου, φθείρειν τὸ θηρίον, πρὶν ἐπὶ τοὺς βλαστοὺς τῆς ῥίζης ἀναβῆναι· τοιαύτην δ' εὑρεθῆναι καὶ ἐν Ῥόδῳ, πρυτανεύοντος αὐτοῦ, πλείονος δ' ἐλαίου δεῖσθαι.

65.

Idem XVI, p. 780 : Εἰσὶ δὲ ἅλες εὐώδεις ἐν Ἄραψιν, ὥς φησι Ποσειδώνιος.

66.

Strabo XVII, p. 827 : Mauritania tum alias bestias quam plurimas nutrit, tum πιθήκων πάμπολυ πλῆθος. Περὶ ὧν καὶ Ποσειδώνιος εἴρηκεν, ὅτι πλέων ἐκ Γαδείρων εἰς τὴν Ἰταλίαν προσενεχθείη τῇ Λιβυκῇ παραλίᾳ καὶ ἴδοι τῶν θηρίων μεστόν τινα τούτων ἀλιτενῆ δρυμὸν, τῶν μὲν ἐν τοῖς δένδρεσι, τῶν δ' ἐπὶ γῆς, ἐχόντων ἐνίων καὶ σκύμνους καὶ ἐπεχόντων μαστόν· καὶ γελᾶν οὖν ὁρῶν βαρυμάστους, ἐνίους δὲ φαλακροὺς καὶ κηλήτας, καὶ ἄλλα τοιαῦτα ἐπιφαίνοντας σίνη.

67.

Athenæus XIV, p. 635, C, D : Διαποροῦσι δὲ ἔνιοι, ὅπως, τῆς μαγάδιδος οὐκ οὔσης κατὰ Ἀνακρέοντα (ὀψὲ γάρ ποτε τὰ πολύχορδα ὀφθῆναι), μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγει· « Ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων, ὦ Λεύκασπι. » Καὶ ὁ μὲν Ποσειδώνιός φησι, τριῶν μελῳδιῶν αὐτὸν μνημονεύειν, Φρυγίου τε, καὶ Δωρίου, καὶ Λυδίου· ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι· ὧν ἑπτὰ χορδαῖς ἑκάστης περαινομένης, εἰκότως φάναι, ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς, τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ, τὴν μίαν ἀφελόντα. Ἀγνοεῖ δὲ ὁ Ποσειδώνιος, ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς Πινδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον. Argumentum loci non suadet hæc ex Historiis desumpta esse; adjeci tamen, quod reliqua omnia quæ Athenæus habet ex Historiis deprompta sunt.

ΠΕΡΙ ΩΚΕΑΝΟΥ.

68.

Strabo II, p. 94 : Ἴδωμεν δὲ καὶ Ποσειδώνιον, ἅ φησιν ἐν τοῖς Περὶ ὠκεανοῦ· δοκεῖ γὰρ ἐν αὐτοῖς τὰ πολλὰ γεωγραφεῖν, τὰ μὲν οἰκείως, τὰ δὲ μαθηματικώτερον. Οὐκ ἄτοπον οὖν ἔνια καὶ τῶν ὑπὸ τούτου λεγομένων διαιτῆσαι, τὰ μὲν νῦν, τὰ δ' ἐν τοῖς καθ' ἕκαστα, ὡς ἂν ὑποπίπτῃ, μέτρου τινὸς ἐχομένους. Ἔστιν οὖν τι τῶν πρὸς γεωγραφίαν οἰκείων τὸ τὴν γῆν ὅλην ὑποθέσθαι σφαιροειδῆ (cf. fr. 69), καθάπερ καὶ τὸν κόσμον, καὶ τὰ ἄλλα παραδέξασθαι τὰ ἀκόλουθα τῇ ὑποθέσει ταύτῃ· τούτων δ' ἐστὶ καὶ τὸ πεντάζωνον αὐτὴν εἶναι.

(2) Φησὶ δὴ ὁ Ποσειδώνιος τῆς εἰς πέντε ζώνας

65.

Sunt apud Arabes etiam sales odorati, ut Posidonius refert.

66.

Simiarum quoque maximam multitudinem Mauritania habet. Posidonius narrat se, quum e Gadibus in Italiam navigaret, in Libyæ oram delatum, ac silvam quandam mari contiguam vidisse, simiis plenam, quarum aliæ super arboribus, aliæ in terra sederent, nonnullæ catulos haberent, et ubera præberent, nec sine risu vidisse alias uberibus graves, nonnullas etiam calvas, nonnullas herniosas et alia quædam id genus vitia ostendentes.

67.

Quærunt vero nonnulli, quo pacto, quum Anacreontis ætate non exstiterit magadis (nam sero demum conspecta esse instrumenta multis fidibus tensa), mentionem ejus faciens Anacreon dixerit : *Cano, viginti chordis tensam pulsans magadin, o Leucaspi.* Ac Posidonius quidem ait, trium melodiarum in illis verbis meminisse poetam, Phrygiæ, Doriæ et Lydiæ : his enim solis usum esse Anacreontem : quarum quum quæque septem peragatur chordis, recte illum dixisse, *viginti se chordis psallere,* dempta una rotundo numero utentem. At ignorat Posidonius, antiquum instrumentum esse magadin; quandoquidem clare Pindarus dixit, Terpandrum ex adverso respondentem Lydiæ pectidi invenisse *barbitum.*

DE OCEANO.

68.

Videamus jam nunc quæ Posidonius dicat in opere De Oceano, in quo videtur multa geographica tradere, partim instituto proprie, partim magis mathematice. Haud abs re igitur fuerit etiam quædam ab ipso dicta perpendere, partim nunc, partim ut suis singula locis sese offerent, justi modi memores. Ex iis igitur quæ ad geographiam proprie pertinent, hoc est quod ponitur, totam terram æque globi forma esse ac mundum, et quod quæ ad hanc consequuntur positionem admittuntur : inter quæ et hoc est, quinque zonis terram distingui.

(2) Posidonius primum hujus divisionis auctorem Parme-

διαιρέσεως ἀρχηγὸν γενέσθαι Παρμενίδην· ἀλλ' ἐκεῖνον μὲν σχεδόν τι διπλασίαν ἀποφαίνειν τὸ πλάτος τὴν διακεκαυμένην (τῆς μεταξὺ τῶν τροπικῶν), ὑπερπίπτουσαν ἑκατέρων τῶν τροπικῶν εἰς τὸ ἐκτὸς καὶ πρὸς ταῖς εὐκράτοις· Ἀριστοτέλη δὲ αὐτὴν καλεῖν τὴν μεταξὺ τῶν τροπικῶν, [τὰς δὲ μεταξὺ τῶν τροπικῶν] καὶ τῶν ἀρκτικῶν εὐκράτους. Ἀμφοτέροις δ' ἐπιτιμᾷ δικαίως. Διακεκαυμένην γὰρ λέγεσθαι τὸ ἀοίκητον διὰ καῦμα· τῆς δὲ μεταξὺ τῶν τροπικῶν πλέον ἢ τὸ ἥμισυ τοῦ πλάτους [οὐκ] οἰκήσιμόν ἐστιν ἐκ τῶν ὑπὲρ Αἰγύπτου στοχαζομένοις Αἰθιόπων, εἴπερ τὸ μὲν ἥμισυ τοῦ παντὸς πλάτους ἐστὶν, ὃ διαιρεῖ ἐφ' ἑκάτερα ὁ ἰσημερινός. Τούτου δὲ τὸ μὲν ἀπὸ τῆς Συήνης, ἥπερ ἐστὶν ὅριον τοῦ θερινοῦ τροπικοῦ, εἰς Μερόην εἰσὶ πεντακισχίλιοι· τὸ δ' ἐνθένδε ἕως [τοῦ] τῆς Κινναμωμοφόρου παραλλήλου, ὅσπερ ἐστὶν ἀρχὴ τῆς διακεκαυμένης, τρισχίλιοι. Τοῦτο μὲν οὖν τὸ διάστημα πᾶν ἐστι μετρητὸν, πλεῖταί τε γὰρ καὶ ὁδεύεται· τὸ δ' ἑξῆς, μέχρι τοῦ ἰσημερινοῦ λέγω, δείκνυται κατὰ τὴν ὑπ' Ἐρατοσθένους γενομένην ἀναμέτρησιν τῆς γῆς, ὅτι ἐστὶ σταδίων ὀκτακισχιλίων ὀκτακοσίων· ὃν δὴ λόγον ἔχει τὰ μύρια ἑξακισχίλια [ὀκτακόσια] πρὸς τὰ ὀκτακισχίλια ὀκτακόσια, τοῦτον ἂν ἔχοι τὸ μεταξὺ τῶν τροπικῶν διάστημα πρὸς τὸ τῆς διακεκαυμένης πλάτος. Κἂν τῶν νεωτέρων δὲ ἀναμετρήσεων εἰσάγηται ἡ ἐλαχίστην ποιοῦσα τὴν γῆν, οἵαν ὁ Ποσειδώνιος ἐγκρίνει περὶ ὀκτωκαίδεκα μυριάδας οὖσαν, περὶ ἥμισύ που ἀποφαίνει τὴν διακεκαυμένην τῆς μεταξὺ τῶν τροπικῶν, ἢ μικρῷ τοῦ ἡμίσους μείζονα· ἴσην δὲ καὶ τὴν αὐτὴν οὐδαμῶς. Τοῖς τε ἀρκτικοῖς, οὔτε παρὰ πᾶσιν οὖσιν, οὔτε τοῖς αὐτοῖς πανταχοῦ, τίς ἂν διορίζοι τὰς εὐκράτους, αἵπερ εἰσὶν ἀμετάπτωτοι; Τὸ μὲν οὖν μὴ παρὰ πᾶσιν εἶναι τοὺς ἀρκτικοὺς, οὐδὲν ἂν εἴη πρὸς τὸν ἔλεγχον· δεῖ γὰρ παρὰ τοῖς τὴν εὔκρατον οἰκοῦσιν εἶναι πᾶσι, πρὸς οὕσπερ καὶ λέγεται μόνους εὔκρατος. Τὸ δὲ μὴ πανταχοῦ τὸν αὐτὸν τρόπον, ἀλλὰ μεταπίπτειν, καλῶς εἴληπται.

(3) Αὐτὸς δὲ διαιρῶν εἰς τὰς ζώνας (cf. fr. 71-74) πέντε μέν φησιν εἶναι χρησίμους πρὸς τὰ οὐράνια. Τούτων δὲ περισκίους δύο τὰς ὑπὸ τοῖς πόλοις μέχρι τῶν ἐχόντων τοὺς τροπικοὺς ἀρκτικοὺς, ἑτεροσκίους δὲ τὰς ἐφεξῆς ταύταις δύο μέχρι τῶν ὑπὸ τοῖς τροπικοῖς οἰκούντων, ἀμφίσκιον δὲ τὴν μεταξὺ τῶν τροπικῶν. Πρὸς δὲ τὰ ἀνθρώπεια ταύτας τε καὶ δύο ἄλλας στενὰς τὰς ὑπὸ τοῖς τροπικοῖς, καθ' ἃς ἥμισύ πως μηνὸς κατὰ κορυφήν ἐστιν ὁ ἥλιος, δίχα διαιρουμένας ὑπὸ τῶν τροπικῶν. Ἔχειν γάρ τι ἴδιον τὰς ζώνας ταύτας, αὐχμηράς τε ἰδίως καὶ ἀμμώδεις ὑπαρχούσας καὶ ἀφόρους πλὴν σιλφίου καί πυρωδῶν τινων καρπῶν συγκεκαυμένων. Ὄρη γὰρ μὴ εἶναι πλησίον, ὥστε τὰ νέφη προσπίπτοντα ὄμβρους ποιεῖν, μηδὲ δὴ ποταμοῖς διαρρεῖσθαι· διόπερ οὐλότριχας καὶ οὐλόκερως καὶ προχείλους καὶ πλατύρρινας γεννᾶσθαι· τὰ γὰρ ἄκρα αὐτῶν συστρέφεσθαι· καὶ τοὺς ἰχθυοφάγους δὲ κατὰ ταύτας τὰς ζώνας οἰκεῖν. Ὅτι δὲ ταῦτ' ἴδια τῶν ζωνῶν τούτων δηλοῦν φησι τὸ τοὺς νοτιωτέρους αὐτῶν ἔχειν τὸ περιέχον εὐκρατότερον καὶ τὴν γῆν καρπιμωτέραν καὶ εὐυδροτέραν.

In sequentibus (p. 96 et 97) Strabo rationem

---

driam in easdem cum signifero quadraginta octo partes divisus sit, æqualia sunt ejus segmenta illis signiferi segmentis. Quum enim magnitudines æquales æqualiter dividuntur, æquales etiam divisorum partes inter se esse necesse est. His igitur ita ante constitutis, deinde ait Posidonius stellam Canobum appellatam splendidissimam esse ad meridiem in temone Argûs. Eadem in Græcia prorsus non conspicitur : unde nec Aratus ejus in Phænomenis meminit. Quum autem a septentrione versus meridiem procedimus, primum Rhodi conspicitur, et postquam ad finientem visa est, statim mundi conversione occidit. Quum vero illa quinque millia stadiorum a Rhodo navigando trajecimus et Alexandriam venimus, eadem stella, ubi in medio plane cœlo est, reperitur quarta parte signi super finientem attolli, quæ est quadragesima octava pars signiferi. Hinc necesse est eam partem meridiani, quæ intervallo Rhodum inter et Alexandriam imminet, quadragesimam octavam ejus esse : propterea quod finiens etiam Rhodiorum a finiente Alexandrinorum quadragesima octava parte signiferi distat. Quum igitur ea pars terræ, quæ isti segmento subjecta est, quinque millium stadiorum esse videatur; eæ item quæ reliquis segmentis subjiciuntur, totidem stadiorum sunt : atque ita maximus circulus terræ viginti quattuor myriadum esse reperitur, si a Rhodo ad Alexandriam sunt quinque millia; sin secus, pro ratione intervalli. Talis quidem est Posidonii ratio de magnitudine terræ.

81.

Terræ habitatæ punctum maxime occiduum est promontorium Hispaniæ quod Sacrum dicitur, situm fere in ea linea, quæ per Gades, Columnas, fretum Siculum et Rhodiam transit : nam et horologia aiunt convenire, et eosdem utrimque ventos ferri, et eandem esse utrobique longissimæ diei et noctis quantitatem : est enim maxima et dies et nox quattuordecim horarum æquinoctialium ac dimidiæ : et in ora maritima ad Gades atque Hispaniam [Columnas?] aliquando observari [*astra Canobo proxima*]. Posidonius refert se de excelsa quadam domo in urbe ab iis locis ad quadringenta stadia distante, stellam vidisse, quam existimaverit esse Canobum : nam et qui inde versus meridiem ex Hispania paululum progressi sint, fateri se eum cernere; et observationes astronomicas in Cnido institutas idem testari. Esse enim in Cnido Eudoxi speculam, non multo domibus sublimiorem, ex qua is fertur Canobum spectasse : esse autem Cnidum in Rhodiaco climate, in quo et Gades sunt et ora maritima ejus regionis.

82.

Laterum (Siciliæ) quæ his tribus promontoriis includuntur, duo sunt concava mediocriter, tertium a Lilybæo ad Pelorum curvum est, idemque longissimum, stadiorum mille et septingentorum; ut Posidonius dixit, qui et viginti adjecit. De reliquis, id quod a Lilybæo ad Pachynum pertinet, altero majus est (*et mille quingentorum et quinquaginta stadiûm*) : minimum omnium id, quod Freto

σταδίων χιλίων καὶ ἑπτακοσίων, ὡς Ποσειδώνιος εἴρηκε προσθεὶς καὶ εἴκοσι. Τῶν δ' ἄλλων ἡ ἐπὶ Πάχυνον ἀπὸ τοῦ Λιλυβαίου μείζων τῆς ἑτέρας· ἐλαχίστη δὲ ἡ τῷ Πορθμῷ καὶ τῇ Ἰταλίᾳ προσεχής, ἡ ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸν Πάχυνον, σταδίων ὅσον χιλίων καὶ ἑκατὸν καὶ τριάκοντα. Τὸν δὲ περίπλουν ὁ Ποσειδώνιος σταδίων τεσσαρακοσίων ἐπὶ τοῖς τετρακισχιλίοις ἀποφαίνει. Ἐν δὲ τῇ χωρογραφίᾳ μείζω λέγεται τὰ διαστήματα, κατὰ μέρος διῃρημένα μιλιασμῷ..., Ποσειδώνιός τε τοῖς κλίμασιν ἀφορίζων τὴν νῆσον (καὶ) πρὸς ἄρκτον μὲν τὴν Πελωριάδα, πρὸς νότον δὲ Λιλύβαιον, πρὸς ἕω δὲ τὸν Πάχυνον τίθησιν.

83.

Strabo VI, p. 273 : Φησὶ δ' ὁ Ποσειδώνιος οἷον ἀκροπόλεις ἐπὶ θαλάττης δύο τὰς Συρακούσας ἱδρῦσθαι καὶ τὸν Ἔρυκα, μέσην δὲ ἀμφοῖν ὑπερκεῖσθαι τῶν κύκλῳ πεδίων τὴν Ἔνναν. Hæc quoque fortasse ad Historias referre præstat.

84.

Cum iis quæ fr. 68 § 8 disputantur, conferenda hæc apud Galenum De placit. Hippocr. et Platonis V, p. 290, 41 : Συνάπτει δ' εἰκότως τοῖς λόγοις τούτοις ὁ Ποσειδώνιος τὰ κατὰ τὸν φυσιογνώμονα φαινόμενα. Καὶ γὰρ τῶν ζῴων καὶ τῶν ἀνθρώπων, ὅσα μὲν εὐρύστερνά τε καὶ θερμότερα, θυμικώτερα πάντ' ὑπάρχει φύσει, ὅσα δὲ πλατυίσχιά τε καὶ ψυχρότερα, δειλότερα· καὶ κατὰ τὰς χώρας οὐ σμικρῷ τινι διενηνοχέναι τοῖς ἤθεσι τοὺς ἀνθρώπους εἰς δειλίαν καὶ τόλμαν, ἢ τὸ φιλήδονόν τε καὶ φιλόπονον, ὡς τῶν παθητικῶν κινήσεων τῆς ψυχῆς ἑπομένων ἀεὶ τῇ διαθέσει τοῦ σώματος, ἣν ἐκ τῆς κατὰ τὸ περιέχον κράσεως οὐ κατ' ὀλίγον ἀλλοιοῦσθαι κτλ.

85.

Strabo I, p. 41 (Quæritur quinam sint Erembi, quorum Menelaus meminit ap. Hom. Od. IV, 84 : Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβούς) : Πιθανώτατοι δ' εἰσὶν οἱ νομίζοντες τοὺς Ἄραβας λέγεσθαι. Ζήνων δ' ὁ ἡμέτερος καὶ γράφει οὕτως·

> Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε.

Τὴν μὲν οὖν γραφὴν οὐκ ἀνάγκη κινεῖν, παλαιὰν οὖσαν· αἰτιᾶσθαι δὲ βέλτιον τὴν τοῦ ὀνόματος μετάπτωσιν, πολλὴν καὶ ἐπιπολαίαν οὖσαν ἐν πᾶσι τοῖς ἔθνεσιν. Ἀμέλει δὲ καὶ ποιοῦσί τινες παραγραμματίζοντες. Ἄριστα δ' ἂν δόξειεν εἰπεῖν ὁ Ποσειδώνιος, κἀνταῦθα ἀπὸ τῆς τῶν ἐθνῶν συγγενείας καὶ κοινότητος ἐτυμολογῶν. Τὸ γὰρ τῶν Ἀρμενίων ἔθνος καὶ τὸ τῶν Σύρων καὶ Ἀράβων πολλὴν ὁμοφυλίαν ἐμφαίνει κατά τε τὴν διάλεκτον καὶ τοὺς βίους καὶ τοὺς τῶν σωμάτων χαρακτῆρας, καὶ μάλιστα καθὸ πλησιόχωροί εἰσι. Δηλοῖ δ' ἡ Μεσοποταμία ἐκ τῶν τριῶν συνεστῶσα τούτων ἐθνῶν· μάλιστα γὰρ ἐν τούτοις ἡ ὁμοιότης διαφαίνεται. Εἰ δέ τις παρὰ τὰ κλίματα γίνεται διαφορὰ τοῖς προσβόρροις ἐπὶ πλέον πρὸς τοὺς μεσημβρινοὺς καὶ τούτοις πρὸς μέσους τοὺς ὅρους, ἀλλ' ἐπικρατεῖ γε τὸ κοινόν. Καὶ οἱ Ἀσσύριοι δὲ καὶ οἱ Ἀριανοὶ παραπλησίως πως ἔχουσι καὶ πρὸς τούτους καὶ πρὸς ἀλλήλους. Εἰκάζει γε δὴ καὶ τὰς τῶν ἐθνῶν τούτων κατονομασίας ἐμφερεῖς ἀλλήλαις εἶναι. Τοὺς γὰρ ὑφ' ἡμῶν Σύρους καλουμένους ὑπ' αὐτῶν τῶν Σύρων (Ἀρμενίους, καὶ) Ἀραμμαίους καλεῖσθαι· τούτῳ δ' ἐοικέναι τοὺς Ἀρμενίους καὶ τοὺς Ἄραβας καὶ Ἐρεμβούς, τάχα τῶν πάλαι Ἑλλήνων οὕτω κα-

---

et Italiæ adjacet, a Peloro ad Pachynum tendens, stadiorum circiter mille centum et triginta. Ambitum insulæ Posidonius pronunciat, stadiorum quater millium et quadringentorum. At in chorographia majora hæc intervalla ponuntur, distincta per partes in miliaria. Posidonius climatibus definiens insulam, Pelorum septentrioni, Lilybæum austro, Pachynum ortui solis opponit.

83.

Posidonius ait Siciliam veluti arces duas ad mare constructas habere Syracusas et Erycem, ac mediam inter utramque Ennam imminere circumjacentibus campis.

84.

Apte cum his comparat Posidonius quæ a physiognomone observantur. Nam inter animalia quoque hominesque quot sunt lato pectore et calidiora, ea omnia etiam animosiora esse solent; quot vero latis coxendicibus instructa ac frigidiora sunt, ea etiam ignaviora esse solent. Porro secundum terrarum situm haud paullum differunt incolæ vel ad ignaviam vel ad audaciam propensiores, vel voluptati vel laboribus addictiores, quoniam animi affectus pendent ex corporum indole, quæ ex ambientis aeris temperatura multum variatur.

85.

Omnium hi vero simillima statuunt, qui Arabes significari putant. Et Zeno quidem noster ita scribit Homericum versum :

> Æthiopes adii, tum Sidonios, Arabesque.

Sed scripturam mutare, quum sit vetusta, non est necesse. Culpanda est potius nominis mutatio, quæ frequens est et usitata omnibus gentibus : quod et quidam faciunt, qui literas nominum inter se comparant. Optime autem omnium existimo Posidonium hîc quoque a gentium cognatione et communitate originem vocum ducere. Nam Armeniorum, Syrorum et Arabum multum cognationis præ se ferunt nationes, sermone, vita, corporum forma, maxime ubi degunt in vicinia : idque ostendit Mesopotamia ex tribus his conflata populis; maxime enim in his similitudo est illustris. Quodsi qua est varietas pro eo quod aliæ partes aliis magis ad septentrionem aut meridiem vergunt, aut in meridie sunt sitæ : nihilominus tamen communis affectio obtinet. Atque Assyrii et Ariani inter se atque istorum sunt assimiles. Conjicit exinde Posidonius, harum gentium nomina quoque esse affinia : qui enim a nobis Syri dicuntur, ab ipsis Syris Aramæos vocari; idque Armeniis, Arabibus,

λούντων τοὺς Ἄραβας, ἅμα καὶ τοῦ ἐτύμου συνεργοῦντος πρὸς τοῦτο. Ἀπὸ γὰρ τοῦ εἰς τὴν ἔραν ἐμβαίνειν τοὺς Ἐρεμβοὺς ἐτυμολογοῦσιν οὕτως οἱ πολλοὶ, οὓς μεταλαβόντες οἱ ὕστερον ἐπὶ τὸ σαφέστερον Τρωγλοδύτας ἐκάλεσαν· οὗτοι δέ εἰσιν Ἀράβων οἱ ἐπὶ θάτερον μέρος τοῦ Ἀραβίου κόλπου κεκλιμένοι, τὸ πρὸς Αἰγύπτῳ καὶ Αἰθιοπίᾳ. Τούτων δ' εἰκὸς μεμνῆσθαι τὸν ποιητὴν καὶ πρὸς τούτοις ἀφῖχθαι λέγειν τὸν Μενέλαον, καθ' ὃν τρόπον εἴρηται καὶ πρὸς τοὺς Αἰθίοπας· τῇ γὰρ Θηβαΐδι καὶ οὗτοι πλησιάζουσιν· ὁμοίως οὐκ ἐργασίας οὐδὲ χρηματισμοῦ χάριν τούτων ὀνομαζομένων (οὐ πολὺ γὰρ ἦν τοῦτο), ἀλλὰ τοῦ μήκους τῆς ἀποδημίας καὶ τοῦ ἐνδόξου.

86.

Strabo XVII, p. 784 : (Sermo est de versu Homerico : Αἰθίοπας δ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβούς) : Ἀλλὰ μᾶλλον περὶ τῶν Ἐρεμβῶν ἡ ζήτησις, εἴτε τοὺς Τρωγλοδύτας ὑπονοητέον λέγεσθαι, καθάπερ οἱ τὴν ἐτυμολογίαν βιαζόμενοι ἀπὸ τοῦ εἰς τὴν ἔραν ἐμβαίνειν, ὅπερ ἐστὶν εἰς τὴν γῆν, εἴτε τοὺς Ἄραβας. Ὁ μὲν οὖν Ζήνων ὁ ἡμέτερος μεταγράφει οὕτως,

Καὶ Σιδονίους Ἄραβάς τε.

Πιθανώτερον δὲ Ποσειδώνιος γράφει, τῷ παρὰ μικρὸν ἀλλάξαι·

Καὶ Σιδονίους καὶ Ἀρεμβούς,

ὡς τοῦ Ποιητοῦ τοὺς νῦν Ἄραβας οὕτω καλέσαντος, καθάπερ καὶ ὑπὸ τῶν ἄλλων ὠνομάζοντο κατ' αὐτόν. Φησὶ δὲ ταῦτα τὰ τρία ἔθνη συνεχῆ ἀλλήλοις ἱδρυμένα ὁμογένειάν τινα ἐμφαίνειν πρὸς ἄλληλα καὶ διὰ τὸ παρακειμένοις ὀνόμασι κεκλῆσθαι, τοὺς μὲν Ἀρμενίους, τοὺς δὲ Ἄραβας, τοὺς δὲ Ἀρεμβούς· ὥσπερ δὲ ἀπὸ ἔθνους [ἑνὸς] ὑπολαμβάνειν ἔστιν εἰς τρία διῃρῆσθαι κατὰ τὰς τῶν κλιμάτων διαφορὰς ἀεὶ καὶ μᾶλλον ἐξαλλαττομένων, οὕτω καὶ τοῖς ὀνόμασι χρήσασθαι πλείοσιν ἀνθ' ἑνός. Οὐδ' οἱ Ἐρεμνοὺς γράφοντες (uti Crates, vid. Eustath. p. 1485) πιθανοί· τῶν γὰρ Αἰθιόπων μᾶλλον ἴδιον. Λέγει δὲ καὶ τοὺς Ἀρίμους ὁ Ποιητής, οὕς φησι Ποσειδώνιος δέχεσθαι δεῖν μὴ τόπον τινὰ Συρίας ἢ τῆς Κιλικίας ἢ ἄλλης τινὸς γῆς, ἀλλὰ τὴν Συρίαν αὐτήν. Ἀραμαῖοι γὰρ οἱ ἐν αὐτῇ· τάχα δ' οἱ Ἕλληνες Ἀριμαίους ἐκάλουν ἢ Ἀρίμους. Αἱ δὲ τῶν ὀνομάτων μεταπτώσεις, καὶ μάλιστα τῶν βαρβαρικῶν, πολλαί· καθάπερ τὸν Δαριήκην (Δαριαύην?) Δαρεῖον ἐκάλεσαν, τὴν δὲ Φάρζιριν Παρύσατιν, Ἀταργάτιν δὲ τὴν Ἀθάραν (Ἀσθάραν?)· Δερκετὼ δ' αὐτὴν Κτησίας καλεῖ.

87.

Plinius H. N. VI, 21 : *Posidonius ab æstivo solis ortu ad hibernum exortum metatus est eam* (Indiam), *adversam Galliæ statuens*, *quam ab occidente æstivo ad occidentem hibernum metabatur totam a Favonio. Itaque adversam ejus venti afflatu juvari Indiam salubremque fieri haud dubia ratione docuit.* Hinc sua Solinus Polyh. c. 52.

88.

Strabo II, p. 104 : Ἐρατοσθένους δὲ εἴρηται ἡ περὶ τὰ ἑσπέρια καὶ τὰ ἀρκτικὰ τῆς Εὐρώπης ἄγνοια. Ἀλλ' ἐκείνῳ μὲν καὶ Δικαιάρχῳ συγγνώμη, τοῖς μὴ κατιδοῦσι τοὺς τόπους ἐκείνους· Πολυβίῳ δὲ καὶ Ποσειδωνίῳ τίς ἂν συγγνοίη;

---

et Erembis convenire, quo forte nomine veteres Græci Arabas vocasse videantur, ipsa nominis originatione juvante. Nam Eremborum nomen multi ab ἔραν ἐμβαίνειν (*id est* terram subire) deducunt; quos posteriores apertiore vocabulo Troglodytas appellaverunt. Sunt autem ii Arabes qui ad alterum latus sinus Arabici vergunt, quod est ad Ægyptum et Æthiopiam. Horum meminisse poetam probabile est, et dixisse, ad eos Menelaum pervenisse, quomodo etiam ad Æthiopes (nam hi quoque Thebaidi sunt vicini), non negotiatonis aut quæstus causa nominatos, qui multus esse non potuit, sed ob longitudinem peregrinationis et gloriationem.

86.

Sed major quæstio de Erembis est, an Troglodytæ intelligi debeant (quod vi originis vocabuli quidam pervincere volunt, inde Erembos dici autumantes, quod ἔραν ἐμβαίνουσι, *terram subeant*), an Arabes. Ac noster Zeno sic scripturam mutat :

καὶ Σιδονίους Ἄραβάς τε

Probabilius vero Posidonius lenissima mutatione scribit :

καὶ Σιδονίους καὶ Ἀρεμβούς,

ita ut poeta qui nunc Arabes dicuntur appellet *Arembos*, quemadmodum etiam ab aliis ex ejus sententia appellentur. Dicit autem has tres nationes continenter inter se positas suam invicem cognationem ostendere etiam eo, quod affinia habeant nomina : Armenios scilicet, Arabes et Arembos. Et quemadmodum existimandum sit, unam gentem in tres esse divisam, pro climatum diversitatibus magis magisque immutatam, sic et nominibus pluribus uti pro uno. Neque vero audiendi sunt qui Ἐρεμνοὺς (*nigros*) scribunt; id enim magis Æthiopibus convenit. Nominat etiam *Arimos* Homerus; quos Posidonius docet esse accipiendos, non locum aliquem Syriæ vel Ciliciæ vel alius terræ, sed Syriam ipsam. Aramæi enim sunt, qui in ea habitant, quos facile Græci Arimæos vel Arimos vocare poterant. Nominum enim permutationes permultæ sunt, præsertim barbarorum, quemadmodum Dariacen Darium, Pharzirim Parysatim, Atargatam Atharam dixerunt, quam posteriorem Ctesias Derceto vocavit.

88.

Dictum est quam fuerit Eratosthenes ignarus occiduarum et septentrionalium Europæ partium. Verum huic quidem et Dicæarcho danda est venia, qui loca ista non inspexerunt; sed Polybio et Posidonio quis ignoscat?

89.

Strabo XI, p. 491 sq. (Strabo Asiæ partem eam quæ περὶ τὸν Τάναϊν est, ita descripsit, ut eam peninsulam efformaret, quæ Tanai fluvio, Palude Mæotica et Ponto Euxino, mari Caspio et Oceano circumdaretur : adeo ut pars meridionalis isthmi instar esset, Colchicum inter et Caspium mare) :

Ποσειδώνιος δὲ χιλίων πεντακοσίων εἴρηκε τὸν ἰσθμόν, ὅσον καὶ τὸν ἀπὸ Πηλουσίου ἰσθμὸν ἐς τὴν Ἐρυθράν· « Δοκῶ δέ, φησί, μὴ πολὺ διαφέρειν μηδὲ τὸν ἀπὸ τῆς Μαιώτιδος εἰς τὸν Ὠκεανόν. » Οὐκ οἶδα δὲ πῶς ἄν τις περὶ τῶν ἀδήλων αὐτῷ πιστεύσειε, μηδὲν εἰκὸς ἔχοντι εἰπεῖν περὶ αὐτῶν, ὅταν περὶ τῶν φανερῶν οὕτω παραλόγως λέγῃ· καὶ ταῦτα φίλος Πομπηΐῳ γεγονὼς τῷ στρατεύσαντι ἐπὶ τοὺς Ἴβηρας καὶ τοὺς Ἀλβανοὺς μέχρι τῆς ἐφ' ἑκάτερα θαλάττης, τῆς τε Κασπίας καὶ τῆς Κολχικῆς. Φασὶ γοῦν ἐν Ῥόδῳ γενόμενον τὸν Πομπήϊον, ἡνίκα ἐπὶ τὸν ληστρικὸν πόλεμον ἐξῆλθεν (αὖθις δ' ἔμελλε καὶ ἐπὶ Μιθριδάτην ὁρμήσειν καὶ τὰ μέχρι τῆς Κασπίας ἔθνη), παρατυχεῖν διαλεγομένῳ τῷ Ποσειδωνίῳ· ἀπιόντα δ' ἐρέσθαι, εἴ τι προστάττοι· τὸν δ' εἰπεῖν,

Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

Προστίθει δὲ τούτοις, ὅτι καὶ τὴν ἱστορίαν συνέγραψεν τὴν περὶ αὐτόν.

Cf. Strabo XVII, p. 803 : Ὁ δὲ μεταξὺ ἰσθμὸς τοῦ Πηλουσίου καὶ τοῦ μυχοῦ τοῦ καθ' Ἡρώων πόλιν, ἐνναKοσίων μέν ἐστι σταδίων, ὡς δὲ Ποσειδώνιός φησιν, ἐλάττων ἢ χιλίων καὶ πεντακοσίων.

90.

Schol. Apoll. Rhod. II, 677 : Ὑπερβορείους μὴ εἶναι τελέως φησὶν Ἡρόδοτος... Ποσειδώνιος δ' εἶναί φησι τοὺς Ὑπερβορείους, κατοικεῖν δὲ περὶ τὰς Ἄλπεις τῆς Ἰταλίας. Cf. Müller. *Dor.* I, p. 277.

91.

Strabo VII, p. 295 : Καὶ Ὅμηρον δὲ ὀρθῶς εἰκάζειν μοι δοκεῖ Ποσειδώνιος τοὺς ἐν τῇ Εὐρώπῃ Μυσοὺς κατονομάζειν (λέγω δὲ τοὺς ἐν τῇ Θρᾴκῃ) ὅταν φῇ·

αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχεμάχων.

Ἐπεὶ εἴ γε τοὺς κατὰ τὴν Ἀσίαν Μυσοὺς δέχοιτό τις, ἀπηρτημένος ἂν εἴη ὁ λόγος. Τὸ γὰρ ἀπὸ τῶν Τρώων τρέψαντα τὴν ὅρασιν ἐπὶ τὴν Θρᾳκῶν γῆν, συγκαταλέγειν ταύτῃ τὴν τῶν Μυσῶν, τῶν οὐ νόσφιν ὄντων, ἀλλ' ὁμόρων τῇ Τρωάδι, καὶ ὄπισθεν αὐτῆς ἱδρυμένων, καὶ ἑκατέρωθεν, διειργομένων δ' ἀπὸ τῆς Θρᾴκης πλατεῖ Ἑλλησπόντῳ, συγχέοντος ἂν εἴη τὰς ἠπείρους, καὶ ἅμα τῆς φράσεως οὐκ ἀκούοντος. Τὸ γὰρ πάλιν τρέπειν, μάλιστα μέν ἐστιν εἰς τοὐπίσω· ὁ δ' ἀπὸ τῶν Τρώων μεταφέρων τὴν ὄψιν, ἐπὶ τοὺς ἢ ὄπισθεν αὐτῶν ἢ ἐκ πλαγίων ὄντας, προσωτέρω μὲν μεταφέρει, εἰς τοὐπίσω δ' οὐ πάνυ. Καὶ τὸ ἐπιφερόμενον δ' αὖ τοῦτο μαρτύριον, ὅτι τοὺς Ἱππημολγοὺς καὶ Γαλακτοφάγους καὶ Ἀβίους συνῆψεν αὐτοῖς, οἵπερ εἰσὶν οἱ ἁμάξοικοι Σκύθαι καὶ Σαρμάται. Καὶ γὰρ νῦν ἀναμέμικται ταῦτα τὰ ἔθνη τοῖς Θρᾳξὶ καὶ τὰ Βασταρνικά, μᾶλλον μὲν τοῖς ἐκτὸς Ἴστρου, ἀλλὰ καὶ τοῖς ἐντός. Τούτοις δὲ καὶ

89.

Posidonius isthmum stadia mille quingenta latum facit, quantum hunc quoque, qui a Pelusio ad Rubrum est mare. « Neque multum puto (ait) ab his differre eum qui a Mæotide est ad Oceanum usque. » Ceterum haud scio, quomodo ei fidem quisquam possit habere de rebus obscuris dicenti, ubi nullam habet quam sequatur probabilitatem, quando tam aliena a ratione pronuntiat de rebus manifestis, quum Pompeii amicus fuerit, qui exercitum in Iberos Albanosque duxit, ad utrumque usque mare, Caspium ac Colchicum. Etenim Pompeium aiunt Rhodum venisse, quo tempore ad bellum Piraticum proficiscebatur, mox adversus Mithridatem ducturus et gentes ad Caspium usque mare sitas, ibique Posidonium disserentem compellasse, inque suo discessu interrogasse, ecquid mandaret; illum autem jussisse :

Rem gerere excelse atque aliis præstare memento.

Adde his, quod etiam historiam rerum ejus gestarum conscripsit. Itaque oportebat eum veri majorem habere rationem.

90.

Hyperboreos omnino non esse Herodotus ait, Posidonius autem revera esse eos et ad Alpes Italiæ habitare dicit.

91.

Posidonii comprobo conjecturam, qui Europæos, id est Thraces Mysos ab Homero (Il. 13, 5) nominari judicat his verbis :

Partem in diversam rursum sua lumina torsit,
Thraces equûm domitores, cominus atque potentes
pugna respiciens Mysos.

Nam si quis Asiæ populum Mysos intelligat, incongruus erit sermo. Qui enim dicens Jovem a Troja visum avertentem in Thracum terram, cum his comprehendat Mysos non in remota parte sitos, sed confines Troadi, et post eam incolentes atque ab utroque latere, a Thracia autem toto divisos Hellesponto : is et terræ continentes partes diversas confuderit, neque Homeri verba intellexerit. Nam *rursum* oculos convertere, id maxime est retrorsum avertere : qui autem a Trojanis visum transferret in eos qui vel post eos vel a latere siti sunt, is proferret quidem, non autem retro visum averteret. Huc facit et ipsum testimonium quod adducitur, quod Mysis adjungit Hippomolgos, Galactophagos et Abios, qui sunt in vehiculis habitantes Scythæ et Sarmatæ. Nam etiamnum permixtæ sunt istæ et Bastarnicæ gentes Thracibus, magis quidem iis qui extra, sed et iis qui intra Istrum accolunt; iisdemque etiam Cel-

τὰ Κελτικὰ, οἵ τε Βόϊοι καὶ Σκορδίσκοι καὶ Ταυρίσκοι. Τοὺς δὲ Σκορδίσκους ἔνιοι Σκορδίστας καλοῦσι· καὶ τοὺς Ταυρίσκους δὲ Λιγυρίσκους (? Τευρίσκους mgo cod. A.) καὶ Ταυρίστας φασί.

Λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο καὶ θρεμμάτων· μέλιτι δὲ χρῆσθαι καὶ γάλακτι καὶ τυρῷ, ζῶντας καθ' ἡσυχίαν· διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς τε καὶ καπνοβάτας· εἶναι δέ τινας τῶν Θρακῶν, οἳ χωρὶς γυναικὸς ζῶσιν, οὓς Κτίστας καλεῖσθαι, ἀνιερῶσθαί τε διὰ τιμὴν καὶ μετὰ ἀδείας ζῆν· τούτους δὴ συλλήβδην ἅπαντας τὸν ποιητὴν εἰπεῖν

ἀγαυοὺς ἱππημολγοὺς,
Γλακτοφάγους Ἀβίους τε, δικαιοτάτους ἀνθρώπους.

Ἀβίους δὲ προσαγορεύειν μάλιστα, ὅτι χωρὶς γυναικῶν· ἡγούμενος ἡμιτελῆ τινα βίον τὸν χῆρον, καθάπερ καὶ τὸν οἶκον ἡ μ ι τ ε λ ῆ τὸν Πρωτεσιλάου, διότι χῆρος· ἀγχεμάχους δὲ τοὺς Μυσοὺς, ὅτι ἀπόρθητοι, καθὰ οἱ ἀγαθοὶ πολεμισταί· δεῖν δὲ ἐν τῷ δεκάτῳ (l. ἐν τῷ ιγ') ἐγγράφειν ἀντὶ τοῦ Μ υ σ ῶ ν τ' ἀ γ χ ε μ ά χ ω ν [Μ ο ι σ ῶ ν τ' ἀ γ χ ε μ ά χ ω ν]. Cf. Strabo VII, p. 300, ubi iterum de his Posidonii mentionem injicit.

Jam denique ea subjicimus, quæ quamvis Strabo fragm. 68 non attigerit, tamen propter rerum narratarum argumenta libris De Oceano vindicanda esse apparet.

93.

Strabo I, p. 6: Ἵππαρχος δ' οὐ πιθανός ἐστιν ἀντιλέγων τῇ δόξῃ ταύτῃ, ὡς οὔθ' ὁμοιοπαθοῦντος τοῦ ὠκεανοῦ παντελῶς, οὔτ', εἰ δοθείη τοῦτο, ἀκολουθοῦντος αὐτῷ τοῦ σύρρουν εἶναι πᾶν τὸ κύκλῳ πέλαγος τὸ Ἀτλαντικὸν, πρὸς τὸ μὴ ὁμοιοπαθεῖν μάρτυρι χρώμενος Σελεύκῳ τῷ Βαβυλωνίῳ. Ἡμεῖς δὲ τὸν μὲν πλείω λόγον περὶ τοῦ ὠκεανοῦ καὶ τῶν πλημμυρίδων εἰς Ποσειδώνιον ἀναβαλλόμεθα καὶ Ἀθηνόδωρον, ἱκανῶς διακρατήσαντας * τὸν περὶ τούτων λόγον· πρὸς δὲ τὰ νῦν ἐπὶ τοσοῦτον λέγομεν, ὅτι πρός τε τὴν ὁμοιοπάθειαν οὕτω βέλτιον νομίσαι· τά τε οὐράνια συνέχοιτ' ἂν κρεῖττον ταῖς ἐντεῦθεν ἀναθυμιάσεσιν, εἰ πλεῖον εἴη τὸ ὑγρὸν περικεχυμένον.

Idem I, p. 55: Περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων εἰρήκασιν ἱκανῶς Ποσειδώνιος καὶ Ἀθηνόδωρος.

94.

Strabo I, p. 4 (Maris accessus et recessus Homero cognitos füisse demonstratur): Ποσειδώνιος δὲ καὶ ἐκ τοῦ σκοπέλους λέγειν (sc. Ὅμηρον) τοτὲ μὲν καλυπτομένους, τοτὲ δὲ γυμνουμένους, καὶ ἐκ τοῦ ποταμὸν φάναι τὸν ὠκεανὸν εἰκάζει τὸ ῥοῶδες αὐτοῦ τὸ περὶ τὰς πλημμυρίδας ἐμφανίζεσθαι. Τὸ μὲν οὖν πρῶτον εὖ, τὸ δὲ δεύτερον οὐκ ἔχει λόγον· οὔτε γὰρ ποταμίῳ ῥεύματι ἔοικεν ἡ τῆς πλημμυρίδος ἐπίβασις· πολὺ δὲ μᾶλλον ἡ ἀναχώρησις οὐ τοιαύτη. Vid. Hom. Od. μ, 237 sqq.; Il. ξ, 245 sqq.

95.

Strabo I, p. 172: Φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις εἶναι, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν εἰς τὸ ὕδωρ πότιμον, ἣν ταῖς παλιρ-

---

ticæ, Boii, Scordisci, Taurisci. Scordiscos quidam Scordistas appellant, Tauriscis Liguriscorum et Tauristarum nomen tribuunt.

Idem Posidonius ait, Mysos pietatis ergo quum animatis, tum eapropter etiam pecudibus abstinere; vitam degere otiosam, melle et lacte et caseo nutritos; ideoque eos et deùm cultores nominari et Capnobatas (?); esse etiam quosdam Thraces, qui absque mulieribus vivant, eosque Ctistas (*Conditores*) vocari, et sacros honoris causa haberi, securosque vivere. Hos universos Homerum summatim sic extulisse:

mulctores claros respexit equorum,
Lactivoros Abiosque: hominum gens justior illis
nulla alia est.

Abios autem dicere præcipue, quia uxoribus careant, viduam vitam quasi dimidia sui dumtaxat parte constantem censens, ut et Protesilai domum, eo exstincto viduatam, *semiperfectam* vocat; et *cominus pugnantes* Mysos, quod boni sint bellatores, neque agi ac ferri sua patiantur. Idemque in Iliadis libro decimo tertio pro Μυσῶν τ' ἀγχεμάχων scribi vult Μοισῶν τ' ἀγχεμάχων.

93.

Neque fidem meretur Hipparchus, qui eo hanc sententiam impugnat, quod neque ubique eadem prorsus Oceano accidant, neque, si hoc detur, inde efficiatur Atlanticum mare in se refluere atque in orbem redire, et qui Seleuci Babylonii testimonio probare studet, non eadem Oceano ubique accidere. Nos vero majorem quæstionis partem de Oceano et æstu ad Posidonium atque Athenodorum rejicimus, qui de his satis copiose disputaverunt. In præsentia id modo dicimus: et accidentium similitudini nostram sententiam melius respondere et cœlestia evaporationibus inde surgentibus melius fere ali, si humor copiosior circumfundatur.

94.

Posidonius vehementiorem affluxum augescentis maris eo etiam innuisse Homerum putat, quod scopulos memoravit modo occultatos, modo detectos, et quod fluvii nomine Oceanum affecit (*Il.* Ξ, 245 *al.*): quorum prius rectum est, posterius nihil habet rationis. Nam neque incremento maris aqua ita accedit, ut cursui fluminis ea accessio sit similis: et recessio adhuc etiam magis ei dissimilis est.

95.

Scribit Polybius esse Gadibus in templo Herculis fontem ad cujus aquas potui aptas paucorum sit graduum descensus, qui ad æstus maris contrario plane affi-

ροίαις τῆς θαλάττης ἀντιπαθεῖν, κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν, κατὰ δὲ τὰς ἀμπώτεις πληρουμένην. Αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον, καλυφθείσης μὲν αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης, εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων, ἀναστρέψαν δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ ποιεῖ λειψυδρίαν, γυμνωθείσης δὲ πάλιν, εὐθυπορῆσαν ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς, ὥστ' ἀναβλύειν εὐπόρως. Ἀρτεμίδωρος δὲ ἀντειπὼν τούτῳ καὶ ἅμα παρ' αὐτοῦ τινα θεὶς αἰτίαν, μνησθεὶς δὲ καὶ τῆς Σιλανοῦ δόξης τοῦ συγγραφέως, οὔ μοι δοκεῖ μνήμης ἄξια εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιλανός. Ποσειδώνιος δὲ ψευδῆ λέγων τὴν ἱστορίαν εἶναι ταύτην δύο φησὶ εἶναι φρέατα ἐν τῷ Ἡρακλείῳ καὶ τρίτον ἐν τῇ πόλει· τῶν δ' ἐν τῷ Ἡρακλείῳ τὸ μὲν μικρότερον ὑδρευομένων συνεχῶς αὐθωρὸν καὶ ἐκλείπειν, καὶ διαλειπόντων τῆς ὑδρείας πληροῦσθαι πάλιν· τὸ δὲ μεῖζον δι' ὅλης τῆς ἡμέρας τὴν ὑδρείαν ἔχον, μειούμενον μέντοι, καθάπερ καὶ τἆλλα φρέατα πάντα, νύκτωρ πληροῦσθαι, μηκέτι ὑδρευομένων· ἐπειδὴ δὲ συμπίπτει κατὰ τὸν τῆς συμπληρώσεως καιρὸν ἡ ἄμπωτις πολλάκις, πεπιστεῦσθαι κενῶς ὑπὸ τῶν ἐγχωρίων τὴν ἀντιπάθειαν. Ὅτι μὲν οὖν ἡ ἱστορία πεπίστευται, καὶ οὗτος εἴρηκε, καὶ ἡμεῖς ἐν τοῖς παραδόξοις θρυλουμένην παρειλήφαμεν κτλ.

Οὐκ οἶδα δὲ πῶς κατ' ἄλλα δεινοὺς ἀποφαίνων ὁ Ποσειδώνιος τοὺς Φοίνικας, ἐνταῦθα μωρίαν μᾶλλον ἢ δριμύτητα αὐτῶν κατέγνωκεν. Ἡμέρα μὲν γὰρ καὶ νὺξ τῇ τοῦ ἡλίου περιφορᾷ μετρεῖται, τοτὲ μὲν ὑπὸ γῆς ὄντος, τοτὲ δὲ ὑπὲρ γῆς φαινομένου· φησὶ δὲ τὴν τοῦ ὠκεανοῦ κίνησιν ὑπέχειν ἀστροειδῆ περίοδον, τὴν μὲν ἡμερήσιον ἀποδιδοῦσαν, τὴν δὲ μηνιαίαν, τὴν δ' ἐνιαυσιαίαν συμπαθῶς τῇ σελήνῃ. Ὅταν γὰρ αὕτη ζῳδίου μέγεθος ὑπερέχῃ τοῦ ὁρίζοντος, ἄρχεσθαι διοιδεῖν τὴν θάλατταν καὶ ἐπιβαίνειν τῆς γῆς αἰσθητῶς μέχρι μεσουρανήσεως· ἐκκλίναντος δὲ τοῦ ἄστρου, πάλιν ἀναχωρεῖν τὸ πέλαγος κατ' ὀλίγον, ἕως ἂν ζῴδιον ὑπερέχῃ τῆς δύσεως ἡ σελήνη· εἶτα μένειν τοσοῦτον ἐν τῇ αὐτῇ καταστάσει χρόνον, ὅσον ἡ σελήνη συνάπτει πρὸς αὐτὴν τὴν δύσιν, καὶ ἔτι μᾶλλον τοσοῦτον, ὅσον κινηθεῖσα ὑπὸ γῆς ζῴδιον ἀπόσχοι ἂν τοῦ ὁρίζοντος· εἶτ' ἐπιβαίνειν πάλιν ἕως τοῦ ὑπὸ γῆν μεσουρανήματος· εἶτ' ἀναχωρεῖν, ἕως ἂν πρὸς τὰς ἀνατολὰς περιχωρήσασα ἡ σελήνη ζῴδιον τοῦ ὁρίζοντος ἀπόσχῃ· μένειν δὲ, μέχρις ἂν ζῴδιον ὑπὲρ γῆς μετεωρισθῇ, καὶ πάλιν ἐπιβαίνειν. Ταύτην μὲν εἶναι λέγει τὴν ἡμερήσιον περίοδον· τὴν δὲ μηνιαίαν, ὅτι μέγισται μὲν αἱ παλίρροιαι γίγνονται περὶ τὰς συνόδους, εἶτα μειοῦνται μέχρι διχοτόμου· πάλιν δ' αὔξονται μέχρι πανσελήνου, καὶ μειοῦνται πάλιν ἕως διχοτόμου φθινάδος· εἶθ' ἕως τῶν συνόδων αἱ αὐξήσεις· πλεονάζειν δὲ καὶ χρόνῳ καὶ τάχει τὰς αὐξήσεις. Τὰς δ' ἐνιαυσίας παρὰ τῶν ἐν Γαδείροις πυθέσθαι φησὶ, λεγόντων ὡς κατὰ θερινὰς τροπὰς μάλιστα αὔξοιντο καὶ αἱ ἀναχωρήσεις καὶ αἱ ἐπιβάσεις. Εἰκάζει δ' αὐτὸς ἀπὸ τῶν τροπῶν μειοῦσθαι μὲν ἕως ἰσημερίας, αὔξεσθαι δὲ ἕως χειμερινῶν τροπῶν· εἶτα μειοῦσθαι μέχρι ἐαρινῆς ἰσημερίας· εἶτ' αὔξεσθαι μέχρι

---

ciatur modo, quum sub exundationem maris deficiat, et defluente eo impleatur. Causam rei confert in ventum qui e profundo in superficiem terræ effertur : qua superficie sub maris affluxu ab aquis occupata, ventum, quum suis exitibus solitis privetur, introrsum reverti, obstructisque fontis meatibus aquas intercludere, rursumque denudata aquis superficie, recta exeuntem venas fontis liberare obstructione, atque ita tum aquam copiose ebullire. Artemidorus autem dum hujus sententiam vult refellere, aliamque a se causam profert, facta simul sententiæ Silani historici mentione, indigna relatu mihi videtur dicere : quippe quum et ipse et Silanus harum fuerint rerum rudes. At Posidonius falsitatis hanc narrationem damnans, duos ait in Herculis templo esse puteos, et in urbe tertium : eorum qui sunt ad Herculis, minorem, quum continenter ex eo aqua hauriatur, ea ipsa hora siccari, rursumque impleri, ubi desitum fuerit aquari : majorem totius diei aquationi sufficere; minui quidem ipsum quoque more aliorum puteorum, aquatione autem noctu cessante repleri : et quum in repletionis tempus incidat non raro maris defluxus, creditam esse ab incolis illam contrarietatem affectionis, inaniter. Historiæ quidem huic fidem adhibitam fuisse quum ille ait, tum nos in divulgatis rerum inusitatarum narrationibus traditum reperimus.

Nescio autem qui factum sit ut Posidonius, in ceteris rebus acumen ingenii Phœnicibus tribuens, magis hoc loco eos fatuos quam subtiles judicet. Solis conversionem die ac nocte metimur, partem supra, partem infra terram eo exigente. Jam ille tradit oceani motum imitari conversionem cœlestem, esseque æstum maris alium diurnum, alium annuum, ad lunam certo modo affecti. Quum luna enim unius signi spatio supra horizontem elevatur, tum intumescere mare et in terram effluere (quod etiam sensus possit percipere), idque usque dum ad medium cœli luna perveniat. Inde declinante astro, paulatim mare abscedere, dum uno tantum signo ab occasu absit luna : tum consistere ipsum tanto tempore quanto luna ad ipsum occasum perrexerit, item tanto quanto infra terram sub horizontem unius signi quantitate descenderit : exinde rursum increscere, donec ad medium cœli infra terram luna appulerit : postea iterum recedere, usque dum versus ortum progressa luna signo uno horizontem se habeat altiorem : tum eodem statu manere, donec ea signo uno horizontem superet altitudine : exinde rursum in terram exire. Hunc ergo ait ille maris esse diurnum circuitum. Menstruum porro, quod maximi refluxus contingunt circa novilunium, deinde dum æqua portione divisa videatur luna, minui ; hinc rursum usque ad plenilunium augeri, et minui exinde, usque dum diminuta lumine dimidium lucidum ostendat; postea rursum ad coitum usque crescere : ea autem incrementa et tempore et celeritate sese superare. Annuas denique maris vices se a Gaditanis auditu cognovisse ait : ita enim illos tradere, circa æstivum solstitium recessus accessusque maris maxime augeri ; se vero conjecturam facere, eosdem

θερινῶν τροπῶν. Τῶν δὲ περιόδων τούτων οὐσῶν καθ' ἑκάστην ἡμέραν καὶ νύκτα, τὸν συνάμφω χρόνον δὶς μὲν ἐπιβαινούσης τῆς θαλάττης, δὶς δὲ ἀναχωρούσης, τεταγμένως δὲ καὶ τῷ ἡμερησίῳ χρόνῳ καὶ τῷ νυκτερινῷ, πῶς οἷόντε πολλάκις μὲν συμβαίνειν κατὰ τὰς ἀμπώτεις τὴν πλήρωσιν τοῦ φρέατος, μὴ πολλάκις δὲ τὴν λειψυδρίαν; ἢ πολλάκις μέν, μὴ ἰσάκις δέ; ἢ καὶ ἰσάκις δὲ, τοὺς δὲ Γαδειρίτας ταῦτα μὲν μὴ ἱκανοὺς γενέσθαι τηρῆσαι τὰ καθ' ἡμέραν γινόμενα, τὰς δ' ἐνιαυσίους περιόδους ἐκ τῶν ἅπαξ συμβαινόντων κατ' ἔτος τηρῆσαι; (τὰ καθ' ἡμέραν γινόμενα). Ἀλλὰ μὴν ὅτι γε πιστεύει αὐτοῖς, δῆλον ἐξ ὧν καὶ προσεικάζει γίνεσθαι τὰς μειώσεις καὶ πάλιν αὐξήσεις ἀπὸ τροπῶν ἐπὶ τροπάς τε ἑτέρας κἀκεῖθεν πάλιν ἐπανόδους. Καὶ μὴν οὐδὲ ἐκεῖνο εἰκὸς, ὅτι τηρητικοὶ ὄντες τὰ μὲν συμβαίνοντα οὐκ εἶδον, τοῖς δὲ μὴ συμβαίνουσιν ἐπίστευσαν.

Φησὶ δ' οὖν Σέλευκον τὸν ἀπὸ τῆς Ἐρυθρᾶς θαλάττης καὶ ἀνωμαλίαν τινὰ ἐν τούτοις καὶ ὁμαλότητα λέγειν κατὰ τὰς τῶν ζῳδίων διαφοράς· ἐν μὲν γὰρ τοῖς ἰσημερινοῖς ζῳδίοις τῆς σελήνης οὔσης ὁμαλίζειν τὰ πάθη, ἐν δὲ τοῖς τροπικοῖς ἀνωμαλίαν εἶναι καὶ πλήθει καὶ τάχει, τῶν δ' ἄλλων ἑκάστου κατὰ τοὺς συνεγγισμοὺς εἶναι τὴν ἀναλογίαν. Αὐτὸς δὲ κατὰ τὰς θερινὰς τροπὰς περὶ τὴν πανσέληνόν φησιν ἐν τῷ Ἡρακλείῳ γενόμενος τῷ ἐν Γαδείροις πλείους ἡμέρας μὴ δύνασθαι συνεῖναι τὰς ἐνιαυσίους διαφοράς. Περὶ μέντοι τὴν σύνοδον ἐκείνου τοῦ μηνὸς τηρῆσαι μεγάλην παραλλαγὴν ἐν Ἰλίπᾳ τῆς τοῦ Βαίτιος ἀνακοπῆς παρὰ τὰς ἔμπροσθεν, ἐν αἷς οὐδὲ ἕως ἡμίσους τὰς ὄχθας ἔβρεχε· τότε δ' ὑπερχεῖσθαι τὸ ὕδωρ, ὥσθ' ὑδρεύεσθαι τοὺς στρατιώτας αὐτόθι (διέχει δ' Ἰλίπα τῆς θαλάττης περὶ ἑπτακοσίους σταδίους)· τῶν δ' ἐπὶ θαλάττῃ πεδίων καὶ ἐπὶ τριάκοντα σταδίους εἰς βάθος καλυπτομένων ὑπὸ τῆς πλημμυρίδος, ὥστε καὶ νήσους ἀπολαμβάνεσθαι, τὸ τῆς κρηπῖδος ὕψος τῆς τε τοῦ νεὼ τοῦ ἐν τῷ Ἡρακλείῳ καὶ τῆς τοῦ χώματος, ὃ τοῦ λιμένος πρόκειται τοῦ ἐν Γαδείροις, οὐδ' ἐπὶ δέκα πήχεις καλυπτόμενον ἀναμετρῆσαί φησι· κἂν προσθῇ δέ τις τὸ διπλάσιον τούτου κατὰ τὰς γενομένας ποτὲ παραυξήσεις, [οὐδ'] οὕτω παρασχεῖν ἂν τὴν ἔμφασιν, ἣν ἐν τοῖς πεδίοις παρέχεται τὸ μέγεθος τῆς πλημμυρίδος. Τοῦτο μὲν δὴ τὸ πάθος κοινὸν ἱστορεῖται κατὰ πᾶσαν τὴν κύκλῳ παρωκεανῖτιν, τὸ δὲ τοῦ Ἴβηρος ποταμοῦ καινὸν καὶ ἴδιόν φησιν οὗτος· πλημμυρεῖν γὰρ ἔσθ' ὅπου (τε) καὶ χωρὶς ὄμβρων καὶ χιόνων, ἐπειδὰν τὰ βόρεια πνεύματα πλεονάσῃ, αἰτίαν δ' εἶναι τὴν λίμνην, δι' ἧς ῥεῖ· συνεκβάλλεσθαι γὰρ τὸ λιμναῖον ὑπὸ τῶν ἀνέμων.

Ἱστορεῖ δὲ καὶ δένδρον ἐν Γαδείροις ὄζους ἔχον καμπτομένους εἰς ἔδαφος, πολλάκις δὲ φύλλα ξιφοειδῆ πηχυαῖα τὸ μῆκος, πλάτος δὲ τετραδάκτυλα. Περὶ δὲ Νέαν Καρχηδόνα δένδρον ἐξ ἀκάνθης φλοιὸν ἀφιέναι, ἐξ οὗ ὑφάσματα γίνεται κάλλιστα. Τῷ μὲν οὖν ἐν Γαδείροις καὶ ἡμεῖς οἴδαμεν ὅμοιον ἐν Αἰγύπτῳ κατὰ τὴν τῶν κλάδων κατάκαμψιν, τοῖς δὲ φύλλοις ἀνόμοιον, οὐδὲ καρπὸν ἔχον· τοῦτο δ' ἔχειν φησί. Τὰ δ' ἀκάνθινα ὑφαίνεται καὶ ἐν Καππαδοκίᾳ, φέρει δ' οὐ(δὲν) δέν-

---

a solstitio illo ad æquinoctium usque diminui, rursumque ad brumam usque accrescere; ab hac usque ad vernum æquinoctium decrescere, porroque augescere usque ad æstivum solstitium. Hæ maris vices quum quovis die et nocte quavis eveniant, bis per utrumque tempus mari se efferente, et bis subsidente, idque certo ordine et interdiu et noctu: quomodo fieri potest ut impletio putei sæpe eveniat sub refluxum maris, non sæpe autem exinanitio? aut sæpe quidem, sed non toties? vel etiam toties quidem, Gaditanos autem non satis valere mente, ut observent quæ fiant quotidie, nihilominus tamen annuas vicissitudines ex eo deprehendere, quod semel fit toto anno? Atqui fidem eum ipsis adhibere ex eo constat, quod ipse conjecturam addit de decrementis et sequentibus incrementis fluxuum a solstitiis ad solstitia, et de recursu qui hic fiat eadem via. At ne hoc quidem consentaneum est, homines istos observandi studiosos ea quæ eveniunt non animadvertisse, credidisse iis quæ non fierent.

Refert etiam Seleucum eum qui a Rubro mari oriundus fuit, in his æqualitatem inæqualitatemque statuere aliquam pro signorum cœlestium ratione: nam luna in æquinoctialibus signis hærente, æquabiliter illos æstus fieri; in solstitialibus autem et quantitate et celeritate inæquali; eamque inæqualitatem in reliquis signis locum habere pro eo atque unumquodvis eorum ad dicta propius accedit. Ipse autem se memorat Gadibus in Herculis templo fuisse sub ipsum æstivum solstitium, in plenilunio per aliquammultos dies, neque tamen anniversarias istas mutationes potuisse deprehendere; sed circa ejus mensis novilunium magnam se in Bætis fluvii apud Ilipam repercussione notasse diversitatem: qui quum ante ne ad dimidium quidem usque ripam madefaceret, tunc ita fuerit effusus, ut ibi aquarentur milites (abest autem Ilipa a mari circiter septingenta stadia); et dum campestria mari propinqua etiam usque triginta stadia in altum fuerint aquarum exæstuatione tecta, ita ut insularum modo mari quædam ambirentur, altitudinem fundamenti, cui fanum Herculis insistit et ipse agger qui portui Gaditano præpositus est, ne ad decem quidem cubitos fuisse occultatam, quos ipse sit permensus: quodsi quis etiam duplum hujus addat, secundum incrementa tunc facta, ne sic quidem posse indicium præberi ejus magnitudinis, quam in campis exundatio facit. Atque hoc quidem traditur evenire communiter toti oræ oceano adjacentis circulo: novum autem et peculiare hoc ille de Ibero fluvio refert, eum aliquando exundare nullis imbribus aut nivibus causam præbentibus, quum boreæ frequentes flant: in causa esse paludem, per quam fluit: nam a ventis aquam palustrem una extorqueri.

Narrat etiam arborem esse Gadibus, cujus rami ad solum sint deflexi, folia frequenter cubitalia longitudine, quattuor lata digitos, forma gladii: et apud Novam Carthaginem arborem esse quæ e spina corticem emittat, unde telæ pulcherrimæ conficiantur. Nos sane, quod ad ramorum deorsum inflexionem attinet, Gaditanæ arboris similem in Ægypto novimus, foliis tamen dissimilem et fructu (facit enim ille suam frugiferam) carentem. E spinis autem texturæ fiunt

δρον τὴν ἄκανθαν, ἐξ ἧς ὁ φλοιὸς, ἀλλὰ χαμαίζηλος ἡ βοτάνη. Τῷ δὲ δένδρῳ τῷ ἐν Γαδείροις καὶ τοῦτο προσιστόρηται, ὅτι κλάδου μὲν ἀποκλωμένου γάλα ῥεῖ, ῥίζης δὲ τεμνομένης μιλτῶδες ὑγρὸν ἀναφέρεται.

96.

Strabo III, p. 170 : De Herculis Columnis alii statuunt aliter. Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι τὰς Στήλας. Οἱ δὲ Ἴβηρες καὶ Λίβυες ἐν Γαδείροις εἶναί φασιν· οὐδὲν γὰρ ἐοικέναι στήλαις τὰ περὶ τὸν πορθμόν. Οἱ δὲ τὰς ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις χαλκᾶς ὀκταπήχεις, ἐν αἷς ἀναγέγραπται τὸ ἀνάλωμα τῆς κατασκευῆς τοῦ ἱεροῦ, ταύτας λέγεσθαί φασιν· ἐφ᾽ ἃς ἐρχόμενοι οἱ τελέσαντες τὸν πλοῦν καὶ θύοντες τῷ Ἡρακλεῖ, διαβοηθῆναι παρεσκεύασαν, ὡς τοῦτ᾽ εἶναι καὶ γῆς καὶ θαλάττης τὸ πέρας. Τοῦτον δ᾽ εἶναι πιθανώτατον καὶ Ποσειδώνιος ἡγεῖται τὸν λόγον· τὸν δὲ χρησμὸν καὶ τοὺς πολλοὺς ἀποστόλους, ψεῦσμα Φοινικικόν. Intellige oraculum, quod Tyrios jusserit ad Herculis columnas deducere coloniam. Verba τοὺς πολλοὺς ἀποστόλους ad narrationem referenda, ex qua ter colonos Tyrii emiserint, antequam Gades urbem et fanum Herculis condi contigerit. Vid. Strabo p. 169 sq.

97.

Strabo III, p. 138 : Quæ contra Ephorum, ut qui de Herculis ara in Sacro Iberiæ promontorio exstructa mendacia retulerit, Artemidorus disputat, ea quidem recte se habere videntur : Ἃ δὲ τοῖς πολλοῖς καὶ χυδαίοις ὁμοίως εἴρηκεν, οὐ πάνυ. Λέγειν γὰρ δή φησι Ποσειδώνιος τοὺς πολλοὺς, μείζω δύνειν τὸν ἥλιον ἐν τῇ παρωκεανίτιδι [καὶ] μετὰ ψόφου παραπλησίως ὡσανεὶ σίζοντος τοῦ πελάγους κατὰ σβέσιν αὐτοῦ διὰ τὸ ἐμπίπτειν εἰς τὸν βυθόν. Ψεῦδος δ᾽ εἶναι καὶ τοῦτο καὶ τὸ παραχρῆμα νύκτα ἀκολουθεῖν μετὰ τὴν δύσιν· οὐ γὰρ παραχρῆμα, μικρὸν δ᾽ ὕστερον, καθάπερ καὶ ἐν τοῖς ἄλλοις πελάγεσι τοῖς μεγάλοις. Ὅπου μὲν γὰρ εἰς ὄρη δύεται, πλείω τὸν μετὰ δύσιν χρόνον τῆς ἡμέρας συμβαίνειν ἐκ τοῦ παραφωτισμοῦ, ἐκεῖ δὲ πλείω μὲν οὐκ ἐπακολουθεῖν, μὴ μέντοι μηδὲ παραχρῆμα συνάπτειν τὸ σκότος, καθάπερ καὶ ἐν τοῖς μεγάλοις πεδίοις. Τὴν δὲ τοῦ μεγέθους φαντασίαν αὔξεσθαι μὲν ὁμοίως κατά τε τὰς δύσεις καὶ τὰς ἀνατολὰς ἐν τοῖς πελάγεσι διὰ τὸ τὰς ἀναθυμιάσεις πλείους ἐκ τῶν ὑγρῶν ἀναφέρεσθαι· διὰ δὲ τούτων ὡς δι᾽ αὐλῶν (?) κλωμένων τὴν ὄψιν πλατυτέρας δέχεσθαι τὰς φαντασίας, καθάπερ καὶ διὰ νέφους ξηροῦ καὶ λεπτοῦ βλέπουσιν δυόμενον ἢ ἀνατέλλοντα τὸν ἥλιον ἢ τὴν σελήνην, ἡνίκα καὶ ἐνερευθὲς φαίνεσθαι τὸ ἄστρον. Τὸ δὲ ψεῦδος ἐλέγξαι φησὶ τριάκονθ᾽ ἡμέρας διατρίψας ἐν Γαδείροις καὶ τηρήσας τὰς δύσεις. Ὁ δέ γε Ἀρτεμίδωρος ἑκατονταπλασίονά φησι δύεσθαι τὸν ἥλιον, καὶ αὐτίκα νύκτα καταλαμβάνειν.

Quì fiat ut sol oriens et occidens major esse videatur, Strabone accuratius etiam exponit Cleomedes Cycl. Theor. II, p. 427 sqq., quem sua hausisse e Posidonio produnt verba capitis postrema p. 730, ubi hæc : Διὰ μὲν γὰρ νοτεροῦ καὶ παχυτέρου ἀέρος ὁρώμενος, μείζων ἡμῖν καὶ πλέον ἀφεστὼς φαίνεται· διὰ δὲ καθαροῦ, ἐλάττων τῷ μεγέθει καὶ ἔγγιον τὸ διάστημα. Ὥστε εἰ δυνατὸν ἦν ἡμῖν, φησὶν ὁ Ποσειδώνιος, διά τε τοίχων στερεῶν καὶ τῶν ἄλλων σωμάτων ὁρᾶν, ὡς ὁ Λυγκεὺς, μείζων ἂν ἐφαντάζετο ἡμῖν ὁ ἥλιος διὰ τούτων ὁρώμενος, καὶ πολὺ μεῖζον διάστημα ἀφεστώς. Cf. idem p. 471 de sole, quum Oceanum subeat, stridorem edente. Ceterum Cleomedes ante oculos habuisse videtur Posidonii

---

etiam in Cappadocia; sed non arbor spinam fert unde cortex, sed stirps est humilis. De Gaditana autem arbore id præterea narratur, eam ramo effracto lac, radice incisa humorem minii colore emittere.

96.

Dicæarchus et Eratosthenes et Polybius et plurimi Græcorum Columnas ad fretum esse (Columnas Herculis) asserunt. At Hispani et Afri Gadibus eas vindicant : nihil enim columnarum simile habere ea quæ sunt ad fretum. Alii Columnas intelligi volunt æreas octo cubitorum columnas quæ sunt Gadibus in Herculis delubro, quibus inscriptus est sumptus in templi factus exædificationem : nam ad has qui navigatione absoluta pervenissent et sacra Herculi facerent, hos eam famam curavisse divulgari, ibi maris esse terræque finem : atque hanc maxime omnium opinionum probabilem esse etiam Posidonius censet, oraculum autem et multos legatos commentum Phœnicum.

97.

Neque vero credendum est Artemidoro de iis, quæ plebeii et vulgaris homunculi in morem dixit. Vulgo enim perhiberi ait Posidonius, solem ibi ad Oceani litus occidere majorem, editoque strepitu, quasi si mare strideret sibilaretque eo quia in fundum deferatur exstincto : quin præter hoc vanum esse etiam illud quod aiunt statim ab occasu noctem insequi : non enim statim id fieri, sed non multo post, ut et in aliis fit magnis maribus; ubi enim sol in montes occumbit, ex luminis per latera diffusione diutius ab occasu diem perdurare, in mari autem non item, neque tamen illico tenebras statim oboriri, atque idem etiam in magnis usu venire campis. Magnitudinem autem solis ideo augeri sub ortum et occasum in maribus altis, quod plures vapores ab humido in altum sese attollunt : quibus tanquam fistulis [vitris?] infractos radios visus diffundi et majorem vera quantitatem fingere, quemadmodum quum solem lunamve orientem aut occidentem per aridam tenuemque nubem intuemur, rubere putamus. Hoc mendacium ait se deprehendisse, quum Gadibus per triginta dies commoratus occasum solis observasset. At Artemidorus centuplo quam sit alias majorem occidere solem dicit, confestimque noctem ingruere.

vel Φυσικὸν λόγον vel libros Περὶ μετεώρων, in quibus fusius egit de solis natura, forma, magnitudine, et quæ huc pertinent alia, teste Diogene Laert. VII, 144 : Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθά φησι Ποσειδώνιος ἐν τῷ ιζ' Περὶ μετεώρων· καὶ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ις' τοῦ Φυσικοῦ λόγου· ἀλλὰ καὶ σφαιροειδῆ, ὡς οἱ περὶ αὐτὸν τοῦτον φασί, ἀναλόγως τῷ κόσμῳ· πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν· καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος. Cf. Macrob. Saturn. I, 23 : *Sicut et Posidonius et Cleanthes affirmant, solis meatus a plaga quæ usta dicitur non recedit, quia sub ipsa currit oceanus, qui terram ambit et dividit. Omnium autem physicorum assertione constat calorem humore nutriri.* Idem in Somn. Scip. I, 20 : *Eratosthenes in libris Dimensionum sic ait : Mensura terræ septies et vicies multiplicata mensuram solis efficiet. Posidonius dicit multo multoque sæpius multiplicatam solis spatium efficere. Et uterque lunaris defectus argumentum pro se advocat. Ita quum solem volunt terra majorem probare, testimonio lunæ deficientis utuntur : quum defectum lunæ conantur asserere, probationem de solis magnitudine mutuantur.* Cleomedes l. l. p. 452 : Ἡ τοιαύτη δὲ ἔφοδος μάλιστα ἐμφαίνει τὸ ἀξίωμα τοῦ κατ' αὐτὸν μεγέθους. Ἡ Συήνη ὑπὸ τῷ Καρκίνῳ κεῖται· ὁπόταν οὖν ὁ ἥλιος ἐν τούτῳ γενόμενος τῷ ζωδίῳ κατ' ἀτρεκῆ μεσημβρίαν στῇ, ἄσκια γίνεται τὰ φωτιζόμενα ὑπ' αὐτοῦ ἐν τῇδε τῇ χώρᾳ, ἐπὶ σταδίους τετρακοσίους τὴν διάμετρον. Ὧν οὕτως ἐν τοῖς φαινομένοις ἐχόντων, ὁ Ποσειδώνιος ὑποθέμενος μυριοπλασίονα εἶναι τὸν ἡλιακὸν κύκλον τοῦ τῆς γῆς κύκλου, ἀπὸ τούτου ὁρμώμενος, δείκνυσιν, ὅτι μυριάδων τετρακοσίων εἶναι δεῖ τὴν τοῦ ἡλίου διάμετρον. Εἰ γὰρ ὁ κύκλος τοῦ κύκλου μυριοπλασίων, καὶ τὸ τμῆμα τοῦ ἡλιακοῦ κύκλου, ὅπερ ἔχει τὸ τοῦ ἡλίου μέγεθος, μυριοπλάσιον εἶναι δεῖ τούτου τοῦ τμήματος τῆς γῆς, ὅπερ ὁ ἥλιος κατὰ κορυφὴν ὑπερκείμενος ἄσκιον παρέχεται. Ἐπεὶ οὖν τοῦτο ἐπὶ τετρακοσίους τὴν διάμετρον ἐκτέταται σταδίους, τετρακοσίων εἶναι μυριάδων δεῖ, ὅπερ ἐπέχει ἑκάστοτε ὁ ἥλιος τοῦ οἰκείου κύκλου.

98.

Strabo III, p. 153 : Ὑψηλὸν δ' ἐστὶ τὸ ἑωθινὸν (τῆς Λυσιτανίας) καὶ τραχύ. Ἡ δὲ ὑποκειμένη χώρα, πεδιὰς πᾶσα, καὶ μέχρι θαλάττης, πλὴν ὀλίγων ὀρῶν οὐ μεγάλων· ᾗ δὴ καὶ τὸν Ἀριστοτέλη φησὶν ὁ Ποσειδώνιος οὐκ ὀρθῶς αἰτιᾶσθαι τὴν παραλίαν τὴν κατὰ τὴν Μαυρουσίαν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων· παλιρροεῖν γὰρ φάναι τὴν θάλατταν διὰ τὸ τὰς ἄκρας ὑψηλάς τε καὶ τραχείας εἶναι, δεχομένας τε τὸ κῦμα σκληρῶς, καὶ ἀνταποδιδούσας τῇ Ἰβηρίᾳ· τἀναντία γὰρ θινώδεις εἶναι καὶ ταπεινὰς τὰς πλείστας, ὀρθῶς λέγων.

In seqq. (p. 153) Strabo fluvios Lusitaniæ recensens post alios nominat Lethen sive Limæam sive Belionem. Καὶ οὗτος δὲ, pergit, ἐκ Κελτιβήρων καὶ Οὐακκαίων ῥεῖ· καὶ ὁ μετ' αὐτὸν Βαῖνις (οἱ δὲ Μίνιόν φασι), πολὺ μέγιστος τῶν ἐν Λυσιτανίᾳ ποταμῶν, ἐπὶ ὀκτακοσίους καὶ αὐτὸς ἀναπλεόμενος σταδίους. Ποσειδώνιος δὲ ἐκ Καντάβρων καὶ αὐτὸν ῥεῖν φησί· πρόκειται δὲ τῆς ἐκβολῆς αὐτοῦ νῆσος, καὶ χηλαὶ δύο ὅρμους ἔχουσαι. Ἐπαινεῖν δ' ἄξιον τὴν φύσιν, ὅτι τὰς ὄχθας ὑψηλὰς ἔχουσιν οἱ ποταμοὶ καὶ ἱκανὰς δέχεσθαι τοῖς ῥείθροις τὴν θάλατταν πλημμυροῦσαν, ὥστε μὴ ὑπερχεῖσθαι, μηδ' ἐπιπολάζειν ἐν τοῖς πεδίοις.

Postrema adjeci utpote quæ item petita fuerint e Posidonio de maris accessu et recessu fusius disputante.

99.

Strabo I, p. 54 init. : (Τὸ Σαρδώνιον πέλαγος) λέγεται τῶν ἀναμετρηθέντων βαθύτατόν που χιλίων ὀργυιῶν, ὡς Ποσειδώνιός φησι.

Hæc Posidonius protulerit de eadem re loquens de qua Strabo agit, quem vide.

100.

Strabo III, p. 144 : Ἴδιον δέ τί φησι Ποσειδώνιος τηρῆσαι κατὰ τὸν ἀνάπλουν τὸν ἐκ τῆς Ἰβηρίας, ὅτι

98.

Latus illud ortivum sublime est et asperum : infra eam tota regio est plana usque ad mare, exceptis paucis non magnis montibus. Quare Aristotelem Posidonius ait æstuum marinorum qui fiunt in Hispania causas non recte ascribere litori et Mauritaniæ [litoribus Hispaniæ et Mauritaniæ?], dicentem mare ideo reciprocare, quia extrema terrarum sublimia sint et aspera, quæ fluctum et duriter excipiant et repercutiant : quum e contrario pleraque litora sint humilia et arenæ tumulis constent. Recte hic quidem disserit.

Post hunc Bænis [Næbis?], alii Minium nominant, fluviorum Lusitaniæ longe maximus, ipse quoque adversus navigatur ad octingenta stadia. Hunc quoque e Cantabris delabi auctor est Posidonius : ante ostia ejus sita est insula, et duæ crepidines portubus præditæ. Natura autem loci laudem meretur, quod ripas habent flumina sublimes, et quæ sufficiant ad excipiendum alveis mare exundans, ita ut non effundantur neque in campos dimanent.

99.

Sardoum mare, ubi profundissimum est, mille ulnarum altitudine præditum inventum esse mensura Posidonius perhibet.

100.

Peculiare aliquid se in navigatione ex Hispania observasse scribit Posidonius, nimirum in illo mari usque ad

οἱ εὖροι κατ' ἐκεῖνο τὸ πέλαγος ἕως τοῦ Σαρδῴου κόλπου πνέοιεν ἐτήσιοι· διὸ καὶ τρισὶ μησὶν εἰς Ἰταλίαν καταρᾶραι μόλις, παραδιενεχθεὶς περί τε τὰς Γυμνησίας νήσους καὶ περὶ Σαρδόνα καὶ τἄλλα ἀπαντικρὺ τούτων μέρη τῆς Λιβύης. Cf. interpretes ad h. l.

101.

Strabo I, p. 29 : Εἰσὶ δέ τινες, οἵ φασιν εἶναι δύο τοὺς κυριωτάτους ἀνέμους, Βορέαν καὶ Νότον, τοὺς δὲ ἄλλους κατὰ μικρὰν ἔγκλισιν διαφέρειν· τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν Εὖρον, χειμερινῶν δὲ Ἀπηλιώτην· δύσεων δὲ θερινῶν μὲν Ζέφυρον, χειμερινῶν δὲ Ἀργέστην. Τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην τε καὶ τὸν ποιητὴν αὐτὸν [τῷ] τὸν μὲν Ἀργέστην τῷ Νότῳ προσνέμειν·

ἀργεστᾶο Νότοιο·

τὸν δὲ Ζέφυρον τῷ Βορέᾳ·

Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον.

Φησὶ δὲ Ποσειδώνιος, μηδένα οὕτως παραδεδωκέναι τοὺς ἀνέμους τῶν γνωρίμων περὶ ταῦτα, οἷον Ἀριστοτέλη, Τιμοσθένη, Βίωνα τὸν ἀστρολόγον· ἀλλὰ τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν Καικίαν, τὸν δὲ τούτῳ κατὰ διάμετρον ἐναντίον Λίβα, ἀπὸ δύσεως ὄντα χειμερινῆς· πάλιν δὲ τὸν μὲν ἀπὸ χειμερινῆς ἀνατολῆς Εὖρον, τὸν δ' ἐναντίον Ἀργέστην· τοὺς δὲ μέσους Ἀπηλιώτην καὶ Ζέφυρον. Τὸν δὲ ποιητὴν δυσαῆ μὲν Ζέφυρον λέγειν τὸν ὑφ' ἡμῶν καλούμενον Ἀργέστην, λίγα δὲ πνέοντα Ζέφυρον τὸν ὑφ' ἡμῶν Ζέφυρον, ἀργέστην δὲ Νότον τὸν Λευκόνοτον· οὗτος γὰρ ὀλίγα τὰ νέφη ποιεῖ, τοῦ λοιποῦ Νότου * ὅλου Εὔρου πως ὄντος·

ὡς ὁπότε Ζέφυρος νέφεα στυφελίξῃ,
ἀργεστᾶο Νότοιο βαθείῃ λαίλαπι τύπτων.

Τὸν γὰρ δυσαῆ Ζέφυρον νῦν λέγει, ὃς εἴωθε διασκιδνάναι τὰ ὑπὸ τοῦ Λευκονότου συναγόμενα ἀσθενῆ ὄντα, ἐπιθέτως τοῦ Νότου νῦν ἀργέστου λεγομένου.

---

sinum Sardoum Euros stato anni tempore spirare : itaque se tribus vix mensibus in Italiam pervenisse, jactatum et circa Gymnesias et juxta Sardiniam aliaque e regione horum loca Africæ.

101.

Sunt etiam qui duos præcipuos ventos faciant, Boream ac Austrum, a quibus reliqui parva differant inclinatione, Eurus ab æstivo ortu, Subsolanus ab hiberno; Favonius ab occasu æstivo, ab hiberno Caurus. Atque duos esse ventos confirmant quum Thrasyalcis testimonio, tum ipsius poetæ, qui Caurum Austro adscribat (*Il.* Λ, 306) :

Argestæ Austri :

Favonium autem Boreæ (*Il.* I, 5) :

Cum Zephyro Boreas Thracum de finibus acer
spirantes.

Ceterum Posidonius ait neminem de ventis hoc modo disseruisse eorum qui his rebus claruerunt, Aristotelem nimirum, Timosthenem, Bionem astrologum : sed eos ventum qui ab ortu flat æstivo, Cæciam perhibere; qui ei e regione est oppositus et ab occasu flat hiberno, Africum; qui ab ortu hiberno, Eurum, et ei oppositum Caurum; medios Subsolanum et Favonium. A poeta autem Favonium violenter spirantem vocari eum, qui nobis est Caurus; argute spirantem Favonium, eum qui nobis est Favonius; Austrum Caurum, Leuconotum (sive album Austrum), quippe qui paucas faciat nubes, quum reliquus Auster turbidus fere sit Eurus (*Il.* Λ, 305) :

Ac veluti nubes Zephyrus quum dissipat acer,
Argestæ pulsans violentis flatibus Austri.

Nam Zephyrum violenter spirantem hic dicit, qui solet dissipare imbecilles nubes a Leuconoto coactas, atque hic tanquam epitheto Auster appellatur Argestes.

L. LUCULLUS. M. T. CICERO.
T. POMPONIUS ATTICUS.

L. Lucullum de bello Marsico græce scripsisse testis est Plutarchus Lucull. c. 1 : Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον καὶ Σισεννᾶν τὸν ἱστορικὸν ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. Cf. Cicero Ad Attic. I, 19.

M. T. Cicero græcos De consulatu suo commentarios composuit. Cic. Ep. ad Attic. I, 19 : *Commentarium consulatus mei græce compositum misi ad te. In quo si quid erit, quod homini Attico minus græcum eruditumque videatur, non dicam, quod tibi, ut opinor, Panormi Lucullus de suis historiis dixerat, se, quo facilius illas probaret Romani hominis esse, idcirco barbara quædam et* σόλοικα *dispersisse : apud me si quid erit ejusmodi, me imprudente erit et invito. Latinum si perfecero, ad te mittam.*

Idem ibid. II, 1 : *Kal. Jun.* (an. 694 a. u.) *eunti mihi Antium et gladiatores M. Metelli cupide relinquenti, venit obviam tuus puer : is mihi literas abs te et commentarium consulatus mei græce scriptum reddidit : in quo lætatus sum, aliquanto ante de iisdem rebus græce item scriptum librum L. Cossinio ad te perferendum dedisse. Nam si ego tuum ante legissem, furatum me abs te esse diceres : quamquam tua illa (legi enim libenter) horridula mihi atque incompta visa sunt : sed tamen erant ornata hoc ipso, quod ornamenta neglexerant, et, ut mulieres, ideo bene olere, quod nihil olebant, videbantur. Meus autem liber totum Isocratis* μυροθήκιον, *atque omnes ejus discipulorum arculas ac nonnihil etiam Aristotelia pigmenta consumpsit : quem tu Corcyræ, ut mihi aliis literis significas, strictim attigisti; post autem, ut arbitror, a Cossinio accepisti; quem tibi ego non essem ausus mittere, nisi eum lente ac fastidiose probavissem. Quamquam ad me rescripsit jam Rhodo Posidonius, se nostrum illud* ὑπόμνημα *quum legeret, quod ego ad eum, ut ornatius de iisdem rebus scriberet, miseram, non modo non excitatum esse ad scribendum, sed etiam plane deterritum. Quid quæris? conturbavi Græcam nationem. Ita vulgo qui instabant, ut darem sibi quod ornarent, jam exhibere mihi molestiam destiterunt. Tu si tibi placuerit liber, curabis ut et Athenis sit et in ceteris oppidis Græciæ. Videtur enim posse aliquid nostris rebus lucis afferre.*

Mentionem hujus commentarii facit Plutarchus Cæs. c. 8 : Καίσαρι, inquit, (sc. quum Lentulum et Cethegum Catilinæ socios defendere conatus esset) τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. Ἀλλὰ Κουρίων τότε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν, αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθὲς, ἐν τῷ Περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν.

T. Pomponium Atticum item de Ciceronis consulatu græce scripsisse ex Cic. Ep. II, 1 modo vidimus. Adde locum Cornelii Nepotis in Vit. Att. c. 18 : *Est etiam unus liber* (Attici) *græce confectus, de consulatu Ciceronis.*

Præterea inter Romanos, qui græco sermone scripserint historiam, Vossius p. 202 recenset *L. Aurunculeium Cottam*, quem laudat Athenæus VI, p. 273, B, ἐν τῷ Περὶ τῆς Ῥωμαίων πολιτείας, addens scripsisse eum ἐν τῇ πατρίῳ ἡμῶν φωνῇ. At non animadvertit Vossius verba illa esse *Larensii, Romani hominis.*

ASCLEPIADES MYRLEANUS.

Inter scriptores quibus Asclepiadis nomen, antiquissimus est Asclepiades Tragilensis, Τραγῳδουμένων auctor (Steph. Byz. v. Τράγιλος), quem inter Isocratis discipulos recensent Plutarchus De X oratt. p. 838 et Photius Bibl. cod. 262. « Ætas igitur ejus referenda erit ad Olymp. 104 (364), quo tempore inter viros rerum civilium studiosos floruit Epaminondas. » Ita Werferus (*Asclepiadis Tragilensis Tragodumenôn reliquiæ*, in *Actis Philol. Monac.* tom. II, p. 491 sqq.). Mihi aliter videtur. Circa annum 364 vix natus fuerit, nedum floruerit Asclepiades. Etenim junioribus Isocratis discipulis accensendum esse, adeo ut quo tempore mortuus est magister (338 a. C.), inter vicesimum et trigesimum ætatis annum Asclepiades versaretur, inde fit probabile, quod in schol. Marcian. ad Eurip. Hecub. 1 (ed. Cobet.) laudatur Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ (de Hecubæ parente). Philochorus vero post annum 262 in scribendo adhuc occupatus erat. Unde sequitur natales Asclepiadis non multum ultra annum 362 posse probabili modo removeri, quum vel sic senex demum Asclepiades Philochori juvenis coætaneus fuerit. — Τὰ τραγῳδούμενα, sive opus de historiis, unde fabularum scenicarum argumenta tragici poetæ repetierunt, sex complectebantur libros, teste Stephano Byz. l. l. Fragmenta collegit Werferus. Nos eadem magnopere aucta appendicis instar subjecimus, quod antiqui et docti sunt scriptoris, et quod facile fieri potest ut unum vel alterum Tragilensi a nobis adscriptum ad alium Asclepiadem pertineat.

Propius ad nos pertinet Asclepiades Myrleanus, qui De rebus Bithyniæ et De Turditana Iberiæ regione scripsit. Myrleani autem Asclepiadæ fuerunt duo, quos Suidas male confundit.

Suidas : Ἀσκληπιάδης, Διοτίμου, Μυρλεανός (πόλις δ' ἐστὶ Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη)· τὸ δ' ἄνωθεν γένος ἦν Νικαεύς, γραμματικός, μαθητὴς Ἀπολλωνίου. Γέγονε δ' ἐπὶ τοῦ Ἀττάλου καὶ Εὐμένους τῶν ἐν Περγάμῳ βασιλέων. Ἔγραψε φιλοσόφων βιβλία διορθωτικά. [Ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου τοῦ μεγάλου.] Καὶ ἐν Ἀλεξανδρείᾳ ἐπὶ τοῦ δ' Πτολεμαίου νέος διέτριψεν. Ἔγραψε πολλά. Cf. Eudoc. p. 64. Steph. Byz. : Μύρλεια... Ὁ πολίτης Μυρλεανός, ὡς Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἀναγράφεται. Idem : Νίκαια, πόλις Βιθυνίας... ὁ πολίτης Νικαιεὺς καὶ Νικαεὺς διχῶς. Ἐξ αὐτῆς Ἰσίγονος καὶ Ἀσκληπιάδης καὶ Παρθένιος καὶ Ἀπολλόδωρος καὶ Ἐπιθέρσης γραμματικός. (Parthenius quoque apud Suidam dicitur Νικαεὺς ἢ Μυρλεανός.)

Strabo III, p. 157 : Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ἀνὴρ ἐν τῇ Τουρδιτανίᾳ παιδεύσας τὰ γραμματικὰ, καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ.

Patet apud Suidam duos misceri homines, quorum alter alterum seculo fere superavit. Prior juvenis vixit Alexandriæ sub Ptolemæo quarto, qui regnavit inde ab anno 205 a. C. (Ol. 143, 4). Paullo ante hæc tempora Apollonio Asclepiadis magistro bibliothecarii munus Alexandriæ demandatum erat; quo tamen per paucos tantum annos functus est, si quidem recte circa Olymp. 145 (200) diem obiisse statuitur (v. Ritsch. *Die Alex. Bibl.* p. 90). Igitur anno 205 a. C. Asclepiades antiquior ille viginti fere annos natus fuerit. Floruit sub Attalo I et Eumene II, quorum ille usque ad an. 197, hic ad an. 159 regnavit. Quodsi igitur apud Suidam legitur : Ἀπολλόδωρος, Ἀσκληπιάδου, γραμματικός, temporum certe ratio nihil obstat quin Asclepiades, Apollodori pater, (vel magister, ut nonnulli verba intelligi malunt,) idem fuerit Asclepiades Myrleanus. — Verba Ἐπαίδευσε δὲ καὶ εἰς Ῥώμην ἐπὶ Πομπηίου indicant alterum Asclepiadem juniorem, ad cujus tempora etiam sequentia accommodare Reinesius voluit, scribendo ἐπὶ τοῦ θ' Πτολεμαίου.

Jam quod opera attinet quæ Myrleanis hisce attribuuntur, nullus dubito quin Periegesis regionis Turditanæ ad Pompeji æqualem pertineat, quoniam Attali et Eumenis temporibus Græcum grammaticum in Hispania scholam aperuisse a vero abhorreat. Contra Bithyniacæ historiæ auctor qui sit, utrum senior an junior Myrleanus, parum liquet. Laudatur opus a Parthenio, qui junioris fere coætaneus erat. — Τὰ φιλοσόφων βιβλία διορθωτικὰ cum Myrleani scriptis, quot eorum novimus, minus congrua esse videntur; quare vereor ne Asclepiadis philosophi sint, v. c. Phliasii illius, cujus Cicero Tuscul. V, 39 meminit. Reliqua quæ apud veteres Myrleano Ascl. tribuuntur, grammatici maxime argumenti sunt. Primum huc pertinet scriptum Περὶ τῆς Νεστορίδος sive *De Nestoris poculo Homerico* (Il. XI, 632), quod pæne totum exscripsisse videtur Athenæus p. 477, B; 488-494;

498, F; 503, E. Ex eodemque opere petita sunt quæ leguntur p. 474, B, de *carchesio* poculo (quod idem habet Macrob. Sat. V, 21), et p. 501, B, de *phiale*. Laudantur in his ab Asclepiade *Crates grammaticus,* p. 490, E, *Dionysius Thrax*, p. 492, A, *Promathidas* Dionysio junior p. 489, A. Unde sat liquet auctorem Pompeji demum et subsequentibus temporibus vixisse. — Eandem ætatem arguit opus Περὶ γραμματικῆς, in quo Dionysium Thracem reprehensum esse testatur Sextus Empiricus p. 231, § 72 : Ἀσκληπιάδης τοίνυν μέμφεται τὸν Θρᾷκα Διονύσιον, ἐμπειρίαν λέγοντα τὴν γραμματικήν. Idem p. 269, § 252 : Ἀσκληπιάδης ἐν τῷ Περὶ γραμματικῆς τρία φήσας εἶναι τὰ πρῶτα τῆς γραμματικῆς μέρη κτλ. Cf. idem p. 225, § 47, et passim. Denique huc traho quæ ex Ascl. *Smyrnæo*, uti libri habent, afferuntur apud Bekker. Anecd. p. 784, 8 : Διὰ τοῦτο δὲ καὶ οὐκ ἄλλοις χαρακτῆρσι χρώμεθα τῶν στοιχείων, ἀλλὰ τοῖς Ἰωνικοῖς, ὡς μὲν Ἀσκληπιάδης ὁ Σμυρναῖος (lege Μυρλεανὸς) λέγει, διὰ τὸ κάλλος καὶ ὅτι πλεῖστα τῶν συγγραμμάτων τούτοις ἐγέγραπτο τοῖς χαρακτῆρσιν· ὡς δὲ Διόδωρος καὶ Ἀπίων ἐν τῷ Περὶ τῶν στοιχείων, ὅτι πλεῖστοι συγγραφεῖς καὶ οἱ ποιηταὶ ἀπὸ τῆς Ἰωνίας τούτοις τοῖς τύποις ἐχρήσαντο. — Diversum, opinor, ab his fuit opus Περὶ γραμματικῶν, cujus librum undecimum laudat auctor Vitæ Arati p. 53 in Biogr. Westerm. : Ἀσκληπιάδης δ' ὁ Μυρλεανὸς ἐν τῷ ια' Περὶ γραμματικῶν Ταρσέα φησὶν αὐτὸν (Ἄρατον) γεγονέναι, οὐ Σολέα. Liber sextus citatur apud Suidam : Ὀρφεὺς, Κροτωνιάτης, ἐποποιὸς, ὃν Πεισιστράτῳ συνεῖναι τῷ τυράννῳ Ἀσκληπιάδης φησὶν ἐν τῷ ς' βιβλίῳ τῶν Γραμματικῶν. Δεκαετηρίδα, Ἀργοναυτικὰ καὶ ἄλλα τινά. His adde quæ idem Suidas v. Πολέμων, de Polemone Aristarchi grammatici æquali ex Asclep. Myrleano affert (v. Polemon fr. p. 108). Referenda ad idem opus videri possint quæ leguntur ap. Marcellin. Vit. Thucyd. § 57 : Ἰστέον δ' ὅτι τὴν πραγματείαν αὐτοῦ οἱ μὲν κατένεμον εἰς ιγ' ἱστορίας, ἄλλοι δὲ ἄλλως· ὅμως δ' ἡ πλείστη καὶ ἡ κοινὴ κεκράτηκε, μέχρι τῶν η' διῃρῆσθαι τὴν πραγματείαν, ὡς καὶ ἐπέκρινεν ὁ Ἀσκληπιάδης (Ἀσκλέπιος codd.). Verum hæc ex *Commentariis in Thucydidis historias* deprompta esse coarguit schol. Thucyd. VI, 56 : ἐπιδημιουργοὺς] Ὁ Ἀσκληπιάδης τὴν ἐπί πρόθεσιν περιττὴν εἶναι λέγει. Opus num ad seniorem an ad juniorem Asclepiadem referendum sit, nescimus. De Attali et Eumenis æquali cogitat Krüger. *Leben d. Thucyd.* p. 83. — Præterea memoratur ὁ Μυρλεανὸς Ἀσκλ. ἐν τοῖς Περὶ Κρατίνου, in *Commentariis ad Cratinum,* apud Athenæum XI, p. 501, E, qui quum per easdem paginas de Asclepiadis junioris scripto Περὶ τῆς Νεστορίδος agat, haud dubie Cratini interpretem ab eo distincturum fuisse videbitur, si distinguendum esse credidisset. Attamen nihil his dirimitur. Imo probabilius est ad antiquiorem Asclepiadem hæc referenda esse. Eundem in *alios comicos* poetas commentarios scripsisse colligitur ex Hesychio : Κολακοφοροκλείδης, Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν, Ἕρμιππος μὲν ἐν Κέρκωψι, Φρύνιχος δὲ ἐν Κωμασταῖς. Ὁ δὲ Ἀσκληπιάδης Κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας. Præ ceteris vero novimus ejus *Commentarios in Aristophanem*, quos indicant schol. in Aristoph. Ran. 1270. 1276. 1331. 1344; Av. 348. 567, ubi simpliciter laudatur Ἀσκληπιάδης; in schol. Arist. Nub. 37, de significatione vocis δήμαρχος, post Aristotelem citatur *Asclepiades Alexandrinus* : καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντας (δημάρχους κληθῆναι) φησίν. Verisimillimum est hunc eundem esse cum eo qui reliquis scholiastæ locis laudatur, adeoque Myrleanum seniorem significari, qui quum Alexandriæ Apollonii disciplina formatus sit, Alexandrinus dici potuit. — Idem, opinor, etiam *Commentarios in Pindarum* scripsit (v. schol. Pindar. Olymp. VII, 24. VIII, 10. 28; Pyth. III, 114. IV, 18. 35. 61; Nem. I, 19. VI, 1) et Τὰ τῶν ἀξόνων ἐξηγητικὰ, quæ laudantur apud Etym. Gudian. et Etym. M. v. Κύρβεις (v. Phaniæ fragm. 4 tom. II, p. 294). — *Homero* quoque operam dedisse videtur, ut colligas ex Etym. M. p. 158, 31 v. Ἀσπληδών : Ἀπολλόδωρος (discipulus Asclepiadis) δὲ φησὶν Ἀσκληπιάδην οὕτω λέγειν· « Σπληδόνα τ' ἠγαθέην (Il. II, 511). Eodem pertinet Etym. M. p. 159, 14, ubi Ἀσκλ. ὁ Μυρλεανὸς laudatur de etymologia vocis Ἀστυάναξ. Cf. Ammonius p. 14 ed. Valcken. de vv. Ἅμα et Ὁμοῦ : Ἔσθ' ὅτι δ' ὁ ποιητὴς τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ τάσσει ἐπιρρήματος, ὥς φησιν Ἀσκληπιάδης. Cf. Werfer. l. l. p. 548. — Porro Myrleanus Ascl. in *Theocritum commentarios* scripsit, ut ex scholiis Theocr. satis liquet, et fortasse in *Aratum* (schol. Arati Phænom. 7 : Βῶλος οὐκ ἀροτή, ὡς Ἀσκληπιάδης). Denique in *Apollonii Argonautica* scripsisse videtur discipulus ejus Asclepiades, uti colligas e schol. Apollon. Rh. I, 624 : Σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας... Ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος. Simili modo Charon, αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος, scripsit Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου, testante schol. ad II, 454.

Ex reliquis Asclepiadis ad nos pertinent Asclepiades Cyprius, qui de Cypro et Phœnice scripsit, et Asclepiades Arei f., libri Περὶ Δημητρίου τοῦ Φαληρέως auctor, et Ascl. Ægyptius, qui Αἰγυπτιακὰ θεολογούμενα collegit.

ΒΙΘΥΝΙΑΚΑ.

I.

E LIBRO PRIMO.

Parthenius Erot. 35 : Περὶ Εὐλιμένης. Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν α'. Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος θυγατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ (Ἀπτέρᾳ sec. Syncell.) καθωμολόγητο, πρωτεύοντι τότε Κρητῶν· ταύτῃ κρύφα συνὼν ἐλελήθει. Ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων ἐπισυνέστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει τοὺς πευσομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσειεν τῶν πολεμίων. Καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγχωρίοις ἥρωσι σφαγιάσαι παρθένον. Ἀκούσας δὲ τοῦ χρηστηρίου Κύδων διεκλήρου τὰς παρθένους πάσας, καὶ κατὰ δαίμονα ἡ θυγάτηρ τυγχάνει. Λύκαστος δὲ δείσας περὶ αὐτῆς, μηνύει τὴν φθορὰν καὶ ὡς ἐκ πολλοῦ χρόνου συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμιλος πολὺ μᾶλλον ἐδικαίου αὐτὴν τεθνάναι. Ἐπειδὴ δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν ἱερέα κελεύει αὐτῆς διατεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως εὑρέθη ἔγκυος. Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ πεπονθέναι, λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν αἰτίαν ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

Hujus narrandæ historiæ ansam dederint fabulæ quæ cum Lycasto Pontico fluvio et urbe conjuncta erant. De Aptera cf. Syncell. p. 157, A : Κρήτης ἐβασίλευσε Λάπις. Κρήτης ἐβασίλευσε Ἀπτέρας, ὃς καὶ τὴν πόλιν ἔκτισεν. Eadem Euseb. Chron. ad Abr. an. 514. Ceterum dubium vix est, quin ex eodem Asclepiade fluxerit quæ sequitur apud Parthenium de Arganthone Bithyna narratio : Περὶ Ἀργανθώνης. Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν ἐς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα· ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι κατὰ κλέος γυναικὸς καλῆς· Ἀργανθώνη αὐτῇ ὄνομα. Αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυγεν, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν, οὐ μάλα τινὰ προσιεμένη. Ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν χῶρον βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν, ἔφη δὲ θέλειν αὐτῇ συγκυνηγεῖν· καὶ αὐτὸν γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν. Ἡ δὲ ταῦτα λέξαντος ἐκείνου κατήνεσε, πειθομένη αὐτὸν ἀληθῆ λέγειν. Χρόνου δὲ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα παραγίνεται τοῦ Ῥήσου. Καὶ τὸ μὲν πρῶτον ἡσυχάζει αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως ἐθέλων αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα. Ὕστερον δὲ πολέμου γενομένου τοῖς Τρωσὶ μετῄεσαν αὐτὸν οἱ βασιλεῖς ἐπίκουρον· ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι' ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως καταμαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆσος δὲ μαλακιζόμενος ἐπὶ μονῇ οὐχ ἠνέσχετο, ἀλλὰ ἦλθεν εἰς Τροίαν, καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ, πληγεὶς ὑπὸ Διομήδους ἀποθνήσκει. Ἡ δὲ ὡς ᾔσθετο τεθνηκότος αὐτοῦ, αὖτις ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ, καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥήσου· τέλος δὲ καὶ ποταμῷ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

2.

E LIBRO DECIMO.

Schol. Apoll. Rh. II, 789 : Ὅτι δὲ τοὺς Παφλαγόνας ὑπέταξεν Ἡρακλῆς τοῖς περὶ Λύκον, ἱστορεῖ Δεινίας ἐν πρώτῳ Ἀργολικῶν καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς ἐν δεκάτῳ (?) Βιθυνιακῶν.

3.

Idem II, 722 : Σαγγάριος, ποταμὸς Φρυγίας. Ὁ δὲ Μυρλεανὸς Σάγγαρον αὐτὸν λέγεσθαί φησιν.

4.

Athenæus II, p. 50, D : Ἀσκληπιάδης δὲ ὁ Μυρλεανός, χαμαικέρασόν τινα καλῶν δένδρον, ἔφη οὕτως· « Ἐν τῇ Βιθυνῶν γῇ γίνεται ἡ χαμαικέρασος, ἧς ἡ μὲν ῥίζα ἐστὶν οὐ μεγάλη, ἀλλ' οὐδὲ τὸ δένδρον, ἀλλὰ

DE REBUS BITHYNIÆ.

1.

Narrat Asclepiades libro primo De rebus Bithyniæ. — In Creta Lycastus deperibat Eulimenen, quam Cydon pater Aptero Cretensium principi desponsaverat : cum hac igitur clam rem habebat Lycastus. Quum autem quædam ex Cretensibus urbibus contra Cydonem insurgerent eumque vehementer urgerent, mittit ad deum legatos, qui percunctentur quid faciendum sit, ut hostibus superior evaderet. Et responsum accepit, immolandam esse virginem heroibus patriis. Accepto ergo oraculo sortiebatur de virginibus omnibus, et fortuna sic ferente, exit filia. Lycastus autem illi timens, indicat ejus corruptionem, et quod multo jam tempore cum ea coiverit. Tum vero populi multitudo multo justius censebat eam mori. Postquam ergo mactata est, jubet Cydon discindere eam circa umbilicum; atque ita inventa est prægnans. Quare Apterus Lycastum grave facinus in se commisisse ratus, ex insidiis eum adortus occidit, eamque ob causam ad Xanthum in Termera confugit.

2.

Paphlagoniam ab Hercule Lyco (Mariandynorum regi) subjectam esse Dinias primo De rebus Argolicis et Asclepiades decimo Rerum Bithyniæ narrant.

3.

Sangarius, Phrygiæ fluvius. (Asclepiades) Myrleanus eum Sangarum dici ait.

4.

Asclepiades vero Myrleanus, *chamæcerasum* quandam arborem vocans, sic scribit : « In Bithynorum regione gignitur chamæcerasus arbor, quæ non altam radicem agit; nec ipsa arbor magna, sed rosæ frutici magnitudine : fructus

τῇ ῥοδῇ ἴσον, ὁ δὲ καρπὸς τὰ μὲν ἄλλα πάντα ὅμοιος, τοὺς δὲ πλείονι χρησαμένους, καθότι οἶνος, βαρύνει τε καὶ ἀλγεῖν τὴν κεφαλὴν τίθησι.» Ταῦτα ὁ Ἀσκληπιάδης, φησὶ, μοι δοκεῖ λέγειν περὶ τῶν μιμαικύλων. Τό τε γὰρ φέρον αὐτὰ δένδρον τοιοῦτον, καὶ ὁ πλέον τῶν ἑπτὰ τοῦ καρποῦ φαγὼν κεφαλαλγὴς γίνεται.

(ΠΕΡΙΗΓΗΣΙΣ ΤΩΝ ΕΘΝΩΝ ΤΩΝ ΕΝ ΤΗ ΤΟΥΡΔΙΤΑΝΙΑ.)

5.

Strabo III, p. 157 : Μετὰ ταύτην Ἄβδηρα, Φοινίκων κτίσμα καὶ αὐτή. Ὑπὲρ δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε εἴρηκε καὶ Ἀρτεμίδωρος, καὶ Ἀσκληπιάδης ὁ Μυρλεανὸς, ἀνὴρ ἐν τῇ Τουρδιτανίᾳ παιδεύσας τὰ γραμματικὰ, καὶ περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ. Οὗτος δέ φησιν ὑπομνήματα τῆς πλάνης τῆς Ὀδυσσέως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἀσπίδας προσπεπατταλεῦσθαι καὶ ἀκροστόλια. Ἐν Καλλαϊκοῖς δὲ τῶν μετὰ Τεύκρου στρατευσάντων τινὰς οἰκῆσαι, καὶ ὑπάρξαι πόλεις αὐτόθι, τὴν μὲν καλουμένην Ἕλληνες, τὴν δὲ Ἀμφίλοχοι, ὡς καὶ τοῦ Ἀμφιλόχου τελευτήσαντος δεῦρο καὶ τῶν συνόντων πλανηθέντων μέχρι τῆς μεσογαίας. Καὶ τῶν μεθ' Ἡρακλέους δέ τινας καὶ τῶν ἀπὸ Μεσσήνης ἱστορῆσθαί φησιν ἐποικῆσαι τὴν Ἰβηρίαν, τῆς δὲ Κανταβρίας μέρος τι κατασχεῖν Λάκωνας καὶ οὗτός φησι καὶ ἄλλοι. Ἐνταῦθα δὲ καὶ Ὠψικέλλαν πόλιν Ὀκέλα κτίσμα λέγουσι τοῦ μετὰ Ἀντήνορος καὶ τῶν παίδων αὐτοῦ διαβάντος εἰς τὴν Ἰταλίαν.

6.

Strabo III, p. 166 : Ἐπεὶ καὶ Ἰβηρίαν ὑπὸ μὲν τῶν προτέρων καλεῖσθαι πᾶσαν τὴν ἔξω τοῦ Ῥοδανοῦ καὶ τοῦ ἰσθμοῦ τοῦ ὑπὸ τῶν Γαλατικῶν κόλπων σφιγμένου, οἱ δὲ νῦν ὅριον αὐτῆς τίθενται τὴν Πυρήνην, συνωνύμως τε τὴν αὐτὴν Ἰβηρίαν λέγουσι καὶ Ἱσπανίαν· ** μόνην ἐκάλουν τὴν ἐντὸς τοῦ Ἴβηρος· οἱ δ' ἔτι πρότερον αὐτοὺς τούτους Ἰγλῆτας, οὐ πολλὴν χώραν νεμομένους, ὥς φησιν Ἀσκληπιάδης ὁ Μυρλεανός. Ῥωμαῖοι δὲ τὴν σύμπασαν καλέσαντες ὁμωνύμως Ἰβηρίαν τε καὶ Ἱσπανίαν τὸ μὲν αὐτῆς μέρος εἶπον τὴν ἐκτὸς, τὸ δὲ ἕτερον τὴν ἐντός· ἄλλοτε δ' ἄλλως διαιροῦσι, πρὸς τοὺς καιροὺς πολιτευόμενοι.

ASCLEPIADES TRAGILENSIS.

Steph. Byz. : Τράγιλος, πόλις μία τῶν ἐπὶ Θράκης πρὸς τῇ Χερρονήσῳ καὶ Μακεδονίᾳ. Ἐκ ταύτης ἦν Ἀσκληπιάδης ὁ τὰ Τραγῳδούμενα γράψας ἐν ἓξ βίβλοις. Ὁ πολίτης Τραγιλεύς.

Plutarchus X Orat. p. 838 : Ἐμαθήτευσε δ' αὐτῷ (sc. τῷ Ἰσοκράτει) καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος καὶ Ἀσκληπιάδης ὁ τὰ Τραγῳδούμενα συγγράψας καὶ Θεοδέκτης ὁ Φασελίτης.

Photius Bibl. cod. 262 : Isocratis discipuli erant Xenophon, Theopompus, Ephorus; ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ Τραγῳδούμενα συνεγράψατο.

ΤΡΑΓΩΔΟΥΜΕΝΑ.

1.

E LIBRO PRIMO.

Probus ad Virgil. Georg. III, 255 : *Potnia urbs est Bœotiæ, ubi Glaucus, Sisyphi filius et Meropes, ut Asclepiades in Tragodumenôn lib. I ait, habuit equas quas assueverat humana carne alere, quo cupidius in hostem irruerent et perniciosius.*

---

vero ceteris omnibus rebus ceraso similis; sed qui largiori copia eo vescitur, hunc non secus ac vinum gravat, et dolorem capiti affert. » Hæc (ait Athenæus) dicere mihi videtur Asclepiades de *arbutis* : nam, quæ arbuta fert arbor, talis est : qui plus septem de ejus fructibus comedit, ei caput dolet.

DESCRIPTIO GENTIUM TURDITANIÆ.

5.

Post hanc urbem Abdera, Phœnicum opus hæc quoque. Supra hæc loca in montanis monstratur Odyssea (Ulyssea) et in ea fanum Minervæ, ut Posidonius tradit et Artemidorus et Asclepiades Myrleanus, qui in Turditania grammaticam docuit et descriptionem gentium in istis regionibus degentium edidit. Is tradit monumenta errorum Ulyssis in templo illo Minervæ affixa esse, aspides et navium rostra. Apud Callaicos autem consedisse quosdam qui Teucrum in bellum fuerant secuti; ibique fuisse urbes, quarum una Hellenes diceretur, altera Amphilochi : mortuo scilicet ibi Amphilocho, et sociis usque ad mediterranea vagatis : quin et id ait se comperisse, quosdam Herculis sociorum, et Messeniorum inhabitasse Hispaniam; partem autem Cantabriæ a Laconibus occupatam fuisse et is et alii perhibent; ibique Opsicellam [Ocelam?] urbem conditam ab Ocela, qui cum Antenore ejusque liberis in Italiam trajecit.

6.

Quum prius Iberiæ nomine intellectum fuerit quicquid est extra Rhodanum et isthmum qui a Gallicis coarctatur sinubus; nunc eam Pyrena terminant, vocantque eandem et Iberiam et Hispaniam, nominibus idem significantibus : [*priores autem Hispaniam*] solam vocabant eam quæ est intra Iberum. His quoque qui sunt priores, eosdem Igletas vocabant, regionis cultores non amplæ, ut ait Asclepiades Myrleanus. Romani totam regionem promiscue Iberiam et Hispaniam nominantes in Interiorem seu Citeriorem, et Exteriorem seu Ulteriorem dividunt : sed tamen accommodata temporum rationibus administratione alias aliter distinguunt.

Ipsum autem, quum alimenta defecissent, devoraverunt in ludis funebribus Peliæ. Cf. G. Hermann. De Æschyli Glaucis p. 4.

2.

E LIBRO SECUNDO.

Schol. Apoll. Rh. II, 562 : Προέηκε πελιάδα : Ὅτι διὰ πελειάδος ἐπείρασαν οἱ Ἀργοναῦται τὰς Συμπληγάδας, καὶ Ἀσκληπιάδης ἱστορεῖ ἐν δευτέρῳ Τραγῳδουμένων.

Ib. v. 328 : Πελειὰς δὲ εἶδος περιστερᾶς, ὡς καὶ Ἀριστοτέλης φησίν. Ὅτι δὲ ἐχρήσαντο περιστερᾷ πλεῖν μέλλοντες, καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις φησίν.

3.

Schol. in Hom. Odyss. μ, 69 : Τυρὼ ἡ Σαλμωνέως ἔχουσα δύο παῖδας ἐκ Ποσειδῶνος, Νηλέα τε καὶ Πελίαν, ἔγημε Κρηθέα, καὶ ἴσχει παῖδας ἐξ αὐτοῦ τρεῖς, Αἴσονα καὶ Φέρητα καὶ Ἀμυθάονα. Αἴσονος δὲ καὶ Πολυμήλας καθ' Ἡσίοδον γίνεται Ἰάσων, κατὰ δὲ Φερεκύδην ἐξ Ἀλκιμέδης. Τελευτῶν δὲ οὗτος καταλείπει τοῦ παιδὸς ἐπίτροπον τὸν ἀδελφὸν Πελίαν, ἐγχειρίσας αὐτῷ καὶ τὴν βασιλείαν, ἵνα αὐξηθέντι τῷ υἱῷ παράσχῃ. Ἡ δὲ τοῦ Ἰάσονος μήτηρ Ἀλκιμέδη δείσασα δίδωσιν αὐτὸν τρέφεσθαι Χείρωνι τῷ Κενταύρῳ. Τραφεὶς δὲ καὶ ἡβήσας ἔρχεται εἰς Ἰωλκὸν ἀπαιτῶν τὴν πατρῴαν ἀρχὴν τὸν Πελίαν. Ὁ δὲ ἔφασκεν χρῆναι αὐτὸν πρότερον διακομίσαι τὸ χρυσοῦν δέρας ἀπὸ Κόλχων, καὶ τοὺς πυριπνόους ἀνελεῖν ταύρους. Ἀκούσας δὲ ταῦτα ὁ Ἰάσων λέγει τῷ Χείρωνι. Καὶ αὐτῷ ὁ Χείρων συνεκπέμπει τοὺς ἠιθέους. Κατασκευάζει δὲ ἡ Ἀθηνᾶ τὴν Ἀργώ. Πλέοντες δὲ ἀφικνοῦνται ἐπὶ τὴν τῶν Βιθυνῶν χώραν. Καὶ δρῶσι τὸν Φινέα πηρὸν διὰ ταύτην τὴν αἰτίαν. Ἔχων γὰρ παῖδας ἐκ Κλεοπάτρας τῆς Βορέου καὶ ἐπιγήμας Εὐρυτίαν δίδωσιν αὐτοὺς τῇ μητρυιᾷ διαβληθέντας πρὸς ἀναίρεσιν. Ζεὺς δὲ χαλεπήνας λέγει αὐτῷ πότερον βούλεται ἀποθανεῖν ἢ τυφλὸς γενέσθαι. Ὁ δὲ αἱρεῖται μὴ ὁρᾶν τὸν ἥλιον. Ἀγανακτήσας δὲ ὁ Ἥλιος Ἁρπυίας ἐπιπέμπει αὐτῷ, αἵτινες εἴποτε μέλλοι ἐσθίειν, αὐτοῦ [τὰ βρώματα] διήρπαζον ἐμβάλλουσαι φθοράν τινα. Καὶ οὕτω Φινεὺς ἐτιμωρεῖτο. Τοῦτον οὖν τὸν Φινέα θεωρήσαντες οἱ περὶ τὸν Ἰάσονα παρεκάλουν ὑποθέσθαι πῶς δεῖ διαπλεῦσαι τὰς Πλαγκτὰς λεγομένας πέτρας. Ὁ δὲ εἶπεν, ἐὰν τὰς Ἁρπυίας ἀπαλλάξωσι τῆς πρὸς αὐτὸν ὁρμῆς. Θέντες δὲ συνθήκας ἐπαγγέλλονται αὐτῷ τοῦτο δρᾶσαι. Ὁ δὲ λέγει αὐτοῖς, πόσον δύναται ἔχειν τάχος ἡ Ἀργώ; φάντων δὲ πελειάδος, ἐκέλευσεν ἀφεῖναι περιστερὰν κατὰ τὴν συμβολὴν τῶν πετρῶν, κἂν μὲν μεσολαβηθῇ, μὴ πλεῖν, ἐὰν δὲ σωθῇ, τότε περαίνειν τὸν πλοῦν. Οἱ δὲ ταῦτα ἀκούσαντες ποιοῦσι, κατασχεθείσης δὲ τῆς περιστερᾶς διὰ τῆς οὐρᾶς, προσβάλλουσι τῇ Ἀργοῖ δυοῖν **** [Συμ]πληγάδες πέτραι συνελθοῦσαι τῆς νεὼς συμμύουσιν, αὐτοὶ δὲ σῴζονται. Οἱ δὲ Βορειάδαι Ζήτης καὶ Κάλαϊς ἀποδιώκουσι τὰς Ἁρπυίας ἀπὸ τῶν Φινέως δείπνων. Καὶ οὕτω παραγίνονται εἰς Κόλχους. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

In fine narrationis locum lacunosum Buttmannus in hanc sententiam explendum esse censet : *Argonautas addidisse navi aplustre* δυοῖν ὀργυιῶν, *idque a Symplegadibus commissis abscissum fuisse.* Eustathius ita habet : Ἀπολυθείσης οὖν τῆς περιστερᾶς καὶ συσχεθείσης, οὐ πάσης, ἀλλὰ κατὰ τὸ οὐραῖον, εἰσβάλλουσι τοῦ λοιποῦ διὰ τῶν συμπληγάδων. Αἱ δὲ συμμύσασαι τὴν ἄκραν πρύμναν τῆς Ἀργοῦς ἔκλασαν κατὰ τὸ ἐν τῇ περιστερᾷ σύμβολον.

4.

Schol. Apoll. Rhod. II, 178 : Ἀγηνορίδης] Ἀγήνορος γὰρ παῖς ἐστιν (Φινεύς), ὡς Ἑλλάνικος. Ὡς δὲ Ἡσίοδός φησιν, Φοίνικος τοῦ Ἀγήνορος καὶ Κασσιεπείας. Ὁμοίως δὲ καὶ Ἀσκληπιάδης καὶ Ἀντίμαχος καὶ Φερεκύδης φασίν. Ἐκ γὰρ Κασσιεπείας τῆς Ἀράβου Φοίνικι γίνεται Κίλιξ καὶ Φινεὺς καὶ Δόρυκλος. Ὁ δὲ Ἀτύμνιος κατὰ μὲν ἐπίκλησιν καὶ αὐτὸς τοῦ Φοίνικος, ταῖς δὲ ἀληθείαις τοῦ Διός. Ἔνιοι δὲ αὐτὸν ἐν τῇ Παφλαγονίᾳ βασιλεῦσαι ἱστοροῦσιν [τὸν Φινέα], ἥτις ἐστὶ τῆς Ἀσίας, ὥς φησιν Ἑλλάνικος.

5.

E LIBRO TERTIO.

Schol. Pindar. Pyth. II, 39 : Ἀσκληπιάδης δὲ ἐν τῷ τρίτῳ τῶν Τραγῳδουμένων οὕτω γράφει· « Προσιστοροῦσι δὲ ἔνιοι ὡς καὶ μανείη ὁ Ἰξίων, ὡς καὶ Φερεκύδης (fr. 103), καὶ τὴν ἐπὶ τοῦ τρόχου δὲ κόλασιν αὐτῷ παρεγκεχειρήκασι· ὑπὸ γὰρ δίνης καὶ θυέλλης αὐτὸν ἐξαρπασθέντα φθαρῆναί φασιν. » De Ixione fabulæ sunt v. Æschyli fr. p. 248; Euripidis fr. p. 719. Timesithei fr. in Tragg. Reliqq. p. 144.

6.

E LIBRO QUARTO.

Harpocratio : Δυσαύλης.. Ἀσκληπιάδης δ' ἐν δ' Τραγῳδουμένων τὸν Δυσαύλην αὐτόχθονα εἶναί φησι, συνοικήσαντα δὲ Βαυβοῖ σχεῖν παῖδας Πρωτονόην τε καὶ Νίσαν (Μίσαν?). Vide not. ad Palæphati fr. 3 (tom. II, p. 338). Pertinent hæc ad Triptolemum fab. vel ad Iamben. V. Sophoclis fragm. p. 311.

7.

E LIBRO SEXTO.

Suidas : Ῥησίαρχος, ὃς ἐρέει τὰ θέσφατα, παρ' Ἐπιχάρμῳ· ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν, ἤ, ὡς Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. Ἐγένετο δὲ καὶ ἕτερος. Eadem

Hesychius; nec non Photius, ubi ms. Ῥησός· ἀρχός ὅς αἱρέσει. « Non solum illud ἐρέει manifestum est corruptionis, sed obscurum etiam quo spectent αὐτὸν et ἕτερος. Fuerunt igitur qui ῥησίαρχος animi causa ab Epicharmo inventum de fatidico interpretarentur; alii qui nomen hominis agnoscerent. » *Bernhardy*. Apud Asclepiadem aperte nomen fuit personæ (dramatis satyrici).

8.

Schol. Pindar. Pyth. IV, 313 : Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα.

Schol. Apoll. Rh. I, 23 : Εἶναι δὲ Ὀρφέα, κατὰ μὲν Ἀσκληπιάδην, Ἀπόλλωνος καὶ Καλλιόπης, κατὰ δὲ ἐνίους Οἰάγρου καὶ Πολυμνίας. Hinc sua Tzetzes ad Hesiod Opp. et D. init. Cf. Apollodor. I, 3, 3, 1.

Schol. Vatican. Eurip. Rhes. 892 : Καὶ Ἀσκληπιάδης ἐν τ[ῷ ἕκτῳ Τραγῳδουμένων] πλείους τῆς Καλλιόπης λέγει παῖδας ἐν τούτ[οις]· « Καλλιόπη γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεν[νῆσαί φασιν] Λίν[ον] τὸν πρεσβύτατον, καὶ τρεῖς μετ' ἐκεῖνον, Ὑμέναιον, [Ἰάλεμον,] Ὀρφέα· τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν..... ... ευμάτων ἐμπεσεῖν, καὶ περὶ τὴν μουσικὴν......... πάντων. Οὐ μὴν τοιοῦτό γε πάθος......... γενέσθαι. »

ἐν τῷ ἕκτῳ κτλ.] sic ex schol. Pindari supplevi. ἐν τ'.... περὶ δου........... codex, ut videtur. G. Hermannus finxit : ἐν τοῖς Περὶ δουλείας θεῶν. Reliqua supplementa sec. Hermannum exhibui, qui in postremis ita fere reponi vult : Τὴν μὲν ἐπιθυμίαν ὀλεθρίαν ἀποβῆναι, ἣν αὐτῷ τῶν ἐπιτηδευμάτων ἐμπεσεῖν, οὐ μὴν τοιοῦτό γε, οἷον λέγουσί τινες γενέσθαι. Quomodo Ialemi historiam tristemque vitæ exitum fabulæ adornaverint, non constat. In fragmento Pindari apud schol. Eurip. l. l. legitur : Ἃ δὲ (sc. ἀοιδὴ ὑμνεῖ) Ἰάλεμον ὠμοβόλῳ νούσῳ ὅτι παῖδα θέντοι (νούσῳ πεδαθέντα conj. Hermann.; num νούσῳ ἔτι παῖδα δαμασθέντα?) σθένος, υἱὸν Οἰάγρου.

E LIBRIS INCERTIS.

9.

Schol. Pindar. Nem. VII, 62 : Ἀσκληπιάδης διὰ (f. δ' vel δὲ α') τῶν Τραγῳδουμένων φησὶν οὕτως· « Περὶ μὲν οὖν τοῦ θανάτου (sc. τοῦ Νεοπτολέμου) σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οὐδὸν τοῦ νεώ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν, καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. » Τὸν Μαχειρέα φησὶν υἱὸν εἶναι τοῦ Δαίτα.

10.

Harpocration : Μελανίππειον. Λυκοῦργος ἐν τῷ Κατὰ Λυκόφρονος. Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστιν, ὥς φησιν Ἀσκληπιάδης Τραγῳδουμένοις. Κλείδημος δὲ κτλ. (V. Clitodemi fr. 4). Probabiliter hæc memorata in historia De Septem adv. Thebas; quo bello Melanippus periit.

11.

Schol. Hom. Il. γ, 325 : Πορφύριός φησιν ἱστορεῖν τὸν γράψαντα τὰ Τραγῳδούμενα ὅτι ὁ θρέψας τὸν Πάριν νομεὺς Ἀρχιάλος (Ἀρχέλαος Heyn. ad Apollod. III, 12; lege Ἀγχίαλος) ἐκαλεῖτο. Cf. Sophocl. fragm. p. 249.

12.

Schol. Il. ζ', 155 : Βελλεροφόντην.] Οὗτος πρότερον ἐκαλεῖτο Ἱππόνους· ἀνελὼν δὲ Βέλλερον τὸν Κορινθίων δυνάστην Βελλεροφόντης ἐκλήθη. Ἦν δὲ φύσει μὲν παῖς Ποσειδῶνος, ἐπίκλησιν δὲ Γλαύκου. Λαβὼν δὲ παρὰ Ποσειδῶνος τὸν Μεδούσης τῆς Γοργόνος Πήγασον πτερωτὸν ἵππον (διὰ γὰρ τοῦτο ἔσχε καὶ τὴν προσηγορίαν, ὅτι ἐκπεπηδήκοι ἐκ τοῦ τῆς Γοργόνος τραχήλου), τούτῳ ἐπωχεῖτο. Δράσας δὲ ἐμφύλιον φόνον, Βέλλερον γάρ τινα, ὡς ἔφην, τῶν πολιτῶν ἀποκτείνας, φεύγει εἰς Ἄργος. Τυχὼν δὲ καθαρσίων παρὰ Προίτου τοῦ βασιλέως, μετ' αὐτοῦ διέτριβεν. Ἄντεια δὲ ἡ τοῦ Προίτου γυνή, ἐρασθεῖσα τοῦ Βελλεροφόντου, ἐδεῖτο ὅπως αὐτῇ συνευνασθῇ· ὁ δὲ δεξιούμενος τὸ ὅσιον ἀντέλεγεν. Ἡ δὲ Ἄντεια δείσασα μὴ τῷ Προίτῳ προλαβὼν ἐξείποι τοὺς αὐτῆς ἔρωτας, ἔφθασε τὸν Βελλεροφόντην κατειποῦσα, ὡς ἄρα εἴη βεβιασμένη πρὸς αὐτοῦ. Ὁ δὲ Προῖτος αὐτόχειρ μὲν οὐκ ἠβουλήθη τὸν Βελλεροφόντην ἀποκτεῖναι, πέμπει δὲ αὐτὸν εἰς Λυκίαν πρὸς τὸν πενθερὸν Ἰοβάτην, ἀδοκήτως καθ' ἑαυτοῦ κομίζοντα γράμματα. Ὁ δὲ πολλοῖς αὐτὸν ἐγγυμνάσας ἄθλοις, ὡς οὐχ ἑώρα φθειρόμενον, ὑπετόπησε τὴν κατ' αὐτοῦ στρατηγηθεῖσαν δεινὴν καταβουλήν· τοσοῦτον γὰρ κακῶν ὄχλον τῇ δυνάμει κατηγωνίσατο. Ἔδωκε δὲ αὐτῷ πρὸς γάμον τὴν ἰδίαν θυγατέρα Κασάνδραν καὶ τῆς βασιλείας μοῖράν τινα. Λέγεται δὲ αὐτὸν ἐπαρθέντα ἐφ' οἷς ἔπραξε θελῆσαι μετὰ τοῦ Πηγάσου τὸν οὐρανὸν κατοπτεῦσαι· τὰ γὰρ νῶτα, ὡς ἔφημεν, πτερωτὰ εἶχεν ὁ ἵππος· τὸν δὲ Δία μηνίσαντα οἶστρον ἐμβαλεῖν τῷ Πηγάσῳ, ὥστε ἐκπεσεῖν μὲν τὸν Βελλεροφόντην καὶ κατενεχθῆναι εἰς τὸ τῆς Λυκίας πεδίον τὸ ἀπ' αὐτοῦ καλούμενον Ἀλήιον πεδίον, ἀλᾶσθαι δὲ κατὰ τοῦτο πηρωθέντα, τὸν δὲ ἵππον λαβεῖν τὴν Ἠῶ δεηθεῖσαν ὑπὸ Διὸς δῶρον πρὸς τὸ ἀκόπως περιιέναι τὰς τοῦ κόσμου περιόδους. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν Τραγῳδουμένοις.

13.

Schol. Ven. Hom. Il. η, 467 (Apostol. XI, 98) : Λήμνιοι τὰς ἐξ ἔθους τῇ Ἀφροδίτῃ θυσίας μὴ ἀποδιδόντες καθ' αὑτῶν θάνατον ἐνομοθέτησαν. Τὴν γὰρ θεὸν λέγεται ὀργισθεῖσαν τοῖς μὲν ἀνδράσιν ἵμερόν τινα τῶν Θρᾳκίων ἐμβαλεῖν γυναικῶν, τῶν δὲ ἰδίων ἀμε-

λῆσαι καὶ καθέζεσθαι ἐφ' ἡσυχίας. Διέβαινον οὖν εἰς τὴν Θρᾴκην περιέποντες καὶ συμμιγνύμενοι ταῖς ἐνταῦθα. Ταῖς δὲ γυναιξὶ τῶν Λημνίων ἔκτοπον λύσσαν ἐμπεσεῖν ὥστε ψηφίσασθαι πάσας ἀνδροκτονεῖν, καὶ μὴ τῆς ἐπιβουλῆς ταύτης ἀποτυχεῖν. Γενομένου δὲ τούτου τοῦ ἀτυχήματος περὶ τοὺς ἄνδρας, λέγεται τὸν Ἰάσονα μετὰ τῆς Ἀργοῦς ἐξοκείλαντα τῇ κρατίστῃ πασῶν Ὑψιπύλῃ μιγῆναι· ἐξ ἧς φασὶ γενέσθαι Εὔνηον. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ ἐν τοῖς Τραγῳδουμένοις.

14.

Schol. Hesiod. Theog. 223 : Ἀσκληπιάδης δὲ ἐν τοῖς Τραγῳδουμένοις φησὶν, εἰς κύκνον μεταβληθέντα τὸν Δία Νεμέσει μιγῆναι. Cf. Apollodor. II, 10. Ad fabulas de Helenæ historia pertinet.

15.

Schol. Venet. ad Eurip. Orest. 1640 : Ὁ δὲ Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν (τὸν Ὀρέστην) ἐκεῖ (ἐν Ἀρκαδίᾳ) τελευτῆσαι [ἑβδομήκοντα ἐτῶν add. vulg. sch.].

16.

Schol. Eurip. Alc. 1 : Ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστὶν, ᾗ κέχρηται νῦν Εὐριπίδης. Οὕτω δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις.

Præter allata expressam Τραγῳδουμένων mentionem habes in Indice auctorum ad Plinii H. N. lib. VII, ubi inter alios recensentur : *Heraclides Ponticus*, *Asclepiades qui* Τραγῳδούμενα, *Philostephanus*, *Hegesias*.

Valckenarius Diatr. Eurip. p. 182, Asclepiadem Tragilensem intelligi voluit apud schol. in Demosth. De fals. leg. § 445 (p. 151 ed. Dobson.) : Λέγει ὁ τὰς θεατρικὰς ἱστορίας συγγράψας διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττόν ἐστι παθητικὰ καὶ ὑπέρογκα. Verum ejusmodi argumenta a Tragilensi tractata esse nullo docemur indicio. Contra vero de his elaborasse Jubam scimus in opere quod Θεατρικαὶ ἱστορίαι inscribitur. Quare hic potius intelligendus est. — Sequuntur reliqua fragmenta, quæ ad Τραγῳδούμενα Ascl. referenda esse videntur.

17.

Apollodor. II, 1, 3, 3 : Ἄργον τὸν πανόπτην... Ἀσκληπιάδης μὲν Ἀρέστορος λέγει, Φερεκύδης δὲ Ἰνάχου (leg. vid. Φ. μὲν Ἀρ. λέγει, Ἀσκλ. δὲ Ἰνάχου), Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρὸς, Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει.

18.

Idem III, 1 : Μίνως δὲ... γήμας Πασιφάην τὴν Ἡλίου καὶ Περσηΐδος, ὡς δ' Ἀσκληπιάδης φησὶ, Κρήτην τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν ἐτέκνωσε Κατρέα κτλ.

19.

Schol. Apoll. Rh. I, 156 : Νηλεὺς ἔσχε παῖδας ἐκ μὲν Χλωρίδος Νέστορα, Περικλύμενον, Χρόμιον· ἐκ δὲ διαφόρων γυναικῶν Ταῦρον, Ἀστέριον, Πυλάωνα, Δηΐμαχον, Εὐρύβιον, Ἐπιλέοντα, Φράσιν, Ἀντιμένη, [Εὐαγόραν,] ὡς δὲ Ἀσκληπιάδης φησὶ, (καὶ) Ἀλάστορα.

διαφόρων] ἐκ δὲ Φάρης cod. Paris. et Eudocia p. 333, quæ schol. exscripsit. Cum nostris confer schol. Hom. Od. λ, 286 : Οἱ δώδεκα παῖδες Νηλέως ἐκ διαφόρων ἦσαν... ἐκ Χλωρίδος δὲ τρεῖς. — Ταῦρον] Σκύρον P. et Eudoc.; Ταῦρον etiam Apollodor. I, 9,9. — Πυλάωνα] sic Apollodor.; Λυκάωνα edit. princ., unde deinde factum Λυκάονα. — Δηΐμαχον] Δόμαχον Paris. Idem Λυσίμαχος dici videtur ap. schol. Il. XI, 691, ubi duodecim Nelei e Chloride et ex Tyro filii recensentur : Περικλύμενος, Πεισίστρατος, Ἄλκιμος, Ὑψήνωρ, Πυλαιμένης, Λυσίμαχος, Ἱπποκόων, Πεισήνωρ, Ἱππόλοχος, Ἀγησίλαος, Λύσιππος καὶ Νέστωρ. — Ἐπιλέοντα] Ἐπιμένης Paris.; Ἐπίδαος Apollodor. — Φράσιν] Ῥάδιος corrupte Apollodor.; forte Φράσιος ap. nostr. scribendem monet Heyn. — Ἀντιμένη] Εὐρυμένης Apollodor. — Εὐαγόραν] hunc cod. Paris. habet, nec non apud Apollodorum item nominantur Εὐαγόρας, Ἀλάστωρ. Itaque quum Euagoræ nomen recte se habere videatur, Asclepiades præter constantem traditionem, non duodecim filios Neleo, sed tredecim dedisset. Quod non probabile est. Nam Apollodorus quamvis et Euagoram et Alastorem recenset, non nisi duodecim nomina recenset; omittit enim Chromium, quem jam Homerus l. l. nominat. Haud dubie igitur ita statuendum est, ut pro Euagora alii posuerint Alastorem. Quare vocem καὶ ante Ἀλάστορα ejiciendam puto. Cur cum Werfero statuamus hæc non ex Tragodumenis, sed ex commentario quodam quem Asclepiades Myrleanus in Homerum scripserit, desumpta esse nihil video.

19.

Hyginus Poet. Astron. c. 21, de Hyadibus : *Has autem Pherecydes Atheniensis Liberi nutrices esse demonstrat numero septem, quas etiam ante nymphas Dodonidas appellatas. Harum nomina sunt hæc, Ambrosia, Eudora, Phæsyle, Coronis, Polyxo Phæo, Thyone. Hæ dicuntur a Lycurgo fugatæ, et præter Ambrosiam omnes ad Thetym profugisse, ut ait Asclepiades.* Asclepiades de eadem re una cum Pherecyde (fr. 45) laudatur etiam in Mythogr. tom. I, p. 49 ed. Bode. — De Lycurgia Æschyli fab. v. Fragm. Æschyli p. 177 sqq.

20.

Schol. Homer. Odyss. λ, 582 : Τάνταλος Διὸς καὶ Πλουτοῦς συνδιατρίβων τοῖς θεοῖς καὶ συνεστιώμενος αὐτοῖς ἀπλήστως διετέθη. Κλέψας γὰρ τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν, οὐκ ἐξὸν αὐτῷ, ἔδωκε τοῖς ὁμήλιξιν. Ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία ἐκβαλεῖν αὐτὸν τῆς ἐν οὐρανῷ διαίτης καὶ ἐξαρτῆσαι ἐπ' ὄρους ὑψηλοῦ ἐκδεδεμένον τῶν χειρῶν, καὶ τὴν Σίπυλον, ἔνθα ἐκεκήδεστο, ἀνατρέψαι. Ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

21.

Schol. Eurip. Phœn. 45 : Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ δυσαίνιγμα τῆς Σφιγγός. Λόγιον γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς Σφιγγὸς λύσειαν χρησμούς, ὁπότε δὲ μὴ συνίοιεν, ἁρπάζειν αὐτὴν ὅντινα ἂν τῶν πολιτῶν βούλοιτο.

Athenæus X, p. 456, B : Καὶ τὸ τῆς Σφιγγὸς δὲ αἴνιγμα Ἀσκληπιάδης ἐν τοῖς Τραγῳδουμένοις τοιοῦτον εἶναί φησιν·

Ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον, ἀλλάσσει δὲ φύσιν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ γίνονται, καὶ ἀν' αἰθέρα καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Eadem schol. Eur. Phœn. 50 et Argum. ad Phœn. tom. I ed. Matthiæ, ubi vide de lectionis varietate.

22.

Schol. Hom. Od. λ, 269 : Γημαμένη (sc. Μεγάρα) Ἡρακλεῖ παῖδας ἴσχει Θηριόμαχον καὶ Κρεοντιάδην. Βαδίζοντος δὲ αὐτοῦ εἰς ᾅδου ἐπὶ τὸν τοῦ κυνὸς ἆθλον, Λύκος ὁ τῶν Θηβῶν βασιλεὺς πεισθεὶς Ἥρᾳ καταστέφει τοὺς Ἡρακλέους παῖδας ἵνα θύσῃ· οὐ γὰρ αὐτὸν ἐπανήξειν ᾤετο. Παραγενόμενος δὲ Ἡρακλῆς ἀναιρεῖ αὐτὸν καὶ τοὺς ἐκείνου παῖδας. Μανεὶς δὲ διὰ τὴν Ἥραν κτείνει τοὺς ἰδίους. Ἔμελλε δὲ καὶ τὸν ἀδελφὸν Ἰφικλέα, εἰ μὴ ἔφθασεν Ἀθηνᾶ κωλύουσα. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

23.

Schol. Homer. Odyss. λ, 326 : Ἀμφιάραος ὁ Ἰοκλέους (« sic alibi quoque pro Οἰκλέους; cod. Ἰοκλεύς. V. Heyn. Apoll. I, 8,2. » *Buttm.*) γήμας Ἐριφύλην τὴν Ταλάου καὶ διενεχθεὶς ὑπέρ τινων πρὸς Ἄδραστον, καὶ πάλιν διαλυθεὶς ὁρκούμενος ὡμολόγησεν ὑπὲρ ὧν ἂν διαφέρωνται πρὸς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος ἐπιτρέψειν Ἐριφύλην κρίνειν καὶ πείθεσθαι αὐτῇ. Μετὰ δὲ ταῦτα γινομένης τῆς ἐπὶ Θήβας στρατείας, ὁ μὲν Ἀμφιάραος ἀπέτρεπε τοὺς Ἀργείους καὶ τὸν ἐσόμενον ὄλεθρον προεμαντεύετο. Λαβοῦσα δὲ ἡ Ἐριφύλη τὸν ὅρμον παρὰ τοῦ Πολυνείκους τὸν τῆς Ἁρμονίας, προσέθετο τοῖς περὶ τὸν Ἄδραστον βιαζομένοις τὸν Ἀμφιάραον [συστρατεύειν αὐτοῖς. Τὸν δὲ Ἀμφιάραον] ἰδόντα τὴν τῶν δώρων ὑποδοχὴν καὶ πολλὰ τὴν Ἐριφύλην αἰτιασάμενον, αὐτὸν μὲν ἐξορμῆσαι πρὸς τὴν στρατείαν, Ἀλκμαίωνι δὲ προστάξαι μὴ πρότερον μετὰ τῶν ἐπιγόνων ἐπὶ Θήβας πορεύεσθαι πρὶν ἀποκτεῖναι τὴν μητέρα. Ταῦτα δὲ πάντα δρᾶσαι λέγεται τὸν Ἀλκμαίωνα, καὶ διὰ τὴν μητροκτονίαν μανῆναι. Τοὺς δὲ θεοὺς ἀπολῦσαι τῆς νόσου αὐτὸν διὰ τὸ ὁσίως ἐπαμύνοντα τῷ πατρὶ τὴν μητέρα κατακτεῖναι. Ἡ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

24.

Schol. Homer. Odyss. λ, 321 : Θησεὺς ὁ Αἰγέως ἔχων παῖδα Ἱππόλυτον ἐξ Ἀμαζόνος Ἀντιόπης ἔγημε Φαίδραν τὴν Μίνωος θυγατέρα τοῦ τῶν Κρητῶν βασιλέως. Εὐλαβούμενος δὲ μητρυιᾶς ἐπιβουλὴν πέμπει ἐξ Ἀθηνῶν τὸν υἱὸν Ἱππόλυτον Τροιζηνίων ἄρχειν. Ἦν γὰρ αὐτῷ διὰ τὴν Πιτθέως Αἴθραν μητρῴα τις ἀρχὴ δεῦρο. Φαίδρα δὲ ἐρωτικῶς διατεθεῖσα τοῦ Ἱππολύτου, σφοδρῶς ἐπ' αὐτῷ τηκομένη τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο τὸ νῦν Ἱππολύτειον καλούμενον. Εἰς Τροιζῆνα δὲ ὕστερον παραγενομένη διενοεῖτο πείθειν τὸν νεανίσκον ὅπως αὐτῇ μιγείη. Χαλεπῶς δ' ἐκείνου προσδεξαμένου τὸν λόγον, λέγεται φοβηθεῖσαν αὐτὴν ἀντιστρέψαι τὴν αἰτίαν, καὶ πρὸς Θησέα διαβάλλειν ὡς Ἱππολύτου πείθοντος αὐτήν. Ὁ δὲ τριῶν ὥς φασιν αὐτῷ παρὰ τοῦ Ποσειδῶνος εὐχῶν εἶναι ὡμολόγησεν (« sensus requirit οὐσῶν, ὁμολογήσαντος. » Buttm.) ὅ τι ἂν εὔξηται συντελέσειν, πιστεύσας τῇ Φαίδρᾳ μίαν τούτων ᾐτήσατο παρ' αὐτοῦ τὸν τοῦ παιδὸς ὄλεθρον. Ἐκεῖνον μὲν οὖν ὁμολογοῦσι τὸ ἅρμα γυμνάζοντα, παραφανέντος ἐξαίφνης ἀπὸ τῆς θαλάσσης ταύρου καὶ ταραχθέντων τῶν ἵππων, ἑλκόμενον ἀποθανεῖν. Τὴν δὲ Φαίδραν φανερῶς γενομένης τῆς διαβολῆς ἀπάγξασθαι. Ἡ δὲ ἱστορία παρὰ Ἀσκληπιάδῃ.

25.

Schol. Eurip. Hecub. 1249 (1273), de Hecubæ sepulcro : Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ] Περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησίν, ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα.

Tzetzes Lyc. 315 : Σκύλακα τὴν Ἑκάβην λέγει (Lycophron), ὅτι κύων ἐγένετο, ὥς φησι μυθικῶς Εὐριπίδης (Hec. 1265) : « Κύων γενήσῃ πύρσ' ἔχουσα δέρματα. » Καὶ Ἀσκληπιάδης περὶ τοῦ τόπου, οὗ ἀνηρέθη· « Ὃ καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα. » Apud Tzetzen quum verba Asclepiadis versum scazontem efficiant, Werferus p. 511 hæc non e Tragodumenis Ascl. Tragilensis, sed ex poemate alius Asclepiadis, Samii v. c., deprompta esse censet. — Equidem putaverim de eodem Tragilensi, qui reliquis locis in schol. Eurip. laudatur, etiam h. l. intelligendum esse, nec aliunde sua petivisse Tzetzen, apud quem pro ὁ καὶ reponendum est ὅτι, ut in schol. Eurip.

26.

Schol. Homer. Od. κ, 2 : Τρεῖς γὰρ Αἰόλους φασὶ γεγενῆσθαι, πρῶτον τὸν τοῦ Ἕλληνος, δεύτερον τὸν ἐξ Ἱππότου καὶ Μελανίππης, τρίτον τὸν ἐκ Ποσειδῶνος καὶ Ἄρνης. Πρὸς τοῦτον δέ φησιν ὁ Ἀσκληπιάδης, τὸν ἐκ Ποσειδῶνος (ἐλθεῖν τὸν Ὀδυσσέα).

27.

Asclepiades de Thessalicis mulieribus, qui lunæ eclipses prænoscentes eam se de cœlo detrahere cum suo damno profiteantur, laudatur Proverb. Bodlej. 374 (v. Duridis fr. 81, p. 487).

28.

Probus ad Virgil. Georg. II, 84 : *Idæis Cyparissis. Cyparissum dicit cupressum. Quidam dicunt a Cyparisso, qui in insula Cea quum haberet cervum mansuetum quem unice diligebat, et errantem in silvis ignarus jaculo trajecisset, inedia se necavit. Quem quia nec consilio a morte nec viribus medicinæ Apollo qui eum immoderate diligebat revocare poterat, convertit in cupressum, arborem luctuosam. Quidam putant, ut Asclepiades ait, Boream fuisse Celtarum regem, qui filiam Cyparissam amiserat et novum arboris hujus genus primus in tumulo ejus severit, ob eamque causam esse luctuosam cupressum.* Fragmentum hoc edidit Dübnerus meus in *Revue de philologie* vol. II, p. 56. Num hæc e Tragodumenis fluxerint, in medio relinquo.

ASCLEPIADES CYPRIUS.

Περὶ Κύπρου καὶ Φοινίκης.

Vide Neanthis fr. 31. Hic fortasse idem est cum Asclepiade Alexandri rerum scriptore, quem cum Aristo Salaminio (fr. 3) jungit Arrianus Exp. Al.

ASCLEPIADES AREI FILIUS.

ΠΕΡΙ ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ.

Athenæus XIII, p. 567, D : Καὶ ἄλλα δὲ πολλὰ δράματα ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς, Θάλαττα Διοκλέους, Φερεκράτους Κοριαννώ, Εὐνίκου ἢ Φιλυλλίου Ἄντεια, Μενάνδρου δὲ Θαῒς καὶ Φάνιον, Ἀλέξιδος Ὀπώρα, Εὐβούλου Κλεψύδρα. Οὕτω δ' ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν, ἕως κενωθῇ, ὡς Ἀσκληπιάδης εἴρηκεν ὁ τοῦ Ἀρείου ἐν τῷ Περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα φάσκων εἶναι Μητίχην.

ASCLEPIADES MENDESIUS.

Asclepiades Mendesius, primo post Christum sæculo, fortasse non multo post regnum Augusti, scripsit (fr. 2). Diodorum Asclepiadis theologumenis usum esse, uti Heynius suspicabatur (De fontt. Diod. p. 43), propter temporum rationes parum verisimile est. De alio Asclepiade, e Procli disciplina profecto, homine perquam inepto, qui multa tradidit de superstitionibus Ægyptiacis, vide Damascium in Exc. Photii cod. 242 coll. Suida v. Ἡραΐσκος.

ΑΙΓΥΠΤΙΑΚΑ [ΘΕΟΛΟΓΟΥΜΕΝΑ].

1.

Athen. III, p. 83, C : Τὰ δὲ τῶν Ἑσπερίδων λεγόμενα μῆλα ὅτι ἐς τοὺς Διὸς καὶ Ἥρας λεγομένους γάμους ἀνῆκεν ἡ γῆ, Ἀσκληπιάδης εἴρηκεν ἐν ἑξηκοστῷ (?) Αἰγυπτιακῶν.

2.

Suetonius Octav. c. 94 : *In Asclepiadis Mendetis* Θεολογουμένων *libris lego, Atiam, quum ad solemne Apollinis sacrum media nocte venisset, posita in templo lectica, dum ceteræ matronæ dormirent, obdormisse; draconem repente irrepsisse ad eam, paulloque post egressum; illamque expergefactam, quasi a concubitu mariti purificasse se, et statim in corpore ejus exstitisse maculam, veluti depicti draconis, nec potuisse unquam exigi; adeo ut mox publicis balneis perpetuo abstinuerit; Augustum natum mense decimo, et ob hoc Apollinis filium existimatum.*

Mendetis, corrupte, ut videtur, pro *Menditæ* (Μένδης, πόλις Αἰγύπτου. Ὁ πολίτης Μενδήσιος... καὶ Μενδίτης St. B.), ut jam Vossius suspicatus est, quamquam dubitans. Fortasse enim *Mendetis Theologumena* accipienda esse ait de opere, quo Mendesiorum deorum cultum exposuerit auctor. « Sane irreligiosa religio Mendetica pessime audiebat ob femineos cum hirco concubitus. Quare Asclepiades excusaturus illud hoc opere aiebat etiam summos Græci Romanique imperii heroes ex dracone conceptos esse, velut Alexandrum Magnum, Scipionem Africanum et Cæsarem Augustum. »

ASCLEPIADES ANAZARBENSIS.

Stephan. Byz. : Ἀναζαρβᾶ, πόλις Κιλικίας, ἀφ' ἧς Ἀσκληπιάδης, ὁ πολλά τε καὶ ἄλλα καὶ Περὶ ποταμῶν γράψας βιβλίον.

ARISTODEMI
NYSAENSIS, ELEUS, THEBANUS.

Strabo XIV, p. 650: Ἄνδρες δὲ γεγόνασιν ἔνδοξοι Νυσαεῖς Ἀπολλώνιός τε ὁ στωικὸς φιλόσοφος, τῶν Παναιτίου γνωρίμων ἄριστος, καὶ Μενεκράτης Ἀριστάρχου μαθητὴς, καὶ Ἀριστόδημος, ἐκείνου υἱὸς, οὗ διηκούσαμεν ἡμεῖς ἐσχατογήρω νέοι παντελῶς ἐν τῇ Νύσῃ, καὶ Σώστρατος δὲ ὁ ἀδελφὸς τοῦ Ἀριστοδήμου, καὶ ἄλλος Ἀριστόδημος ἀνέψιος αὐτοῦ, ὁ παιδεύσας Μάγνον τὸν Πομπήιον, ἀξιόλογοι γεγόνασι γραμματικοί· ὁ δὲ ἡμέτερος καὶ ἐρρητόρευε καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ πατρίδι δύο σχολὰς συνεῖχε, πρωὶ μὲν τὴν ῥητορικὴν, δείλης δὲ τὴν γραμματικὴν σχολήν· ἐν δὲ τῇ Ῥώμῃ τῶν Μάγνου παίδων ἐπιστατῶν ἠρκεῖτο τῇ γραμματικῇ σχολῇ. Romæ Aristodemus, Strabonis magister, secundum Clintonis computum (F. H. tom. III, p. 554), docuit circa 60-40 a. Chr. Hunc rhetorem simul et grammaticum laudat schol. Hom. Il. IX, 453: Ἀριστόδημος ὁ Νυσαεὺς, ῥήτωρ τε ἀλλὰ (ἅμα Clint.) καὶ γραμματικὸς, ἐπενόησε γραφὴν τὴν τῇ οὐ πιθόμην οὐδὲ ἔρεξα... Πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν. Adde Vit. Hom. Iriart. p. 233: Ἀριστόδημος δὲ ὁ Νυσαεὺς Ῥωμαῖον αὐτὸν (τὸν Ὅμηρον) ἀποδείκνυσιν ἔκ τινων ἠθῶν Ῥωμαϊκῶν (cf. Welck. *Cycl.* p. 196). De Aristodemi Ῥητορικῇ κολακευτικῇ cf. Walz. Rhett. Gr. VI, p. 25. Grammaticum Aristodemum una cum Aristocle obiter commemorat Varro De ling. lat. X, 74, p. 201 ed. Müller. Alterutrius Aristodemi fuerint *Historiæ*, quarum primum librum laudat Parthenius.

ΙΣΤΟΡΙΑΙ.

E LIBRO PRIMO.

1.

Parthenius Erot. c. 8: Περὶ Ἡρίππης. (Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν α' Ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπαλλάττει, ἀντὶ Ἡρίππης καλῶν Γυθυμίαν, τὸν δὲ βάρβαρον Καυάραν.) — Ὅτε δὲ οἱ Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφορίων ὄντων καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρικοῦ διῆλθεν εἰς τὴν Μιλησίαν καὶ ἐξαπιναίως ἐπιδραμὸν ἀνεῖλεν τὰς γυναῖκας. Ἔνθα δὴ τὰς μὲν ἐρρύσαντο, πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς δὲ, τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων, ἀπήχθησαν, ἐν δὲ αὐταῖς καὶ Ἡρίππη, γυνὴ Ξάνθου, ἀνδρὸς ἐν Μιλήτῳ πάνυ δοκίμου γένους τε τοῦ πρώτου, παιδίον ἀπολιποῦσα διετές. Ταύτης πολὺν πόθον ἔχων ὁ Ξάνθος ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων, καὶ κατασκευασάμενος χρυσοῦς δισχιλίους τὸ μὲν πρῶτον εἰς Ἰταλίαν ἐπεραιώθη· ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται, κἀκεῖθεν εἰς τὴν Κελτικήν· καὶ προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξαζομένων, ὑποδοχῆς ἐδεῖτο τυχεῖν. Τῶν δὲ διὰ φιλοξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων, εἰσελθὼν ὁρᾷ τὴν γυναῖκα, καὶ αὐτὸν ἐκείνη, τὼ χεῖρε ἀμφιβαλοῦσα, μάλα φιλοφρόνως προσηγάγετο. Παραχρῆμα δὲ τοῦ Κελτοῦ παραγενομένου, διεξῆλθεν αὐτῷ τήν τε ἄλην τἀνδρὸς ἡ Ἡρίππη, καὶ ὡς αὐτῆς ἕνεκα ἥκοι λύτρα καταθησόμενος· ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον, καὶ αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα προσηκόντων, ἐξένιζεν αὐτόν· παρατείνοντος δὲ τοῦ πότου, τὴν γυναῖκα συγκατακλίνει αὐτῷ καὶ δι' ἑρμηνέως ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτημένος τὴν σύμπασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος, ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέλευε, καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι, αὑτῷ, γυναικὶ, παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἄποινα τῆς γυναι-

De Heripppe. (Scribit Aristodemus Nysaensis in primo Historiarum eadem, præterquam quod nomina commutat, pro Heripppe Gythymiam nominans, barbarum vero Cavaram vocat.) — Quum Galli incursionem facerent in Ioniam, civitatesque depopularentur, in Mileto forte Cereris sacra Thesmophoria celebrabantur, et mulieres congregatæ in templo erant, quod non longe aberat a civitate. Tum pars quædam barbarici agminis a reliquis avulsa in Milesium agrum pervenit, et improviso incursu facto mulieres rapuit. Quarum partem multo auro et argento dato Milesii liberarunt; nonnullæ autem a barbaris qui consuetudine eas sibi adjunxerant, abductæ sunt. In quarum numero Heripppe quoque fuit, uxor Xanthi, hominis magnæ auctoritatis ac primi generis in Mileto, relicto domi puero bienni. Hujus igitur vehementi desiderio ardens Xanthus magnam bonorum suorum partem argento commutavit, ac comparatis aureis bis mille, primum in Italiam transiit, inde ab hospitibus quibusdam deductus, Massiliam pervenit, atque inde in regionem Celtarum. Quumque ad domum accessisset, in qua uxor ejus degebat cum viro apud Celtas reputatione maxima, ut hospitio exciperetur, rogabat. Illis autem prompte (quæ eorum hospitalitas est) eum excipientibus, ingressus domum vidit uxorem, atque illa eum vicissim ulnis amplexa, multa gratia prosecuta est. Mox vero ubi Celta

κός. Ὡς δὲ ἐς κοῖτόν ποτ' ἀπετράπετο, πολλὰ κατεμέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ ἔχοντα τοσοῦτο χρυσίον ὑποσχέσθαι τῷ βαρβάρῳ, κινδυνεύειν τε αὐτὸν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν· τοῦ δὲ φήσαντος, ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν ἐπιεικῆ τινα βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολλῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ καταμηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύετο κτεῖναι τὸν Ξάνθον, φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου, τὸν μὲν γὰρ Ξάνθον παντάπασιν ἀποστυγεῖν. Τῷ δὲ ἄρα οὐ πρὸς ἡδονῆς ἦν τὰ λεχθέντα, ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσασθαι. Ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα φιλοφρόνως προὔπεμπεν ὁ Κελτὸς, ἐπαγόμενος καὶ τὴν Ἡρίππην· ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας ἀφίκετο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι, καὶ κομισθέντος ἱερείου, τὴν Ἡρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανατεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν κεφαλὴν αὐτῆς ἀφαιρεῖ, τῷ τε Ξάνθῳ παρεκελεύετο μὴ δυσφορεῖν, ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς, ἐπέτρεπέ τε τὸ χρυσίον ἅπαν κομίζειν αὐτῷ.

Ἡ ρίππη] sic cod. Ἡρίππη Passov. Quæ forma verior sit, incertum. Καυάρας Galatarum rex est ap. Polyb. IV, 46, 3. VIII, 24. — δισχιλίους] spreta cod. lectione χιλίους, ex conj. Passovius et Westermannus, quum infra Xanthus confiteatur, attulisse se altera aureorum millia in calceis servorum.

Præter Nysaeum memorandi nobis sunt *Aristodemus Eleus* et *Aristodemus Thebanus*.

Aristodemi Elei meminit Eusebius in Chron. p. 141 ed. Mai. (et Cramer. Anecd. Paris. II, p. 141) et Syncellus p. 196 : Ἱστοροῦσι δὲ οἱ περὶ Ἀριστόδημον τὸν Ἠλεῖον ὡς ἀπὸ εἰκοστῆς καὶ ἑβδόμης Ὀλυμπιάδος ἤρξαντο οἱ ἀθληταὶ ἀναγράφεσθαι, ὅσοι δηλαδὴ νικηφόροι· πρὸ τοῦ γὰρ οὐδεὶς ἀνεγράφη, ἀμελησάντων τῶν προτέρων. Τῇ δὲ εἰκοστῇ ὀγδόῃ τὸ στάδιον νικῶν Κόροιβος Ἠλεῖος ἀνεγράφη πρῶτος, καὶ ἡ Ὀλυμπιὰς αὕτη πρώτη ἐτάχθη, ἀφ' ἧς Ἕλληνες ἀριθμοῦσι τοὺς χρόνους. Τὰ δὲ αὐτὰ τῷ Ἀριστοδήμῳ καὶ Πολύβιος ἱστορεῖ. Hæc aut ex Olympionicarum Ἀναγραφῇ aut ex iisdem commentariis petita, ad quos pertinent sequentia.

Harpocratio : Ἑλλανοδίκαι... Ἀριστοτέλης Ἠλείων πολιτείᾳ (fr. 92) τὸ μὲν πρῶτόν φησιν ἕνα καταστῆσαι τοὺς Ἠλείους Ἑλλανοδίκην, χρόνου δὲ διελθόντος β', τὸ δὲ τελευταῖον θ'· Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα Ἑλλανοδίκας εἶναι ι', ἀφ' ἑκάστης φυλῆς ἕνα.

Eadem habet schol. Pind. Ol III, 22 (cf. Boeckh. ad h. l.), ubi Aristodemus citatur non addita notitia patriæ. Non igitur dubium est quin Eleus sit Aristodemus, quem tanquam Pindari interpretem novimus ex schol. Pind. Ol. VI, 23. XI, 55. Pyth. III, 137. Nem. I, 79. 85. VII, 1. 56. 70. 151, et ex Athenæo XI, p. 495, F, qui Aristodemi laudat librum tertium Περὶ Πινδάρου. Quod ap. schol. ad Pind. Isth. I, 11, *Alexandrinus* dicitur, nihil impedit quominus ex Elide oriundus (*) fuerit. Ætatem grammatici prodit schol. ad Nem. VII, 1, ubi Aristarchi fuisse discipulus perhibetur.

Aristodemus Thebanus (fr. 2, modo recte habeat vox Θηβαῖος), Thebaicorum auctor, quando floruit nescimus.

ΘΗΒΑΪΚΑ ΕΠΙΓΡΑΜΜΑΤΑ.

Cf. similes libros Philochori Ἐπιγράμματα Ἀττικά (Suidas v. Φιλόχορος, Vid. Prolegg. ad Fragm. Hist. tom. I, p. LXXXIX), et Polemonis Περὶ τῶν κατὰ πόλεις ἐπιγραμμάτων (v. Polemonis fr. p. 138).

(*) Cf. Aristodemus Eleus, olympionica Ol. 98 ap. Eusebium Chron. p. 151, et Pausaniam VI, 3, 4. Ceteros Aristodemos enumerare haud vacat.

Δωριέων, μεταγνόντα μόνην τὸν Στενύκλαρον νομίσαι πόλιν· εἰς τοῦτον δὲ καὶ τοὺς Δωριέας συναγαγεῖν πάντας. Apollodor. II, 8, 5, 5: Κρεσφόντης δὲ οὐ πολὺν Μεσσήνης βασιλεύσας χρόνον μετὰ δύο παίδων φονευθεὶς ἀπέθανε. Pausanias IV, 3, 7: Κρεσφόντης δὲ ἐν Στενυκλήρῳ τὸν βασιλέα οἰκεῖν κατεστήσατο. Διοικούμενον δὲ αὐτὸν τὰ πολλὰ ἐς χάριν τοῦ δήμου μᾶλλον, οἱ τὰ χρήματα ἔχοντες αὐτόν τε Κρεσφόντην ἐπαναστάντες καὶ τοὺς υἱοὺς ἀποκτείνουσι τοὺς λοιπούς (sc. reliquos, excepto Æpyto). Quæ eatenus inter se differunt, quatenus Pausanias nimio plebis studio, Ephorus sive Nicolaus Doriensium studio ab optimatibus Messeniæ interfectum Cresphontem perhibent. — 3. ἐς πέντε] ex voce sequente μετεμέλησε facillime elicimus vocem μέρη h. l. supplendam. Significantius Strabo dicit: πέντε πόλεις. Quarum quattuor exhibent libri mss. Strabonis, qui l. l. mutili omnes sunt. Quintam civitatem e Nicolao (v. fr. 40) supplevit Müllerus *Dor.* I, p. 95. Plura deinceps ab excerptore omissa sunt. Hinc illud δὲ post μετεμέλησε. — 4. καὶ τότε] καί ποτε codex. — 5. αὐτῷ] αὐτὸ cod. In seqq. supplevi: οἱ ἐγχώριοι. — 6. πρὸς] fortasse πρὸ; sed vel sic inusitata foret locutio. — 7. Κρεσφόντην] κρεσφόντη codex. Cædis auctor secundum Hyginum fab. 187 et 184 et Apollodorum l. l. Polyphontes fuit, qui deinde regno potitus est, et Meropen, occisi uxorem, in matrimonium duxit. Hygini narratio ex Euripidis Cresphonte fabula (vide Eurip. fr p. 726 ed. Didot) manaverit. Secundum Nicolaum Merope una cum Æpyto apud Cypselum versabatur. Igitur eam non duxerit Polyphontes. Apollodorus Meropen Cypselo Æpytum educandum tradidisse narrat. Apud Hyginum pro Æpyto nominatur Telephontes (fortasse leg. *Cresphontes*; certe apud Euripidem nomen filio erat Cresphonti), quem mater absconse ad hospitem in Ætoliam mandavit. — 8. ἀκραῖος] Ζεὺς ἀκραῖος in numo ap. Eckhel. D. N. II, p. 502, citante B. Hase in Steph. Thes. s. v. Idem nomen pro ἀκταῖος ap. Dicæarch. fr. 60, p. 263, restitui vult Osannus. Frequens aliorum numinum epitheton. — 9. τὸν τρίτον] num filium tertium? at tum dixisset auctor τρίτον ἔτεκεν. . Αἴπυτον, ut ap. Apollodor. l. l.: τρίτον γὰρ ἔχουσα παῖδα Μερόπη καλούμενον Αἴπυτον. Intellige Æpytum, qui hujus nominis tertius est. Stemma dat Pausanias VIII, 5, 4: Elatus; Æpytus (I) et Stymphalus; Agamedes Stymphali f.; Cercyon; Hippothous; Æpytus (II); Cypselus; Merope; Æpytus (III). — 10. αὐτοῦ εἰς Μεσσήνην ἐν μέτεισιν codex. — 11. Αἴπυτος] Æpytum hunc patris cædem ultum esse traditur ap. Apollodorum, Hyginum (coll. fragm. Euripid. l. l.), Pausaniam IV, 3, 8, ubi hæc: Ὁ δὲ Αἴπυτος... ὡς ἀνὴρ ἐγένετο, οἱ Ἀρκάδες (duce Holæo, Cypseli filio, VIII, 5, 7) κατάγουσιν αὐτὸν ἐς Μεσσήνην. Συγκατήγαγον δὲ καὶ οἱ λοιποὶ βασιλεῖς τῶν Δωριέων, οἵ τε Ἀριστοδήμου παῖδες καὶ Ἴσθμιος (l. Κίσσος vel Κίσσιος) ὁ Τημένου. Αἴπυτος δὲ ὡς ἐβασίλευσεν, ἐτιμωρήσατο μὲν τοῦ πατρὸς τοὺς φονέας, ἐτιμωρήσατο δὲ καὶ ὅσοι τοῦ φόνου παραίτιοι καθειστήκεσαν· προσαγόμενος δὲ τοὺς ἐν τέλει τῶν Μεσσηνίων θεραπείαις, ὅσοι δὲ ἦσαν τοῦ δήμου, δωρεαῖς, ἐς τοσοῦτον προέβη ὡς καὶ τοὺς ἀπογόνους Αἰπυτίδας ἀντὶ Ἡρακλειδῶν καλεῖσθαι. Æpyti filius Glaucus, item vir optimus ac piissimus fuit; successores ejus Isthmias, Dotades, Sybotas, Phintias, sacrorum institutione structisque templis sunt clarissimi. Sic Pausanias; quem Messeniorum sacerdotum narrationem reddere vix dubium esse potest. Contra Ephorus sive Nicolaus contraria plane (de quibus aliunde non constat) tradens, ex Lacedæmoniorum narratione pendere videtur. Conferri possit Isocratis commentum in Archidamo § 23 et 31 p. 78 ed. Didot. ubi Cresphontis liberi,

λιπον ἀλλήλοις διαστασιάζοντες, ἄχρις ὅτου ὑπὸ Λακεδαιμονίων (12) ἠνδραποδίσθησαν.

quedum a Lacedæmoniis oppressi in servitutem redigerentur.

40.

Stephan. Byz. : Μεσόλα, πόλις Μεσσήνης, μία τῶν πέντε. Νικόλαος τετάρτῳ.

Ὑάμεια, πόλις Μεσσήνης, τῶν πέντε μία.

Νηρίς, πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ.

Mesola, urbs Messeniorum, una ex quinque. Nicolaus libro quarto.

Hyamia, urbs Messeniæ, ex quinque una.

Neris, urbs Messeniæ. Nicolaus quarto.

41.

Exc. De insid. : Ὅτι Φείδων κατὰ φιλίαν στασιάζουσι Κορινθίοις βοηθῶν, ἐπιθέσεως (1) ἐκ τῶν ἑταίρων γενομένης, ἀπέθανεν.

Ὅτι Κορίνθῳ, ἐξ οὗ Κόρινθος ἡ πόλις, ὑπὸ τῶν ἐγχωρίων ἐξ ἐπιβουλῆς σφαγέντι, Σίσυφος ἀμύνων τούς τε αὐτόχειρας ἐτιμωρήσατο, καὶ ἀντὶ τούτου βασιλεὺς γίνεται (2).

Phidon propter amicitiam Corinthiis seditione laborantibus auxilians, aggressione a factionis sociis facta, occubuit.

Corinthum, a quo Corinthus urbs nomen habet, ab indigenis per insidias occisum ulciscens Sisyphus percussores punivit, et pro eo rex creatus est.

ΕΚ ΒΙΒΛ. Ε'.

E LIBRO V.

42.

Stephan. Byz. : Ἀρκαδία · ἐκαλεῖτο δὲ Πελασγίη, ὡς Νικόλαος πέμπτῃ.

Arcadia olim Pelasgia vocabatur, ut Nicolaus refert libro quinto.

43.

Exc. De virt. : Ὅτι Λυκάων ὁ Πελασγοῦ υἱὸς, βασιλεὺς Ἀρκάδων, ἐφύλαττε τὰ τοῦ πατρὸς εἰσηγήματα ἐν δικαιοσύνῃ. Ἀποστῆσαι δὲ (1) βουλόμενος καὶ αὐτὸς τῆς ἀδικίας τοὺς ἀρχομένους, ἔφη τὸν Δία ἑκάστοτε φοιτᾶν παρ' αὐτὸν, ἀνδρὶ ξένῳ ὁμοιούμενον εἰς ἔποψιν τῶν δικαίων τε καὶ ἀδίκων. Καί ποθ', ὡς αὐτὸς ἔφη, μέλλων ὑποδέχεσθαι τὸν θεὸν, θυσίαν ἐπιτελεῖν (2). Τῶν δὲ υἱῶν αὐτοῦ (3) πεντήκοντα, ὥς φασιν, ὄντων ἐκ πολλῶν γυναικῶν, βουλόμενοι γνῶναί τινες οἱ τῇ θυσίᾳ παρόντες, εἰ τῷ ὄντι θεὸν μέλλουσι ξενοδοχεῖν, θύσαντές τινα παῖδα, ἐγκατέμιξαν τοῖς τοῦ ἱερείου (4) κρέασιν, ὡς οὐ λήσοντες, εἴπερ ὄντως θεὸς ἔπεισιν. Ὑπὸ δὲ τοῦ δαιμονίου χειμώνων μεγάλων καὶ κεραυνῶν ῥαγέντων, φασὶ τοὺς αὐτόχειρας ἅπαντας τοῦ παιδὸς ἀπολέσθαι (5).

Lycaon Pelasgi filius, Arcadum rex, patris præceptis obtemperans, justitiam colebat; quumque subditos ab omni flagitio avertere vellet, affirmavit Jovem peregrini hominis specie quotidie domum suam ventitare, ut recte aut secus facta inspiceret. Ac semel deum, ut aiebat, hospitio excepturus quum sacrificium appararet, ex filiis, quos quinquaginta ex variis susceptos mulieribus habebat, ii, qui sacrificio intererant, quum certo scire vellent an vere præsentem deum hospitio essent excepturi, pueri cujusdam membra carnibus victimæ miscuere, rati, ita deprehensum iri, an revera deus adsit. Verum subito immissis cœlitus procellis ac fulminibus, cunctos, qui puerum jugulaverant, interiisse aiunt.

---

occiso patre, Spartam aufugiunt ἀξιοῦντες βοηθεῖν τῷ τεθνεῶτι καὶ τὴν χώραν διδόντες ἡμῖν κτλ. — 12. Λακεδαίμονι cod.

40. Cf. fr. 39, not. 2. Hyamiæ mentio ex eodem Nicolao manare putanda est. — Nerin Messeniæ urbem etiam Suidas (e Stephano) memorat; aliunde non nota est. Vicum quendam Νῆριν ad Parnonem montem in confiniis Laconicæ et Argolidis affert Pausanias II, 38, 6.

41. *Cod. Escor. fol.* 78, 21-26 *vso.* — 1. Ἐπιθέσεως] ἐπὶ θέσεως codex. Phidon noster num est Φείδων ὁ Κορίνθιος, ὢν νομοθέτης τῶν ἀρχαιοτάτων, ut Aristoteles (Polit. II, 4, 6) tradit? — 2. Aliter de his tradit Eumelus apud Pausan. II, 3, 11, ubi regum series hæc est : Æetes Solis f.; Buno Mercurii f., Epopeus Aloei f., Marathon Epopei f., Corinthus Marathonis filius. Corintho, a quo Ephyra deinceps Corinthus nominata est (II, 1, 1; cf. Heraclid. Pont. fr. 5, p. 212), absque liberis mortuo, Medea ex Iolco in regnum vocatur, quæ Iasoni regia negotia committit, et postea cum Iasone Colchos rediens Sisypho imperium tradit.

42. Cf. Charax ap. Stephan. Byz. v. Παρρασία.

43. *Cod. Tur. fol.* 154, 17-29 *r.* Eadem Suidas v. Λυκάων. — 1. δὲ] Suidas; in cod. deest. — 2. ἐπιτελεῖν] sic codex; Valesius tacite posuit ἐπιτελεῖ. Suidæ codd. A B V E item ἐπιτελεῖν pro vulgata ἐπιτελεῖ exhibent « Ratio structuræ, Bernhardyus ait, minime recondita (v. nostra De Syntaxi gr. p. 464 sq.), sed quæ peritissimis hominibus fraudi fuerit, ut Reiskio in Dion. Chrysostom. tom. I, p. 325. » — 3. αὐτοῦ] vocem hanc et codex et Suidas præbent; Valesius omisit. — 4. ἱερείου] sic Suidas; ἱεροῦ codex. — 5. Apollodor. III, 3, 2, 1 : Ἔνιοί φασι διὰ τὴν τῶν Λυκάονος παίδων δυσσέβειαν γεγενῆσθαι τὸν κατακλυσμόν. Cf. Hygin. fab. 176; Tzetzes ad Lycophr. 488; schol. Eurip. Or. 1646. Facinus istud ad ipsum Lycaonem transferunt Ovid. Met. I, 198, Eratosth. Cataster. c. 8, alii. Cf. Pausanias VIII, 2, 1.

44.

Steph. Byz. : Βωταχίδαι (1), τόπος Ἀρκαδίας, ἀπὸ Βωτάχου. Νικόλαος πέμπτῃ· « Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ' οὗ ὁ τόπος Βωταχίδαι ἐν τῇ Τεγέᾳ ἐκλήθη. »

Idem : Παρώρεια, πόλις Ἀρκαδίας. Λέγεται δὲ καὶ Παρωραία. Οἱ πολῖται Παρωρεῖς. Νικόλαος Παρωρεάτας (2) φησίν.

44.

Botachidæ locus est in Arcadia ita dictus a Botacho, ut scribit Nicolaus Damascenus libro quinto : « Iocriti Lycurgo nati filius Botachus, a quo Botachidæ locus in Tegeatica ditione nomen habet. »

Parorea oppidum est Arcadiæ, quod etiam Paroræa dicitur. Incolæ ejus Parorenses dicuntur. Nicolaus vero eos Paroreatas dicit.

45.

Idem : Μεσημβρία, πόλις Ποντική. Νικόλαος πέμπτῳ. Ἐκλήθη ἀπὸ Μέλσου. Βρίαν γὰρ τὴν πόλιν φασὶ Θρᾷκες. Ὡς οὖν Σηλυμβρία ἡ τοῦ Σήλυος πόλις, Πολτυμβρία ἡ Πόλτυος, οὕτω Μελσημβρία ἡ Μέλσου πόλις, καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεσημβρία.

45.

Mesembria urbs est Thraciæ a Melse sic nominata. Nicolaus quinto. Thraces enim urbem appellant βρίαν. Itaque ut Selymbria dicta est urbs a Selye condita, itemque Poltymbria a Poltye, sic a Melse Melsembria primum vocata est, post euphoniæ causa Mesembria.

46.

Socrates Hist. Eccles. VII, 25 : Χρυσόπολις ἐπίνειον ἀρχαῖόν ἐστιν, ὃ κεῖται μὲν ἐν ἀρχῇ τοῦ Βοσπόρου, μέμνηνται δὲ αὐτοῦ πολλοὶ τῶν παλαιῶν συγγραφέων, καὶ Στράβων τε καὶ ὁ Δαμασκηνὸς Νικόλαος καὶ ὁ ἐν λόγοις δὲ θαυμαστὸς Ξενοφῶν ἐν τῇ ἕκτῃ τῆς Κύρου ἀναβάσεως.

46.

Chrysopolis, navale antiquum, quod situm est ad ostium Ponti. Meminerunt ejus complures veterum auctores, inter eosque etiam Strabo, nec non Nicolaus Damascenus atque scriptis suis admirabilis ille Xenophon in Cyri expeditionis libro sexto (*cap.* 3, 15, *et* 6, 38).

47.

Steph. Byz. : Σίφνος, περὶ τὴν Κρήτην νῆσος ἀπὸ Σίφνου τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. Ἐκαλεῖτο δὲ πρότερον Μερόπη (1).

Idem : Σκύρος νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ· « Σκύρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες. »

Idem : Ἀμοργός, νῆσος μία τῶν Κυκλάδων, ἔχουσα πόλεις τρεῖς, Ἀρκεσίνην, Μινώαν, Αἰγιάλην. Ἐκαλεῖτο δὲ καὶ Παγκάλη καὶ Ψυχία... Νικόλαος δ' Ἀμόργην αὐτὴν καλεῖ, ἥντινα Καρκήσιος, ἀνὴρ Νάξιος, ᾤκισε, καὶ Καρκησίαν ὠνόμασε.

47.

Siphnus insula est circa Cretam sic dicta a Siphno Sunii filio, sicut narrat Nicolaus libro quinto. Prius insula Merope appellabatur.

Scyrus insula est, de qua Nicolaus libro quinto hæc scribit : « Scyrum vero, inquit, olim quidem Pelasgi tenuere et Cares. »

Amorgus insula una est e Cycladibus : urbes habet tres, Arcesinen, Minoam, Ægialen : prius Pancale et Psychia appellata. Eam Nicolaus Amorgen vocat, quam a Carcesio quodam Naxio colonis frequentatam vocatamque Carcesiam prodit.

48.

Idem : Ἀγαμήδη, τόπος περὶ Πύρραν τῆς Λέσβου ἀπὸ Ἀγαμήδης τῆς Μακαρίας τῆς καὶ Πύρρας ἐπικληθείσης. Ἔστι καὶ κρήνη Ἀγαμήδης, ὡς Νικόλαος ε' (1).

48.

Agamede locus est juxta Pyrrham oppidum Lesbiorum, cui ab Agamede Macariæ (quæ et Pyrrha dicta est) filia nomen inditum est. Est etiam fons Agamede dictus, ut scribit Nicolaus libro quinto.

---

44. 1. Βωταχίδαι] demus Tegeaticus, quem Πωταχίδας dicit Pausan. VIII, 45, 1. « Verior scriptura si est Βωταχίδαι, nomen non dubitem forma tantum, non origine differre cum Βουταχίδης, quod v. » *L. Dindorf.* in Steph. Thes. v. Βωταχ. De Iocrito Lycurgi Arcadis f. aliunde non constat. — 2. Παρωρεάτας] sic etiam Herodotus IV, 148, 4 (Παρωρεήτας).

45. Cf. Strabo VII, p. 319 : Μεσημβρία, Μεγαρέων ἄποικος, πρότερον Μενεβρία, οἷον Μενάπολις, τοῦ κτίσαντος Μένα καλουμένου, τῆς δὲ πόλεως βρίας (cf. Hesych v. Βρία) καλουμένης Θρᾳκιστί· ὡς καὶ ἡ τοῦ Σήλυος πόλις Σηλυβρία προσηγόρευται, ἥ τε Αἶνος Πολτυοβρία ποτὲ ὠνομάζετο. Mesembria a Megarensibus et Chalcedoniis Darii Hystaspis tempore condita dicitur ap. Anonym. Peripl. Pont. Euxin. p. 14 et Herodot. VII, 108. Ex Stephani loco atque inde quod quinto libro Nicolai eam memoratam videmus, colligimus Mesembriam multo ante conditam, Darii vero temporibus Megarensium colonia frequentatam esse.

46. Cf. Xenophon Exp. VI, 3, 16; Strabo XII, p. 563; Plinius V, 32, Ammian. Marcellin. XXII, 12. Ephorus, Theopompus et Dionysius Byzantius ap. Steph. Byz. v. Χρυσόπολις, ubi secundum plurimos urbs nominata esse dicitur a Chrysi filia Chryseide.

47. 1. Cf. Plinius IV, c. 12 : *Siphnus ante Meropia et Acis appellata.* Cf. Eustath. et schol. ad Dionys. 525.

48. ε'] sic codd. Palatin. et Perusin. pro vulgata ἐννάτῳ, idque recte haud dubie, quum ex reliquis hujus libri frag-

Idem : Ὑπερδέξιον, χώριον Λέσβου, ἐν ᾧ Ζεὺς ὑπερδέξιος καὶ ὑπερδεξία Ἀθηνᾶ. Ἐθνικὸν Ὑπερδέξιος... Νικόλαος δὲ πληθυντικῶς Ὑπερδεξίους φησίν.

Hyperdexion locus est in insula Lesbo, in quo Jupiter Hyperdexius et Minerva eodem cognomine coluntur. Nicolaus plurali numero Hyperdexios vocat incolas loci.

[ΕΚ ΒΙΒΛ. ϛ'.]

49.

Exc. De ins. : Ὅτι Ἀδυάττεω τοῦ Λυδῶν βασιλέως παῖδες δίδυμοι, Καδὺς καὶ Ἄρδυς· τούτοις κατέλιπε τὴν ἀρχήν, καὶ ὁμοῦ ἐβασίλευον ἀμφότεροι στέργοντες ἀλλήλους καὶ αὐτοὶ ὑπὸ τοῦ πλήθους στεργόμενοι. Καί πως ἡ τοῦ Καδύος (1) γυνή, Δαμοννὼ (2) λεγομένη, ὑπό τινος ἀνεψιοῦ τοῦ ἀνδρὸς, Σπέρμου (3) ὄνομα, μοιχευθεῖσα, σὺν ἐκείνῳ θάνατον ἐβουλεύετο τῷ ἀνδρί· δοῦσα δὲ αὐτῷ φάρμακον ἔκτεινε μὲν οὔ, εἰς νόσον δ' ἐνέβαλεν. Θεραπευθεὶς δ' ὑπὸ ἰατροῦ ὁ Καδὺς ῥᾷον ἔσχεν. Ἐκ τούτου τὸν ἰατρὸν ἀνελεῖν βουλομένη ἡ γυνή, φάρμακα μὲν αὐτῷ οὐκ ἔκρινε διδόναι διὰ τὴν τέχνην, βόθρον δ' ἐν τῇ οἰκίᾳ ὀρύξασα καὶ ἐπιπολῆς αὐτὸν ἄδηλον ποιήσασα (4), κλίνην καθύπερθεν ἔστρωσεν καὶ ἄλλας (5) ἐφεξῆς. Καλέσασα δ' αὐτὸν ἐπὶ δεῖπνον, ἐλθόντα κατέκλινεν ἵναπερ ὁ βόθρος ἦν. Οἰχομένου δὲ κάτω, ἐπαμησαμένη τὴν γῆν ἄδηλον ἐποίησεν.

Μετ' οὐ πολὺ δὲ καὶ ὁ Καδὺς ἀπέθανεν· αὐτὴ δὲ σὺν τῷ μοιχῷ πρῶτον μὲν ἐξελαύνει τὸν ἐκείνου ἀδελφὸν Ἄρδυν, πολλοὺς Λυδῶν χρήμασι θεραπεύσασα (6), ἔπειτα συνῴκησεν αὐτῷ καὶ βασιλέα ἀπέδειξεν. Ὁ δὲ Ἄρδυς ἐξαπιναίως (7) φυγὼν ὁμοῦ γυναικί τε καὶ θυγατρὶ (8), οὕτω σφόδρα ἐπενήτευσεν, ὥστε ἐν Κύμῃ ἁμαξοπηγῶν (9) διέζη, ὕστερον δὲ πανδοκεύων. Φασὶ δ' αὐτὸν τοὺς ἐγκαταγομένους (10) Λυδῶν φιλανθρωπευόμενον, φίλους πάντας ἀποπέμπεσθαι. Τῷ δὲ μοιχῷ Σπέρμῳ οὐκ ἤρκεσε ταῦτα δράσαντι, ἀλλὰ καὶ ἐς Κύμην πέμψας τινὰ λῃστήν, Κέρσην ὄνομα, κτεῖναι τὸν ἄνδρα παρεκελεύετο. Ὁ δὲ ὑπέστη τὸ ἔργον ἐπὶ τῷ γῆμαι τοῦ Σπέρμου τὴν θυγατέρα καὶ χιλίους στατῆρας λαβεῖν δωρεάν.

Ἀφικόμενος δ' ὁ Κέρσης εἰς Κύμην κατήγετο ἐν τῷ Ἄρδυος πανδοκείῳ· ὁ δὲ αὐτὸν ὁμοίως (11) ἐθεράπευε, καὶ τοῖς τε ἄλλοις ἠρέσκετο Κέρσης καὶ δὴ καὶ τῆς θυγατρὸς αὐτοῦ διακονούσης (12) ἠράσθη· καί πως αὐτὸν (13) εἰς γάμον αἰτεῖται τὴν κόρην ἐπὶ τῷ τὰ μέγιστα ὑπ'

[E LIBRO VI.]

49.

Adyattes Lydorum rex duos habuit filios, Cadyn et Ardyn, quibus regnum reliquit; et simul ambo regnabant mutuo se amore prosequentes et a multitudine dilecti. Uxor autem Cadyis Damonno, ab affini mariti, Spermo nomen erat, adulterata, cum illo necem marito parabat. Dedit itaque potum venenatum, quo tamen non necavit virum, sed nonnisi in morbum conjecit. Et a medico curatus Cadys mox commodior erat. Quare medicum tollere mulier moliens, venenum quidem ei dare ob artis scientiam inconsultius fore duxit, verum scrobem in domo effodit eique desuper occultatæ lectum superimposuit aliosque lectulos collocavit deinceps. Et advocatum ad convivium decumbere jussit eo loco quo scrobis erat, in quam quum ille incidisset, aggestâ desuper terrâ mulier rei vestigia delevit.

Non multo post ubi Cadys quoque vita decesserat, ipsa cum adultero primum quidem fratrem illius Ardyn, multis Lydorum pecunia demulsis, regno expulit; deinde cum mœcho cohabitavit eumque regem declaravit. Ardys autem quum repentina fuga se cum uxore et filia subduxisset, tanta inopia premebatur, ut Cumis currus fabricando vitam sustentaret, deinde vero cauponem ageret. Feruntque eum Lydos, qui in cauponam ejus devertebant, humanitate ita sibi conciliasse, ut omnes eos dimitteret amicos. Ceterum Spermus mœchus iis quæ patraverat non contentus, Cersen quendam latronem Cumas misit, qui Ardyn interficeret. Is vero facinus ea suscepit conditione, ut Spermi filiam uxorem ac præterea mille stateres dono acciperet.

Ubi Cumas Cerses venerat, in cauponam Ardyis devertit. A quo quum pari atque reliqui comitate exciperetur, tum ceteris Cerses delectatur, tum filiæ cauponis, quæ ministrabat, amore corripitur. Tandem a patre petivit ut eam in matrimonium acciperet, si maximum in

---

mentis appareat egisse h. l. Nicolaum de insulis maris Ægæi aliisque locis, a Pelasgis, Caribus, Lelegibus maximam partem insessis et post reditum Heraclidarum Peloponnesi colonis frequentatis. — De Agamede cf. Plinius V, 39.

49. *Cod. Escor. fol.* 78, 26 *vso.* — 82, 13 *r.* — 1. Καδύος] κάνδυο codex. Reliquis locis nomen hoc semper scribitur καδύς. — 2. Δαμοννὼ] alterum ν in cod. suprascriptum est, et recte quidem, quum Æolica vocis forma in his præferenda sit. Sic æolice Γυριννὼ pro Γυρινὼ, Μελιννὼ pro Μελινώ. In margine codicis adscriptum est Δαμάνω. Pro λεγομένη codex : γενομένη. Aliunde de his ampli hujus fragmenti, sicuti de reliquis, non constat. — 3. Σπέρμου] εὐπέλβου codex h. l.; sed in sqq. semper Σπέρμου. — 4. ποιήσασα] ποιήσαντα cod. — 5. ἄλλας] ἄλλος cod. — 6. θεραπεύσασα] θεραπεύσας cod. — 7. ἐξαπιναίως] ἐξαπιναίας cod. — 8. θυγατρὶ] Quum sola filia h. l. memoretur, colligas filium ejus Adyattem tum nondum natum fuisse. — 9. ἁμαξοπ.] ἁμαζοπ. cod. Ex hoc loco discimus, quo pertineant verba in Heraclidis Polit. 15, p. 216 : Λυδοὶ δὲ χαλεπῶς δεσποζόμενοι πρός τινος (i. e. πρὸς Σπέρμου), πυθόμενοι ἐν Κύμῃ εἶναί τινα (i. e. Ἄρδυν), ἔπεμψαν εἰς βασιλείαν καλοῦντες. Οὗτος δὲ ἐτύγχανεν ἐν ἁμαξοπηγοῦ δουλεύων κτλ. Ceterum Heraclidis narratio ab nostra differt. — 10. ἐγκαταγομένους] ἐγκαταττομενους codex. Eodem verbo Nicolaus utitur fragm. 2 extr. — 11. ὁμοίως] Fortasse excidit quod nunc mente supplendum est. Κέρσης ad caput abscindendum (κέρρω, κείρω) missus, ab ipsa re nomen habere videtur. — 12. τῆς θυγατρὸς.. διακονούσης] τὴν θυγατέρα.. δια-

αὐτοῦ εὖ πείσεσθαι. Ὁ δ᾽ ἄλλως οὐκ ἂν διδοὺς (14) διὰ τὴν φαυλότητα τἀνθρώπου, ἐπ᾽ εὐγενείᾳ μέγα φρονῶν, ὅμως διὰ τὴν ὑπόσχεσιν δώσειν ὡμολόγησεν. Ὡς δὲ ταῦτα συνέθεντο, πᾶσαν αὐτῷ κατεῖπεν ὁ Κέρσης τὴν ἀλήθειαν, ὅτι οἴκοι ἀναπεισθεὶς ὑπὸ Σπέρμου ἐπὶ τῷ γάμῳ τῆς ἐκείνου θυγατρὸς ἀνελεῖν τὸν Ἄρδυν, ἕτοιμος δὲ νῦν εἶναι τὴν (16) Σπέρμου κεφαλὴν κομίσας, ἐπὶ τούτοις τὴν Ἄρδυος γῆμαι θυγατέρα. Ὡς δὲ συνεπένευσεν (17), ἐκέλευσεν αὐτὸν ἀποκείρασθαι τέως κομῶντα, κατασκευάσας δὲ ξυλίνην κεφαλὴν ἐοικυῖαν τῇ (18) Ἄρδυος, καὶ τὰς κόμας αὐτῇ προσπλάσας, ἵετο εἰς Λυδίαν. Ἀφικόμενος δὲ τῷ Σπέρμῳ πυνθανομένῳ περὶ ὧν αὐτὸν ἔπεμψεν, ἔφη· « Πάντα διαπέπρακται, » καταθεὶς πρότερον τὴν κεφαλὴν ἐν οἰκίσκῳ. Κελεύσαντος δὲ τοῦ Σπέρμου δεῖξαι τὴν κεφαλὴν ἣν ἐκόμισεν, ἔφη ἄτοπον εἶναι πολλῶν ὁρώντων (19) δεικνύναι, ἀλλὰ παρελθόντα αὐτὸν ἐς τὸ οἴκημα ἐκέλευσεν ὁρᾶν μόνον μετὰ μόνου. Καὶ ὃς ἐπείσθη, καὶ (20) δείξαντος αὐτῷ χαμαὶ κειμένην, ἐπέκυπτεν ὡς καταμάθοι· ἐν τῷδε ξίφει αὐτὸν παίσας κατέβαλεν, καὶ τὴν κεφαλὴν ἀποτεμὼν διεξέπεσε διὰ τῆς θύρας, καὶ ἔξω πρὸς τὸν Ἄρδυν ἠπείγετο. Οἱ δὲ πρὸς ταῖς θύραις Λυδοὶ τέως μὲν, εἰσελθόντος τοῦ Σπέρμου, προσέμενον· ὡς δ᾽ οὐκ ἐξῄει πολλοῦ χρόνου διαγενομένου, εἰσελθόντες ὁρῶσι χαμαὶ νεκρὸν κείμενον, κεφαλὴν οὐκ ἔχοντα. Γνόντες δὴ τὸ γεγονὸς ἡσυχίαν ἦγον, ἐπιχαίροντες αὐτῷ· ἦν γὰρ δὴ κάκιστος, καὶ ἄλλως βασιλεύοντος αὐτοῦ ηὐχμησεν ἡ γῆ. Σπέρμος (21) μὲν οὕτως ἐτελεύτησεν βασιλεύσας ἔτη δύω· ἐν δὲ τοῖς βασιλείοις (22) οὐκ ἀναγράφεται.

Κέρσης δὲ φεύγων εἴς τι καπηλεῖον ἀφίκετο· ἐγκαταχθεὶς δὲ, ἅτε περιχαρὴς τῷ ἔργῳ, εἰς μέθην ὥρμησε, καὶ τῷ καπήλῳ πάντα διηγήσατο, καὶ τὴν κεφαλὴν ἔδειξε τοῦ Σπέρμου. Ὁ δὲ συμφρονήσας ὅτι ἐκ τούτων Ἄρδυς βασιλεύσει, τὸν Κέρσην μεθύσας πολλῷ οἴνῳ ἀπέκτεινεν, καὶ τὴν κεφαλὴν αὐτοῦ τε καὶ τοῦ Σπέρμου λαβὼν, εἰς Κύμην ἦλθε παρὰ (23) τὸν Ἄρδυν. Ἐν φροντίδι δ᾽ αὐτῷ ὄντι περὶ τούτων ἔλεξεν ὅτι ἀγαθὰ μέγιστα ἥκοι κομίζων. Ὁ δὲ, « Πῶς; Σπέρμον (24) ἄρα τεθνηκέναι καὶ Κέρσην οὐκ ἔσεσθαί μοι γαμβρόν; ἐμοὶ γὰρ ταῦτα μέγιστά ἐστιν. » Ἀποκρίνεται Θυεσσὸς (25), τοῦτο γὰρ ἦν ὄνομα τῷ καπήλῳ, « Ἀλλὰ ταῦτα δὴ ταῦτα φέρω· » καὶ ἅμα δείκνυσιν ἀμφοτέρας τὰς κεφαλάς. Ὁ δὲ ἡσθεὶς (26) ἐκέλευεν αἰτεῖν αὐτὸν ὅ τι θέλοι ἀντὶ τούτων. Θυεσσὸς δ᾽ εἶπεν· « Οὔτι (27) σὲ οὔτε τὴν θυγατέρα οὔτε χρυσὸν αἰτῶ, ἀλλά μοι τὸ καπηλεῖον τοὐμὸν ἀτελὲς ἔχειν δὸς, ὅταν βασιλεὺς γένῃ. » Καὶ ὃς ἔδωκεν αὐτῷ. Καὶ Θυεσσὸς ἀνὰ χρόνον ἐκ τοῦ καπηλεύειν ἐπλουτη-

ipsum contulisset beneficium. Ardys etsi alias tale quid ob hominis vilitatem ipse nobilitate sua superbiens minime cessisset, tamen ob promissum illud daturum se professus est. Quibus compositis, totam rem aperiens Cerses domi se a Spermo adductum esse dixit, ut filiæ ejus nuptias cæde Ardyis mereretur; nunc vero paratum esse Spermi caput apportare et pro his Ardyis filiam uxorem ducere. Collaudante illo consilium, jussit eum comam tondere, quam hucusque aluerat; ac capite ligneo ad Ardyis similitudinem confecto, comaque ei agglutinata, in Lydiam contendit. Postquam advenerat, Spermo de re mandata interroganti, « Omnia, respondit, sunt peracta. » Caput antea in cubiculo quodam deposuerat. Quod quum ostendere a Spermo juberetur, non convenire hoc dixit multis coram spectatoribus, verum ut in cubiculum digressus solus cum solo illud spectet hortatus est. Quibus Spermus obtemperans, monstrante illo caput humi jacens, pronus se inclinavit, ut agnosceret. Ibi Cerses gladio eum feriens prostravit, capiteque abscisso per fores se proripuit, ac urbe relicta ad Ardyn properavit. Lydi qui ad fores erant, aliquantisper quidem exitum Spermi exspectabant, sed quum multo jam tempore præterlapso non exiret rex, ingrediuntur ac humi jacentem et capite privatum conspiciunt. Ceterum re cognita, quietem agebant casu regis lætati. Nam vir fuerat improbissimus, sub cujus regno præter alias calamitates etiam siccitate terra laboraverat. Hoc igitur modo Spermus vitam finivit per duos annos regno potitus. Attamen in regiis annalibus non recensetur.

Interea fugiens Cerses in cauponam aliquam venit, ubi devertens, quum præ gaudio rei peractæ mero se ingurgitasset, omnia cauponi narravit, eique caput Spermi monstravit. Ille intelligens jam ad Ardyn regnum perventurum, Cersen multo vino inebriatum occidit, et caput ejus sicuti Spermi secum auferens Cumas ad Ardyn profectus est. Quem quum magnopere sollicitatum offenderet, maxima se bona afferre dixit. Tum ille, « Quid? ait, Spermum occidisse et Cersen non mihi generum fore? Nam hæc mihi maxima sunt. » Respondit Thyessus (nam hoc cauponi nomen erat): « Ecce, hæc ipsa ego tibi affero, » et simul ambo capita ostendit. Quibus ille gaudio exsultans cauponem jubet, quid vellet pro his sibi expeteret. Thyessus vero: « Neque filiam tuam neque aurum ex te peto, sed cauponam mihi a tributi pensione immunem esse, quando rex fueris, concedas. » Idque Ardys ei concessit. Et Thyessus postea

---

κονοῦσαν codex. — 13. αὐτὸν] αὐτὴν codex; fortasse erat Ἄρδυν. — 14. ἂν διδοὺς] ἀνδιδοὺς cod. — 16. τὴν] τῆς cod. — 17. συνεπένευσεν vel συνεπῄνεσεν] συνεπήνευσεν cod. — 18. τῇ] ἐοικύαν τῆς cod. — 19. ὁρώντων] ὁρῶν cod. — 20. καὶ] Particulam καὶ huc transposui. In codice legitur ante ἐπέκυπτεν. Deinde codex καταμάθοιεν· τῷ δὲ ξίφει præbet. — 21. Σπέρμος] Σπέρμης h. l. codex. Supra duobus locis legimus dativum Σπέρμῳ. — 22. ἐν τοῖς βασιλείοις] i. e. in tabulis regiis in palatio asservatis, ἐν διφθέραις sive ἀναγραφαῖς βασιλικαῖς, uti v. c. Ctesias dicit ap. Diodor. II, 22. 32. — 23. παρὰ] ita margo; textus πρὸς. — 24. πῶς; Σπέρμον] παῖς περμων codex. — 25. Θυεσσὸς] θυόσου codex h. l. et infra. Correxi e Stephano Byz. Vide not. 28. — 26. ἡσθεὶς] ἠσθεὶς cod. — 27. οὔτι] οὔτε cod. —

σεν· καὶ ἀπὸ τούτου ἀγορὰν πλησίον αὐτοῦ καὶ Ἑρμαῖον εἴσατο (28), Θυεσσοῦ λεγόμενον. Λυδοὶ δὲ Ἄρδυν ἐπὶ βασιλείαν καλοῦσιν ἀγγέλους τε ἄλλους πέμψαντες καὶ τῶν Ἡρακλειδῶν τινάς. Κατελθὼν δὲ ὁ Ἄρδυς ἐβασίλευσε μετὰ Ἀλκίμιον (29) πάντων ἄριστα, καὶ σφόδρα γίνεται Λυδοῖς καταθύμιος καὶ φιλοδίκαιος. Συνηρίθμησε δὲ καὶ τὸν Λύδιον στρατὸν ὁ Ἄρδυς· ἦν δ' ἱππότης ὁ πλεῖστος, καὶ εὗρεν, ὥς φασι, μυριάδας γ' ἱππέων.

Ἄρδυϊ δὲ γηράσκοντι ἤδη προσφιλέστατος ἦν Δάσκυλος Γύγεω γένος Μερμνάδης. Οὗτος ἅπασαν ὡς εἰπεῖν τὴν Λυδῶν ἀρχὴν διὰ χειρὸς εἶχε. Δείσας οὖν Ἀδυάττης ὁ Ἄρδυος, μὴ, τοῦ πατρὸς τελευτήσαντος, ἐκεῖνος (μὲν) πάνθ' ὑφ' ἑαυτῷ ποιήσαιτο, ἀποκτείνει (31) κρύφα τὸν Δάσκυλον. Ἡ δ' ἐκείνου γυνὴ κύουσα ἔφυγεν εἰς Φρυγίαν, ὅθεν καὶ ἦν, δείσασα τοὺς φονέας τοῦ ἀνδρός. Ὡς δὲ ταῦτα ᾔσθετο ὁ Ἄρδυς, σφόδρα ἠχθέσθη (32), καὶ Λυδοὺς ἐκάλεσεν εἰς ἐκκλησίαν· καὶ αὐτὸς εἰς τούτους κομισθεὶς (δεμνιοπετὴς (33) γὰρ ἦν ὑπὸ γήρως) κατηγόρει τῶν αἰτίων, οὐδὲν εἰδὼς οἵτινες ἦσαν, καὶ Λυδοὺς παρεκάλει ζητεῖν τὸν Δασκύλου φόνον, ἐπηρᾶτό τε (34) μυρία τοῖς φονεῦσι καὶ τέλος ἀνεῖπεν ἐξεῖναι τῷ χρῄζοντι κτείνειν αὐτοὺς εἰ ἀνεύροι. Ἄρδυς μὲν οὖν βασιλεύσας ο' ἔτη (35) θνήσκει.

Ἐπὶ Μήλεω (36) δὲ βασιλεύσαντος Λυδῶν σφόδρα ἐλίμηνε Λυδία· καὶ οἱ ἄνθρωποι ἐπὶ μαντείας ἐτράποντο (37). Τοῖς δ' ἐσήμαινε τὸ δαιμόνιον δίκας πράττεσθαι τοῦ Δασκύλου φόνου παρὰ τῶν βασιλέων. Ταῦτα ἀκούσας παρὰ τῶν χρησμολόγων, καὶ ὅτι δεῖ φεύγοντα ἐπὶ γ' ἔτη καθήρασθαι τὸν φόνον, ἔφυγεν ἐθελουσίως εἰς Βαβυλῶνα. Ἔπεμψε δὲ καὶ εἰς Φρυγίαν παρὰ τὸν Δασκύλου παῖδα, Δάσκυλον καὶ αὐτὸν ὄνομα, ὅντινα ἡ μήτηρ ἐν γαστρὶ ἔχουσα ἔφυγε, κελεύων εἰς Σάρδεις ἀφικνεῖσθαι καὶ δίκας δέχεσθαι τοῦ πατρῴου φόνου παρ' αὐτῶν· οὕτως γὰρ ἐθέσπιζον οἱ μάντεις. Ὁ δὲ

dives factus cauponando, prope domum suam forum cum fano Mercurii consecravit, quod Thyessi vocatur. Lydi autem missis nuntiis inter eosque etiam Heraclidis nonnullis, Ardyn ad regnum arcessunt. Et reversus Ardys regnavit post Alcimium omnium optime, Lydisque gratus erat admodum et justitiæ amantissimus. Recensuit Ardys etiam exercitum Lydorum; in quo maximus erat equitum numerus, quorum triginta millia reperisse dicitur.

Ardys jam senescens in deliciis habebat Dascylum Gygis filium, e genere Mermnadum; penes quem omnis fere Lydorum regni erat administratio. Quare metuens Adyattes, Ardyis filius, ne post obitum patris ille summa rerum potiretur, clandestino Dascylum interfecit. Uxor Dascyli, tunc gravida, in Phrygiam, unde oriunda erat, percussores mariti metuens, aufugit. Hæc ubi cognoverat Ardys, vehementer iratus Lydos ad concionem vocavit, in quam ipse lecticâ deportatus (nam lecto tenebatur præ senio), auctores facinoris, nescius quinam essent, incusavit, Lydosque hortatus est ut in cædem Dascyli inquirerent; ac diris plurimis interfectores devovens postremo edixit licere unicuique invenienti eos occidere. Ardys igitur post regnum annorum septuaginta vita defunctus est.

Sub Mele Lydorum rege fames Lydiam oppressit. Quare quum oraculum incolæ adiissent, numen iis significavit pœnas esse pro cæde Dascyli a regibus repetendas. Hæc ex vatibus rex audiens et trium annorum auxilio cædem expiandam esse, fuga voluntaria Babylonem se contulit. Porro in Phrygiam misit ad Dascyli filium, cui et ipsi Dascyli nomen erat, quemque fugiens mater in utero gestaverat, jussitque eum Sardes profectum pœnas cædis paternæ ab ipsis exigere, prouti vatum effata præscriberent.

---

28. Ἑρμαῖον] Forum hoc in eoque dedicatum e caupone fanum Mercurii, nomen dedit, ni fallor, oppido Ἑρμοκαπηλίᾳ, cujus mentio fit in Hieroclis Synecdemo p. 394, 20 Bonn., ubi in Lydiæ eparchia inter alias urbes recensentur : Ἀτταλία, Ἑρμοκαπηλία, Ἄκρασος. Præterea Wesselingius l. l. affert hæc : « Theopistus Ἑρμοκαπηλίας est in Nicæno secundo p. 51, qui p. 591 Ἑρμοκαπήλου dicitur. *Hermocapelitas* novit et Plinius H. N. V, 30, 33. » Cf. Notit. episcop. ap. Pasin. cod. Taurin. vol. I, p. 205, A, citante L. Dindorfio in Steph. Thes. v. Ἑρμοκαπηλία. Eckhel. Num. V, 1, 3, 101, qui perperam notat Harduinum, uti ex nostro loco intelligitur. Ceterum Ἑρμοκαπηλίαν alii Θυεσσοκαπηλίαν vel simpliciter Θυεσσὸν nominasse videntur. Nam Stephanus Byz. ita habet : Θυεσσός, πόλις Λυδίας, ὀξυτόνως (cf. Arcad. p. 76, 25), ἀπὸ Θυεσσοῦ καπήλου. Ἔστι καὶ Πισιδίας, ἧς τὸ ἐθνικὸν Θυεσσεύς. Nomen Θυεσσός, si mittas historiunculam nostram, Mercurii epithet. fuisse puto. — 29. Ἀλκίμιος] Ἀλκιμὸν hunc regem εὐσεβέστατον καὶ πρᾳότατον dicit Xanthus (fr. 10) apud Suidam v. Ξάνθος. — 31. ἀποκτείνει] ἀποκτείνη δὲ κρ. codex. Particulam δὲ transposui scribens ἡ δ' ἐκείνου pro ἡ ἐκύνου codicis. — 32. ἠχθέσθη] ἠσχέθη codex. — 33. δεμνιοπετὴς] δεμνιοπέτης codex. Vox nova lexicis addenda, nisi propter accentum suspiceris fuisse δεμνιοτήρης. Mox codex : οἵτινες. — 34. ἐπηρᾶτό τε] ἐπήρα τότε codex. — 35. βασ. ο' ἔτη] Secundum Eusebium in Chron. cod. Armen. p. 41 ed. Mai. *Ardysus* (sic), *Alyattæ filius*, regnat annis 36; post hunc *Alyattes* annis [illegible]; deinceps *Meles* annis 12; denique *Candaules* annis 17 Quod Ardyis annos septuaginta attinet, nescio an non regni sed vitæ anni fuerint, adeo ut βιώσας in βασιλεύσας abierit. — 36. ἐπὶ Μήλεω] Apud Eusebium l. l. post Ardyn regnat Sadyattes, et post hunc demum Meles. Num aliter statuit Nicolaus? An dicamus Alyatten Eusebii eundem esse cum Sadyatte Tylonio illo Nicolai, qui per triennium pro Mele exule regnum administravit? Neutrum est probabile. Imo, quemadmodum ex sequentibus patebit Excerptorem non integram reddere Nicolai narrationem, sed ea quæ consilio suo inservirent delibasse, sic hoc quoque loco omisisse mihi videtur, quæ de Sadyatte (quem infra Adyatten dicit, not. 41) rege narrata erant. Ad hunc Sadyattem successionis jure post Ardyis patris obitum regnum pertinuisse, ex iis quæ de Dascyli cæde supra legimus, colligitur. — 37. Iisdem verbis Nicolaus utitur fr. 24.

οὐκ ἐπείσθη, λέγων μὴ ἑωρακέναι τὸν πατέρα· κυεῖσθαι γὰρ ἔτι ὅτε ἀνῄρητο· οὔκουν προσήκειν αὐτῷ ταῦτα πολυπραγμονεῖν. Μήλης δὲ φεύγων τὴν ἀρχὴν ἐπίστευσε Σαδυάττῃ τῷ Κάδυος, γένος ὄντι τὸ ἀνέκαθεν ἀπὸ Τύλωνος, ὅστις (38) φεύγοντα ἐπετρόπευσε, καὶ κατιόντα ἐκ Βαβυλῶνος ἐδέξατο μετὰ τρία ἔτη, καὶ τὴν βασιλείαν οἱ ἀπέδωκε πιστῶς.

Βασιλεύοντος δὲ (39) Μύρσου (40), Δάσκυλος ὁ Δασκύλου τοῦ σφαγέντος ὑπὸ Σαδυάττεω (41), μὴ τὴν ἐπιβουλὴν εἰς ἑαυτὸν ἐπισπάσηται ὑπὸ τῶν Ἡρακλειδῶν φοβηθεὶς, ἐκ Φρυγίας φεύγων ᾤχετο εἰς Σύρους τοὺς ἐν τῷ Πόντῳ ὑπὲρ Σινώπης οἰκοῦντας· ἐκεῖ δὲ καταμείνας γυναῖκα τῶν ἐγχωρίων ἔγημε Σύραν, ἐξ ἧς αὐτῷ γίνεται Γύγης.

Ὅτι Σαδυάττης (42) ὁ ἔσχατος βασιλεὺς Λυδῶν κατελύθη τρόπῳ τοιούτῳ. Ἦν τις ἐν Σάρδεσι Δασκύλου θεῖος τοῦ εἰς Πόντον ἀποχωρήσαντος, Ἄρδυς ὄνομα, Γύγεω παῖς· οὗτος Σαδυάττῃ τῷ βασιλεῖ ἐνέτυχεν (43) ἀχθόμενος ἀτεκνίᾳ δοῦναί οἱ μεταπεμψαμένῳ Δάσκυλον ἐκ τοῦ Πόντου θέσθαι παῖδα, ὡς μὴ ἔρημος αὐτοῖς ὁ οἶκος γένοιτο, αὐτοῦ μὲν ὄντος ἄπαιδος, ἐκείνων δὲ οἰχομένων· ἐπιεικὲς δὲ ἤδη εἶναι σπένδεσθαι τοῖς Δασκυλίοις· καὶ γὰρ τοὺς τοῦ βασιλέως προπάτορας (44) ἔφη καλεῖν αὐτοὺς εἰς Λυδίαν ἀπὸ τῆς φυγῆς. Ταῦτα δεομένῳ τῷ Ἄρδυϊ δίδωσιν ὁ βασιλεὺς, καὶ ὃς ἐπὶ Δάσκυλον πέμψας, εἰς Λυδίαν αὐτὸν ἐκάλει. Ὁ δὲ φιλοχωρῶν οὐχ ὑπήκουσε· τὸν μέντοι παῖδα Γύγην ἔπεμψε, περὶ ιη' ἔτη γεγονότα. Τοῦτον ἐλθόντα δέχεται ὁ Ἄρδυς καὶ παῖδα ἀπέδειξεν. Ἦν δὲ ὁ Γύγης κάλλει τε καὶ μεγέθει διαφέρων, τά τε πολέμια γενναῖος, καὶ τῶν ἡλίκων μακρῷ τὰ πάντα ἄριστος, ἵππων τε καὶ ὅπλων χρῆσιν ἤσκει. Καί τις ὑπὲρ αὐτοῦ λόγος ἐφοίτησεν πρὸς βασιλέα, οἷος εἴη κατά τε ἔργα καὶ ἰδέαν (45), εἴτε καὶ ὄντως ἐπαινοῦντος τοῦ λέγοντος, εἴτε καὶ ὑπὸ φθόνου, ὡς ἂν αὐτῷ κακόν τι γένοιτο. Βασιλεὺς δὲ ἡσθεὶς μετεπέμψατο τὸν Γύγην, καὶ θεασάμενος ἠγάσθη τό τε εἶδος καὶ τὸ μέγεθος, ἐκέλευσέ τε μετὰ τῶν δορυφόρων εἶναι. Ὀλίγου δὲ χρόνου καὶ αὐτὸς, ὡς

Ille autem non obtemperavit, haud se vidisse patrem aiens; nam quo tempore interfectus esset, ipsum in utero adhuc fuisse; quare non esse cur istis nihil ad se pertinentibus se immisceret. Meles autem solum vertens administrationem regni commisit Sadyattæ, Cadyis filio, qui a Tylone genus ducebat; is exulis res tutatus est, et post triennium Babylone redeuntem excepit regnumque ei restituit fideliter.

Regnante Myrso, Dascylus, Dascyli a Sadyatte necati filius, metuens ne ipse quoque insidiis ab Heraclidis appeteretur, relicta Phrygia, ad Syros se contulit, qui ad Pontum supra Sinopen habitant; ibique sedem figens ex indigenis mulierem Syram duxit, quæ Gygem filium ei peperit.

Sadyattes, Lydorum rex postremus, hunc in modum est eversus. Erat quidam Sardibus Dascyli in Pontum digressi avunculus, Ardys nomine, Gygis filius. Hic, liberorum orbitatem ægre ferens, ad Sadyattem regem accessit ex eoque petivit, ut Dascylum ex Ponto advocare et in filii locum adoptare sibi liceret; ne deserta domus sibi evaderet, ipso prole carente, reliquis defunctis. Præterea æquum esse cum Dascyliis in gratiam redire : nam avum quoque regis in Lydiam eos ex exilio revocasse dixit. Hæc petens Ardys quum a rege obtinuisset, Dascylum misso nuntio in Lydiam arcessivit. Ille vero in locis quos inhabitabat sibi placens, non obsecundavit, filium tamen Gygem misit annos natum circa duodeviginti. Hunc igitur venientem Ardys excepit et pro filio adoptavit. Erat Gyges pulchritudine corporis et proceritate insignis, in bellicis strenuus, et inter æquales longe omnibus rebus præstantissimus equorum armorumque usu se exercebat. Venit etiam ad regem de eo sermo, quam ille rebus gerendis atque forma excelleret, sive quod sincere qui id retulit laudaret, sive invidia ductus, ut malum aliquod ei conflaret. Ceterum his rex delectatus Gygem advocavit, et conspicatus formam ejus admirabatur corporisque custodibus accensuit. At paullo post ipse etiam rex fortitudinem juvenis suspectans, ex aperto qui-

— 38 ἀπὸ Τύλωνος ὅστις] ἀπὸ Τυλῶν ὄντινα codex. De *Tylis* insulis in sinu Persico vel de Tylide Thraciæ urbe (Steph. Byz.) nemo cogitaverit. Non loci, sed hominis vel gentis nomen desideratur. In mentem venit pro ἀπὸ Τυλῶν scrib. ἀπ' Ἀτυαδῶν, quod ob palæographicas et historicas rationes non improbabile est. At præstat : ἀπὸ Τύλωνος, ὅστις. Nam in seqq. memoratur Λίξος τοῦ Τελωνίου γένους. Non dubito quin utroque loco eadem stirps sit intelligenda. Auctorem vero hujus stirpis indicasse mihi videtur Xanthus (fr. 16) apud Plinium XXV, 5 : *Xanthus historiarum auctor in primo earum tradit, occisum draconis catulum revocatum ad vitam a parente, herbâ quam ballin nominat; eadem Thylonem* (l. *Tylonem*), *quem draco occiderat, restitutum saluti.* Ceterum Cadys Sadyattæ pater haud dubie distinguendus est a Cadye Ardyis regis fratre. Nam consentaneum est ex Ardyis genere, Ardyisque nepotem fuisse Melem regem, siquidem Heraclidæ reges omnes παῖς παρὰ πατρὸς regnum accepisse dicuntur (Herodot. I, 7). Sin ejusdem generis fuissent Meles et Sadyattes, non erat cur h. l. majores Sadyattis commemorarentur. — 39. βασιλεύοντος δὲ κτλ.] Apertum est iterum complura ab Excerptore omissa esse. — 40. Μύρσος] Hunc regem Eusebius non recenset. Nomen ejus legitur apud Herodotum (I, 7), ubi : Κανδαύλης δὲ ὁ Μύρσου ὕστατος (sc. τῶν Ἡρακλειδῶν). — 41. Σαδυάττης] Supra idem dicebatur Ἀδυάττης, solenni nominum vel potius ejusdem nominis formarum (ut *Androcottus* et *Sandrocotus*, *Atropates* et *Sadropates*, *Œbares* et *Sœbares* etc.) confusione. — 42. Σαδυάττης] Ἀδυάττης codex et hoc loco et infra denuo. Reliquis quinque locis, ubi nomen in hoc fr. memoratur, codex habet Σαδυάττης, quod ubique exhibui. Herodoto est Κανδαύλης τὸν οἱ Ἕλληνες Μυρσίλον ὀνομάζουσιν. Quæ deinde sequuntur de ratione, qua Heraclidarum regnum a Gyge eversum sit, item longe recedunt a notissimis illis quæ Herodotus aliique tradiderunt. — 43. ἐνέτυχεν δοῦναί οἱ] De hac constructione v. Steph. Thes. v. ἐντυγχάνω p. 1187, A, ubi laudatur Plutarch. Pomp. c. 55 : μεταπεμψάμενος τοὺς δικαστὰς ἐνέτυχε βοηθεῖν. — 44. προπάτορας] intellige Melem avum, qui Dascylum invitaverat, ut in Lydiam e Ponto

φασιν, ὑποτοπήσας τὸ γενναῖον τοῦ νεανίσκου, ἐκ μὲν τοῦ φανεροῦ διαφθείρειν αὐτὸν οὐκ ἐβούλετο, μηδεμιᾶς ὑπούσης αἰτίας, ἑτέρῳ μέντοι τρόπῳ, πόνους προστάττων χαλεπούς τε καὶ μεγάλους, ἐπί τε κάπρους καὶ ἄλλα θηρία στέλλων. Ἅπαντα δὲ Γύγης ῥώμῃ κατειργάζετο· κἄπειτα ὑπ' αὐτῶν τούτων μεταβαλὼν (46) ὁ Σαδυάττης (47) ἔστεργεν αὐτὸν, θαυμάζων τὸ δραστήριον, καὶ τῆς πρόσθεν ὑποψίας λήξας γῆν αὐτῷ πολλὴν ἐνεχείρισεν. Ἐν ᾧ ἄριστα ἔπραξεν ὁ Γύγης. Ἐπεὶ δὲ αὐτὸν σφόδρα ἔστεργε καὶ πάντων μάλιστα προὐτίμα, πολλοὶ δὴ (48) διὰ φθόνον ἤχθοντό οἱ καὶ ἐμέμφοντο τῷ βασιλεῖ, ὧν καὶ Λίξος τοῦ Τυλωνίου γένους (49). Οὗτος τὸν Σαδυάττην ᾐτιᾶτο, ὅτι τὸν Γύγην ἐχθρὸν πατέρων ὄντα μεγάλως ἀσπάζεται καὶ πάντως (50) ἡγεμόνα ἀποδείξει. Ὁ δ' οὐ προσεῖχε τὸν νοῦν, ἀλλ' ὑπὸ φθόνου ᾤετο ταῦτα λέγειν. Ἐπεὶ δὲ πολλάκις ταῦτα λέγων ὁ Λίξος οὐκ ἔπειθε, μαίνεσθαι προσποιηθεὶς, διὰ τοῦ Σάρδεων ἄστεος φοιτῶν (51) ἐβόα, ὅτι Σαδυάττην (52) τὸν βασιλέα κτείνειν μέλλοι Γύγης ὁ Δασκύλου. Ἐκ τούτων [γαμεῖν] ἔμελλε (53) Σαδυάττης τὴν Ἀρνώσσου θυγατέρα ὄνομα Τουδὼ τοῦ Μυσῶν (54) βασιλέως, ὅστις πόλιν Ἀρδύνιον (55) ἔκτισεν ἐν Θήβης πεδίῳ. Ἐπεὶ δὲ καιρὸς ἦν μετιέναι τὴν γυναῖκα, ἅρμα ζεύξας καὶ Γύγην ἐπιβιβάσας ἐπ' αὐτὸ, ἐξέπεμψε παρὰ τὸν πενθερὸν, ὡς ἂν κομίσειε τὴν νύμφην. Φασὶ δὲ τέρας (56) αὐτοῖς τοιόνδε συνενεχθῆναι· ἀετοὺς β' ὑπερμεγέθεις, ἡνίκ' ἔμελλον ἐξορμᾶν, ἐφίζεσθαι ἐπὶ τὸν θάλαμον ἔνθα ἦν, τοὺς δὲ μάντεις εἰπεῖν, ὅτι δυοῖν βασιλέων ἡ παῖς γυνὴ ἔσοιτο ἐν τῇ πρώτῃ νυκτί. Μετ' οὐ πολὺ δὲ Γύγης παρῆν, καὶ τοῦ πατρὸς δόντος τὴν νύμφην ἀπεκόμιζεν· ὀχούμενος δ' ἐπὶ τοῦ ἅρματος ὁ Γύγης εἰς ἔρωτα ἐνέπεσε, καὶ καρτερεῖν οὐ δυνάμενος, ἐπειρᾶτο αὐτὴν καί τι καὶ προσεφιλοφρονεῖτο. Ἡ δὲ μάλα καρτερῶς ἀναινομένη ἐξεπικραίνετό τε καὶ ἠπείλει αὐτῷ πολλὰ καὶ δεινά. Ὡς δὲ ἀφίκετο παρὰ τὸν βασιλέα, πάντ' ἔφρασεν ὅσα ὁ Γύγης ἐποίει, καὶ ὡς μιγῆναί οἱ ἤθελεν. Ὁ δὲ ὀργισθεὶς ὤμοσε τῇ ὑστεραίᾳ Γύγην κτείνειν. Ταῦτα ἤκουσε θεράπαινα παροῦσα ἐν τῷ δωματίῳ, στέργουσα σφόδρα τὸν Γύγην. Ἡ δὲ

dem perdere eum nolebat, quum causa non suppeteret, verum alio modo necem ei parabat magnos difficilesque labores imponens et contra apros aliasque belluas eum emittens. Sed hæc omnia Gyges robore suo confecit; et deinde ob ea ipsa Sadyattes, mutata sententia, dilexit eum, strenuitatem admirans, et prioris suspicionis oblitus multam ei terram dedit. Tum igitur præclara fortuna Gyges utebatur. Quum vero adamaret eum rex et reliquis longe anteponeret, multi præ invidia graviter id ferentes regem reprehendebant. Inter quos etiam Lixus erat e gente Tylonia. Is Sadyattæ exprobrabat, quod Gygem, qui majorum esset inimicus, amore complecteretur et haud dubie summæ rerum præfecturus esset. Verum ad hæc non attendebat rex, præ invidia dici existimans. Lixus autem quum eadem sæpius repetens nihil proficeret, simulato furore per Sardes urbem discurrens vociferabatur necem regi a Gyge Dascyli filio intentari. — Post hæc Sadyattes uxorem ducere volebat Tudonem, Arnossi filiam Mysorum regis, qui Ardynium urbem in Thebes campo condiderat. Itaque ubi tempus aderat arcessendi mulierem, rex currum jungens eique Gygem imponens misit ad privignum, ut sponsam adduceret. Interea illis prodigium apparuisse fertur hujusmodi: aquilas duas maximas, quo tempore Gyges profecturus erat, supra cubiculum puellæ consedisse aiunt, indeque vates nuntiasse puellam duorum regum prima nocte fore uxorem. Nec multo post advenit Gyges, et tradente patre puellam abducit. Dum vero curru vehitur, amore ejus inflammatur, nec sui compos tentabat eam et amplecti studebat. Illa vero vehementer aversata exasperabatur multaque diraque minabatur. Et ad regem veniens omnia dixit quæ Gyges fecisset et quomodo consuescere secum voluisset. Quibus iratus ille postridie se Gygem interfecturum juravit. Hæc audivit ancilla in cubiculo tunc præsens, quæ Gygem deperiens

rediret. — 45. ἰδέαν] εἰδέαν codex. — 46. μεταβαλὼν] μεταλαβὼν codex. — 47. Σαδ.] sic h. l. cod. — 48. δὴ] δὲ codex. — 49. τοῦ τελωνίου γ. codex. Vide supra not. 38. — 50. πάντως] fort. πάντων. — 51. φοιτῶν] codex: φροτῶν, suprascripta litera υ, adeo ut fuerit φρυτῶν (φουτῶν, φοιτῶν). — 52. Σαδυάττην] sic cod. — 53. ἔμελλε] Supplevi vocem γαμεῖν. Deinde codex iterum Σαδυάττης. — 54. Τουδὼ τοῦ Μυσ.] τρυδωνοῦ Μυσῶν codex. Cf. Ptolemæus Hephæstionis ap. Phot. Bibl. p. 150 Bekk. (p 195, 16 in Westermanni Mythogr.): Ὡς ἡ Κανδαύλου γυνὴ, ἧς Ἡρόδοτος οὐ λέγει τοὔνομα, Νυσία (sic Bekk. et Westerm.; Νυσσία mgo; Μυσία vgo) ἐκαλεῖτο· ἣν καὶ δίκορον καὶ ὀξυωπεστάτην φασὶ γενέσθαι, τὸν δρακοντίτην κτησαμένην λίθον· διὸ καὶ αἰσθέσθαι τὸν Γύγην ἐξιόντα διὰ τῶν θυρῶν (v. Herodot. I, 8). Ἄλλοι Τουδοῦν αὐτὴν καλεῖσθαι, οἱ δὲ Κλυτίαν, Ἄβας δὲ Ἀβρὼ ταύτην καλεῖσθαι. Σιγῆσαι δὲ τοὔνομά φασι τῆς γυναικὸς τὸν Ἡρόδοτον, ἐπεὶ ὁ ἐρώμενος Ἡροδότου Πλησίρροος Νυσίας ὀνόματι ἐρασθεὶς, Ἁλικαρνασίας τὸ γένος, ἐπεὶ μὴ τύχοι τῆς ἑταίρας, οὐκ ἀνεχόμενος βρόχῳ ἑαυτὸν ἀνήρτησε. De nomine Τουδὼ Bæhrius ad Herodot. I, 13: « Etruscum quid aut Umbricum sonare videtur. Vide Lanzi in *Saggio di ling. Etrusc.* II, p. 146. 149. 151 (ubi *Tute*, i. e. Τυδεύς), III, p. 808 (*Tuticus*, *Tudere*, i. e. *Tuder*). Add. C. O. Müller. *Etrusc.* tom. I, p. 334. Nam Tuscorum urbs memoratur *Tuder.* » Sed de his utcunque statuas, non dubitavi Τουδὼ reponere pro Τρυδὼ, quum literam ο etiam in proxime antecedentibus in ρ abiisse viderimus. Nomen Νυσία probabiliter ortum est ex Μυσία. — 55. Ἀρδύνιον] Urbem nemo memorat præter Xanthum apud Stephan. Byz.: Ἀρδύνιον, πόλις ἐν Θήβης πεδίῳ, ὡς Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ. Ex Nicolai loco colligitur Xanthum in secundo Lydiacorum libro narrationem deduxisse usque ad postremum regem Heraclidam. Libro primo eadem tractaverit quæ Nicolaus exposuit libro tertio (Atyadarum historiam). — 56. δὲ τέρας] δ' ἑτέρας codex. Mox pro ἔμελλον malim ἔμελ-

πάντ' ἐκείνῳ παραχρῆμα ἤγγειλεν. Ὁ δὲ νυκτὸς ἔτι οὔσης περιδραμὼν τοὺς φίλους, κοινοῦται τὸν λόγον καὶ ἀξιοῖ (57) βοηθεῖν ὁρμῶντι κτείνειν τὸν βασιλέα. Προσανεμίμνησκε δὲ καὶ τῆς Ἄρδυος ἀρᾶς, ὅτι ἐπηράσατο τοῖς Δασκύλου φονεῦσι. Κρίνων δ' οὖν ἐκ τῶν παρόντων ἀνελεῖν Σαδυάττην μᾶλλόν περ ἢ αὐτὸς ἀποθανεῖν ὑπ' αὐτοῦ, ἐπεὶ τοὺς πιστοτάτους τῶν φίλων ηὐτρεπίσατο, ἵεται σὺν ξίφει ἐπ' αὐτὸν, τῆς δὲ θεραπαίνης τὰς θύρας τοῦ δωματίου διοιξάσης, ἐπεισελθὼν κτείνει καθεύδοντα Σαδυάττην (58) βασιλεύσαντα ἔτη γ' (59).

Ἕωθεν δε καθ' ἡσυχίαν μετεπέμπετο ἕκαστον τῶν φίλων καὶ τῶν ἐχθρῶν, ὡς τοῦ βασιλέως αὐτοὺς καλοῦντος, καὶ τοὺς μὲν ἀνῄρει οὓς ᾤετο ἐναντίους ἔσεσθαι, τοῖς δὲ δῶρα διδοὺς ἐπικούρους ἐποιεῖτο. Ἐπεὶ δὲ αὐτῷ πολλοὶ συνηλίσθησαν, ἐπιβατεύων τῆς ἀρχῆς πασσυδεὶ (60) ἐξοπλίζεται, καὶ ἐξέρχεται εἰς τὴν ἀγορὰν καὶ συγκαλεῖ Λυδοὺς εἰς ἐκκλησίαν. Οἱ δὲ τὸ μὲν πρῶτον ἐταράχθησαν, δυσανασχετοῦντες τὸ ἔργον, καὶ ἐπὶ Γύγην ὡρμῶντο· πραΰνοντος δ' αὐτοὺς ἐκείνου καὶ λόγον αἰτουμένου, ὡς ἂν διδάξῃ τὸ πλῆθος περὶ ὧν ἠγνόει, μάλιστα τοῦ θορύβου ἔληξαν, τὰ μὲν ἀκοῦσαί τι σαφὲς ἐπιποθοῦντες, τὰ δὲ καὶ φοβούμενοι τοὺς ὁπλίτας, καὶ ἐσιώπησαν. Καὶ ἔπεμψαν εἰς Δελφοὺς πευσόμενοι εἰ Γύγην στήσαιντο ἑαυτῶν βασιλέα. Θεὸς δ' ἐκέλευσε τοσόνδε προειπὼν, ὅτι τοῖς Ἡρακλείδαις εἰς πέμπτην γενεὰν ἥκοι τίσις παρὰ τῶν Μερμναδῶν (61). Τοὐντεῦθεν Γύγης ὁ Δασκύλου Λυδῶν βασιλεύει, καὶ γαμεῖ τὴν Μυσὴν γυναῖκα, ἥντινα Σαδυάττης (62) ἠγάγετο, οὐδὲν μνησικακήσας ὧν αὐτοῦ κατεῖπε πρὸς ἐκεῖνον. Λίξον δὲ προεῖπεν εἰς ὄψιν μὴ ἀφικνεῖσθαι ἐπομόσας, ἦ μὴν κατορύξειν αὐτὸν ἐν ᾧ ἂν ἴδοι χωρίῳ πρῶτον. Ὁ δ' ἐξετρέπετο τὸν πάντα χρόνον καθ' ἑτέρας ὁδοὺς φοιτῶν, εἰργόμενος τῶν βασιλείων. Συλλαβεῖν δ' οὖν αὐτὸν ἐπιθυμῶν Γύγης, ὅμως οὐκ ἐβούλετο παρὰ τὴν ῥήτραν. Καί τις αὐτῷ τῶν φίλων ὑπέθετο, εἰ κατὰ τὰ συγκείμενα λαβεῖν αὐτὸν ἐθέλοι, τρέπεσθαι κατὰ τὰς ὁδοὺς ἃς ἔθος ἦν ἐκείνῳ διεξιέναι· αὐτὸς δ' ἔφη ταύτας γινώσκειν. Ὁ δὲ Γύγης ἐκέλευε τὸν ἄνθρωπον ἡγεῖσθαι· καὶ αὐτὸς ἐκείνῃ τὸ ἅρμα κατήλαυνε (63). Καί πως αὐτῷ κατὰ δαίμονα συντυγχάνει Γύγης ἐν ἐπικάμψει τῆς ὁδοῦ. Στενῆς δ' οὔσης, οὐκ ἔχων ὅπῃ τράπηται ἐξ ὀφθαλμῶν τοῦ βασιλέως ὁ Λίξος, ὑποδύεται ὑπὸ τὸ ἅρμα καὶ κρύπτεται. Γύγης (64) δὲ προνοήσας ἐκσπᾶν

omnia ei statim nuntiavit. Itaque multa adhuc nocte ad amicos discurrens, sermonem cum iis communicat, rogatque ut sibi regem interfecturo auxilientur. In memoriam etiam diras iis revocat quibus Ardys Dascyli percussores devovisset. Igitur ex re præsente censens Sadyattem interficere potius quam ipsum ab eo interfici, quum amicorum fidelissimos sibi adjunxisset, gladio armatus in regiam irruit, et in cubiculum, cujus fores ancilla aperuit, ingressus, dormientem interficit Sadyattem, qui tribus tunc annis regno potitus erat.

Inde a diluculo amicos et inimicos multa cum tranquillitate arcessivit, quasi rege vocante, atque eos, quos adversarios sibi fore putabat, occidit, alios donorum largitione auxiliarios sibi conciliavit. Quorum postquam magnum numerum congregaverat, regnum sibi vindicaturus festinanter armis se instruit et in forum progressus Lydos in concionem convocat. Qui primum quidem facinus istud indignantes tumultuabantur et in Gygem irruituri erant. Illo vero demulcente et loquendi veniam petente, ut quæ ignorarent ipsos edoceret, mox cessit tumultus, aliis disertius aliquid audire cupientibus, aliis etiam milites timentibus, factumque est silentium. — Deinde Delphos miserunt sciscitantes num Gygem sibi regem crearent. Jussit deus, addens simul hoc : ultionem Heraclidis venturam quinta generatione ab Mermnadis. Dehinc Gyges Dascyli filius Lydis imperavit, et Mysam mulierem, quam antea Sadyattes sibi junxerat, uxorem ducit, nihil memor eorum, quæ contra ipsum illa Sadyattæ dixerat. Lixo autem denuntiavit, ne in conspectum sibi veniret, juravitque se eum defossurum esse quo loco primum viderit. Ille igitur a regia prohibitus aliis semper viis incedebat, ut regis occursum devitaret. Gyges vero eum comprehendere quidem, neque tamen contra edictum, cupiebat. Quare ex amicis quidam suggessit, ut, si salvo pacto eum prehendere vellet, in eas vias se converteret, quas ille percurrere soleret, ipse bene notas haberet. Jussit itaque Gyges hominem istum ducem agere, ipse autem per monstratas vias curru vehebatur. Et forte fortuna Lixus in viæ flexu obviam fit, ubi propter angustias quum devertendo subducere se oculis regis non posset, currum subit ibique se abscondit. Quod animadvertens Gyges protrahi eum jubet. Et quum fecissent hoc

λεν. — 57. ἀξιοῖ] ἐξιοῖ codex. Deinde ὁρμῶν κτείνειν. Quomodo Herodotus rem narraverit, omnibus notum est. Mitto etiam quæ de Gyge ejusque annulo mirifico narrant Plato De Rep. II, 3 aliique. Propius ad nostra accedit Plutarchus qui bello Gygem contra Candaulem dimicasse refert in Qu. Gr. c. 45, ubi hæc : Διὰ τί τοῦ Λαβράδεως Διὸς ἐν Καρίᾳ τὸ ἄγαλμα πέλεκυν ἠρμένον, οὐχὶ δὲ σκῆπτρον ἢ κεραυνὸν πεποίηται; Ὅτι Ἡρακλῆς Ἱππολύτην ἀποκτείνας, καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν τὸν πέλεκυν, Ὀμφάλῃ δῶρον δέδωκεν, οἱ δὲ μετ' Ὀμφάλην Λυδῶν βασιλεῖς ἐφόρουν αὐτὸν, ὥς τι τῶν ἄλλων ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες· ἄχρι Κανδαύλης ἀπαξιώσας, ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν. Ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτὸν, ἦλθεν Ἄρσηλις ἐκ Μυλέων ἐπίκουρος τῷ Γύγῃ μετὰ δυνάμεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον αὐτοῦ διαφθείρει· καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκόμισε μετὰ τῶν ἄλλων λαφύρων. κτλ. — 58. Σαδ.] sic cod. — 59. ἔτη γ'.] ιζ' sec. Euseb. Comprehendi iis videntur anni Myrsi, quem omittit Euseb. — 60. πασσυδεὶ] τάσσυ δεῖ cod. — 61. μερμνάδων cod. De his cum Xantho consentit Herodotus I, 13, ubi vide. Ceterum pro προειπὼν legi velim προσειπών. — 62. Σαδ.] sic cod. — 63. κατήλαυνε] καὶ ἤλαυνεν codex. — 64. Γύγης] γήγης cod.

αὐτὸν ἐκέλευε, καὶ ἐπεὶ ἐξείλκυσαν οἱ θεράποντες καὶ ἐναντίον ἔστησαν τοῦ ἅρματος, εἶπεν ὁ Γύγης· « Ἐνταῦθα δή σε χρὴ, ὦ Λίξε, κατορύξαι· τοῦτο γὰρ ἡμῖν συγκείμενον. » Καὶ ὃς (65) οὐδὲν ὑποθωπεύσας· « Σὲ μὲν οὖν, ἔφη, ταῦτα παθεῖν δικαιότερον, ὃς ἐμὲ διώκων ἐκτρεπόμενον ὁδοὺς ἦλθες οὐ πρεπούσας βασιλεῖ. » Οἱ δὲ φίλοι τὸν Γύγην, ἐπὶ συννοίας γενόμενον πολὺν χρόνον, ἔπεισαν ἀφεῖναι Λίξον (66) τοῦ θανάτου. Καὶ ὃς ἔφη ὀμωμοκέναι κατορύξαι αὐτὸν ἔνθα ἂν τύχοι πρῶτον· οἱ δ' ἔφασαν· « Ἐπειδὰν τελευτήσῃ, τοιγαροῦν ἐνταῦθα κατόρυξον, καὶ εὔορκά σοι ἔσται. » Ὁ δὲ ἐπείσθη τε καὶ διὰ ταῦτα ἀφῆκε Λίξον. Μετὰ δὲ ταῦτα ἐπὶ δεῖπνον ἐκάλεσε, χαμαί τε ἀνέκλινε καὶ τὰ ὀστᾶ παρετίθει φαῦλά τε σιτία, πίνειν τε ὄξος ἐνέχει· καί πως δειπνοῦντα ἤρετο (67), πῶς γε δειπνοίη. Ὁ δ' εἶπεν « Ὡς εἰκὸς παρὰ ἀνδρὶ ἐχθρῷ. » Ὁ δὲ γελάσας εὖ μάλα, τῶν αὐτῷ παρακειμένων ἐπεδαψιλεύετό τε (68) καὶ εὐμενέστερος ἐγένετο. Χρόνου δὲ προϊόντος, διαλλαγεὶς φίλον ἐποιήσατο καὶ οὐδὲν ἔτι εἶχεν ἐν γνώμῃ τῶν πάλαι.

ministri, et ante currum hominem collocassent, « Ibi, Gyges inquit, ego te, o Lixe, defodere debeo. Sic enim inter nos convenit. » Ille vero nihil subblandiens : « Te potius, ait, hoc pati par est, qui me adspectum tuum vitantem persequens vias regem haud decentes ingressus es. » Tum amici Gygi diu cogitabundo suadebant, ut Lixum supplicio liberaret; et quum rex jurasse se diceret se defossurum eum quo loco primum conspexisset, responderunt : « Quando vita defunctus erit, tum hocce loco eum defodias, et salva erit fides jurisjurandi. » Quibus ille persuasus Lixum dimisit. Postea ad convivium vocavit, humique decumbere jubens ossa cibosque viles apponebat, et acetum bibendum ei infundebat. Ac forte cœnantem interrogavit, quo modo cœnare sibi videretur. Ad quod ille : « Uti par est apud virum inimicum » respondit. Risit de eo dicto Gyges vehementer, et jam clementior de cibis sibi appositis Lixo largiebatur. Progrediente deinde tempore in gratiam rediens in amicis eum habebat, pristinæ inimicitiæ prorsus oblitus.

50.

Exc. De ins. : Ὅτι ἐν Ἀθήναις Δημοφῶν ἐβασίλευσεν, ἐφ' οὗ Ὀρέστης μητροκτονήσας εἰς Ἀθήνας ἧκε (1), μετὰ δὲ τοῦτον Ὀξύντης, μετὰ δὲ ἐκεῖνον Θυμοίτης, ὃς, τοῦ πατρὸς τελευτήσαντος, εἰδὼς τὴν βασιλείαν τῷ γνησίῳ ἀδελφῷ προσήκουσαν, δολοφονήσας αὐτὸν κατέσχε τὴν ἀρχήν (2).

Athenis Demophon regnavit, sub quo Orestes matricida Athenas venit; post Demophontem vero Oxyntes, post hunc Thymœtes, qui quum regnum post patris obitum ad (*Aphidam*) fratrem, Oxyntæ filium legitimum, pertinere sciret, hunc per insidias occidit, atque sic imperio potitus est.

51.

Exc. De virt. : Ὅτι Ἱππομένης, ὁ Ἀθηναίων ἄρχων, ἐξέπεσε τῆς ἀρχῆς δι' αἰτίαν τοιάνδε. Ἦν αὐτῷ θυγάτηρ, ἥντινα τῶν ἀστῶν (1) τινος λάθρα αἰσχύναν-

Hippomenes Atheniensium princeps magistratu pulsus est ob hanc causam. Erat ei filia virgo, quam civis nescio quis vitiavisset; iratus Hippomenes religatam cum equo in

— 65. καὶ ὃς] καὶ ὡς cod. — 66. Λίξον] λίξιν cod. — 67. ἤρετο] εἴρετο codex. Deinde πῶς τε et εἰκὼς cod. De regiis convivis cum Lixo nostro comparandis vide quæ Posidonius narrat fragm. 8. — 68. ἐπεδ.] ἐπεδαψιλευτότε codex. Pro τότε ad marginem cod. notatur πρός τε. Subjungo tabulam nominum quæ in hoc fragmento commemorantur :

Atyadæ?	Heraclidæ.			Mermnadæ.	
Tylon.		Alcimius.			
		Sadyattes.			
	Kadys. (*Damamo*) (*Spermos.*)	Ardys.		Gyges.	
Ardys.		Sadyattes.		Dascylus.	Ardys.
Sadyattes.		Meles.		Dascylus	Ponticus.
		Myrsus.			
Lixus.		Sadyattes.	*Tudo.*	Gyges.	

50. *Cod. Escor. fol.* 82, 14-17 *r.* — 1. Cf. fr. 34 et Marm. Par. epoch. 25. — 2. De Thymœte Oxyntæ filio spurio Aphidæque fratre, vide Demon (fr. 1) ap. Athen. III, p. 96, D. Fratri Thymœtæ unum regni annum assignat Eusebius in Chron. p. 136 et 300 ed. Mai. Secundum Nicolai auctorem Aphidas omnino non pervenisse ad regnum videtur.

51. *Cod. Tur. fol.* 154, 29 *r.* — 154, 4 *vso.* Eadem Suidas v. Ἱππομένης et schol. Berolin. ad Liban. Ep. p. 125

τος (2), ὑπ' ὀργῆς (3) καθεῖρξεν εἰς οἴκημα δήσας σὺν ἵππῳ, καὶ τροφὴν οὐδετέρῳ (4) εἰσέπεμπε. Πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ, ἀναλώσας τε αὐτὴν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. Μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως, ἀπ' ἐκείνου ὁ χῶρος ἐκαλεῖτο Ἵππου καὶ Κόρης.

angusta cella conclusit, neutri alimentum subministrans. Proinde urgente fame equus, in puellam impetu facto, eam consumpsit, neque secius ipse postmodum fame periit. Deinde quum domus solo æquata fuisset, locus Equi ac Puellæ ex re appellatus est.

52.

Exc. De insid. : Ὅτι Κυρηναίοις (1) οἱ Βάττου παῖδες Ἀρκεσίλαος ** πρὸς ἀλλήλους στασιάσαντες μάχην ἤγειραν Λίβυας ἐπ' αὐτοὺς ἐνεγκόντες. Καὶ ἡττῶνται Κυρηναῖοι· ἑπτακισχίλιοι γὰρ ἀπέθανον ἐν τῷ πολέμῳ. Ἀρκεσίλαος δ' ἐπὶ τούτοις φάρμακον πίνει· δυσθνητοῦντα δ' αὐτὸν ὁ ἀδελφὸς ἦγξε (2) Λέαρχος. Τὸν δὲ Λέαρχον ἡ τοῦ Ἀρκεσίλεω γυνὴ κτείνει Ἐρυξώ (3). Τὴν δὲ ἀρχὴν ὁ τοῦ Ἀρκεσίλεω παῖς ἐκδέχεται Βάττος χωλὸς ὤν.

Cyrenæis Batti II filii, Arcesilaus *ejusque fratres*, dissidentes inter se, pugnam excitarunt, Afris ab altera factione contra eos immissis. Ac clade afficiuntur Cyrenæi, quorum septem millia in eo bello interfecti sunt. Quo casu afflictus Arcesilaus potum venenatum hausit. Et quum prompta mors non afferretur, Learchus frater eum strangulavit. Learchum vero uxor Arcesilai Eryxo necavit. Regnum deinde suscepit filius Arcesilai, Battus III, qui pede claudus erat.

53.

Ibid. : Ὅτι Ἴωνες ἐν τῷ πρὸς Ὀρχομενίους πολέμῳ καταδραμόντες (1) αὐτῶν τὰς κώμας, γυναῖκας αἰχμαλώτους πολλὰς ἠγάγοντο· καταπαλλακεύοντες δ' αὐτὰς, παῖδας ἐξεγέννησαν. Ὑποτραφείσης δὲ τῶν νόθων νεότητος οὐκ ὀλίγης, δείσαντες οἱ γνήσιοι ἐκ τῆς χώρας αὐτοὺς ἐξανέστησαν. Οἱ δ' εἰς Θορικὸν τῆς Ἀττικῆς ἀποχωρήσαντες, ἡγεμόνας αὐτῶν προστησάμενοι, ὁμοῦ τοῖς Ἴωσιν ἐξέπλευσαν (2). Συνήεσαν δὲ αὐτοῖς πολλοὶ Πελοποννήσιοι· σχόντες δὲ πρὸς τῷ Ἕρμῳ ταῖς ναυσὶ καί τινα νησῖδα καταλαβόμενοι οὐχ ἑκὰς τῆς ἠπείρου, πολλῶν αὐτοῖς βαρβάρων ἐπιόντων, ἀντεῖχον κρατοῦντες, καὶ ἐπί τινα λόφον τῆς ἠπείρου περάσαντες τὸ [δὲ] μεταξὺ πᾶν χωννύναι διενοοῦντο. Κἀνταῦθα τειχοδομεῖν κωλύοντος αὐτοὺς Μέννεω τοῦ Κύμης τυράννου, ὃς τότε τῶν ταύτῃ χωρίων ἐκράτει, Οὐατίας, ἀδελφὸς αὐτοῦ, φιλίαν καὶ ἐπιγαμίαν συντίθεται πρὸς αὐτοὺς ἐπὶ τῷ κεῖνον καταλῦσαι, καὶ αὐτοῖς χώραν δοῦναι

Iones contra Orchomenios bellum gerentes, in vicos eorum incursione facta, multas mulieres captivas abduxerunt, quibus pro pellicibus utentes genuerunt liberos. Spuriorum hæc juventus sat numerosa quum adolevisset, metuentes sibi genuini e regione eam expulerunt. Illi in Thoricum Atticæ pagum digressi, creatis sibi ducibus, una cum Ionibus in Asiam navigarunt. Admixti iis erant multi Peloponnesii. Appellentes ad Hermum fluvium insulam quandam haud procul a continente sitam occuparunt, ac propulsata barbarorum, qui hostili impetu ipsos aggrediebantur, multitudine, in collem quendam continentis transgressi, spatium intermedium aggere jungere constituebant. Ibi quum murum ducere impedirentur a Menne Cumæorum tyranno, cujus in potestate hæc regio erat, Uatias, frater ejus, amicitiæ fœdus et connubiorum jus iis proposuit, ea conditione ut Mennis imperium illorum opera everteret atque agrum iis daret sufficientem. Illi igitur cum

---

ed. Wolf. De re cf. not. ad Heraclid. Pol. 1. — 1. ἀστῶν] Suidas, αὐτῶν cod. — 2. αἰσχ. λάθρα] λάθρα αἰσχ. Suidas. — 3. ὑπ' ὀργῆς] ὑπὸ γῆς schol. Liban. — 4. οὐδετέρῳ] Suid., οὐδετέρου codex.

52. *Cod. Escor. fol.* 82, 18-24 *r.* — 1. Κυρηναίοις] κυρηναῖοι codex. Post vocem Ἀρκεσίλαος lacunam notavi. Exciderit : καὶ οἱ ἀδελφοὶ αὐτοῦ; nisi forte scribendum est ἐπ' Ἀρκεσίλεω. De re constat ex Herodoto IV, 160 (coll. Plutarch. De mul. virt. p. 260, Polyæn. Strateg. VIII, 41). Arcelaus II ὁ χαλεπὸς Batti secundi τοῦ εὐδαίμονος filius, discordias exercebat cum fratribus. Hi (Perseus, Zacynthus, Aristomedon et Lycus sec. Steph. Byz. v Βάρκη), relictis Cyrenis, Barcen urbem condunt, Afrisque persuadent, ut a Cyrenæis deficiant. Contra rebelles Arcesilaus exercitum educit, prœlioque ad Leuconem oppidum commisso, septem millia Cyrenæorum trucidantur. Μετὰ δὲ τρῶμα τοῦτο Ἀρκεσίλεων μὲν κάμνοντά τε καὶ φάρμακον πεπωκότα ὁ ἀδελφεὸς Λέαρχος ἀποπνίγει, Λέαρχον δὲ ἡ γυνὴ ἡ Ἀρκεσίλεω δόλῳ κτείνει, τῇ οὔνομα ἦν Ἐρυξώ. Διεδέξατο δὲ τὴν βασιληίην τοῦ Ἀρκεσίλεω ὁ παῖς Βάττος, χωλὸς ἐὼν καὶ οὐκ ἀρτίπους. Hæc Herodotus, quem Nicolaus h. l. consuluisse videtur. Arcesilaus II regnavit an. 550-540 sec. Reitz., 554-544 sec. Larcher. (v. Thrige De reb. Cyren. p. 173 not. 73). Quæ tempora quum non cadant in illud spatium, quod libro VII Nicolaus tractandum sibi sumsit, et quum in sequentibus demum Ionum migratio exponatur, sponte intelligitur, Nicolaum in antecedentibus narrasse, quomodo post reditum Heraclidarum Minyæ eorumque socii primum in Theram, deinde in Libyam migraverint, eaque occasione omnem Battiadarum historiam subtexuisse. Similiter rem Diodorus instituit VIII, 29 et 30. Uterque in his secutus fuerit Ephorum. — 2. ἀδελφὸς ἦγξε] ἀδελφοήγξε codex. In antecc. nota vocem δυσθνητοῦντα pro vulgari δυσθανατοῦντα. Pro Λέαρχος apud Plutarchum et Polyænum l. l. est Λάαρχος, idque genuina forma Cyrenaica fuerit, eaque etiam Herodoto reddenda, ubi libri plerique ἀλίαρχος, id quod ex ἄλαρχος, hoc vero ex λάαρχος depravatum esse cum Valckenario puto. Ceterum Plutarchus Learchum non fratrem Arcesilai, sed φίλον πονηρὸν dicit. — 3. Ἐρυξώ] ἐρυζώ codex.

53. *Cod. Escor. fol.* 82, 25 *r.* — 82, 15 *vso.* De re aliunde non constat. — 1. καταδραμόντες] καταδραμῶντες cod. — 2. Orchomenios Ionibus admixtos fuisse Herodotus quoque testatur I, 146 : Μινύαι δὲ Ὀρχομένιοι ἀναμεμίχαται κτλ. Cf.

αὐτάρκη. Οἱ δὲ ὡμολόγησαν ἐκείνοις τε καὶ τῶν Κυμαίων ὅσους (3) ἐδύναντο [ἐπηγάγοντο] (3), καὶ ἐπεξῆλθον ἐπὶ τὸν Μέννην. Ταχὺ δὲ καὶ τοῦ δήμου προσθεμένου αὐτῷ, νικήσας μάχῃ παραδίδωσι τοῖς Κυμαίοις τὸν ἀδελφόν· οἱ δ' ἐκ χειρὸς βαλόντες αὐτὸν κατέλευσαν, καὶ τὸν Οὐατίαν ἐστήσαντο βασιλέα. Ὁ δ' εὐθέως τὰς πρὸς Φωκαέας (4) συνθήκας ἠξίου ἐμπεδοῦν, ἃς ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας συνέθετο· οἱ δ' ἐπείσθησαν καὶ τῆς γῆς ἔδοσαν.

Uatiæ sociis pacta inierunt et Cumæorum quot poterant in suas partes adducentes contra Mennem egressi sunt. Mox quum etiam populus se Uatiæ adjungeret, prœlio victor fratrem Cumæis tradidit, qui lapidibus e manu jactis eum obruerunt atque Uatiam sibi regem crearunt. Hic vero statim curavit ut rata essent quæ de Orchomeniorum libertate cum Phocæensibus pepigerat. Obtemperarunt Phocæenses iisque terræ partem dederunt.

54.

Ibid. : Ὅτι Λεωδάμας ἐβασίλευσε Μιλησίων, καὶ ἐν τοῖς μάλιστα ἐπῃνεῖτο, δίκαιός τε ὢν καὶ τῇ πόλει καταθύμιος, εἰς ὃ φόνον αὐτῷ βουλεύσας Ἀμφιτρῆς ἐν ἑορτῇ Ἀπόλλωνος ἄγοντα ἑκατόμβην τῷ θεῷ Λεωδάμαντα (1) κατὰ τὴν ὁδὸν ἀπέκτεινεν, αὐτὸς δὲ μετὰ τῶν αὐτοῦ στασιωτῶν τὴν πόλιν κατελάβετο, καὶ τύραννος ἐγένετο, ἰσχύϊ προὔχων Μιλησίων. Οἱ δὲ Λεωδάμαντος παῖδες καὶ φίλοι νυκτὸς ἀπεχώρησαν εἰς Ἀσσησόν (2), ὑποδεχομένου αὐτοὺς προθύμως τοῦ ἐνόντος ἄρχοντος, ὅντινα Λεωδάμας πρότερον κατέστησεν. Μετ' οὐ πολὺ δὲ Ἀμφιτρῆς ἐπ' αὐτοὺς σὺν στρατῷ ἦλθε, καὶ προσκαθίσας ἐπολιόρκει. Οἱ δὲ μέχρι μέν τινος ταλαιπωρούμενοι ἀντεῖχον· μετὰ δὲ ταῦτα εἰς μαντεῖον πέμψαντες ἐχρηστηριάζοντο περὶ τοῦ πολέμου. Θεὸς δ' ἔφη, ἐκ Φρυγίας αὐτοῖς (3) ἥξειν βοηθούς, οἳ τίσιν τε πράξονται τοῦ Λεωδάμαντος φόνου, κἀκείνους τε καὶ Μιλησίους κακῶν ἀπαλλάξουσιν. Χρονιζομένης δὲ τῆς πολιορκίας, ἀφικνοῦνται νεανίσκοι, Τόττης καὶ Ὄννης, ἐκ Φρυγίας, ἱερὰ ἔχοντες Καβείρων ἐν κίστει κεκαλυμμένα· ἐχόμενοι δὲ τῆς κίστεως ἀμφότεροι, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, νυκτὸς ἔτι οὔσης προῆλθον εἰς τὸ τεῖχος, καὶ ἐκέλευον σφᾶς δέχεσθαι. Βαρυνόμενοι δὲ ὑπὸ τῶν φυλάκων καὶ ἐρωτώμενοι τίνες εἶεν, ἔφασαν ὅτι κατὰ πρόσταξιν θεοῦ ἱερὰ ἐκ Φρυγίας κομίζοιεν ἐπὶ τῷ Μιλησίων τε καὶ Ἀσσησίων ἀγαθῷ. Οἱ δ' εἰς νοῦν βαλόμενοι τὸν χρησμὸν δέχονται τοὺς νεανίσκους. Ἕωθεν δ' εἰς ἐκκλησίαν συνῆλθον οἵ τε τοῦ Λεωδάμαντος παῖδες καὶ οἱ ἄλλοι ἅπαντες, καὶ τοὺς Φρύγας ἤροντο, οἵτινές τε εἶεν καὶ ἐφ' ὅτῳ ἥκοιεν. Οἱ δ' ἔφασαν, θεὸν (4) αὐτοῖς κελεῦσαι σὺν τοῖς ἱεροῖς εἰς Ἀσσησὸν ἐλθεῖν, τιμωροὺς ἐσομένους τοῦ Λεωδάμαντος φόνου, ὅστις αὐτοῖς εἴη ὁ Λεωδάμας· αὐτοὶ γὰρ οὐ γινώσκειν· καὶ κακῶν ῥύεσθαι Μιλησίους καὶ Ἀσσησίους. Δεῖν οὖν, ὅπως ἂν ταῦτα γένοιτο (5) ἐπιτελῆ, θῦσαι τὰ νομιζόμενα αὐτοῖς. Οἱ δὲ ταῦτα ἀκούοντες ὁ πᾶς δῆμος ἐν χαρᾷ ἦσαν· τοῖς γὰρ λογίοις σύνδρομα ἐφαίνετο. Ὑπέσχοντό τε τὰ ἱερὰ ἱδρύσειν (6) παρὰ σφίσι καὶ τιμήσειν, εἰ ταῦτα

54.

Leodamas Milesiis imperavit, et quum justus esset et gratus civibus, summopere honorabatur. Tandem vero cædem ei per insidias parans Amphitres Apollinis festo hecatombam deo ducentem Leodamantem in pompa interfecit, et cum factionis suæ sociis urbem occupavit roboreque Milesiis superior tyrannide potitus est. Filii vero et amici Leodamantis noctu abscesserunt Assesum, ubi urbis præfectus, quem Leodamas olim constituerat, prompto animo eos excepit. Non multo post Amphitres cum exercitu contra eos egressus obsidione urbem cinxit. Oppidani per aliquantum temporis multas perdurantes ærumnas resistebant, deinde vero miserunt qui de exitu belli oraculum consulerent. Respondit deus venturos ipsis ex Phrygia auxiliatores, qui ultionem de cæde Leodamantis sumpturi, ipsosque et Milesios malis liberaturi essent. Interim quum duceretur obsidio, juvenes duo, Tottes et Onnes, ex Phrygia venerunt cum sacris Cabirorum in cista absconditis, quam ambo, alter hinc alter illinc, apprehensam ferentes, dum nox adhuc erat, ad murum accesserunt, petieruntque ut in urbem immitterentur. Quos quum custodes duris verbis increpantes interrogarent quinam essent, responderunt dei jussu se ex Phrygia sacra afferre, quæ Assesiis Milesiisque forent saluti. Tum illi in animum revocantes oraculum, juvenes in urbem recipiunt. Orto diluculo in concionem congressi Leodamantis filii ceterique omnes ex juvenibus quærunt quinam essent et cujus rei causa venissent. Illi deum dixerunt jussisse ipsos Assesum proficisci, ut cædem ulciscerentur Leodamantis (quicunque demum sit Leodamas, id enim se ignorare), simulque ut malis Milesios et Assesios liberarent. Ceterum ut perfici hoc posset, necessarium esse ut rite ex more ipsorum sacra facerent. Quibus auditis populus universus gaudio exsultabat; nam congruere hæc cum verbis oraculi apparebat; ac polliciti sunt sacra Cabirorum se in urbe consecraturos et religiose culturos, si

Pausanias VII, 2, 3 : Ἴωσι δὲ τοῦ στόλου μετασχόντες... καὶ Ὀρχομένιοι Μινύαι συγγενείᾳ τῶν Κόδρου παίδων. Teum ab Orchomeniis conditam esse idem memorat Pausanias III, 6, 3. V. Müller. *Min.* p. 399. — 3. ἐπηγάγοντο vel tale quid excidisse videtur; ὅσοις scribi nolim. 4. Φωκαέας] φοκέους cod. Quum in antecc. Phocæensium mentio non facta sit, complura excerptor omiserit. Ad Phocæenses et Uatiam referenda erit vox ἐκείνοις in verbis οἱ δὲ ὡμολόγησαν ἐκείνοις.

54. *Cod. Escor. fol.* 82, 15 *vso* — 83, 28 *r*. De rebus hoc fr. traditis aliunde non constat. — 1. Nomen Λεωδάμαντα ad marginem adscriptum; in contextu lacuna. — 2. Assesi oppidi in Milesiorum ditione siti mentionem faciunt Herodotus I, 19. 22; Stephan. Byz. s. v.; Parthenius Erot. 14; Polyæn. VI 47. — 3. αὐτοῖς] αὐτοὺς cod. — 4. θεὸν] θεοῦ cod. — 5. γένοιτο] γένοιντο cod. — 6. ἱδρύσειν] ἵδρυσι cod.

γένοιτο. Ἐκ τούτου μετὰ τὰς ἱερουργίας ἐκέλευον αὐτοὺς οἱ Φρύγες ὁπλισαμένους πανστρατιᾷ χωρεῖν ἐπὶ τοὺς πολεμίους, ἡγουμένων τῶν ἱερῶν πρὸ τῆς φάλαγγος. Καὶ ἐποίησαν ταῦτα. Οἱ δὲ περὶ Ἀμφιτρῆν (7) ὑπαντιάσαντες, ὡς ἤδη πλησίον ἐγένοντο, εἰς φυγὴν ἐτράποντο, δείματος θείου ἐμπεσόντος· οἱ δ' ἑπόμενοι τοὺς μὲν ἔσφαττον, τοὺς δ' ἐδίωκον (8), Ἀμφιτρῆν δ' οἱ Λεωδάμαντος παῖδες κτείνουσι, καὶ ὁ πόλεμος καὶ ἡ τυραννὶς ἐπέπαυτο Μιλησίοις.

Ὅτι Ἐπιμένης μετὰ ταῦτα αἰσυμνήτης (9) ὑπὸ τοῦ δήμου χειροτονεῖται, λαβὼν ἐξουσίαν κτείνειν οὓς βούλεται· καὶ ὃς τῶν μὲν παίδων Ἀμφιτρῆτος οὐδενὸς οἷός τ' ἦν ἐγκρατὴς γενέσθαι· ὑπεξῆλθον γὰρ παραχρῆμα δείσαντες· τὰ δὲ ὄντα αὐτοῖς ἐδήμευσε, καὶ ἀργύριον ἐκήρυξεν, εἴ τις αὐτοὺς κτείνειεν· τῶν δὲ κοινωνῶν τοῦ φόνου τρεῖς ἀπέκτεινε, τοῖς δὲ ἄλλοις φυγὴν προσεῖπεν· οἱ δὲ ᾤχοντο. Οἱ μὲν δὴ Νηλεῖδαι κατελύθησαν ὧδε.

ista fierent. Deinde peracto sacrificio Phryges eos jusserunt cum universo exercitu in hostem egredi, dum sacra ante phalangem præferrentur. Idque fecerunt. Contra exeunte Amphitrete, quum jam in propinquo erant copiæ, divinitus incusso correpti terrore in fugam se dederunt. Illi vero tergis eorum insistentes alios trucidarunt, alios longius persecuti sunt. Amphitretem filii Leodamantis occiderunt. Atque sic bellum Milesiis compositum et tyrannis sublata est.

Post hæc Epimenes summus reipublicæ gubernator populi suffragiis creatus est, data occidendi potestate quoscunque vellet. Is ex filiis quidem Amphitretis ne uno quidem potiri potuit; nam metuentes sibi fuga illico se subduxerant; verum bona eorum publicavit, et præconis voce præmium promisit, si quis eos interfecerit. Cædis participes tres occidit; reliquos in exilium egit. Hi igitur solum mutarunt. Atque sic Nelidarum imperium eversum est.

55.

Ibid. : Ὅτι μετὰ τὸ ἀγαγεῖν τὸ νάκος τοὺς Ἀργοναύτας τῷ Πελίᾳ, Ἰάσων εὐθὺς ἐλθὼν Πελίᾳ φόνον ἐβούλευε τῆς ἀρχῆς πέρι, Μήδεια δ' αὐτῷ ὑπέστη ἀνιδρωτὶ τοῦτο πράξειν. Ταχὺ δὲ ταῖς ἐκείνου θυγατράσιν ἐν ὁμιλίᾳ γενομένη ἔπειθεν, ὅτι αὐταῖς τὸν πατέρα γηραιὸν ὄντα ἀνηβῆσαι ποιήσειε διὰ φαρμάκων, εἴ μιν κατακόψασαι εἰς λέβητα ζέοντα ἐμβάλοιεν· εἰς δὲ πίστιν τοῦ λόγου, ὥς φασι, παλαί' ἄττα κατακόψασα πρόβατα, νέα ἐκ παλαιῶν ἐποίει. Αἱ δὲ διὰ τοῦτο μάλιστα πεισθεῖσαι τὸν πατέρα ἔκτειναν· καὶ ὡς οὐδὲν ἐγίνετο ὧν προσεδόκων, ἐν πένθει μεγάλῳ ἦσαν. Οἱ δὲ Ἰωλκοὶ ἐπὶ τῷ ἔργῳ ἤχθηραν Μήδειάν τε καὶ Ἰάσονα, καὶ τοὺς μὲν φυγῇ ἐζημίωσαν· οἱ δ' εἰς Κόρινθον ἀπεχώρησαν· ταῖς δὲ παισὶ συνέγνωσαν ὑπὸ ἀκακίας ἐξαπατηθείσαις· θανάτου γὰρ ῥυόμεναι τὸν πατέρα ἐκ γήρως, ἄκουσαι ἀπέκτειναν. Ἐπὶ δὲ τῷ Πελίου τάφῳ ἆθλα ἐτέθη μέγιστα καὶ τὰς θυγατέρας αὐτοῦ ἠγάγοντο, ὡς ἂν καθαρὰς φόνου, οἱ ἄριστοι. Ἐκ Πελοπείας (2) δὲ Κύκνος ἐγένετο, ᾧ Ἡρακλῆς ἐμαχέσατο ἐν Ἰτώνῳ τῆς Ἀχαΐας· Ἄκαστος δ' ὁ Πελίου ἐν Ἰωλκῷ ἐβασίλευεν, τοῦ πατρὸς τελευτήσαντος, Ἰάσονος φυγόντος εἰς Κόρινθον σὺν Μηδείᾳ.

Postquam Argonautæ vellus aureum Peliæ attulerant, Iason statim post reditum cædem Peliæ moliebatur, ut regno ejus potiretur. Medea vero absque labore hoc ei perficiendum suscepit. Confestim igitur cum filiabus Peliæ colloquia jungens iis persuasit se patrem earum senem veneficiis juventuti restituturam esse, si ipsæ dissectum in lebetem fervente plenum aqua injicerent. Utque fidem verbis faceret, oves nonnullas seniores dissecuit agnasque reddidit. His filiæ quam maxime persuasæ patrem occiderunt. Et quum nihil fieret eorum quæ exspectaverant, magno mœrore affectæ sunt. Iolci vero ob facinus istud odio persequentes Medeam et Iasonem exilio mulctarunt. Exules abierunt Corinthum. Filiabus autem venia data est, ut quæ præ animi simplicitate deceptæ ab omni malo abhorruissent; nam ut mortem ex senio imminentem a patre arcerent, invitæ eum necaverant. In Peliæ vero sepulcro funebres ludos celebrantes præmia maxima posuerunt, atque filias ejus, utpote piaculo puras, duxerunt viri principes. Ex Pelopia Cycnus natus est, cum quo Hercules ad Itonum Achaiæ Thessalicæ urbem pugnavit. Acastus autem Peliæ filius regnum Iolci suscepit, quum pater defunctus esset, Iason vero exul Corinthum cum Medea abscessisset.

56.

Exc. De virt. : Ὅτι ἡ Ἀκάστου γυνὴ Πηλέως ἐρασθεῖσα, λόγους ὑπὲρ μίξεως εἰσφέρει· ἀναινομένου δὲ, δείσασα μή μιν κατείποι (1) πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν προδιαβάλλει (2) πρὸς τὸν ἄνδρα, ὡς

(Atalante) Acasti uxor Pelei amore correpta, quum Peleum de stupro sollicitasset, nec persuadere ei potuisset, verita ne rem Peleus ad maritum deferret, præoccupare illum statuit. Itaque Peleum apud virum calumniatur, quasi stu-

— 7. Ἀμφιτρῆν] ἀμφυτρῆν cod. — 8. ἐδίωκον] ἐδιώκων cod. — 9. Hæc adde paucis illis quæ de æsymnetis comperta habemus. V. Hermann. *Alterth.* § 63; Schœmann. Hist. jur. publ. I. p. 89 et qui ibi laudantur.

55. *Cod. Escor. fol.* 83, 29 *r.* — 83, 15 *vso.* De re cf. Apollodor. I, 9, 27 ibique interpretes. — 1. φασι, παλαί' ἄττα] φασιν, ἄλλα ἄττα codex. — 2. Πελοπείας] Πελοπίας cod.

56 *Cod. Tur. fol.* 154, 4-12 *vso.* Eadem Suidas: Ἀταλάντη, Ἀκάστου γυνὴ, ἥτις Πηλέως ἐρασθεῖσα κτλ. Cf. idem v. Ἄκαστος. Reliqui auctores uxorem Acasti non Atalanten dicunt sed *Astydamiam* (Apollodor. III, 13, 3; schol. Arist. Nub. 1059 etc.) vel *Hippolyten* (Pindar. Nem. IV, 92. V, 46). — 1. κατείποι] sic codex et Suidas in optimis codd. Ante Orellium in editt. legebatur κατείπει. — 2. προδιαβάλλει] προσδιαβάλλει cod. et vulgata ap. Suidam, ubi

ευνηθῆναί (3) οἱ θέλοντα. Ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. Καὶ ὃς αἰσθόμενος, εἰς πόλεμον κατέστη πρὸς αὐτὸν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας καὶ Ἰάσονα, ἐχθρὸν ὄντα ἐκείνῳ (4), φίλος αὐτὸς ὢν διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει.

57.

Ibid. : Ὅτι Λυκούργῳ τοιάδε ἡ τελευτὴ τοῦ βίου ἐγένετο. Βουλόμενος, ὥς φασι, τὸν (1) θεὸν ἐρέσθαι περί τινων ὑπολοίπων νόμων, ὥρκωσε Λακεδαιμονίους ἄχρις ἐπάνεισι μηδένα λῦσαι τῶν κειμένων. Ὁμοσάντων δ', ἐπεὶ χρηστηριαζόμενος ἤκουσε παρὰ τοῦ θεοῦ, ὡς εὐδαίμων ἡ πόλις ἔσοιτο, εἰ τοῖς ἐκείνου νόμοις ἐμμένοι, ἔγνω μηκέτι ἐπανελθεῖν, τὸ βέβαιον τῆς φυλακῆς ἐκ τοῦ ὅρκου ποιησάμενος. Καταβὰς δὲ εἰς Κρίσαν αὐτὸν διεργάζεται (2). Λακεδαιμόνιοι δὲ αἰσθόμενοι, διά τε τὴν προτέραν ἀρετὴν καὶ τὴν τότε κριθεῖσαν περὶ τὸν θάνατον, ναόν τε αὐτῷ ἐτεμένισαν, καὶ βωμὸν ἱδρυσάμενοι θύουσιν ὡς ἥρωι ἀνὰ πᾶν ἔτος (3). Περιφανῶς γὰρ δὴ (4) Σπαρτιάταις αἴτιος μόνος ἐγένετο τῆς εἰς ἅπαν ἀρετῆς τε καὶ ἡγεμονίας, οὐδὲν ἄμεινον τῶν ἄλλων πάλαι διακειμένοις· οὐ μόνον ὅτι αὐτοῖς νόμους ἔθετο ἀρίστους, ἀλλὰ καὶ ὅτι ἄκοντας προὐτρέψατο χρῆσθαι αὐτοῖς τρόπῳ τοιῷδε. Δύο σκύλακας λαβὼν (5) ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων ἀνομοίοις ἤθεσι, τὸν μὲν κατ' οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις θηρᾶν ἀναγκάζων καὶ στιβεύειν (6) ἐν ὄρεσιν. Ὡς δ' ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι, καὶ ἀμηχανοῦσι, παραγαγὼν ἀμφοτέρους εἰς μέσον, καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς (7) καὶ ὄψα ἐσκευασμένα, ἔλεξεν· « Ἀλλ' ὅτι μὲν, ὦ Σπαρτιᾶται, τοῦ εὖ τε καὶ κακῶς πράττειν οὐκ ἄλλο ἐστὶν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι, πάρεστιν ὑμῖν ὁρᾶν. Οἵδε γέ τοι (8) (τοὺς σκύλακας δείξας) τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίως δὲ ἀλλήλοις τεθραμμένοι, παρ' αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν. Ὁ μὲν γὰρ θηρᾶν μαθὼν, ὁ δὲ λιχνεύειν, οὐδὲν ἂν (9) ἀντὶ τοῦδε, εἰ παρείχοι, ποιήσειε. » Καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἐπὶ ἀμφοτέρους τὰ ἡτοιμασμένα. Τῶν δ' ὁ μὲν κατοικί-

prum sibi offerre voluisset: qui, uxoris calumniis persuasus, insidias Peleo comparat. Sed Peleus, re intellecta, bellum Acasto infert, adscitis in auxilium suum Tyndaridis atque Iasone, qui Acasto infensus, Peleo autem ob expeditionis Argonauticæ societatem erat conjunctissimus. Horum auxilio Peleus expugnata Iolco Acasti conjugem necavit.

57.

Lycurgo ejusmodi vitæ exitus contigit. Quum Apollinem de quibusdam residuis legibus consultum ire vellet, Lacedæmonios jurejurando adegit, nullam ex constitutis legibus abrogaturos, antequam ipse rediisset. Quo juramento ab omnibus præstito, Delphos profectus responsum ab Apolline retulit, fortunatam Spartam fore, quamdiu leges illius servaret. Hoc Lycurgus responso accepto nunquam posthac in patriam reverti constituit, ut ad perpetuam legum observantiam jurejurando obstrictos retineret cives. Igitur Crisam digressus mortem sibi conscivit. Cujus rei fama Lacedæmonem allata, Spartani virtutis causa, quam et in anteacta omni vita ac tum moriens præ se tulerat, templum ei aramque posuerunt, ubi quotannis perinde ac heroi sacrificant. Quippe citra controversiam virtutis in omnibus rebus gestis conspicuæ atque imperii unus hic auctor Spartanis fuit, quum antea nulla re ceteris præstarent: idque non eo solum, quod leges optimas iis constituit, sed etiam quod, illis ut uterentur, eos impulit hujusmodi ratione. Catulos duos eadem matre natos seorsim ac diverso quemque modo instituit; alterum in ædibus, obsoniis atque hujuscemodi catillamentis alens; alterum venationibus assuefaciens, atque in montibus sub dio cubare cogens. Postquam uterque consentaneam educationi suæ indolem est sortitus, tum Lycurgus Spartanis, forte de bello adversus finitimos in concione consultantibus atque magnopere anxiis, ambos catulos in medium adduxit cum capreis ac jusculis et obsoniis apparatis, ac mox, « Enimvero, inquit, Spartani, animum ac fortunam uniuscujusque ex institutis, quibus usus sit, pendere, vel ex his catulis intelligi potest, qui quum sint eadem matre geniti, quia tamen diversa ratione instituti sunt, idcirco dissimiles ingenio exstiterunt. Hic enim venationi, ille catillamentis innutritus, si copiam feceris, nihil uterque aliud, quam quod didicit, factitaturus est. » Simul famulo, qui canes loro retinebat, imperat, utrumque ut di-

codex A προδιαβάλλει exhibere videtur. In seqq. præpositionem πρὸς om. Suidas. — 3. εὐνηθῆναι] sic codex et Suidas. Valesius e conj. dedit συνευνηθῆναι. — 4. ἐκείνῳ] Suidas. ἐχθρὸν ὄντα, κἀκείνῳ φίλος α. ὢν codex. De Peleo Argonauta v. Apollon. Rh. I, 91; Apollodor. I, 9, 16; Hygin. fab. 14; Orpheus Arg. 130. Sec. Apollodorum III, 13, 7 Peleus non statim post detectas insidias, sed post Thetidis nuptias natumque Achillem Iolcum expugnat. Cum Nicolai narratione cf. schol. Apoll. Rh. I, 224; Pindar. Nem. III, 59. De interiore harum fabb. ratione v. Müller. *Min.* p. 256. Ceterum quum Iasonis historiam, eatenus certe quatenus ad Argonautarum expeditionem pertinet, Nicolaus libro tertio jam exposuerit, nostro loco de antiquissimis his Thessaliæ regibus denuo egisse putandus est, ut viam sibi muniret ad eorum regum historiam, qui post Heraclidarum reditum in Thessalia regnarunt.

57. *Cod. Tur. fol.* 154, 12 *vso* — 155, 23 *r.* Eadem Suidas v. Λυκοῦργος. — 1. τὸν] artic. addidit Coray. — 2. Cf. Plutarch. Lyc. 31: τελευτῆσαι δὲ τὸν Λυκοῦργον οἱ μὲν ἐν Κίρρᾳ λέγουσιν. — 3. Cf. Ephorus (fr. 19) ap. Strabon. VIII, p. 366; Herodot. I, 66; Aristot. ap. Plutarch. Lyc. 31; Pausan. III, 16, 6; Bœckh. C. Insc. I, no. 1256. 1362. — 4. δὴ] e Suida accitum. Mox cod. αἰτιόμενος pro αἴτιος μόνος. — 5. Eandem historiam narrat Plutarch. De educat. c. 4, p. 3; Instit. Lac. p. 22; Arsenius p. 343. — 6. στιβεύειν] Wesseling. ad Diodor. IV, 13. στιβεύων codex et Suidas. — 7. ζωμοὺς] Suidas; ζώνας codex. — 8. οἵδε γέ τοι] Suidas; οἱ δεί (non : δὴ) γε τοὺς κύλακας codex. — 9. ἂν] ad-

διος ἐπὶ τοὖψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταλαϐὼν (10) ἐσπάραττε. Καὶ Λυκοῦργος πάλιν, « Ταῦτα, ἔφη, νομίσατε, ὦ Σπαρτιᾶται, καὶ εἰς ὑμᾶς τείνειν καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους· ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτους ἀποϐαίνειν ἀνάγκη πρός τε πόνους καὶ τρυφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. Ἕπεται δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέρους εἶναι, καὶ τὸ εὖ (11) πράττειν καὶ κρατεῖν πάντων· τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακουργεῖν (12) καὶ μηδενὸς ἀξίους εἶναι. » Ὁ μὲν τοιαῦτα λέγων προὐτρέπετο τοὺς Σπαρτιάτας μεταϐαλεῖν τε τὸν καθεστῶτα τρόπον τοῦ βίου, καὶ βελτίοσι νόμοις ἐθισθῆναι. Οἱ δὲ πεισθέντες οὐ τῶν περιοίκων μόνον, ἀλλὰ καὶ πάντων Ἑλλήνων διαφανῶς ἄριστοι ἐγένοντο, ἡγεμόνες τε συνεχῶς, ἐξ ὅτου παρεδέξαντο τοὺς νόμους, ἐπὶ ἔτη πεντακόσια (13), καὶ οὐ πολλοῦ χρόνου ἐπὶ μέγα ἐχώρησαν δυνάμεως.

Τέλος τοῦ ἕκτου λόγου Νικολάου Δαμασκηνοῦ.

[ΕΚ ΒΙΒΛ. Ζ′.]

58.

Exc. De ins. : Ὅτι Κύψελος Βακχιάδης καὶ αὐτὸς ὢν ἐκ κήδους γυναικείου (1), πρῶτος κτείνας τὸν τελευταῖον Ἱπποκλείδην (2) ἐϐασίλευσεν ἀντ' αὐτοῦ τρόπῳ τοιῷδε. Λόγιον ἦν (3) τοῖς Βακχιάδαις ὑπὸ τοῦ Κυψέλου τοῦ Ἀετίωνος καταλυθεῖσιν (4) τὴν ἀρχὴν ἀφαιρεθῆναι. Γενόμενον οὖν αὐτὸν καὶ ἐν σπαργάνοις ἔτι ὄντα ὑποπέμψαντες τῶν ὑπασπιστῶν τινὰς ἐκέλευον κτεῖναι. Τῶν δὲ ἐπὶ τοῦτο ἐλθόντων ἐπὶ τὴν οἰκίαν καὶ μελλόντων ἀναιρεῖν, ὀρέγον τὰς χεῖρας τὸ παιδάριον προσεμειδία τοῖς ἀνθρώποις· τοὺς δὲ οἶκτος εἰσῆλθε, καὶ ἔγνωσαν μηκέτι ἀναιρεῖν, ἀλλὰ φράσαντες τῷ πατρὶ τὰς ἀληθείας ἐκποδὼν ἀπιέναι. Δόξαν δὲ οἱ μὲν εἶπαν, ὁ δὲ Ἀετίων εἰς Ὀλυμπίαν αὐτὸ ὑπεκτίθεται καὶ ἔτρεφεν, ὡς ἂν ἱκέτην τοῦ θεοῦ. Μετὰ δὲ ταῦτα θαρσήσας εἰς Κλεωνὰς ἤγαγε, μειράκιον ἔτι ὄντα καὶ πολλῶν διαφέροντα τὴν ἰδέαν καὶ τὴν ἀρετήν. Ἀνὰ δὲ χρόνον ὁ Κύψελος βουλόμενος κατελθεῖν εἰς Κόρινθον, ἐχρηστη-

mittat. Ac domesticus quidem recta ad obsonium ferri, venator vero capream persequi cœpit, eamque comprehensam protinus laniavit. Tum Lycurgus, « Idem, inquit, Spartani, de vobis ac de ceteris porro omnibus existimate : cujusmodi enim institutis ac legibus utimini, ejusmodi ut ingenio ad laborem ac delicias exsistatis necesse est. Quippe hominibus id a deo datum est, ut quidvis sibi comparare discendo possint. Porro laborem comitari solet libertas atque imperium in ceteros : delicias vero servitus malæque artes et contemptus sequuntur. » His sermonibus Lycurgus impulit Spartanos, ut, abjectis prioribus institutis, melioribus legibus adsuescerent. Qui Lycurgi consilium secuti non finitimos modo, sed omnes omnino Græcos virtute longe superaverunt, atque ab susceptis legibus continue per quingentos annos principatum Græciæ tenuerunt, ac brevi admodum temporis spatio maximam potentiam adepti sunt.

Finis libri sexti Nicolai Damasceni.

E LIBRO VII.

58.

Cypselus, ipse quoque Bacchiada genere materno, primus fuit tyrannus qui interfecto Bacchiadarum postremo, Hippoclide, in locum ejus succedens regno potitus est hunc in modum. Oraculo Bacchiadis responsum erat, fore ut a Cypselo Aetionis filio regno exuerentur. Igitur quum natus Cypselus in fasciis adhuc esset, submiserunt scutatorum nonnullos, qui eum interficerent. His ad domum ejus profectis cædemque jam patraturis, manus porrigens infans arridebat. Unde miseratio eos incessit, nec jam occidere infantem, sed re quæ esset patri indicata, abscedere statuerunt. Ex decreto igitur hi rem indicarunt; Aetion autem in Olympiam clam expositum puerum ut dei supplicem educabat. Post hæc ad fiduciam erectus Cleonas filium abduxit, puerum adhuc, forma et virtute inter multos insignem. Aliquanto post Cypselus, Corinthum redire volens, Delphis oraculum consuluit, et quum conveniens accepis-

didi, monente Bremio. — 10. καταλαϐὼν] καταϐαλὼν Suidas. — 11. καὶ τὸ εὖ πρ.] Suidas; ἐλευθέρους εἶναι καὶ πράττειν... ἀξίοις εἶναι codex. — 12. κακουργεῖν] κακοπραγμονεῖν Suidas. — 13. ἐπὶ ἔτη πεντακόσια] Cf. Plutarch. Lyc. c. 29 : Τοσοῦτον γὰρ ἐπρώτευσεν ἡ πόλις τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ, χρόνῳ ἐτῶν πεντακοσίων τοῖς Λυκούργου χρησαμένη νόμοις, οὓς δεκατεσσάρων βασιλέων μετ' ἐκεῖνον εἰς Ἆγιν τὸν Ἀρχιδάμου (399 a. C.) γενομένων οὐδεὶς ἐκίνησεν. Eosdem annos quingentos, termino ad quem non memorato, Plutarchus affert in Comp. Lyc. et Num c. 4 et Instit. Lac. p. 239, F. Contra in Apophthegm. p. 194, B, hosce annos quingentos numerat usque ad Epaminondam in Laconiam irrumpentem (369 a. C.). At præferenda procul dubio sunt quæ affert eo loco, quo ex professo de Lycurgo egit. Numerum 500 accuratius si definire auctor voluisset, ponendi fuissent anni 503, adeo ut Lycurgi epocha sit 399 + 503 = 902 a. C. sive 2×63 ante Olymp. 1. Qui quidem numerus optime quadrat cum iis quæ de Ephori calculis in Fragm. Chronolog. exposui. Ephorum vero ducem fuisse Nicolai sæpius jam indicavi.

58. *Cod. Escor. fol.* 83, 16 *vso.* — 84, 30 *r.* — 1. γυναικείου] γυναικίου cod. Amphion Bacchiada filiam pede claudam, Labda (*Lambda* Etym. M. p. 199, 25) nomine, habebat, quam quum nemo Bacchiadarum ducere vellet, in matrimonium accepit Aetion, Echecratis f., generis origine Lapitha et Cænides. Ita Herodotus V, 92, 4 in oratione Sosiclis Corinthii. — 2. Ἱπποκλείδην] infra pro Ἱπποκλείδης est Πατροκλείδης. Quod verum sit nomen nescio. Herodotus VI, 128 Hippoclidem Atheniensem, Agaristæ Sicyoniæ procum, majoribus suis cognatum fuisse Cypseli tyranni dicit. Verum hoc non ad maternos, sed ad paternos Cypseli majores pertinet. — 3. Vide Herodot. V, 92, 5, ubi historia de servato Cypselo fusius, sed diverso modo exponitur. — 4. καταλυθεῖσιν] καταλυθείσεϊν cod. Mox ὀρέγοντας cod. pro

ριάζετο (5) ἐν Δελφοῖς. Συμφέρουσαν δὲ δεξάμενος φήμην οὐδὲν μελλήσας ἧκεν εἰς Κόρινθον, καὶ ταχὺ τῶν ἀστῶν ἐν τοῖς μάλιστα ἀγαστὸς ἦν, ἀνδρεῖός τε καὶ σώφρων καὶ δημωφελὴς δοκῶν εἶναι παρὰ τοὺς ἄλλους Βακχιάδας ὑβριστάς τε ὄντας καὶ βιαίους. Πολεμαρχήσας δ' ἔτι μᾶλλον ἐστέρχθη, τῶν πώποτε ταύτην ἀρξάντων τὴν ἀρχὴν μακρῷ ἄριστος γενόμενος· τἄλλα τε γὰρ ὀρθῶς ἔπραξε καὶ τόδε· νόμος καθεστήκει Κορινθίοις τοὺς ἐν δικαστηρίῳ ἁλισκομένους ἀπάγεσθαι πρὸς τὸν πολέμαρχον, καὶ καθείργνυσθαι τῶν ἐπιτιμίων ἕνεκα, ὧν καὶ αὐτῷ μέρος τι ἦν. Ὁ δὲ οὔτε καθεῖρξέ τινα πολίτην, οὔτε ἔδησεν, ἀλλὰ τοὺς μὲν ἀπέλυε δεχόμενος (6) ἐγγυητὰς, τῶν δὲ καὶ αὐτὸς ἐγίνετο, πᾶσι δὲ ἠφίει τὸ αὐτοῦ μέρος· ἐξ ὧν μάλιστα ἐν τῷ πλήθει ἐστέργετο. Ὁρῶν δὲ τοὺς Κορινθίους ἐχθρωδῶς πρὸς Βακχιάδας διακειμένους, προστάτην δ' οὐκ ἔχοντας, ᾧ χρησάμενοι καταλύσειαν αὐτοὺς, ἐπέδωκεν αὑτὸν, καὶ ἐδημαγώγει τὸ πλῆθος, τόν τε χρησμὸν λέγων, ὅτι ὑπ' αὐτοῦ πέπρωται καταλυθῆναι αὐτοὺς, ἀνθ' ὅτου καὶ πάλαι γενόμενον αὐτὸν ὁρμήσειαν ἀνελεῖν, καὶ νῦν ἐπιβουλεύειν, ἀλλ' οὐ δεδυνῆσθαι παρατρέψαι [τὰ] μοιρίδια. Οἱ δ' ἀσμένως προσίεντο τοὺς λόγους, τοῖς μὲν δυσμενεῖς ὄντες, τῷ δὲ εὖνοι, καὶ τὸ βέβαιον τοῦ κατορθώσειν τὸ ἔργον ἐκ τῆς περὶ αὐτὸν ἀνδρείας ἔχοντες. Τέλος δὲ συστήσας ἑταιρικὸν κτείνει βασιλεύοντα Πατροκλείδην, παράνομον ὄντα καὶ ἐπαχθῆ. Ταχὺ δὲ ἀντ' ἐκείνου ὁ δῆμος αὐτὸν βασιλέα κατέστησεν. Ὁ δὲ τούς τε φυγάδας κατάγει, καὶ τοὺς ἀτίμους ὑπὸ τῶν Βακχιαδῶν γενομένους ἐπιτίμους πάλιν ἐποίησε· καὶ διὰ τοῦτο ἐχρῆτο εἰς ὅ τι βούλοιτο αὐτοῖς· εἴς τε ἀποικίαν ἐξῆγε τοὺς μὴ φίλους, ὅπως ἂν ῥᾷον ἄρχοι τῶν λοιπῶν· ἔπεμψε δὲ εἴς τε Λευκάδα (7) καὶ Ἀνακτόριον, οἰκιστὰς αὐτῶν Πυλάδην καὶ Ἐχιάδην τάξας, παῖδας αὑτοῦ νόθους· τοὺς δὲ Βακχιάδας φυγαδεύσας ἐδήμευσε τὰς οὐσίας αὐτῶν. Οἱ δὲ εἰς Κέρκυραν ἀπεχώρησαν. Κύψελος δὲ Κορίνθου πράως ἦρχεν, οὔτε δορυφόρους ἔχων, οὔτ' ἀποθύμιος ὢν (8) Κο-

set responsum, nulla mora interposita venit Corinthum; ubi mox inter cives quam maxime honorabatur, quum strenuus et moderatus esset, populique commodis consulere videretur in tanta reliquorum Bacchiadarum superbia et violentia. Ac magis adhuc civium amorem eo sibi conciliavit, quod Polemarchi munere ita fungebatur, ut qui unquam hunc magistratum gessissent, cunctos longe superaret. Etenim tum cetera optime egit tum vero hocce. Lex apud Corinthios obtinebat, ex qua judicio condemnati ad polemarchum adducebantur, a quo includebantur usque dum irrogatam solvissent mulctam, cujus pars aliqua ad ipsum redibat polemarchum. Ille vero nunquam nec inclusit civem aliquem neque vinxit, sed alios dimisit prædes accipiens, pro aliis etiam ipse spondebat; omnibus autem suam mulctæ partem remittebat. Unde maximo apud multitudinem favore pollebat. Ac videns Corinthios infestis esse in Bacchiadas animis, et duce destitutos cujus opera evertere regnum eorum possent, ipse sese obtulit, atque gratiam populi captabat, oraculum exponens, quo nuntiatum erat in fatis esse ab ipso Bacchiadarum imperium dissolvi; et quomodo illi propterea et olim recens natum occidere voluissent, et nunc sibi insidias pararent; at fati decreta non posse everti. Quos Corinthii sermones lubenter admittebant, Bacchiadas exosi, erga Cypselum benevoli, ex ejusque virtute spem firmam habentes prosperi successus. Tandem coacto sodalitio, Patroclidem (*Hippoclidem?*), qui tunc regnabat legum violator virque molestus, interfecit; in cujus locum ipse statim rex a populo creatus est. Tum exules revocavit, honore a Bacchiadis imminutos in integrum restituit, eoque effecit ut ad quodvis iis uti posset. Adversantes in colonias deducendas ablegavit, quo facilius imperaret reliquis. Misit vero ad Leucadem et Anactorium condendas iisque Pyladem et Echiadem, filios spurios, præfecit. Bacchiadas in exilium ejecit ac bona eorum publicavit. Illi in Corcyram se receperunt. Cypselus vero Corinthiis imperavit clementer, nulloque se muniens sa-

ὀρέγον τάς. — 5. ἐχρηστιράζετο codex, et mox δημοφελὴς et βιδαίους. — 6. δεχόμενος] δεχόμενον codex; deinde Βαχχίδας. — 7. Λευκάδα] λευδὰ codex. Hasce Corinthiorum colonias Cypseli temporibus deductas esse constat e Strabone p. 452. Sec. Plutarch. De sera num. vind. c. 7, p. 552 Apollonia, Anactorium et Leucadiorum Chersonesus sub Periandro colonis frequentata sunt. Quod de novis colonis denuo missis intelligere solent viri docti. V. Raoul-Rochette *Etabl.* III, p. 352; Kruse *Hellas,* II, 2, p. 185. Cf. Müller. *Dor.* I, 117. II, 155. Bœckh. ad C. J. I, p. 58. W. Müller. De Corcyræorum rep. p. 19 sqq. De Pylade et Echiade (num forte Echinade?) filiis altum silentium. His duobus coloniarum ductoribus addendus est tertius Cypseli filius e Strabone et Scymno Chio. Strabo X, p. 452: Κορίνθιοι δὲ πεμφθέντες ὑπὸ Κυψέλου καὶ Γαργάσου (γαργάσουσος 5 codd.; l. Γόργου), ταύτην τε κατέσχον τὴν ἀκτὴν καὶ μέχρι τοῦ Ἀμβρακικοῦ κόλπου προῆλθον· καί ἥ τε Ἀμβρακία συνῳκίσθη καὶ τὸ Ἀνακτόριον κτλ. Idem VII, p. 325: Αὕτη (sc. ἡ Νικόπολις)... Τόλγου (Τόργου v. l.; at Γόργου recte in Epitom.) τοῦ Κυψέλου κτίσμα. Scymnus. Ch. 453: Ἀμβρακία Κορινθίων Ἄποικός ἐστιν· ᾤκισεν δ' ὁ Κυψέλου Αὐτὴν πρότερον παῖς Γόργος. Gorgus hic item nothus Cypseli f. fuit, uti inde patet quod in fragmento nostro Cypselo quattuor filii, unus legitimus, Periander, et tres spurii fuisse dicuntur. Memoratur hic Gorgus paullo infra in fragm. 60, ubi codex pro ἦν γόργος præbet Καγόργος. Præterea mentio ejus fit apud Aristot. Polit. V, 9, 22, ubi: Ψαμμητίχου ὁ Γορδίου τρία ἔτη ἐτυράννησεν. Hunc enim *Gordiam* non diversum esse a Gorgo Cypseli filio fratreque Periandri docemur fragm. 60. Plutarchus in Conviv. Sap. VII, c. 17, p. 160, fratrem Periandri dicit Γοργίαν. Denique Antoninus Lib. c. 4 dicit: Τόλγον (sic mss., Γόργον correx. Westrm.) δὲ τὸν ἀδελφὸν (deb. υἱὸν) Κυψέλου κατὰ τοὺς αὐτοῦ (Κραγαλέως) χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν. Veram nominis formam esse Γόργος e duobus numis comprobatur. V. Raoul-Rochette *Annal. instit. arch.* I, p. 312. — 8. ὢν] ἦν codex. De re cf. Aristot. Pol. l. l.: Ὁ μὲν γὰρ Κύψελος δημαγωγὸς ἦν καὶ κατὰ τὴν ἀρχὴν διετέλεσεν ἀδορυφόρητος. Alia de Cypselo declamat Sosicles ap. Herodot. l. l. De optimatum expulsione cf. Polyæn. Strateg. V, 31, 1. Plutarch. Lys. c. 1; Dionys. Hal. A. R. III, 35; Liv. I, 32, a quibus Lacedæmonem et in Italiam abiisse dicuntur. Eo quod nostro loco traditur in Corcyram Bacchiadas profectos esse, optime explicatur bellum, quo postea Periander insulam expugnavit. V. W. Müller. De reb. Corcyr. p. 15.

ρινθίοις. Βασιλεύσας δὲ ἔτη λ' (9) ἐτελεύτησε τέσσαρας υἱοὺς καταλιπὼν, ὧν γνήσιος μὲν ἦν Περίανδρος, οἱ δὲ λοιποὶ νόθοι.

tellitio, minime Corinthiis invisus erat. Denique post regnum annorum triginta diem obiit, quattuor relictis filiis, ex quibus legitimus Periander, reliqui spurii erant.

59.

Exc. De virt.: Ὅτι Περίανδρος ὁ Κυψέλου υἱὸς, τοῦ βασιλέως Κορινθίων, τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει, καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα, καὶ δορυφόρους εἶχε τριακοσίους. Ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι, καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. Εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο (1) ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ' αὐτοῦ. Λέγεται καὶ ἄλλο αὐτὸν ἔργον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ' ἔρωτος. Ἐστρατεύετο δὲ συνεχῶς, καὶ ἦν πολεμικός· τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θαλάσσαις. Φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν.

59.

Periander Cypseli Corinthiorum regis filius ætatis privilegio acceptum a patre regnum crudelitate ac violentia in tyrannidem vertit, quippe trecentos circa se satellites habebat. Civibusque interdixerat, ne mancipia coemerent, neve in otio agerent, novitate operum quotidie eos vexabat. Quodsi quem forte sedentem in foro reperisset, statim mulctabat, metuens ne qua adversus se conspiratio iniretur. Aliud quoque nefarium facinus patrasse dicitur, amoris scilicet impotentia cum uxore jam mortua rem habuisse. Porro bellicosus erat inprimis, crebrasque expeditiones suscipiebat, ac triremibus ædificatis utrumque tenebat mare. Sunt qui hunc unum e septem sapientibus fuisse opinentur, falso tamen.

60.

Exc. De insid.: Ὅτι Περιάνδρῳ τῷ τυράννῳ Κορινθίων γηραιῷ ἤδη ὄντι πάντες οἱ υἱεῖς (1) ἐτελεύτησαν, ὧν Εὐαγόρας μὲν ἀποικίαν εἰς Ποτίδαιαν ἐξαγαγὼν, Λυκόφρων δὲ τυραννίδα κατασκευαζόμενος παρὰ τοῖς περιοίκοις, Γόργος δὲ ἅρμα ἡνιοχῶν καὶ πεσὼν ἐπὶ τράχηλον, Νικόλαος δὲ, ὅσπερ ἐδόκει μετριώτατος εἶναι, ὑπὸ Κερκυραίων δολοφονηθεὶς τρόπῳ τοιῷδε. Περίανδρος βουλόμενος, τελευτήσαντος αὐτοῦ, μένειν τοῖς ἐκγόνοις τὴν ἀρχὴν καὶ λογιζόμενος ὅτι αὐτῷ μὲν ἐπίθοιντο Κορίνθιοι (2), Νικόλαον δὲ βασιλεύοντα ἀνάσχοιντο διὰ τὴν ἐπιείκειαν, ἔγνω ἀποχωρήσας αὐτὸς εἰς Κέρκυραν Νικολάῳ παραδοῦναι τὴν Κόρινθον. Αἰσθόμενοι δὲ (ταῦτα) Κερκυραίων τινὲς τὴν Περιάνδρου γνώμην, καὶ ἐλευθεροῦν τὴν μητρόπολιν θέλοντες, τόν τε Περίανδρον εἰ ἀφίκοιτο ὀρρωδοῦντες, συστάντες κτείνουσι τὸν Νικόλαον διαιτώμενον παρὰ σφίσιν. Ὁ δὲ Περίανδρος ἀθροίσας στράτευμα, ἐνέβαλεν εἰς Κέρκυραν, καὶ τὴν πόλιν ἑλὼν ν' τοὺς αἰτίους τοῦ φόνου ἀπέκτεινε, τοὺς δὲ τούτων (3) υἱέας πλείστους ὄντας ἔπεμψε

60.

Periandro Corinthiorum tyranno, quum jam senex esset, omnes filii perierunt, Euagoras Potidæam coloniam deducens, Lycophron tyrannidem apud periœcos constituturus, Gorgus ex curru quem regebat decidens, frangensque cervicem, Nicolaus denique, qui omnium moderatissimus esse videbatur, a Corcyræis dolo necatus hunc in modum. Periander quum post obitum suum penes filios regnum manere vellet, reputans ipsum hostiliter Corinthios aggressuros, Nicolaum vero regem ob moderationem facile toleraturos esse, ipse in Corcyram abire et Nicolao Corinthum tradere decrevit. Quod Periandri consilium perspicientes Corcyræi nonnulli, qui patriam in libertatem vindicaturi adventum tyranni formidabant, concursu facto, Nicolaum apud ipsos commorantem necarunt. Tum collecto exercitu, Periander in Corcyram irrupit, et capta urbe viros quinquaginta cædis auctores obtruncavit, eorumque filios, permultos nu-

In universum de Cypselo v. Müller. *Dor.* I, p. 164 sq. — 9. Consentit Aristoteles l. l. Viginti octo annos cit[illegible]buit Eusebius Chron. N. 1358.

59. *Cod. Turon. fol.* 155, 24 *r.* — 155, 2 *vso.* — Locum hunc exscripsit Suidas v. Περίανδρος. — 1. καθέζοιτο] sic codex et Suid.; ἐκαθέζετο editt. De rebus cf. Ephorus (e quo sua Nicolaus hausisse putandus est) fr. 106; Aristot. l. l., Heraclides Polit. fr. 5; Herodot. V, 92 ibique Bæhr.; Diogen. in Vit. Periandri (I, 94 sqq.); Müller. *Dor.* I, 166 sq. II, 73; Wagner. De Periandro. Darmstadt. 1831.

60. *Cod. Escor. fol.* 84, 1-30 *vso.* — 1. Quæ hoc fragmento de filiis Periandri traduntur, partim prorsus nova sunt, partim differunt ab iis, quæ narrant Herodotus (III, 50) et Diogenes Laertius (I, 94). Secundum hos Periander ex Melissa sive Lyside duos susceperat filios, Cypselum (cujus nomen unus Diogenes affert) et natu minorem Lycophronem. Hic propter matris cædem patri infensus e regia ejicitur; pulsus ab alia ad aliam domum confugit; deinde, vetante patre ne quis eum excipiat, volutatur sub porticibus. Tandem misertus pater in Corcyram juvenem ablegavit, unde postea senex Periander Corinthum ad regnum suscipiendum (cui alter filius, mente captus, impar erat) revocat. Sic Herodotus. Nicolai auctor de Lycophrone patri infenso ab eoque male habito similia narraverit, ita tamen ut pulsus ad periœcos confugerit, ibique tyrannidem tyrannidi oppositurus occubuerit. Quæ reliqua Herodotus de Lycophrone exponit, ea Nicolaus Damascenus ad Nicolaum refert. — 2. Secundum Herodotum in Corcyram abiit Periander non propterea quod insidias Corinthiorum metuebat, sed quod Lycophron Corinthum proficisci nolebat, nisi pater se Corcyram conferret. — 3. τούτων] τούτου codex. Pueri Corcyræorum numero trecenti erant, secundum Herodot. III, 48, 2.

πρὸς Ἀλυάττην τὸν Λυδῶν βασιλέα ἐπ' ἐκτομῇ. Οἱ δὲ προσσχόντες (4) Σάμῳ ἱκέται τῆς Ἥρας ἐγένοντο, καὶ αὐτοὺς Σάμιοι αἰσθόμενοι τὸ σύμπαν ἐρρύσαντο (5). Περίανδρος δὲ Ψαμμητίχῳ Κέρκυραν παραδούς, ὅστις ἦν Γόργου (6) μὲν υἱός, ἀδελφιδοῦς δὲ ἑαυτῷ, ἐπανῆλθεν εἰς Κόρινθον.

Ὅτι ἐκδέκτορα τῆς βασιλείας κατέλιπε (7) Περίανδρος Κύψελον (8) τὸν Γόργου παῖδα, τοῦ σφετέρου ἀδελφοῦ, ὃς ἐκ Κερκύρας ἀφικόμενος ἐτυράννευσε Κορίνθου ἄχρι αὐτὸν συστάντες τινὲς τῶν Κορινθίων ἔκτειναν, βραχὺν χρόνον κατασχόντα τὴν τυραννίδα, καὶ τὴν πόλιν ἠλευθέρωσαν. Ὁ δὲ δῆμος τάς τε οἰκίας τῶν τυράννων κατέσκαψε, καὶ τὰς οὐσίας ἐδήμευσεν, ἄταφόν τε ἐξώρισε τὸν Κύψελον, καὶ τῶν προγόνων τοὺς τάφους ἀνορύξας, τὰ ὀστᾶ ἐξέρριψεν· αὐτὸς δὲ παραχρῆμα κατεστήσατο (9) πολιτείαν τοιάνδε· μίαν μὲν ὀκτάδα (10) προβούλων ἐποίησεν, ἐκ δὲ τῶν λοιπῶν βουλὴν κατέλεξεν ἀνδρῶν θ'. Ζήτει ἐν τῷ Περὶ πολιτικῶν.

mero, ad Alyatten Lydorum regem misit, in cujus usus castrarentur. Hi vero in Samum appellentes Junonis supplices facti, et a Samiis, qui totam rem compererant, servati sunt. Periander, postquam Corcyram Psammeticho Gorgi fratris filio tradiderat, Corinthum est reversus.

Successorem regni Periander reliquit Cypselum Gorgi fratris filium, qui ex Corcyra Corinthum profectus tyrannidem per breve tempus obtinuit, donec Corinthiorum nonnulli in factionem coeuntes eum necarunt urbemque liberarunt. Populus vero domus tyrannorum solo æquavit, bona eorum publicavit, Cypselum insepultum extra fines projecit, et majorum ejus ossa e sepulcris effossa dissipavit. Ac ipse confestim rempublicam sibi constituit hunc in modum : unam octadem præsidum fecit, ex reliquis senatum elegit virorum (*quadraginta*) novem. *Quære in Exc. De rebus politicis.*

61.

Ibid. : Ὅτι Μύρων ὁ Σικυωνίων βασιλεύς, ἀπὸ Ὀρθαγόρου κατάγων τὸ γένος, ἦν περί τε τὰ ἄλλα καὶ περὶ τὰς γυναῖκας ἀκόλαστος· οὐ (1) λάθρα μόνον, ἀλλὰ καὶ φανερῶς βιασάμενος ᾔσχυνεν· τελευτῶν δὲ καὶ τοῦ Ἰσοδήμου τοῦ ἀδελφοῦ γυναῖκα ἐμοίχευσεν. Ὁ δὲ ᾐσθημένος, πρότερον μὲν ἡσύχαζεν, ἐλθόντι δὲ ἐκ Λιβύης (2) τῷ ἑτέρῳ ἀδελφῷ ἔφρασεν ἀδημονῶν. Ἦν δ', ὥς φασιν, αὐτὸς μὲν ἁπλοῦς τὸ ἦθος καὶ ἄκακος, ὁ δὲ Κλεισθένης (3) δόλιος. Καί ποτε πυνθανομένου τί χρὴ ποιεῖν, αὐτὸς μὲν εἶπεν οὐδ' ἂν μίαν ἡμέραν ἀνασχέσθαι τοιαῦτα παθών, ἀλλὰ δι' αὐτοχειρίας αὐτὸν τὸν (4) δράσαντα τιμωρήσασθαι. Ἔλεγε δὲ ταῦτα καὶ παρώξυνε τὸν Ἰσόδημον ἐπὶ τὸν Μύρωνα, ἐπιβουλεύων τῇ

Myron Sicyoniorum tyrannus, ab Orthagora genus ducens, tum in reliquis tum circa mulieres flagitiosus erat, quas non clanculum modo sed palam etiam stuprans dehonestavit. Postremo etiam Isodemi fratris uxorem adulteravit. Quod ille sentiens primum quidem quietem agebat, advenienti autem e Libya fratri alteri rem narravit ingenti affectus mœrore. Et ipse quidem, uti ferunt, simplex indole et innocuus, contra Clisthenes vir vafer erat. Quærenti quondam quid faciendum sit, Clisthenes dixit se certe ne per unum quidem diem tantam passurum contumeliam, sed sua ipsius manu ab auctore ejus pœnas fuisse repetiturum. Quibus verbis Isodemum in Myronem excitavit insidiose, tyrannide se potiturum sperans, si Myrone inter-

— 4. προσσχόντες] προσχόντες codex. Sic etiam codex Florentinus Herodoti l. l. : προσσχόντων (προσχόντων cett.) δὲ εἰς Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων. — 5. Præter Herodotum de his conferendi Dionysius Chalcidensis (fr. 13) et Antenor ἐν Κρητικοῖς ap. Plutarch. De Her. mal. c. 22, p. 860, C. — 6. ἦν Γόργου] καγόργου codex. Cf. supra fr. 58, not. 7. — 7. κατέλιπε] κατέλειπε codex. — 8. Κύψελον] Aristoteles Pol. V, 9, 22 postremum Corinthi tyrannum diserte dicit Psammetichum Gordiæ filium. Num putemus Gorgum duos habuisse filios tum in Corcyra versantes, alterum Psammetichum, alterum Cypselum? Non credo. Nisi librarii sphalma est, Psammetichum, tyrannidem nactum, peregrinum istud nomen cum gentili familiæ permutasse putaverim. De Cypselo Periandri apud Diogenem filio, ex nostræ historiæ ratione cogitari nequit. — 9. κατεστήσατο] ἐστρατεύσατο codex. Posui verbum usitatum. Nicolaus fortasse scripsit ἐπραγματεύσατο, quod ad tradita propius accederet. — 10. ὀκτάδα] Numerus cohærere videtur cum numero phylarum, quæ olim apud Corinthios obtinuerant, et sublata tyrannide, una cum aliis priscis institutis instauratæ fuerint. Suidas v. πάντα ὀκτώ : ... οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας, καὶ ὀκτὼ μέρη τὴν πόλιν. In seqq. numerus ἀνδρῶν θ' aperte corruptus est; fortasse fuit ο' vel μθ'. Ceterum quæ de Corinthiorum reip. ratione comperta habemus, vide ap. Müller. *Dor.* II, p. 151 sq. Verba Ζήτει.. πολιτικῶν in codice male (ex margine) transposita leguntur in fine paginæ post verba : ἀπὸ Ὀρθαγόρου κατάγων τὸ γένος.

61. *Cod. Escor. fol.* 94, 30 *vso* — 85, 4 *vso*. De iis quæ h. fr. traduntur aliunde non constat. Pauca illa, quæ de Orthagoridarum tyrannide nota sunt, vide apud Müller. *Dor.* I, p. 161-164. Herodotus VI, 126 stemma exhibet hoc : *Andreas* (qui filius Orthagoræ fuisse debet); hujus filius *Myron*; hujus f. *Aristonymus*; hujus f. *Clisthenes*. Quod cum nostris minime quadrat, adeo ut in his sicuti in Corinthiacis diversos plane fontes Nicolaus (sive Ephorus) et Herodotus adhibuisse debeant. Ceterum Clisthenem non successionis serie, sed vi tyrannidem obtinuisse, colligi etiam ex Aristotele potest, qui ita habet Polit. V, 10, 3 : Μεταβάλλει δὲ καὶ εἰς τυραννίδα τυραννίς, ὥσπερ ἡ Σικυῶνος ἡ τοῦ Μύρωνος εἰς τὴν Κλεισθένους. Ubi brevis temporis, quo tyrannis erat penes Isodemum, qui Clisthene suasore Myronem interfecit, rationem Aristoteles non habuit. — 1. Malim supplere : [ἃς] οὐ. — 2. Λιβύης] λυβύης cod. — 3. Κλεισθ.] Κλεοσθένης cod. h. l. et infra; bis tamen recte scribitur Κλεισθένης. — 4. αὐτὸν τὸν] τὸν supplevi. —

τυραννίδι, τοῦ μὲν ἀποθανόντος, τοῦ δὲ θύειν τοῖς θεοῖς οὐκ ἂν (5) ἔτι δυναμένου διὰ τὸ αἷμα τοῦ ἀδελφοῦ. Ὅπερ ἐδήλωσεν. Ὡς γὰρ ὁ Ἰσόδημος ἔκτεινε τὸν Μύρωνα ζʹ ἔτη τυραννεύσαντα, εὑρὼν ἐπὶ τῇ γυναικὶ, καὶ πρὸς τὸν Κλεισθένη ἔφρασε μέγα στενάξας, ἐκεῖνος συνάχθεσθαι ἀμφοτέροις ἔφη, τῷ μὲν θανόντι, ὅτι ὑπὸ τἀδελφοῦ πάθοι ταῦτα, ἐκείνῳ δ' αὖ, ὅτι τὸν ἀδελφὸν κτείνας, οὐκ ἂν ἔτι δύναιτο (6) τοῖς θεοῖς θύειν, ἀλλὰ δεῖν ἕτερον τοῦτο ποιεῖν. Ὁ δ' ἵνα μὴ τῆς ἀρχῆς διὰ τοῦτ' ἐκπέσοι, πεισθεὶς ἀληθῆ λέγειν αὐτὸν, ἐνιαυτὸν διαλιπὼν προσείλετο κοινωνόν. Καὶ ὁ μὲν τοῦθ' ὅπερ ἐτέχναζεν κατειργάσατο διὰ τὴν εὐήθειαν ἐκείνου, καὶ ἀμφότεροι Σικυῶνος ἦρχον. Πολὺ μέντοι μᾶλλον Κλεισθένει προσεῖχον οἱ ἄνθρωποι, ἅτε φοβερῷ ὄντι καὶ δραστηρίῳ, καὶ οἱ ἐκείνου φίλοι τούτῳ προσεχώρουν. Τελευτῶν δὲ καὶ τῆς ἀρχῆς τὸν Ἰσόδημον ἀπεστέρησε τοιόνδε τι τεχνάσας. Ἦν τις Χαιρέδημος, ἀνὴρ τῶν ἀστῶν Ἰσοδήμου φίλος. Οὗτος ὁρῶν τὸν Κλεισθένη ἐργασιμώτερον, προσιὼν περὶ φιλίας διελέγετο. Πολλὰ δὲ ὑπισχνουμένου, Κλεισθένης ἐκέλευσεν αὐτὸν εἰς πίστιν ὧν (7) ἔφη παρελθόντα Ἰσοδήμῳ παραινεῖν ἀπενιαυτίσαι διὰ τὸν φόνον, ὅπερ ἔθος ἦν ποιεῖν, ὡς καὶ θύειν αὐτῷ (καὶ) τὰ ἱερὰ ἐξέσται κεκαθαρμένῳ (8), καὶ τοῖς ἐκείνου παισὶν ἄρχειν· εἰ δὲ μὴ, ἔνοχον ὄντα χαλεπῶς μὲν αὐτὸν ἐμμενεῖν τῇ τυραννίδι, χαλεπῶς δὲ ἐγγόνοις λείψειν. Ταῦτα λέγοντα ὁ Χαρίδημος ἐδέξατο, καὶ τῷ Ἰσοδήμῳ συνεβούλευε, μεταστῆναι ἐπ' ἐνιαυτόν. Ὁ δὲ οἷα ἀνὴρ ἄκακος, πεισθεὶς ἐπ' εὐνοίᾳ λέγειν αὐτὸν, ἀπεχώρησεν εἰς Κόρινθον, παραδοὺς Κλεισθένει τὴν τυραννίδα. Ὁ δὲ παραχρῆμα ἐξελθόντος διέβαλλεν ὡς μετὰ τῶν Κυψελιδῶν οἱ ἐπιβουλεύοντα, ὅπως ἂν μόνος ἄρχοι. Καὶ διὰ τοῦτο στράτευμα ὁπλίσας ἐξεῖργε κατιόντα, καὶ αὐτὸς ἐτυράννει, βιαιότατος ὢν τῶν πρὸ αὐτοῦ καὶ ὠμότατος, καὶ βοηθείας πολλοῖς ἐκπέμπων, ὡς ἂν ἔχοι συμμάχους. Κατασχὼν δὲ τὴν ἀρχὴν ἓν καὶ λʹ ἔτη (9) ἐτελεύτησεν.

fecto Isodemus fratris cæde pollutus sacra agere non posset. Idque mox manifestum fecit. Nam quum Isodemus Myronem, qui septem tunc annos regnaverat, in adulterio cum uxore deprehensum occidisset, eamque rem multo cum gemitu Clistheni narraret, ille utriusque vicem se dolere ait, interfecti, quod a fratre hæc passus esset, alterius, quod post fratricidium sacra offerre amplius non posset, sed alius pro eo hoc facere deberet. Isodemus igitur ne propterea regno excideret, vera fratrem dixisse persuasus, post anni spatium socium sibi assumpsit. Atque sic ille quod molitus erat, ob fratris stultitiam assecutus est; et ambo Sicyone regnarunt. Ceterum multo magis ad Clisthenem, utpote tremendum strenuumque, homines attendebant, ad eumque Isodemi amici transibant. Postremo etiam regno Isodemum spoliavit tale quid machinatus. Erat quidam Charidemus, e civibus unus, Isodemi familiaris. Is quum videret Clisthenem virum operosiorem esse, accedens ad eum de amicitia verba fecit. Multa illo pollicente, Clisthenes jussit eum ad fidem promissis conciliandam Isodemum hortari, ut propter cædem per anni tempus exularet, quo scilicet purgato deinceps sacra facere, filiisque in regno ipsi succedere liceret. Si minus, ipsum piaculo obnoxium tyrannidem haud facile sustinere, neque filiis facile regnum relinquere posse. Hæc proponentem Charidemus approbavit, et Isodemo suadebat ut per annum alio se conferret. Ille, utpote ab omni malitia alienus, benevolentiæ esse consilium ratus, tradita Clistheni tyrannide Corinthum abiit. At vix profectum statim Clisthenes calumniari cœpit, quippe qui cum Cypselidis insidias sibi strueret, ut solus regnaret. Eoque prætextu exercitum instruens redeuntem arcebat solusque tyrannidem exercebat prædecessorum longe violentissimus et crudelissimus. Idem auxilia multis, quo socios sibi adjungeret, misit. Tandem post regnum annorum triginta et unius vita defunctus est.

62.

Exc. De virt. : Ὅτι Μάγνης ἦν ἀνὴρ Σμυρναῖος, καλὸς τὴν ἰδέαν εἴ τις καὶ ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος. Ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἁλουργῆ (1) ἀμπεχόμενος, καὶ κόμην τρέφων χρυσῷ στροφίῳ (2) κεκορυμβωμένην· περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. Τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι ἤρων, Γύγης δὲ μᾶλλόν τι ἐφλέγετο, καὶ αὐτὸν εἶχε παιδικά. Γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν, ἔνθα ἐγένετο ὁ Μάγνης (3), μάλιστα δὲ τὰς Μαγνήτων, καὶ συνῆν αὐταῖς. Οἱ δὲ τούτων (4) συγγενεῖς, ἀχθόμενοι

Magnes erat quidam Smyrnæus vir, et formæ decore et poesi ac musica conspicuus. Idem eleganti ornatu formam corporis augebat : quippe purpurea amictus veste, et coma, quam promissam alebat, aureo strophiolo in altum collecta urbes circuibat, carmina sua publice recitans. Hujus amore, quum alii multi, tum Gyges maxime ardebat, habebatque eum in deliciis. Sed et omnes, ubicumque erat, mulieres, ac præcipue Magnetum feminas in amorem sui rapiebat Magnes, earumque concubitu utebatur. At mulierum pro-

5. οὐκ ἂν] οὐδὰν cod. — 6. δύναιτο] δύναιντο cod. — 7. ὧν ἔφη] ὃν ἔφη cod. In proxime antecedentibus pro ἐργασιμώτερον scr. videtur ἐργαστικώτερον. — 8. κεκαθ.] αὐτῷ καὶ τὰ ἱερὰ ἐξέσται καὶ κεκαθ. cod.; deinde καὶ τοῖς μὲν ἐκείνου, sed expuncta voce μὲν. Mox ἐμμένειν codex. — 9. ἔτη] vocem supplevi.

62. *Cod. Tur. fol.* 155, 2-17 *vso.* Eadem Suidas v. Μάγνης et ex parte v. στρόφιον. κόρυμβοι. ἁλουργίς. — 1. ἁλουργῆ] ἀλουργεῖ cod. — 2. στροφίῳ] στρόφῳ codex et Suidas. De corymbo v. Creuzer. ad Xanth. fragm. p. 235; Muller. *Dor.* II, p. 271. — 3. Μάγνης] Μάρις cod.; idem in sqq. Μάγνις. — 4. τούτων] Valesius. τούτου codex et Suidas.

ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι, ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπαΐξαντες περικατέρρηξάν τε τὴν ἐσθῆτα, καὶ τὰς κόμας ἐξέκειραν, καὶ πᾶσαν λώβην προσέθεσαν. Ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις μὲν (5) εἰς τὴν Μαγνήτων γῆν ἐνέβαλε, τέλος δὲ καὶ (6) χειροῦται τὴν πόλιν (7), ἐπανελθὼν δὲ εἰς Σάρδεις, πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς.

pinqui, quum hujusmodi infamiam ægre ferrent, prætendentes, quod Magnes, qui in suis carminibus Lydorum fortitudinem in equestri adversus Amazonas prælio cecinisset, nullam Magnetum mentionem fecerat, impetu facto vestem ejus disciderunt, comam raserunt, omnique acerbitate eum commulcarunt. Quam ob rem indignatus Gyges in agrum Magnesiorum frequenter irrupit, tandemque urbem cepit. Reversus autem Sardes, ludos edidit magnifico apparatu.

63.

Ibid.: Ὅτι Σαδυάττης ὁ Λυδῶν βασιλεύς, Ἀλυάττεω παῖς (1), ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος. Καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφήν, γυναῖκα Μιλήτου, ἀνδρὸς δοκίμου, καλέσας ἐφ' ἱερά, βίᾳ ᾔσχυνε, καὶ τὸ λοιπὸν αὐτὴν ἴσχει γυναῖκα. Ὁ δὲ Μίλητος ἦν Μέλανος τοῦ Γύγου γαμβροῦ ἀπόγονος. Δυσανασχετῶν δ' ἐπὶ τούτοις, φεύγων ᾤχετο εἰς Δασκύλιον. Σαδυάττης δὲ κἀκεῖθεν αὐτὸν ἐξέωσεν. Ὁ δὲ ἀπεχώρησεν εἰς Προκόννησον (2). Σαδυάττης δὲ ὀλίγον ὕστερον ἔγημεν ἑτέρας δύο γυναῖκας ἀλλήλαις ἀδελφάς, καὶ ἴσχει παῖδας, ἐκ μὲν τῆς Ἀττάλην, ἐκ δὲ τῆς Ἄδραμυν νόθους (3), ἐκ δὲ τῆς αὑτοῦ ἀδελφῆς γνήσιον Ἀλυάττην.

63.

Sadyattes Alyattis filius, Lydorum rex, erat ille quidem in bello fortissimus, sed alioquin intemperans. Namque sororem suam, nuptam Mileto, viro clarissimo, per speciem sacrificii accitam constuprasse per vim dicitur, eamque deinceps uxoris loco habuisse. Erat autem Miletus Melanis nepos ejus, qui Gygis gener fuerat. Qui quum eam injuriam ferre non posset, fugit Dascylium; unde postea a Sadyatte expulsus, Proconnesum se recepit. At Sadyattes paullo post alias duas, et quidem sorores ambas matrimonio sibi sociavit, quarum ex altera Attalem, ex altera Adramyn nothos suscepit; ex sorore autem sua filium legitimum sustulit Alyattem.

64.

Ibid.: Ὅτι Ἀλυάττης ὁ Σαδυάττεω υἱός, βασιλεὺς Λυδῶν, ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν καὶ ἀκόλαστος,

64.

Alyattes Sadyattis filius, Lydorum rex, in adolescentia quidem petulans fuit ac libidinosus; sed in virilem ætatem

— 5. μὲν] deest in editt.; habet codex et Suidas. — 6. καὶ] addidi e Suida. — 7. Utrum Magnesia ad Sipylum, an Magnesia ad Mæandrum sita sit intelligenda, non satis liquet. De hac si cogitavit auctor, putari possit τὰ Μαγνήτων κακά, quorum Archilochus ap. Strabon. XIV, p. 647 meminit, ea esse quæ a Gyge capta urbs perpessa sit. Etenim Cæsar (De carmin. elegg. p. 59 sqq.) et cum eo Westermannus De Callisthen. p. 37 Magnesiam eversam esse a Treribus statuunt ea expeditione Cimmeriorum, in qua sec. Herodotum (I, 6. 15), postremis Ardyis regis temporibus (c. Ol. 36, 4 vel 37, 1), Sardes captæ sunt. Jam vero quæ de Archilochi temporibus comperta habemus, non admittere ut Parius poeta illud urbis infortunium commemoraret, quod Ol. 37 demum accidisset. Quare illa Μαγνήτων κακὰ ad alium quendam urbis casum anteriorem esse referenda. Ceterum omnia hæc incertissima sunt, neque admodum probabilia. Tempus quod Magnesiæ eversioni assignant in mera positum conjectura. Deinde Archilochi verba: Κλαίω τὰ Θασίων οὐ τὰ Μαγνήτων κακά aptissime referuntur ad notum illud Magnetum infortunium, quod in proverbium abiit, et ante Archilochi ævum accidisse potest. Nec deest testimonium. Nam Plinius H. N. VII, 39: *Candaules rex*, ait, *Bularchi picturam Magnetum excidii haud mediocris spatii, pari pependit auro.* Hæc e Pseudoxantho fluxisse olim statui cum Creuzero et Welckero. Vix recte. Nam Xanthus Caudaulis loco ponit Sadyatten, ut ex Nicolao discimus. Sed quanticunque facienda sint, quæ Plinius de pictura Bularchi tradit, nihil video, cur de Magnesia Caudaulis vel prioribus temporibus eversa dubitemus. Apud Xanthum Nicolai sub Caudaule et proxime antecedentibus regibus nulla fit belli mentio. Contra Ardys Heraclida triginta millia equitum collegisse dicitur. Is igitur bellum gessisse aliquod videtur. Jam Orosius I, 21 ita habet: *Anno ante urbem conditam tricesimo* (782 a. C.)... *Amazonum gentis et Cimmeriorum in Asiam repentinus incursus diu lateque vastationem stragemque edidit.* Annus vero 782 aperte incidit in annos 70, per quos Ardys regnasse perhibetur. Facilis igitur conjectura est tunc Magnesiam esse eversam. Quod si statuas, nihil impedit quin Callini poetæ tempore (sub Gyge et Ardye rege), sive is Archilocho paullo junior vel paullo antiquior fuerit, vires jam recuperaverit Magnesia, adeo ut bellum contra Ephesios gerere posset (Strabo XIV, p. 647). *Amazones* apud Orosium intelligendi sunt de copiis Sacarum Scytharumve. Ac nescio an ista Lydorum contra Amazones ἀριστεία, quam cecinit Smyrnæus rhapsodus neglecta Magnesiorum mentione, ad ipsum illud bellum quod contra Scythas Lydi sub Ardye rege gesserunt, sit referenda.

63. *Cod. Tur. fol.* 155, 17-27. Quæ fr. 63 et 64 leguntur brevius exhibet Suidas: Ἀλυάττης (deb. Σαδυάττης), Λυδῶν βασιλεύς, ὃς ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος· καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν ᾔσχυνεν. — 1. Ἀλυάττεω παῖς] Sadyattes sec. Herodotum I, 16, Ardyis filius fuit; adeo ut excerptor noster errasse possit videri. Sororem Sadyattis *Lyden* vocat Xenophilus apud Anonym. De clar. mulierib. c. 8. — 2. Προκ.] Προκόνησον cod. — 3. Ab his Sadyattis filiis Xanthus dixerit Attaliam et Adramyttium urbes conditas esse. Aliter Stephanus Byz.: Ἀδραμύττειον... κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι. Τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. Apud Xanthum Crœsus jam præfectus Adramyttii urbis fuisse dicitur (fr. 65).

64. *Cod. Tur. fol.* 155, 27-31 *vso.* Suidas l. l.: Ἐγέννησε δὲ (sc. Sadyattes) Ἀλυάττην, ὅστις ἕως μὲν νέος ἦν ὑβριστής

ἐκβὰς δὲ εἰς ἄνδρα (1), σωφρονέστατος καὶ δικαιότατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλεν αὐτῶν τὸ ἄστυ.

progressus summa cum modestia et æquitate vixit. Idem Smyrnæis bellum intulit, tandemque oppidum expugnavit.

65.

Ibid. : Ὅτι Ἀλυάττης ὁ Κροίσου πατὴρ, τοῦ Λυδῶν βασιλέως, ἐπὶ Καρίαν στρατεύων, περιήγγειλε (1) τοῖς ἑαυτοῦ στρατὸν ἄγειν εἰς Σάρδεις ἐν ἡμέρᾳ τακτῇ, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων (2) ἀποδεδειγμένος Ἀδραμυττίου τε καὶ Θήβης πεδίου. Ὁ δὲ, ὥς φασιν, ὑπὸ ἀκολασίας οὐχ οἷός τε ἦν, καί πως διεβέβλητο πρὸς τὸν πατέρα. Βουλόμενος δὲ ἐν τῷδε τῷ ἔργῳ ἀπολύσασθαι τὰς αἰτίας, καὶ ἀπορῶν ὁπόθεν μισθώσαιτο ἐπικούρους (μισθωτοῖς γὰρ ἐχρῶντο), ἦλθεν ἐπὶ Σαδυάττην τὸν ἔμπορον (3), πλουσιώτατον Λυδῶν ὄντα, δανείζεσθαι βουλόμενος. Ὁ δὲ αὐτὸν πρῶτον μὲν (4) ἀναμένειν ἐκέλευσε πρὸ τῶν θυρῶν, ἄχρι λούσηται· μετὰ δὲ, ἐντυγχάνοντι ἀποκρίνεται, ὅτι πολλοὶ παῖδες εἶεν Ἀλυάττῃ, οἷς πᾶσιν εἰ δεήσοι αὐτὸν ἀργύριον διδόναι, οὐκ ἐξαρκέσει· οὔκουν δοῦναι δεομένῳ. Κροῖσον δὲ, ἀποτυχόντα τἀνθρώπου, εἰς Ἔφεσον ἀφικέσθαι κατὰ ζήτησιν ἀργυρίου. Καὶ τότε μὲν εὔξασθαι τῇ Ἀρτέμιδι, εἰ βασιλεύσειε, τὸν οἶκον ἅπαντα καθιερώσειν τοῦ ἐμπόρου. Ἦν δέ τις Κροίσῳ φίλος, ἀνὴρ Ἴων, ὄνομα Παμφάης (5), υἱὸς Θεοχαρίδου εὖ μάλα εὐπόρου. Οὗτος ὁρῶν τὴν Κροίσου σπουδὴν, ἐδεήθη τοῦ πατρὸς χιλίους στατῆρας δοῦναί οἱ πάσῃ μηχανῇ· τυχὼν δὲ παρ' αὐτοῦ, δίδωσι Κροίσῳ. Ἀνθ' ὧν μέγαν τε αὐτὸν Κροῖσος ὕστερον ἐποίησε, βασιλεὺς γενόμενος, καὶ εἰς τὴν ἀκρόπολιν εἰσαγαγὼν ἅμαξαν αὐτῷ ἔδωκε μεστὴν χρυσίου· τὸν δὲ τοῦ ἐμπόρου οἶκον Ἀρτέμιδι καθιέρωσε, καὶ αὐτὰ τὰ θεμέλια ἀποδόμενος διὰ τὴν εὐχὴν, ὡς μηδὲν λείποιτο. Ὁ δὲ Κροῖσος τοὺς χιλίους λαβὼν χρυσοῦς, στράτευμά τε ἤγειρε, καὶ πρῶτος εἰς τὴν κυρίαν ἡμέραν ἄγων ἔδειξε τῷ πατρὶ, καὶ συνεισέβαλεν εἰς τὴν Καρίαν. Κρείττων δὲ (6) ἐξ ἐκείνου τοῦ ἔργου τῶν αὐτὸν διαβαλλόντων γίνεται.

65.

Quum Alyattes, Crœsi Lydorum regis pater, bellum Caribus inferre vellet, præfectis suis, inter quos et Crœso, natu maximo, qui Adramyttio ac Thebes campo præfectus erat, mandavit, ut singuli præstituta die copias adducerent Sardes. At Crœsus præ intemperantia segnis admodum et alioqui sinistra apud patrem fama erat. Sed quum eo in tempore liberare se infamia ac suspicione vellet, ceterum careret pecunia qua conducere milites posset (mercenario enim milite utebantur), Sadyattem mercatorem fœnerandi gratia adiit, virum totius Lydiæ opulentissimum. Qui primum quidem Crœsum pro foribus opperiri, donec lavisset, jussit; deinde postulanti responsum dedit : Alyatti plures liberos esse, quibus omnibus si mutuam pecuniam dare opus sit, haudquaquam se suffecturum. Ita Crœsus repulsam passus, Ephesum ad conquirendam pecuniam abscessit. Et tum quidem Dianæ vovisse dicitur, si quando regnum adeptus esset, cuncta se mercatoris bona ei consecraturum. Ceterum Pamphaes quidam erat Ephesi Theocharidæ filius, viri apud Iones ditissimi, qui quum Crœsi amicus esset, ejusque studium ac necessitatem intelligeret, omni ope a patre contendit, sibi ut mille aureos dare vellet. Quos quum impetrasset, statim Crœso tradidit. In cujus beneficii gratiam postmodum Crœsus regnum consecutus, magnopere eum auxit atque ornavit, et in arcem introducto plenum auro plaustrum ei largitus est. Mercatoris autem illius bona Dianæ sacravit, prout voverat, ipso etiam ædium solo divendito, ne quid reliquum superesset. Interim Crœsus, acceptis mille aureis, copias conduxit, ac præfinita die primus ad patrem perduxit, cumque eo in Cariam est profectus. Cujus facinoris causa exinde calumniatoribus suis superior fuit.

66.

Περὶ Κύρου βασιλέως Περσῶν, καὶ περὶ μεταστάσεως τῆς τῶν Μήδων βασιλείας εἰς Πέρσας.

Ὅτι ἐν τῇ Ἀσίᾳ τελευτήσαντος τοῦ Μήδων βασιλέως, ἐκδέχεται τὴν ἀρχὴν Ἀστυάγης ὁ παῖς, ὅντινα

66.

De Cyro Persarum rege et de Medorum imperio ad Persas translato.

In Asia Medorum rege (*Astibara*) defuncto, in regnum successit filius Astyages, qui post Arbacem omnium fortis-

ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ ἐς ἄνδρα σωφρονέστατος καὶ δικαιότατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλε τὸ ἄστυ. Ex eodem Xantho sua hauserit Xenophilus ap. Anon. De mul. c. 8, ubi vide. — 1. ἄνδρα] ex Suidæ cod. A; ἄνδρας codex.

65. *Cod. Tur. fol.* 155, 31 *vso* — 156, 26 *r.* — Suidas l. l. : Οὗτος (Ἀλυάττης) δὲ γεννᾷ τὸν Κροῖσον. Στρατεύσας δὲ ἐπὶ Καρίαν περιήγγειλε τοῖς αὐτοῦ στρατὸν ἄγειν ἐς Σάρδεις, ἐν οἷς καὶ Κροίσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχων ἀποδεδειγμένος Ἀδραμυττείου τε καὶ Θήβης πεδίου. ** Ἀλυάττου πολιορκοῦντος Πριήνην φησίν. Postrema hæc mutila in nostris Excerptis non leguntur. Neque sunt apud Suidam v. Κροῖσος : Κροῖσος, Λυδῶν βασιλεὺς, ὃς τὸ πρότερον ἄρχειν ἔλαχεν Ἀδραμυττείου καὶ Θήβης πεδίου. Στρατεύσαντος δὲ τοῦ πατρὸς αὐτοῦ, ἐπὶ Καρίαν περιήγγειλε τοῖς ἑαυτοῦ κτλ. — 1. περιήγγειλε] παρήγγειλε Coray e vulgata apud Suidam lectione; verum Suidæ codd. A B recte præbent περιήγ. — 2. ἄρχων] e Suida; ἀρχὴν cod. Ex eodem Suida addidi τε post Ἀδραμ. — 3. ἔμπορον] sic Suidas; ἔπαρχον h. l. codex, sed infra ἔμπορον. Pro Σαδυάττην Suidas habet Ἀλυάττην. — 4. μὲν] codex et Suidas; deest in editt. — 5. Ἴων ... υἱὸς] Suidas corrupte Ἰωνόννος υἱός. Cf. Ælian. V. H. IV, 27 : ὅτι Παμφάης ὁ Πριηνεὺς Κροίσῳ τῷ Λυδῷ, τοῦ πατρὸς αὐτοῦ περιόντος, τριάκοντα μνᾶς ἐδωρήσατο. Παραλαβὼν δὲ τὴν ἀρχὴν, μεστὴν ἅμαξαν ἀργυρίου ἀπέπεμψεν αὐτῷ. — 6. δὲ] τε codex.

66. *Cod. Escor. fol.* 85, 8 *r.* — 91, 8 *r.* De iis quæ in hoc fragmento leguntur, Photius in Excerptis Ctesiæ (fr. 29, 2)

μετὰ Ἀρβάκην λόγος ἔχει γενναιότατον γεγονέναι. Ἐπὶ τούτου βασιλεύοντος ἡ μεγάλη γίνεται μεταβολὴ, καθ' ἣν εἰς Πέρσας ἐκ Μήδων περιῆλθεν ἡ ἀρχὴ, δι' αἰτίαν τοιάνδε. Νόμος ἐγένετο ἐν Μήδοις, ὅστις πένης τροφῆς ἕνεκα προσίῃ (1) ἀνδρὶ εὐπόρῳ, ἑαυτὸν διδοὺς ὅπως τρέφοιτό τε καὶ ἀμπέχοιτο, ἴσα καὶ δοῦλον (2) νομίζεσθαι ἐκείνου· ἣν (3) δὲ μὴ παρέχοι ταῦτα ὁ λαβὼν, ἐξεῖναι παρ' ἄλλον ἀποχωρεῖν. Προσέρχεται δή τις μειρακίσκος, ὄνομα Κῦρος, Μάρδος γένος, θεράποντι βασιλείῳ, ὃς ἦν ἐπὶ τοῖς καλλύνουσι τὰ βασίλεια. Ἦν δὲ ὁ Κῦρος Τοσατραδάτου (4) παῖς, ὅστις ἐλῄστευεν ὑπὸ πενίας. Ἡ δὲ γυνὴ αὐτοῦ, Ἀργόστη (5) ὄνομα, ἡ Κύρου μήτηρ, αἰπολοῦσα ἔζη. Ἐκδίδωσιν οὖν αὐτὸν (6) ὁ Κῦρος ἐπὶ τὸ τρέφεσθαι τῷ ἀνδρὶ, καὶ ἐκάλλυνε τὰ βασίλεια (7), καὶ ἦν ἐπιμελής. Βελτίω οὖν αὐτῷ στολὴν ὁ ἐπιστάτης δίδωσι, καὶ ἐκ τῶν ἔξω εἰσήγαγεν εἰς τοὺς ἔσω καλλύνοντας παρὰ βασιλεῖ, καὶ τῷ τούτων ἐπιστάτῃ συνίστησι. Χαλεπὸς δ' ἦν οὗτος καὶ ἐμαστίγου πολλάκις Κῦρον· καὶ ὃς ἀφίσταται παρὰ τὸν λυχνοφόρον· κἀκεῖνος αὐτὸν ἀγαπᾷ (8), καὶ προσάγεται πλησίον βασιλέως, ἵν' ἐν τοῖς λυχνοφοροῦσιν αὐτῷ εἴη. Εὐδοκιμῶν δὲ καὶ ἐν τούτοις μετῆλθε παρὰ Ἀρτεμβάρην (9), ὅστις τῶν οἰνοχόων ἐπεστάτει, καὶ αὐτὸς βασιλεῖ ὤρεγε πιεῖν τὴν φιάλην. Ὁ δὲ αὐτὸν προθύμως δέχεται, καὶ οἰνοχοεῖν κελεύει τοῖς ὁμοτραπέζοις βασιλέως. Οὐ πολλοῦ δὲ χρόνου ἐπεὶ ἑώρα αὐτὸν Ἀρτεμβάρης (10) εὖ καὶ ἐπιστρεφῶς διακονοῦντα καὶ τὴν φιάλην εὐσχημόνως ἐπιδιδόντα, πυνθάνεται βασιλεὺς Ἀρτεμβάρου ὁπόθεν εἴη ὁ νεανίσκος. « Ὡς καλῶς οἰνοχοεῖ. » Ὁ δ' εἶπεν· « Ὦ δέσποτα, σὸς δοῦλος, Πέρσης γένος, ἐκ τῶν Μάρδων, τροφῆς δὲ χάριν ἑαυτὸν δεδωκώς μοι. » Ἦν δὲ ὁ Ἀρτεμβάρης πρεσβύτης· καί ποτε δεῖται βασιλέως, ἐπεὶ ἐπύρεξε, μεθεῖναι αὐτὸν εἰς οἶκον ἔστ' ἂν ὑγιάνῃ. « Ἀντὶ δ' ἐμαυτοῦ, ἔφη, ὁ νεανίσκος ὅδε (Κῦρον λέγων), ὃν σὺ ἐπαινεῖς, οἰνοχοήσει· υἱὸν δ' αὐτὸν κἀγὼ ποιήσομαι, εὐνοῦχος ὢν, εἴ σοι τῷ δεσπότῃ οἰνοχοῶν καταθύμιος γένοιτο. » Ταῦτα ἐπῄνει ὁ Ἀστυάγης· καὶ ὁ μὲν ἀπελύετο, πολλὰ ἐντειλάμενος Κύρῳ, καὶ φιλοφρονησάμενος ὡς ἂν υἱῷ. Ὁ δὲ παρεστὼς βασιλεῖ τήν τε φιάλην ἐδίδου καὶ ᾠνοχόει νύκτα καὶ ἡμέραν, ὑπέφαινέ τε πολλὴν σωφροσύνην καὶ ἀνδρείαν. Ὁ δ' Ἀρτεμβάρης ἐκ τῆς νόσου ταύτης θνήσκει υἱοποιησάμενος τὸν Κῦρον. Δίδωσιν οὖν αὐτῷ ὁ Ἀστυάγης, ὡς ἂν υἱεῖ (11), τὸν σύμπαντα βίον Ἀρτεμβάρεω καὶ ἄλλα πολλὰ δῶρα· μέγας τε ἦν καὶ ὄνομα αὐτοῦ πάντῃ διεφέρετο.

simus fuisse traditur. Eo regnante magna ista accidit rerum conversio, qua a Medis ad Persas imperium devenit ob causam hujusmodi. Lex apud Medos obtinet, ex qua pauper qui victus causa ad virum divitem accedit eique se tradit, ut nutriatur et amiciatur, eodem quo servus loco habetur. Quodsi dominus hæc non præstat, licet illi ad alium se conferre. Ea igitur conditione puer quidam, Cyrus nomine, genere Mardus, ad ministrum regium accedit, qui mundantibus palatium erat præfectus. Cyrus filius erat Tosatradatæ (*Atradatæ*), qui ob paupertatem latrocinium exercebat. Uxor ejus Argoste, mater Cyri, capras pascendo vitam sustentabat. Cyrus itaque quum ad victum quærendum viro isti se elocasset, regiam mundabat, multamque ostendebat diligentiam. Splendidiorem igitur vestem ei præfectus dat, et ab iis qui extera palatii curabant, ad eos qui intus apud regem mundabant, introducitur, horumque præfecto subjungitur. Is vero severus erat ac sæpenumero Cyrum flagellabat. Quare hoc relicto Cyrus ad lampadarium transiit, qui amore eum prosequitur et ad regem propius adducit, iis qui lucernas præferunt accensens. Et quum inter hos quoque probaretur, deinde transiit ad Artembarem, qui pincernis erat præfectus atque ipse regi phialam ad bibendum porrigebat. Is libenter Cyrum admittit et sociis mensæ regiæ infundere jubet. Nec multo post quum Astyages scite et dextre ministrantem phialamque decore admodum porrigentem videret, quærit ex Artembare rex, unde esset juvenis ille, qui tam egregie pincernæ munere fungeretur. Cui ille, « O domine, respondit, servus tuus est, Persa genere, Mardis oriundus, qui victus causa se mihi dedidit. » Ceterum Artembares jam senex erat, et quondam, quum febri laboraret, e rege petivit, ut domum se dimitteret donec recuperasset valetudinem. « Interim, inquit, pincernam pro me aget juvenis hic (Cyrum dicebat), quem tu collaudas, quemque ego, qui eunuchus sim, pro filio adoptabo, si tibi, domino meo, id gratum fuerit. » Comprobavit hoc Astyages. Ille vero abscessit multa Cyro demandans comiter et benevole, quasi filio suo. Igitur lateri regis adstans Cyrus phialam porrigebat et vinum infundebat diu noctuque, ac multam modestiam ostendebat et virtutem. Artembares autem e morbo moritur, postquam Cyrum testamento filium sibi instituerat. Quare Astyages ei, utpote filio, facultatem Artembaræ universam tradidit aliaque dona plurima addidit. Jam celeber Cyrus erat et nomen ejus ubique divulgabatur.

---

nihil nisi hæc tradit : Φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους, ὡς οὐδὲν αὐτοῦ πρὸς γένος ἐχρημάτιζεν. — 1. προσίῃ] προσῇ cod. — 2. δοῦλον] vel δοῦλος. δούλου cod. — 3. ἣν] ἦν cod. — 4. Τοσατραδάτου] Infra pater Cyri nominatur Ἀτραδάτης. Unde h. l. fortasse scr. τοῦ Ἀτραδάτου. Apud Herodotum nomen bubulci, apud quem Cyrus educatur, est Μιτραδάτης. — 5. Ἀργόστη] Ἄργοστη codex. Ἀρτόστης Persa memoratur ap Ctesiam p. 55 a; Ἀργήστης ap. Æschyl. Pers. 300. — 6. αὐτὸν] αὐτὸν cod. Deinde malim : ἐπὶ τῷ — 7. ἐπιμελής] ἐπιμελητής codex. Quod si genuinum est, post vocem βασίλεια nonnulla exciderint; nam sententiarum junctio inconcinnior. — 8. ἀγαπᾷ] ἠγαπᾶ cod. — 9. Ἀρτεμβάρης] Nomen hoc etiam in Herodotea de Cyro narratione occurrit I, 114. 115. 116, ubi nobilis est Medi, cujus filium Cyrus puer ludens male tractaverat. — 10. Ἀρτεμβάρης] Dicendum erat Ἀστυάγης. Sed nolui corrigere excerptorem. — 11. υἱεῖ] sic h. l.; modo erat υἱῷ. Deinde Ἀρτεμβάρεως cod.

Ἦν δὲ Ἀστυάγῃ θυγάτηρ πάνυ γε γενναία καὶ εὐειδὴς, ἥντινα Σπιτάμᾳ (12) δίδωσι τῷ Μήδῳ ἐπὶ προικὶ πάσῃ Μηδίᾳ. Κῦρος δὲ μεταπέμπεται τόν τε πατέρα Ἀτραδάτην καὶ Ἀργόστην τὴν μητέρα ἐκ Μάρδων. Οἳ δὲ ἧκον ἐπ' αὐτῷ μεγάλῳ ὄντι (13). Ἐξηγήσατο δ' αὐτῷ καὶ ἡ μήτηρ ὄνειρον, ὡς κύουσα αὐτὸν δόξαι κοιμηθεῖσα ἐν τῷ ἱερῷ, ἡνίκα ἐν Μάρδοις ἦν αἰπολοῦσα (14). — « Ἔδοξα γὰρ, ἔφη, οὐρῆσαι τοσοῦτον κύουσα, ὦ Κῦρε, σὲ, ὥστε ποταμοῦ μεγάλου ῥεύματα ὅμοιον γενέσθαι τὸ πλῆθος τοῦ οὔρου, καὶ κατακλύσαι πᾶσαν τὴν Ἀσίαν· ῥυῆναι δὲ αὐτὸ ἄχρι θαλάττης. » Καὶ ὁ πατὴρ ἀκούσας κελεύει τοῖς ἐν Βαβυλῶνι Χαλδαίοις ὑπερθεῖναι. Κῦρος δὲ τὸν λογιώτατον αὐτῶν καλέσας ἐξηγήσατο· καὶ ὃς ἀποκρίνεται μέγα τε εἶναι τὸ προφαινόμενον ἀγαθὸν καὶ τὴν πρώτην αὐτῷ τιμὴν φέρον ἐν Ἀσίᾳ· δεῖν δὲ κρύπτειν, ὡς μὴ Ἀστυάγης ἀκούσῃ· « κάκιστα γάρ σέ τε ἀποκτενεῖ, κἀμὲ τὸν κριτῆρα αὐτοῦ. » Ὤμοσαν δὲ ἀλλήλοις μηδενὶ κατερεῖν τὴν ὄψιν μεγάλην τε οὖσαν καὶ οἵαν οὐκ ἄλλην. Ἐκ τούτου πολὺ μείζων (15) ὁ Κῦρος γενόμενος σατράπην τὸν αὐτοῦ πατέρα Περσῶν ἐποίησε, καὶ τὴν μητέρα πλούτῳ τε καὶ δυνάμει Περσίδων πρώτην.

Καδούσιοι δὲ τότε πολέμιοι ἦσαν βασιλεῖ, ἄρχοντα ἔχοντες Ὀναφέρνην (16), ὅστις προδιδοὺς τὸ ἔθνος τὰ βασιλέως ἐφρόνει, καὶ πέμψας ἄγγελον παρὰ Ἀστυάγην ᾐτεῖτο ἄνδρα πιστὸν, ὡς σὺν αὐτῷ βουλεύσειε τὰ περὶ τῆς προδοσίας. Καὶ ὃς ἐκπέμπει Κῦρον, ὡς ἂν πάντα συμπράξειεν· ἡμέρᾳ δὲ τεσσαρακοστῇ ὥρισεν αὐτῷ παρ' αὐτὸν εἰς Ἐκβάτανα ἀνελθεῖν. Καὶ ὁ τοῦ ὀνείρου κριτὴς παρεθάρρυνεν αὐτὸν εἰς Καδουσίους ἀπελθεῖν, καὶ φρονήματος ἐνεπίμπλα. Εἰσῄει δὲ Κῦρον, ἅτε φύσει γενναῖον καὶ μεγαλόφρονα, ὡς χρὴ, θεοῦ συλλαμβανομένου, Πέρσας ἀποστῆσαι, καὶ Ἀστυάγην πειρᾶσθαι τῆς ἀρχῆς παύειν, πιστεύειν τε τῷ Βαβυλωνίῳ τὰ θεῖα κάλλιστα ἐξεπισταμένῳ. Ἐθάρρυνον (17) δὲ ἀλλήλους· ὁ μὲν Βαβυλώνιος Κῦρον ὅτι εἱμαρμένον εἴη αὐτὸν καταλῦσαι Ἀστυάγην καὶ τὴν ἐκείνου βασιλείαν ἑλεῖν, καὶ τοῦτ' αὐτὸς ἄριστα γινώσκειν· ὁ δ' αὖ Κῦρος τὸν Βαβυλώνιον, ὅτι μεγάλων αὐτὸν καταξιώσει, γενομένων τούτων, ἐὰν αὐτὸς βασιλεὺς γένηται. Ἐνεθυμεῖτο δὲ ὡς καὶ Ἀρβάκης παύσας Σαρδανάπαλλον πρότερον τὴν ἐκείνου τιμὴν ἀφέλοιτο. « Καίτοι οὔτε Μῆδοι κρείσσους Περσῶν, οἷς ἐκεῖνος ἐπίστευσεν, οὔτε Ἀρβάκης φρονιμώτερος ἐμοῦ· τύχη δὲ καὶ μοῖρα κἀμοὶ προδείκνυσι (18),

Erat Astyagæ filia valde nobilis et formosa, quam Spitamæ Medo despondet, dote addita Media universa. Tum Cyrus Atradatem patrem et Argosten matrem e Mardis arcessit. Venerunt illi fortuna filii gaudentes. Atque somnium ei mater exposuit, quomodo gravida sibi visa sit, in fano dormiens quo tempore capras apud Mardos pasceret. — « Visa mihi sum, inquit, quum in utero te, Cyre, gestabam, tantam emittere urinæ copiam, ut magni amnis fluentis æquiparanda esset, totamque Asiam inundans ad mare usque proflueret. » Quod audiens pater Chaldæis in Babylone vatibus ad interpretandum jubet proponi. Cyrus igitur vatem celeberrimum advocavit eique somnium narravit. Ille vero respondit bonum portendi permagnum et summum ei in Asia honorem afferens, verum celandum esse, ne audiat Astyages. « Nam ultimo supplicio et te et me interpretem afficeret. » Itaque jurejurando invicem promiserunt, nemini se somnium istud gravissimum et quale aliud nullum, dicturos esse. Deinde ad multo majorem Cyrus potentiam erectus, patrem suum Persarum satrapam constituit, matrem divitiis et dignitate primum inter Persicas mulieres locum tenere effecit.

Cadusii tunc hostili in regem animo erant. Præfectum habebant Onaphernem, qui prodens populum regis commodis prospiciebat; ac misso nuntio ab Astyage virum petebat, cum quo de proditionis ratione iniret consilia. Misit rex Cyrum, quo ad omnia ille socio uteretur; diem autem quadragesimam definivit qua Ecbatana ad se reverti deberet. Somnii quoque interpres hortabatur, ut ad Cadusios proficisceretur, et fiducia eum implebat. Cyro autem, utpote viro strenuo et magnanimo, cogitatio mentem subiit, debere se, deo opitulante, Persas ad defectionem adducere, et tentare ut Astyagis regnum everteret, fidemque habere Babylonio quid dii portenderent optime scienti. Atque invicem se exhortabantur, Babylonius Cyrum, fatis aiens destinatum esse, ut everso Astyagis regno ipse potiretur, idque certissime se compertum habere; Cyrus vero Babylonium, magna ei præmia pollicens, si his ita evenientibus ipse rex esset. Præterea reputabat Arsacem quoque Sardanapallum olim ejecisse sibique honorem ejus vindicasse. « Et tamen neque Medi, quibus fisus ille rem aggressus est, Persis fortiores erant, neque Arbaces me prudentior. Ac quemadmodum illi, sic mihi quoque fortuna fatumque fu-

12. Σπιτάμᾳ] Ἐπιστάμᾳ codex. Spitamæ nupsisse Amytin Astyagis filiam, quam postea ipse Cyrus uxorem duxit, novimus e Ctesia p. 45 *b* et 46 *a*. Ceterum hujus filiæ mentio tam abrupte introducitur, ut nemo non agnoscat excerptorem. Ad nuptiarum illarum solennitatem Cyrus parentes suos advocasse videtur. In seqq. ἐπὶ πρ. πάσῃ Μ. bene habent. — 13. ἐπ' αὐτῷ μεγάλῳ ὄντι] Hæc mihi suspecta. Nisi excidit participium aliquod, fuisse puto : ἐπ' αὐτῷ μεγαλυνόμενοι. — 14. ἦν αἰπολοῦσα] ἠπολοῦσα codex. Oratio indirecta in media enuntiatione transit in directam. De re cf. Herodot. I, 107 : Τὴν (Μανδάνην) ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον, ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. Ὑπερθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον ἐφοβήθη. Aliter Justinus I, 4 : *Hic* (Astyages) *per somnum vidit ex naturalibus filiæ, quam unicam habebat, vitem enatam, cujus palmite omnis Asia obumbraretur.* — 15. μεῖζον cod. In antec. nota v. κριτῆρα pro κριτήν. — 16. Ὀναφέρνην] Infra τὸν ἀφέρνην. Apud Herodot. I, 121 sqq. Cyrus in Persidem ad parentes dimissus, suasore Harpago Persas ad defectionem adducit. — 17. ἐθάρρυνον] ὁ ἐθάρρυνον cod. — 18. προδείκνυσιν intransitive h. l. usurpatur, nisi scribi malis τύχην δὲ ἡ μοῖρα κἀμοὶ προδείκνυσι.

ὥσπερ ἄρα κἀκείνῳ. » Ταῦτα ἐνθυμουμένῳ ὑπήντησε μεμαστιγωμένος ἀνὴρ κόπρον ἐν κοφίνῳ ἐκφέρων, ἐπειδὴ ἐν τοῖς ὅροις γίνεται Καδουσίων· οἰωνισάμενος (19) καθυπερτίθεται τῷ Βαβυλωνίῳ. Ὁ δὲ ἐκέλευσε πυθέσθαι, τίς τε εἴη ὁ ἀνήρ, καὶ ποδαπὸς γένος. Πυθομένῳ δὲ Κύρῳ ἀποκρίνεται ἐκεῖνος, ὅτι Πέρσης εἴη, Οἰβάρας (20) ὄνομα. Καὶ ὃς ἥσθη πάνυ· ὁ γὰρ Οἰβάρας δύναται Ἑλλάδι γλώσσῃ ἀγαθάγγελος. Ἔφη δ' ὁ Βαβυλώνιος πρὸς Κῦρον, καὶ τἄλλα σύμβολα εἶναι ἄριστα, ὅτι τε Πέρσης ἐστί σοι πολίτης καὶ ὅτι κόπρον ἱππίαν φέρει, ἥτις πλοῦτον καὶ δύναμιν προσημαίνει, ὥσπερ καὶ τοὔνομα λέγει. Ταχὺ δὲ τὸν ἄνθρωπον ὁ Κῦρος παραλαμβάνει, συνεῖναί τε ἐκέλευεν αὐτῷ· ὁ δὲ πείθεται.

Ἐκ τούτου παρὰ Ὀναφέρνην (21) εἰς Καδουσίους ἧκε, καὶ πίστεις λαμβάνει τε καὶ δίδωσι περὶ τῆς προδοσίας· ἐπανῄει τε εἰς Μηδίαν· τὸν δὲ Οἰβάραν (22) ἵππῳ τε καὶ στολῇ Περσίδι καὶ θεραπείᾳ ἐτίμησεν, εἶχέ τε πέλας, τὴν γνώμην ὁρῶν ἀγαθὸν, καὶ ἅμα τοῦ Βαβυλωνίου κελεύοντος διαλέγεσθαι αὐτῷ. Ἐκ δὲ τοῦ κατ' ὀλίγον ἑταιριζόμενος ἐποιεῖτο καὶ σύμβουλον καί ποτ' εἰς λόγους ἦλθε τοιούτους, ὡς ἄχθος τὸ ὁρᾶν (23) Πέρσας ὑπὸ Μήδων κακουμένους, καὶ ταῦτα οὐδὲν χείρους ὄντας τὰς φύσεις. Καὶ ὁ Οἰβάρας εἶπεν· « Ὦ Κῦρε, οὐ γάρ ἐστιν ἀνὴρ τὰ νῦν μεγαλόφρων τε καὶ μεγαλογνώμων, ὃς παῦσαι Μήδους ἐθελήσει τῶν κρειττόνων ἄρχειν ἀξιοῦντας. » Καὶ Κῦρος ἔφη· « Πῶς οὐχ ἔστιν, ὦ Οἰβάρα; » — « Ἔστιν μὲν ἴσως, ἀλλὰ πολλῇ καὶ κακῇ ἀτολμίᾳ χρῆται, δι' ἣν οὐδὲν δρᾷ δυνάμενος. » Καὶ ὁ Κῦρος, ἐκπειρώμενος· « Εἰ δὲ φανείη τολμητὴς ἀνὴρ πῶς ἂν δύναιτο τοῦτο κατεργάζεσθαι; » Ὁ δὲ ἀποκρίνεται· « Πρῶτον μὲν Καδουσίους προσαγαγόμενος ἐθέλοντας· Πέρσας μὲν φιλοῦσι, Μήδους δὲ πάνυ μισοῦσι· ἔπειτα δὲ καὶ Πέρσας θαρρύνας τε καὶ ὁπλίσας περὶ μ' ὄντας μυριάδας, καὶ ἀσμένως ἂν ἐθελήσαντας δι' ἃ πάσχουσιν (25) ὑπὸ Μήδων· ἐπιτηδειοτάτη δ' αὐτοῖς πρὸς τοῦτο καὶ ἡ χώρα πετρώδης τε καὶ ὀρεινὴ (26) οὖσα, ἐφ' ἣν εἰ στρατεύειν Μῆδοι θέλοιεν, κακῶς ἀπαλλάξουσι. » Κῦρος δὲ ἠρώτα· « Εἰ ἀνὴρ φανείη ταῦτα δρῶν, συναναкινδυνεύσεις αὐτῷ; » Καὶ ὅς· « Εἰ γὰρ, ὦ Ζεῦ, ἔφη, μάλιστα μὲν σὺ εἴης ὁ τοῖς (27) ἐγχειρῶν, ἐπειδὴ καὶ

turum portenditur. « Hæc apud animum reputanti, ubi ad fines Cadusiorum pervenerat, obiam fit vir, qui flagris cæsus erat, et fimum tunc in cophino exportabat. Quod ominosum ratus Babylonio rem proponit. Is vero sciscitari jussit, quis et cujas vir esset. Sciscitanti ille respondit se Persam esse Œbarem nomine. Quibus Cyrus valde lætabatur. Nam *Œbares* græca lingua significat ἀγαθάγγελος, *boni nuntius*. Ac Babylonius Cyro dixit reliqua quoque signa faustissima esse : quod scilicet Persa ideoque civis tuus est, atque fumum effert equinum, quo divitiæ et potentia portenduntur, uti ipsum nomen indicat. Statim igitur hominem Cyrus assumit ac comitari se jubet; ille vero obtemperat.

Deinde in Cadusiorum terram ad Onaphernen venit, et postquam de proditione fidem dedit et accepit, in Mediam revertitur. Œbarem vero equo et veste Persica ceteroque cultu honoravit et circa se habebat, quum optime affectum videret, hortante simul Babylonio, ut cum eo colloqueretur. Sic paullatim familiaritatem cum eo contrahens consiliorum socium fecit, et quondam in sermonem venit hujusmodi. « Quam grave est, inquit, Persas videre a Medis inique tractari, quum indole minime sint inferiores. » Ad quæ Œbares : « O Cyre, inquit, nullus nunc exstat vir generosus et magnanimus, qui impedire cupiat, ne diutius Medi fortioribus imperare velint. »— « Quidni exstaret talis, Œbare ? » — « Fortasse exstat, sed multa et misella ignavia prohibetur ne quid, etsi possit, aggrediatur. » Tum Cyrus explorans : « Sed fac prodire virum audacem; quomodo possit rem perficere ? » Respondet alter : « Primum Cadusios sibi adjungens, haud invitos, quum Persas ament, Medos vehementer oderint; deinde etiam Persas exhortans et in arma vocans, numero quadraginta fere millia, qui ob ea quæ a Medis patiuntur ad defectionem paratissimi sunt. Accedit huc, quod maxime idonea ad hoc est regio eorum rupibus montibusque intercepta, in quam si exercitum ducere Medi voluerint, male iis res cesserit. » Dein Cyrus quærit : « Si appareret vir hoc suscepturus, num periculi tu ei socius fores? » « Proh Juppiter, ait, utinam tu maxime vir sis manum his admovens, quandoquidem et pater tuus Persarum

— 19. οἰωνισάμενος] οἰονισαμ. codex. Malim οἰωνισόμενος. Nota deinde vocem καθυπερτίθεται. Ceterum nexus sententiarum excerptorem redolet. — 20. Οἰβάρας] In sqq. codex plerumque Οἰβάρας, raro Οἰβάρας præbet. Posteriora hujus viri fata novimus ex fragmentis Ctesiæ p. 46 et Justino, I, 7 : *Initio regni Cyrus Sæbaren cæptorum socium, quem juxta nocturnum visum ergastulo liberaverat, comitemque in omnibus rebus habuerat, Persis præposuit, sororemque suam ei in matrimonium dedit.* Idem Justinus comparandus cum Nostris est I, 6 : *Lectis ille* (Cyrus) *epistolis* (sc. Harpagi ad defectionem exhortantis, uti apud Herodotum I, 123), *eadem somnio adgredi jussus est, sed præmonitus, ut quem primum postera die obvium habuisset, socium cæptis assumeret. Igitur antelucano tempore ruri iter ingressus, obvium habuit servum de ergastulo cujusdam Medi, nomine Sæbaren. Hujus requisita regione, ut in Persis genitum audivit, demptis compedibus, assumptoque comite regreditur.* In universum Justini de regno Medorum ejusque eversione narratio ita comparata est, ut partim ad Herodoteam, partim ad Ctesianam nostram proxime accedat, multa tamen etiam sibi propria habeat. Quare magna suspicio est Trojum Pompejum vestigia legisse Dinonis, cujus quanta apud Romanos auctoritas fuerit e Cornelii Nepotis testimonio (v. Dinon fr. 27, p. 94) colligitur. — 21. Ὀναφέρνην] τὸν ἀφέρνην cod. — 22. Οἰβάραν] Οἰβάραν cod. h. l. et in sqq. — 23. ὁρᾶν] ὁρῶν cod. — 25. δι' ἃ πάσχ.] διαπάσχουσιν cod. Ante θελήσαντες excidisse videtur ἀποστῆναι. — 26. ὀρεινὴ] θρανὴ cod. — 27. τοῖς pro τούτοις e fonte ionico. Nisi scrib. τοῖσδ'.

ὁ σὸς πατὴρ ἄρχει Περσῶν, καὶ σὺ ἐνασυλότατος (28) εἶ καὶ δυνατώτατος· εἰ δὲ μὴ, ὅστις οὖν ἂν εἴη (29). »

Ἐκ τούτου τὸ ὅλον βούλευμα ἐκκαλύπτει τε αὐτῷ ὁ Κῦρος, καὶ συμβούλῳ χρῆται, ὁρῶν ἄνδρα φρόνιμον καὶ ἀνδρεῖον, καὶ ἐν αὐτῷ πάσας ἔχοντα τὰς ἐλπίδας. Καὶ ὃς συνεπῄνει τε καὶ συνεξώτρυνε, γνώμας τε ἀγαθὰς ὑφηγεῖτο, καὶ ὡς χρὴ πέμψαντα παρὰ Ἀτραδάτην τὸν πατέρα κελεύειν ὁπλίζειν Πέρσας, τῷ λόγῳ μὲν, ὡς ἕτοιμοι εἶεν βασιλεῖ ἐπὶ Καδουσίους, τῷ ἔργῳ δ' εἰς ἀπόστασιν· ἔπειτα ὡς χρὴ παρὰ Ἀστυάγου αἰτησάμενον ἡμέρας ἐλθεῖν αὐτὸν εἰς τὴν Περσίδα, ὡς ἱερὰ εὐκταῖα θύσειεν ὑπὲρ βασιλέως καὶ τῆς ἐκείνου σωτηρίας, ἅμα δὲ καὶ τοῦ πατρὸς, ἐπειδὴ φαύλως ἔχει (30) ὑπὸ νόσου. « Εἰ δὲ ταῦτα πράξει, ἐγχειρητέον ἔσται τῷ σύμπαντι ἀνδρείως. Οὔ τοι (31) δεινὸν, ὦ Κῦρε, καὶ ἀποκινδυνεύειν τῇ ψυχῇ μεγάλοις ἐγχειροῦντα ἔργοις, καὶ παθεῖν, εἰ δέοι, τοῦτο ὃ καὶ μηδὲν δρῶντας ἀναμένει παθεῖν. » Ἥσθη τε οὖν ὁ Κῦρος ἐπὶ τῇ γενναιότητι τοῦ ἀνδρὸς, καὶ ἅμα θαρρύνων αὐτὸν καὶ τὸν ὄνειρον ἐξηγήσατο τῆς μητρὸς καὶ τὴν τοῦ Βαβυλωνίου γνώμην, ἣν εἶπε περὶ αὐτοῦ. Καὶ ὁ Οἰβάρας ἅτε ἀγχίνους πολὺ μᾶλλον αὐτὸν ἐξώτρυνε, καὶ διεκελεύσατο (31*) φυλάττειν τὸν Βαβυλώνιον, ὡς μὴ ἐξάγγελος εἴη βασιλεῖ τοῦ ὀνείρου, « εἰ ἄρα κτείνειν αὐτὸν οὐχ ὑπομένοις, ὅπερ ἦν ἄριστον. » Καὶ ὁ Κῦρος· « Ἀποτρόπαιον [ἂν] εἴη τοῦτό γ', » εἶπεν. Συνεσιτοῦντο δὴ καὶ συνῄεσαν (*) Κύρῳ τὸ ἀπὸ τοῦδε ὅ τε Οἰβάρας καὶ ὁ Βαβυλώνιος. Ἐν δέει δὲ ὢν ὁ Πέρσης, μὴ κατείποι πρὸς Ἀστυάγην ὁ Βαβυλώνιος περὶ τοῦ ὀνείρου, προσεποιήσατο ἱερὰ πάτρια νύκτωρ ἐπιτελεῖν τῇ σελήνῃ, καὶ τὸν Κῦρον ᾔτησε θύματά τε καὶ οἶνον καὶ οἰκέτας καὶ στρώματα καὶ τἄλλα ὧν ἔδει. Ἠξίου δὲ Κῦρον προστάξαι τοῖς θεραπεύουσι πείθεσθαι αὐτῷ. Καὶ ὃς προσέταξέ τε καὶ τῆς θυσίας οὐ μετεῖχεν, Οἰβάρα τεχνήσαντος, [ὃς] παρασκευάζεται (32) τά τε ἄλλα νύκτα καὶ στιβάδας βαθείας, ἐφ' ὧν εὐωχήσονται, καὶ βόθρον ὤρυξεν ἐν τῇ αὐτοῦ σκηνῇ (33) βαθύτατον. Ἐπεὶ δὲ πάντα ἔπραξε, καὶ εὐώχησε τὸν Βαβυλώνιον καὶ ἐμέθυσεν, ὑπέρ τε τὸν βόθρον αὐτῷ κοίτην στορέσας, ὡς κατακλίνει ἐς ταύτην, ὦσεν αὐτὸν εἰς τὸν βόθρον κάτω. Συνενέβαλε δ' αὐτῷ καὶ τὸν οἰκέτην. Καὶ ἅμα ὄρθρῳ Κύρου ἀπάραντος συνωδοιπόρει. Οὐ πολὺ δὲ προελθόντα ἐπεζήτει τὸν ἄνθρωπον ὁ Κῦρος· ὁ δὲ τὸ μὲν πρῶτον ἔφη καταλελοιπέναι αὐτὸν ἔτι καθεύδοντα ὑπὸ μέθης. Ἀγανακτοῦντος δὲ τοῦ Κύρου, τελευταῖον ἐξέφηνε τἀληθὲς, ὅτι αὐτὸν κτείνειεν, ἐπειδὴ μόνην σωτηρίαν ταύτην ἑώρα Κύρῳ τε καὶ τοῖς Κύρου παισὶν οὖσαν. Λυπηθεὶς δὲ πάνυ ἐπὶ τοῖς πραχθεῖσι καὶ ἔτι μᾶλλον ὀργισθεὶς, ὥστε μηκέτι προσίεσθαι τὸν Οἰβάραν, αὖθις μετέγνω καὶ προσίετο αὐτὸν, συμβούλῳ τε ἐχρῆτο περὶ τῶν αὐτῶν. Τῇ δὲ τοῦ Βαβυλωνίου γυναικὶ πυνθανομένῃ

præfectus est, et tu a violentia tutissimus es et potentissimus; sin minus tu, quicunque demum ille sit. »

Post hæc totum consilium ei Cyrus aperit, socioque utitur, virum prudentem et strenuum esse videns, et qui in ipso omnem spem repositam haberet. Ille vero collaudabat et excitabat probaque consilia suggerebat. Suadebat vero ut, misso nuntio, Atradaten patrem Persas armare juberet, verbo tenus ut regi ad bellum contra Cadusios, reapse ut ad defectionem parati essent; deinde ut ab Astyage veniam peteret per dies aliquot in Persidem abeundi ad sacra votiva facienda pro rege ejusque salute, nec non pro patre ægrotante. « Hæc si obtinueris, toti operi manus admovenda est strenue. Neque sane mirum est, o Cyre, etiam de vita periclitari virum res magnas molientem, et pati, si opus fuerit, id quod etiam nihil peragentes pati sustinent. » Gaudebat Cyrus hac viri fortitudine, simulque ut fiduciam ei adderet, somnium matris, et quomodo id Babylonius interpretatus esset, exposuit. Tum Œbares, vir perspicax, multo magis eum excitabat, atque cohortatus est, ut caveret Babylonium, ne is regi somnium nuntiaret, « si quidem occidere eum non sustineas, quod sane consultissimum foret. » Ad quod Cyrus : « Facinus hoc esset averruncandum. » Igitur ab hoc inde tempore conversari cum Cyro ejusque convictu uti solebant Œbares et Babylonius. Verum metuens Persa ne ad Astyagem Babylonius somnium deferret, simulavit se noctu sacra Lunæ ritu patrio facturum, ad eaque e Cyro petivit hostias, vinum, ministeria, stragula et cetera quibus opus erat. Præterea Cyrum rogavit ut famulos imperata ipsius exsequi juberet. Jussit ille et sacrificio non interfuit, adornante ita rem Œbare, qui tum reliqua noctu comparat, tum strata alta, in quibus epulentur, atque scrobem in tentorio suo effodit profundissimam. Quibus instructis, convivio Babylonium excepit et mero inebriavit, et, ubi in lectum supra scrobem ei stratum recumbit, in scrobem illam detrusit. Simul cum eo etiam famulum dejecit. Et orto diluculo cum Cyro proficiscens iter ingreditur. Nec longe progressum Cyrus de Babylonio quærens compellat. Ille primum quidem respondit se reliquisse eum e crapula adhuc dormientem. Irascente autem Cyro, postremum rem, quæ erat, fatetur, se occidisse eum dicens, quod hanc unam vidisset Cyro ejusque liberis fore salutem. Ob hæc mœrore Cyrus affectus et magis etiam iratus, adeo ut aditum Œbaræ amplius non permitteret, postea tamen, mutato animo, rursus admittebat eum, et consiliario, sicuti antea, utebatur. Uxori vero Babylo-

28. ἐνασ.] ἐνασυλώτατος cod. Nota vocem. — 29. ὅστις οὖν ἂν εἴη] ὅστις ** νείη codex, relicto quattuor fere literarum spatio. In margine notatum : « fort. οὐχ ἄν. » — 30. ἔχει] Malim ἔχοι. — 31. οὔ τοι] οὗτοι cod. Idem mox ἀναμένειν. — 31*. διεκελεύσατο] διεχλευ άσατο codex. — * συνῆσαν? — 32. ὃς παρασκ.] vel ὁ δὲ π. scripsi pro τεχνήσαντος παρασκ. quod codex præbet. Deinde fort. leg. ἄλλα [εἰς τὴν] νύκτα. Mox οἰοχησονται cod. — 33. σκηνῇ] σκῆ cod.

περὶ τοῦ ἀνδρὸς εἶπεν, ὅτι ὑπὸ λῃστῶν ἀποθάνοι καὶ ταφείη (34) ὑπ' αὐτοῦ.

Μετὰ ταῦτα παρὰ βασιλέα Κῦρον ἀφικόμενον ὁ Οἰβάρας ἀνεδίδασκε καὶ ἐξώτρυνε τὰ βεβουλευμένα σφίσι δρᾶν καὶ πέμπειν τε εἰς Πέρσας καὶ ὁπλίζειν τοὺς ἐν ἥβῃ καὶ Ἀστυάγην αἰτεῖσθαι δοῦναί οἱ ἡμέρας ὥς τε τὰ ἱερὰ θύσειε καὶ τὸν πατέρα νοσηλεύσειε φαύλως ἔχοντα. Καὶ ὃς ἐπείσθη, τά τε ἄλλα ὅπλα ἤδη ἦν ἕτοιμα, καὶ ὁ Κῦρος ᾐτήσατο βασιλέα τὴν εἰς Πέρσας πορείαν, ὡς ἂν θύσειεν ὑπὲρ αὐτοῦ καὶ ἅμα τὸν πατέρα ἴδοι κακῶς διακείμενον. Ὁ δ' οὐ δίδωσιν αὐτῷ, ὑπ' εὐνοίας συνεῖναι θέλων· καὶ ὁ Κῦρος ἐν ἀθυμίᾳ (35) ἦν Οἰβάρᾳ δηλώσας ὡς ἀποτύχοι. Καὶ ὃς ἐθαρρύνετο αὐτὸν, καὶ αὖθις ἐκέλευε διαλιπόντα ἡμέρας δεῖσθαι αὐτοῦ περὶ τῶν αὐτῶν, καὶ τεύξεσθαι· δεῖν δὲ αὐτὸν θεραπεύειν προθύμως ἔτι μᾶλλον ἢ πρότερον· καὶ ἐπειδὰν δέηται, δι' ἑτέρου τοῦτο ποιεῖν καὶ μὴ δι' αὐτοῦ. Καὶ ὁ μὲν ᾤχετο παρὰ βασιλέα, καὶ τοῦ πιστοτάτου τῶν εὐνούχων ἔχρῃζεν, ὅταν ᾖ καιρὸς, αἰτήσασθαι αὐτῷ τὴν ἄφοδον παρὰ βασιλέως. Ἐπεὶ οὖν ποτὲ ἑώρα βασιλέα ἐν πολλῇ ὄντα παιδιᾷ τε καὶ μέθῃ, νεύει τῷ εὐνούχῳ λέγειν βασιλεῖ, ὅτι Κῦρος ὁ σὸς δοῦλος αἰτεῖται δοῦναι αὐτῷ ἅ ποτε εὔξατο ἱερὰ ὑπὲρ σοῦ, ὅπως ἂν αὐτῷ εὐμενὴς εἴης, θῦσαι, καὶ ἅμα τὸν αὐτοῦ πατέρα ἀσθενῶς ἔχοντα θεραπεῦσαι. Καὶ ὁ Ἀστυάγης καλέσας Κῦρον καὶ μειδιῶν (36) δίδωσιν αὐτῷ ε' μῆνας ὁρίσας, τῷ δὲ ἕκτῳ ὅπως ἐπανίοι διεκελεύσατο. Προσκυνήσας [δὲ] καθίστησιν ἀνθ' ἑαυτοῦ Τιριδάτην (37) οἰνοχόον βασιλεῖ, ἄχρι αὐτὸς ἐπανίοι. Καὶ ἐπὶ Οἰβάραν ἦλθε γεγηθώς. Ὁ δ' αὐτὸν ἐκέλευσε παραχρῆμα τοὺς οἰκέτας συλλαβόντα ἀπαίρειν· καὶ, ἦν γὰρ αὐτὸς ἐπιμελητὴς, νύκτωρ πάντα εὐτρεπίζει, καὶ ἕωθεν (38) εἰς Πέρσας ὁδοιπόρουν.

Ἡ δὲ τοῦ Βαβυλωνίου γυνὴ, ὃς τὸν ὄνειρον ἔφρασε Κύρῳ, προακηκοῦϊα ἄρα παρὰ τοῦ ἑαυτῆς ἀνδρὸς, ἡνίκα ἔζη, τὴν (39) ὄψιν, ἥντινα ἔφρασεν αὐτῷ ὁ Κῦρος, τελευτήσαντος αὐτῇ τοῦ ἀνδρὸς, συνοικοῦσα τῷ ἐκείνου ἀδελφῷ, ἐκείνης τῆς νυκτὸς συναναπαυομένη ἤκουσε παρ' αὐτοῦ, ὅτι μέγας γενόμενος οἴχοιτο εἰς Πέρσας. Ἡ δὲ αὐτῷ διηγεῖτο τὸν ὄνειρον καὶ τὴν τούτου κρίσιν, ὥσπερ ἤκουσε παρὰ τοῦ ἀνδρὸς, ὅτι βασιλεύσει Περσῶν. Ἕωθεν δὲ ὁ ἀνὴρ ἀτρέμας ἧκε παρὰ Ἀστυάγην, καὶ δι' εὐνούχου ἐρόμενος τὴν εἴσοδον, πάντα ἀπήγγειλεν, ὡς ἀκούσειε παρὰ τῆς ἑαυτοῦ γυναικὸς, ὅτι Κύρῳ ἐφράσθη ὑπὸ τοῦ ἀποθανόντος ἀνδρὸς θεολόγου πρὸς τὴν γενομένην ὄψιν βασιλεῦσαι, καὶ τοῦδ' ἕνεκα (40) ἄρα οἴχοιτο νῦν εἰς Πέρσας· οὐ πάλαι δὲ καὶ αὐτὸς ταῦτα ἀκηκοέναι παρὰ τῆς γυναικός· ἕκαστά τε σαφῶς διηγήσατο τοῦ τε ὀνείρου καὶ τῆς κρίσεως (41). Ἐν πολλῇ δὲ συννοίᾳ γενόμενος Ἀστυάγης πυνθάνεται τοῦ Βαβυλωνίου, τί οὖν χρὴ ποιεῖν. Καὶ ὃς ἔφη· κτείνειν αὐτὸν

nii de marito sciscitanti dixit eum a latronibus interfectum et ab ipso esse sepultum.

Post hæc quum ad regem Cyrus venerat, Œbares quæ cepissent consilia in animum ei revocabat, exhortans ut ea exsequeretur, ut scilicet missis ad Persas nuntiis juventutem in arma vocaret, et ab Astyage dies aliquot sibi posceret, quo sacra faceret patremque morbo laborantem curaret. Quibus Cyrus obtemperans, ubi cetera jam parata erant, a rege in Persidem abeundi veniam petivit, ut sacra pro eo faceret simulque patrem viseret male habentem. At non permisit rex, pro sua in Cyrum benevolentia eum secum volens versari. Qua de repulsa Cyrus Œbarem certiorem faciens magnopere erat sollicitus. Ille vero animum ejus ad fiduciam erigebat, auctorque erat, ut, intermissis aliquot diebus, iterum peteret eadem; ac tum fore ait, ut voti compos fieret. Interim debere eum regi servire multo quam antea alacrius, et precibus si adire eum vellet, id non ipsum sed per alium facere. Cyrus igitur in regiam se contulit, et fidissimum eunuchorum rogavit, ut, ubi tempus foret, pro ipso veniam abeundi a rege peteret. Itaque quum regem quondam hilarem admodum et appotum cerneret, nutu significavit eunucho, ut diceret ei : « Cyrus servus tuus precatur, ut permittas ei quæ vovit sacra pro te, quo benevolus ipsi sis, peragere, et simul curare patrem suum ægrotum. » Tum Astyages Cyrum advocat, et subridens ei quinque mensium spatium concedit, sexto autem redire jubet. Ille vero regem adorat et ipsius loco Tiridatem pincernam regi esse usque ad reditum suum constituit. Deinde lætus venit ad Œbarem, qui confestim, assumptis servis, jubet eum proficisci. Ipse curavit noctu omnia præparari; et primo mane in Persidem iter ingrediuntur.

Interea mulier Babylonii, qui somnium Cyro explicaverat, quum ipsa a marito, dum in vivis adhuc esset, visum hoc illi a Cyro narratum audiisset, et post obitum mariti fratri ejus nupsisset, noctu illa cum eo conquiescens comperit Cyrum ad magnam provectum potentiam in Persidem proficisci. Ipsa autem viro narravit somnium ejusque interpretationem, secundum quam Cyrus rex Persarum futurus esset, quemadmodum ex priore marito audiverat. Illucescente die vir intrepide ad Astyagen se contulit, et aditu per eunuchum petito, totam rem exposuit, quomodo ex uxore audiisset maritum ejus defunctum, theologum, e somnii indiciis nuntiasse Cyrum regno potiturum esse; atque hoc eum consilio nunc in Persidem proficisci dixit; nuper demum ipsum hæc e muliere comperisse. Singulaque de somnio ejusque explicatione accurate enarravit. Astyages, vehementer de his sollicitus, e Babylonio quærit quid sit faciendum. Ille Cyrum, simulac redierit, interfici jussit; nam

34. ταφείη] τὰ φείη cod. — 35. ἐν ἀθυμίᾳ] ἐν θυμίᾳ cod. Possis et : ἐν ἐνθ. Ceterum malim : ἐν ἀθ. ὢν Οἰβάρᾳ ἐδήλωσε. — 36. μειδιῶν] μηδιῶν cod. Mox codex : ἐπάνεισι. — 37. ἀνθ' ἑ. Τιριδάτην] ἀφ' ἑ. Τιριδά cod. — 38. ἕωθεν] ἔσωθεν cod. Mox pro ὃς τὸν codex ὡς τόν. — 39. ἔζη τὴν] ἐζήτην cod. — 40. ἕνεκα] οὕνεκα cod. — 41. κρίσεως] χρηστύος cod.

ἐπανελθόντα ὡς τάχιστα· μόνη γὰρ (42) αὕτη ἀσφάλεια ἂν εἴη. Καὶ ὁ Ἀστυάγης ἀποπεμψάμενος τὸν Βαβυλώνιον μᾶλλόν τι ἐνεθυμεῖτο τοὺς λόγους αὐτοῦ. Εἰς ἑσπέραν δὲ πίνων ἐκάλεσε τὰς παλλακίδας ὀρχηστρίδας οὔσας καὶ κιθαριστρίδας. Καί τις αὐτῶν ᾄδουσα τοιαῦτ' ἔλεγεν· « Ὁ λέων (43) τὸν κάπρον ὑποχείριον ἔχων μεθῆκεν εἰς τὰς λόχμας τὰς ἑαυτοῦ, ἐν αἷς κρείττων γενόμενος πολὺν πόνον αὐτῷ παρέξει, καὶ τελευτῶν ἀσθενέστερος ὢν τὸν ἰσχυρότερον χειρώσεται. » Ταῦτα ᾀδούσης ἐνθύμια ποιεῖται Ἀστυάγης ὡς τείνοντα εἰς αὐτόν. Παραχρῆμα δὴ πέμπει τ' ἱππεῖς ἐπὶ Κῦρον, οἷς ἐκέλευσεν αὐτὸν καλεῖν ὀπίσω· ἐὰν δὲ μὴ ἕπηται, τὴν κεφαλὴν ἀποτεμόντας φέρειν. Οἱ δὲ ᾤχοντο, καὶ ἐπεὶ ἧκον παρὰ Κῦρον, ἔφρασαν τὰ παρ' Ἀστυάγους. Κἀκεῖνος, οἷα ἀγχίνους, εἴτε καὶ Οἰβάρα παραινοῦντος, εἶπε· « Πῶς δ' οὐ μέλλω ἰέναι, καλοῦντός με τοῦ δεσπότου; ἀλλὰ νῦν δειπνήσατε, πρωῒ δὲ χωρῶμεν παρ' αὐτόν. » Οἱ δὲ ταῦτ' ἐπῄνουν. Ὁ δὲ Περσικῶς ὀπτὰ κατακόψας ἱερεῖα πολλὰ καὶ βοῦς, εἱστία τε τοὺς ἱππέας καὶ μεθύσκει· προαπέσταλτο δ' αὐτῷ ἄγγελος ἐπὶ τὸν πατέρα χιλίους ἱππεῖς κελεύων καὶ πεντακισχιλίους πεζοὺς ἐπὶ Ὕρβαν ἑτέραν (44) πόλιν πέμπειν πρὸ ὁδοῦ κειμένην, τοὺς δὲ ἄλλους Πέρσας ὁπλίζειν αὐτὸν τάχιστα, ὡς βασιλέως προστάττοντος· οὐ γὰρ ἐδήλωσε τὸν ὄντα λόγον. Μετὰ δὲ τὴν ἑστίασιν εἰς ὕπνον τετραμμένων τῶν ἱππέων, αὐτός τε καὶ Οἰβάρας ὡς εἶχον ἀναβάντες ἐπὶ τοὺς ἵππους, ἀπελαύνουσι, καὶ ἧκον ἐπὶ τὴν Ὕρβαν ἔτι νυκτὸς οὔσης, καὶ ὁπλίζει ὁ Κῦρος τοὺς ἀνθρώπους· καὶ συντάττει τοὺς παρὰ τοῦ πατρὸς ἥκοντας ὡς εἰς μάχην· καὶ αὐτὸς μὲν ἐν τῷ δεξιῷ ἵσταται, καὶ Οἰβάρας ἐν τῷ εὐωνύμῳ. Καὶ ὁ οἶνος ἀνῆκε τοὺς παρὰ Ἀστυάγους πρωῒ οἰχομένους, καὶ γνόντες Κῦρον διώκουσι. Καὶ ἧκον ἐπὶ τὴν Ὕρβαν, καὶ εὑρόντες ἐκτεταγμένον συμβάλλουσιν ὡς εἰς μάχην. Ἔνθα δὴ πρῶτον πολλὴν ἀνδρείαν (45) Κῦρος ἀποδειξάμενος σὺν τρισὶ Πέρσαις κτείνει περὶ σ' καὶ ν' ἱππεῖς· οἱ λοιποὶ δὲ φεύγουσι παρὰ βασιλέα καὶ ταῦτ' ἀπήγγειλαν. Καὶ ὃς παίσας τὸν μηρὸν εἶπεν· « Οἴ μοι ὡς πολλάκις (46) γνοὺς ὅτι οὐ χρὴ κακοὺς εὖ ποιεῖν, ὅμως ἁλίσκομαι χρηστοῖς λόγοις, ὃς καὶ Κῦρον παραλαβὼν πολλῶν κακῶν (47), Μάρδον γένος, ὄλεθρον τηλικοῦτον ἐποίησα κατ' ἐμαυτοῦ (48)· ἀλλὰ καὶ νῦν οὐ χαιρήσει οἷς θέλει (49). » Καὶ παραχρῆμα καλέσας τοὺς στρατηγοὺς ἀθροίζειν τὴν δύναμιν κελεύει. Ὡς δὲ ἠθροίσθη εἰς ρ' μὲν πεζῶν μυριάδας, εἴκοσι δὲ ἱππέων, τρισχίλια δὲ ἅρματα, ἐλαύνει δὴ (50) ἐπὶ Πέρσας. Ἤδη δὲ ὥπλιστο κἀκεῖ ἡ στρατιὰ ὑπὸ Ἀτραδάτα πάντα εἰδότος (51)· καὶ ἦσαν λ' μὲν μυριάδες πελταστῶν, ε' δὲ ἱππέων (52), ρ' δὲ

solam hanc fore securitatem. Dimisso deinde Babylonio, curatius Astyages sermones ejus reputavit, et sub vesperam potans vocavit pellices saltatrices et citharistrias; quarum una canens dixit tale quid : « Leo aprum, quum in potestate haberet, dimisit in latibula sua, ubi viribus auctus multum ei laboris præbebit; et postremo, quum viribus inferior sit, tamen fortiorem subiget. » Hæc illa canente, in animum induxit, ut quæ ad ipsum pertinerent. Confestim igitur equites trecentos ad Cyrum misit, qui revocarent eum, et si non sequeretur, caput ejus abscissum reportarent. Hi profecti ubi ad Cyrum venerunt, mandata Astyagis nuntiant. Ille pro sua sollertia, vel etiam suadente Œbare, respondet : « Quidni rediturus essem, vocante me domino meo? Sed nunc epulemini; cras mane ad regem proficiscemur. » Quod illis probantibus, Cyrus more Persico assatas dissecans hostias multasque boves, convivio excepit equites et inebriavit. Antea vero nuntium ad patrem ablegaverat, jubens eum equites mille quingentos et quinquies mille pedites ad Hyrbam, urbem munitam, in via ipsi percurrenda sitam, mittere, reliquos autem Persas armis quam celerrime instruere, quasi rege ita mandante : nam veram rei rationem non aperuit. Ceterum post convivium equitibus somno se dantibus, Cyrus et Œbares, uti erant, conscensis equis, se proripiunt, et nondum orto diluculo Hyrbam veniunt, ubi incolas Cyrus armat et cum Persis a patre missis in aciem componit. Ipse in cornu dextro, in sinistro Œbares collocatur. Interim quum qui ab Astyage venerant, crapulam edormivissent, re cognita, Cyrum persequuntur, et ubi Hyrbam venerunt, aciem instructam reperientes committunt prœlium. Tunc primum Cyrus egregiæ fortitudinis documentum edens, cum Persis suis circa ducentos et quinquaginta equites occidit. Reliqui fugam arripiunt et cladem regi nuntiant. Astyages vero femur feriens : « Quam sæpe, inquit, ego expertus non esse malos beneficiis afficiendos, nihilominus tamen circumveniri me blandis verbis patior, qui Cyrum ex misellis caprariis excipiens, mardum genere, tantam mihi pestem comparavi. Sed etiam nunc non gaudebit iis quæ molitur. » Ac statim advocatos duces exercitum congregare jubet. Et quum decies centum millia peditum et ducenta millia equitum, et curruum tria millia collecta essent, contra Persas proficiscitur. Interea vero illic quoque exercitus ab Atradate de Cyri consiliis jam edocto instructus erat, trecenta millia

42. γὰρ] περ cod. — 43. Eadem paullo aliter adornata e Dinonis Persicis (fr. 7) narrat Athenæus XIV, p. 633, C. — 44. Ὕρβαν] Urbs ignota, quantum sciam. Quid vox ἑτέραν, si genuina est, sibi velit, non perspicio. Scribendum puto ἑταίραν, vel ἐχυρὰν quod lat. expressi. — 45. ἀνδρείαν] ἀνδρεῖον cod. Deinde vox τρισὶ vix recte habet. Num τοῖς? — 46. παλλάκις cod. — 47. πολλῶν κακῶν κτλ.] Male hæc procedunt. Durius jungeres πολλῶν κακῶν ὄλεθρον. Fuisse puto παραλαβὼν ἐξ αἰπόλων κακῶν. — 48. ἐμαυτοῦ] ἐμαυτὸν cod. Cum seqq. ἀλλὰ καὶ νῦν οὐ χαιρήσει confer verba Astyagis ap. Herodotum I, 128 : Ἀλλ' οὐδ' ὣς ὁ Κῦρός γε χαιρήσει. — 49. θέλει] θέλῃ cod. — 50. ἐλαύνει δὴ] ἐλ. δὲ cod. — 51. εἰδότες cod. — 52. ἱππέων] sic margo.; in textu ** ων.

δρεπανηφόρα. Ὡς δ' εἰς ἓν συνῆλθε Κύρῳ ἡ δύναμις, παρῄνεσε τούτους. *Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.*

Ἐκ τούτου αὐτός τε καὶ ὁ πατὴρ συνέταττον τὴν στρατιὰν, καὶ Οἰβάραν ἀποφαίνουσι στρατηγὸν, ἄνδρα εὔβουλον καὶ δραστήριον, ὃς προκαταλαμβάνει μὲν τὰς στενοπόρους ὁδοὺς φυλακαῖς, καὶ τὰ ὑψηλότατα (53) ὄρη, τὸν δὲ ὄχλον ἐκ τῶν ἀτειχίστων πόλεων εἰς τὰς εὐερκεῖς μετάγει, φρούρια δ' ἔνθα καιρὸς ἦν ἐντειχίζεται. Καὶ μετ' οὐ πολὺ Ἀστυάγης ἧκε σὺν τῷ στρατῷ καὶ τὰς ἐρήμους πόλεις κατέκαε· πρός τε Κῦρον καὶ Ἀτραδάταν τὸν τούτου πατέρα πέμψας ἀγγέλους πολλά τε ἠπείλει καὶ ὠνείδιζε τὴν πρόσθεν πτωχείαν, ἐκέλευσέ τε ὀπίσω παρ' αὐτὸν ἰέναι, δήσειν γὰρ αὐτοὺς μόνον παχείαις πέδαις· « Εἰ δ' ἁλώσεσθε, ἔφη, κακοὶ κακῶς ἀπολεῖσθε (54). » Κῦρος δὲ ἀποκρίνεται· « Οὐκ ἄρα σύγε, ὦ Ἀστυάγη, θεῶν δύναμιν ᾔδεις, ὃς οὐκ οἶσθα (55) ὑπ' ἐκείνων τοὺς αἰπόλους ἐποτρυνθέντας ἐπὶ τάδε τὰ (56) πράγματα, οἷς ἑπόμεθα καὶ εἰς τέλος. Καὶ σοὶ παραινοῦμεν, ὅτι ἡμᾶς καὶ αὐτὸς εὖ ἐποίεις, θεῶν σοι ἐπὶ νοῦν ἀγόντων, ἀπάγειν τὴν δύναμιν καὶ Πέρσας ἐλευθέρους ἐᾶν (57) κρείττους ὄντας Μήδων, ὡς μὴ τούτους δουλούμενος καὶ τῶν ἄλλων ἀποστερηθῇς. » Ταῦτα μὲν ὁ ἄγγελος ἀπήγγειλεν Ἀστυάγῃ. Ὁ δὲ ὑπ' ὀργῆς ἐξάγει τὴν στρατιὰν (58) εἰς μάχην καὶ ἐκτάττει· αὐτὸς δὲ προεκάθητο ἀναβὰς δισμυρίους ἔχων δορυφόρους περὶ αὐτόν. Ἀντεπῄει δὲ Κῦρος, Ἀτρατάδην μὲν ἐν τῷ δεξιῷ κέρατι στήσας, Οἰβάραν δὲ ἐπὶ τῷ εὐωνύμῳ· αὐτὸς δὲ (59) μετὰ τῶν ἀρίστων Περσῶν ἐν μέσοις ἦν. Ἔνθα δὴ δεινὴ μάχη γίνεται· καὶ πλείστους ἔκτεινε Κῦρός τε καὶ οἱ λοιποὶ Πέρσαι. Σχετλιάζων δὲ ὁ Ἀστυάγης ἐπὶ τοῦ θρόνου εἶπεν· « Οἴ μοι τοὺς τερμινθοφάγους Πέρσας· οἷα ἀριστεύουσι. » Καὶ πέμψας ἠπείλει τοῖς ἑαυτοῦ στρατηγοῖς, εἰ μὴ νικήσουσι τοὺς ἀντίους, οἷα πείσονται. Κάμνοντες δὲ οἱ Πέρσαι ὑπὸ πλήθους πολεμίων, ἄλλων ἐπ' ἄλλοις ἐπιόντων, κλιθέντες ἀναχωροῦσιν εἰς τὴν πόλιν, πρὸ ἧς ἐμάχοντο. Εἰσεληλυθότας (60) δὲ θαρρύνει Κῦρος καὶ Οἰβάρας, ὅτι πλείους αὐτοὶ πολεμίων ἔκτειναν, καὶ παραινοῦσι παῖδας μὲν καὶ γυναῖκας εἰς Πασαργάδας τὸ ὑψηλότατον ὄρος ἀποπέμψαι, αὐτοὶ δὲ εἰς αὔριον ἐπεξελθόντες τέλος ἐπιθεῖναι τῇ νίκῃ. « Πρόκειται γὰρ ἀποθανεῖν πᾶσιν, ἢν ἡττηθῶσι (61)· βέλτιον οὖν μετὰ τοῦ νικᾶν, εἰ δέοι παθεῖν τοῦτο, ἐλευθερώσαντας τὴν πατρίδα. » Ταῦτα εἰπόντος, ὀργὴ καὶ μῖσος (62) παρίσταται πᾶσιν ἐπὶ Μήδους, καὶ ἕωθεν ἀναπετάσαντες τὰς πύλας ἐπεξίασιν, ἡγουμένου Κύρου καὶ Οἰβάρα. Ὁ δ' Ἀτραδάτης μετὰ τῶν γερόντων ἐρρύετο τὸ τεῖχος. Ἀντεπίασι δ' αὐτοῖς παμπληθεῖς Ἀστυάγου φάλαγγες σὺν ὁπλίταις τε καὶ ἱππεῦσι. Τῶν

peltastarum, quinque millia equitum et centum currus falcati. Quibus copiis in unum congressis, concione eos Cyrus hortatus est. *Quære in Exc. De concionibus.*

Deinde ipse cum patre exercitum ordinat, et Œbarem, virum prudentem strenuumque, ducem constituit. Is viarum angustias montiumque cacumina custodiis præoccupat, atque multitudinem ex oppidis murorum præsidio destitutis in bene munita traducit, nec non nova munimenta, ubi opportunitas erat, exstruit. Haud multo post Astyages cum exercitu adveniens desertas urbes incendebat, et Cyro ejusque patri Atradatæ per nuntios multa minitabatur et pristinam exprobrabat mendicitatem. Jussitque eos revertentes ipsi se dedere. Quod si facerent, se gravibus compedibus solummodo eos vincturum esse. « Sin capiemini, inquit, miseri misere peribitis. » Ad hæc Cyrus respondit : « Profecto haud tu, Astyage, vim deorum noveras, ignorans ab iis ipsis nos caprarios incitatos esse ad suscipienda hæc quæ ad finem usque persequemur. Atque hortamur te, quia tu ipse quoque nos beneficio affecisti, ut dii te inducant, ut copias abducas liberosque esse sinas Persas Medis præstantiores, ne hos in servitutem redigere tentans etiam reliquis spolieris. » Hæc nuntius quum retulisset, Astyages ira percitus exercitum ad prœlium educit aciemque instruit. Ipse conscenso throno, præsidebat viginti millibus satellitum stipatus. Contra progreditur Cyrus; Atradates dextrum, Œbares lævum cornu ducebant, ipse cum Persarum fortissimis in media acie collocatus erat. Prœlium deinde acerrimum committitur, quo Cyrus et reliqui Persæ hostes quam plurimos occidunt. Tum lamentans in throno suo Astyages dixit : « Heu, Persæ isti terminthophagi, quam strenue rem gerunt! » Et per nuntios minabatur ducibus, nisi vincant adversarios, quanta sint passuri. Tandem Persæ hostium multitudine, aliis post alios progredientibus, oppressi, inclinata acie, in urbem, ante quam pugnabant, se recipiunt. Ingressos vero Cyrus et Œbares ad fiduciam erigebant, aientes majorem ab ipsis hostium numerum occisum esse, atque suadebant, ut liberos et mulieres in Pasargadas, montem altissimum, dimitterent, ipsi autem postridie denuo egressi colophonem victoriæ imponerent. « Nam si vincamur, omnibus est moriendum. Præstat igitur, hoc si patiendum sit, oppetere vincentes patriamque liberantes. » Ad hæc verba ira et in Medos odium animos omnium incessit, et summo mane portis apertis, Cyro et Œbare ducibus, contra hostem egrediuntur. Atradates cum senioribus murum urbis tutabatur. Contra exeunt Astyagis numerosæ phalanges peditum equitumque. Verum dum

—53. ὑψηλότα cod. — 54. ἀπολεῖσθε] ἀπολεῖσθαι cod. — 55. οἶσθας cod. Ceterum hæc verba spectant ad ea quæ in antecedentibus Astyages dixit, excerptor vero omisit. Locutus rex fuerit eundem in modum quo Darius ad Alexandrum in Pseudocallisth. 1, 36. 38. 40 etc., ubi Darius se dicit μέγαν θεὸν, θεῶν σύνθρονον, etc. Cf. etiam fragm. 7, ubi Semiramis παρὰ θεῶν τὰ κράτη ἔχουσα. — 56. ἐπὶ τάδε τὰ] ἔπιτα δὲ τὰ cod. In antec. codex ποιεῖς pro ἐποίεις. — 57. ἐᾶν] ἐὰν cod. — 58. στρατειὰν cod. — 59. δὲ] τε cod. — 60. εἰσεληλυθότα cod. — 61. ἢν ἡττηθῶσι] ἢ ἡττηθεῖσι cod. In antec. malis προκεῖσθαι; sed solemnis hæc or. directæ et indirectæ confusio. — 62. μῆσος cod.

δὲ μαχομένων, ι' μυριάδες ἐκπεριελθοῦσαι, καθότι ἔταξεν Ἀστυάγης, αἱροῦσι τὴν πόλιν, καὶ Ἀτραδάτην πολλὰ τραύματα ἔχοντα ἀναπέμπουσιν ἐπὶ βασιλέα (62). Γενναίως δὲ καὶ οἱ Κύρου ἀγωνισάμενοι φεύγουσιν εἰς Πασαργάδας, ἔνθ' αὐτοῖς [τὰ] τέκνα καὶ γύναια ἦν. Ἀστυάγης δ' ἐπεὶ αὐτῷ ἤχθη ὁ Κύρου πατὴρ, ἔφη· « Οὗτος σὺ δή μοι ἀγαθὸς σατράπης, ὃν ἐγὼ ἐτίμησα, τοιαύτας χάριτας σὺν τῷ υἱεῖ ἀπεδώκατε. » Καὶ ὁ γέρων ἐκπνέων ἤδη· « Οὐκ οἶδ', ἔφη, ὦ δέσποτα, ὅστις θεῶν τήνδε τὴν μανίαν ἐφώρμησε τῷ ἐμῷ παιδί· σὺ δὲ μή με αἰκίζου· ταχὺ γὰρ ὧδ' ἔχων ἀποπνεύσομαι. » Καὶ ὃς ᾤκτειρεν αὐτὸν καὶ εἶπε· « Τοιγαροῦν σὲ ἐγὼ οὐδὲν αἰκίζομαι· οἶδα γὰρ ὅτι, εἴ σοι ὁ υἱὸς ἐπείσθη, οὐκ ἂν ταῦτα ἔπραξεν· ἀλλὰ καὶ θάπτειν σε κελεύω, οὐκ ὄντα ἐκείνῳ (63) ὁμογνώμονα τῆσδε τῆς μανίας. » Τοῦτον μὲν οὖν ταχὺ ἀποθανόντα (64) θάπτουσι καλῶς τε καὶ εὖ. Ἀστυάγης δ' ἐπὶ Πασαργάδας ᾔει (65) διὰ στενῶν ὁδῶν. Ἔνθεν δὲ καὶ ἔνθεν (66) λισσάδες πέτραι καὶ [τὸ] ὄρος διερρωγὸς [καὶ] ὑψηλὸν ἦν· διὰ μέσου δὲ διεξιέναι τὰς ἐμβολὰς Οἰβάρας ἐφύλαττε μυρίοις ὁπλίταις· καὶ ἦν ἀνέλπιστον διελθεῖν. Ἃ δὴ γνοὺς Ἀστυάγης ἐκπεριελθεῖν ἐκέλευσε τὸ ὄρος δέκα μυριάσι ἐν κύκλῳ, εἰς ὃ εὑρόντες ἄνοδον ἀνέρπουσι καὶ τῶν ἄκρων κρατοῦσιν. Οἰβάρας δὲ καὶ Κῦρος σὺν τῷ πλήθει παντὶ νύκτωρ φεύγουσιν εἰς ἄλλο ὄρος χθαμαλώτερον τοῦ προτέρου. Εἵπετο δ' ἡ Ἀστυάγεω (67) στρατιὰ κατ' ἴχνος διώκουσα ἤδη μεταξὺ τῶν ὀρῶν· ἐπῄει δὴ τοὐντεῦθεν ἡ Ἀστυάγου στρατιὰ καὶ ἐμάχετο πρὸς τὸ ὄρος ἀνιοῦσα μάλα εὐψύχως. Κρημνοὶ δὲ πάντῃ καὶ δρυμῶνες ἀγριέλαιοί τε (68) συνεχεῖς ἦσαν. Γενναιότερον δ' ἔτι οἱ Πέρσαι ἐμάχοντο, ἔνθεν Κύρου ἐξορμῶντος, ἔνθεν Οἰβάρα, ὃς αὐτοὺς ἀνεμίμνησκε παίδων τε καὶ γυναικῶν καὶ πατέρων γερόντων καὶ μητέρων, οὓς αἰσχρὸν εἶναι προεῖσθαι Μήδοις κατατέμνειν τε καὶ αἰκίζεσθαι. Ὧν ἀκούοντες ἐρρώσθησαν, καὶ σὺν ἀλαλαγμῷ κατιόντες χερμάσι τε ἀπλέτοις βάλλοντες, ἀπορίᾳ βελῶν, καταράσσουσιν ἐκ τοῦ ὄρους τοὺς πολεμίους. Καί πως Κῦρος ἧκεν ἐπὶ τὸ πατρῷον οἴκημα αὐτοῦ, ἔνθα αἰπολῶν, ὅτε μικρὸς ἦν, ηὐλίζετο. Καὶ ἐν αὐτῷ ἔθυσεν ἄλευρα εὑρὼν (69) καὶ κυπαρίττου ὕλην δάφνην τε ὑποθεὶς καὶ πῦρ ἐκτρίψας, ὡς ἂν κεχμηκώς τε καὶ ἀπόρως ἔχων. Εὐθὺς δ' ἐκ δεξιᾶς ἤστραψέ τε καὶ ἐβρόντησε. Κῦρος δὲ προσεκύνησεν, οἰωνοί τε αἴσιοι ἐπὶ τῷ οἰκήματι αὐτῷ ἑζόμενοι προὔφαινον ὡς (70) εἰς Πασαργάδας ἀφίκοιτο. Ἐκ τούτου δειπνοποιησάμενοι ἐκοιμήθησαν ἐν τῷ ὄρει· καὶ τῇ ὑστεραίᾳ τοῖς οἰωνοῖς πίσυνοι ἐπικαταβαίνουσιν ἐπὶ τοὺς πολεμίους ἀνέρποντας ἤδη εἰς τὸ ὄρος· καὶ ἐπιπολὺ ἐμάχοντο ἀνδρείως. Ἀστυάγης δὲ πεντακισμυρίους ἐπὶ τὸ ὄρος ἔστησε, καὶ ἐκέλευσε (71) τοὺς κατορρωδοῦντας τὴν ἀνάβασιν ἢ φεύγοντας κάτω παρὰ σφᾶς ἀποκτείνειν. Ἀνάγκῃ οὖν ἐχό-

prœlium committitur, centum millia circumvenientes, uti constituerat Astyages, urbem capiunt et Atradatem multis vulneribus saucium ad regem adducunt. Interea Cyri quoque copiæ, quum strenuo pugnassent, fuga se in Pasargadas recipiunt, ubi liberi eorum et mulieres erant. Astyages vero, ubi Cyri pater ad eum adducitur: « Hic tu egregius satrapa, inquit, tales mihi honorum, quibus te ornavi, cum filio tuo, gratias refers? » Et senex jam exspirans: « Nescio, domine, inquit, quis deorum istam filio meo injecerit insaniam. Sed noli me contumelioso supplicio afficere; nam uti nunc habeo, statim animam efflabo. » Et rex miseratus eum dixit: « Haud te contumelia afficiam; nam scio filium, si tibi obtemperasset, non fuisse hæc facturum; immo funere te honorari jubeo, ut qui ab insanis filii consiliis alienus fueris. » Hunc igitur mox defunctum rite et honorifice sepeliunt. Astyages autem Pasargadas versus tendit per vias angustas; nam hinc inde rupes abscissæ imminebant, atque mons ipse peraltus et præruptus erat. Transitum vero per fauces Œbares cum mille gravis armaturæ militibus custodiebat, adeo ut omnis spes transeundi præcideretur. Quibus cognitis, Astyages circumire montem jussit militum viginti millia, donec aditu reperto adscendere et potiri cacumine possent. Œbares vero et Cyrus cum copiis universis noctu in alium montem, qui humilior erat, confugiunt. Quorum vestigia premens sequebatur Astyagis exercitus, qui jam erat inter montem utrumque, et deinde fortiter pugnans in montem adscendit præcipitiis, dumetis, oleastris ubique interseptum. Sed præclarius etiam Persæ pugnabant, hinc Cyro prorumpente, hinc Œbare, commonefaciente eos liberorum, uxorum, patrum senum matrumque, quos turpe foret a Medis sinere trudicari et contumeliis affici. Quibus verbis ad audaciam erecti, clamorem bellicum edentes in hostem descendunt et præ jaculorum inopia lapidibus innumeris obruentes eum de monte detrudunt. Et forte Cyrus ad domum venit paternam, in qua puer capras pascens olim habitaverat. Ibi sacra fecit, farinam reperiens triticeam, cui ligna cupressi laurique supposuit, eaque incendit ignem eliciens, sicuti vir laborans et inopia pressus. Ac statim a dextra fulsit Juppiter tonuitque. Cyrus vero deum adoravit. Atque aves fausti augurii in domi tecto considentes portendebant eum Pasargadas esse venturum. Deinde post cœnam in monte dormierunt. Postridie auspiciis freti contra hostes in montem jam ascendentem degrediuntur, ac diu pugnant fortiter. Verum Astyages quinquaginta millia ad montis radicem collocaverat, mandatis additis, ut adscensum reformidantes et tergiversantes interficerent. Igitur necessitate

62*. βασιλέα] βασίλεια codex. In seqq. codex ἐφώρμισε pro ἐφώρμησε. — 63. ἐκείνῳ] ἐκεῖνον cod. — 64. ἀποθανόντων cod. — 65. ᾔει] εἴη cod. Ceterum hiulcam hujus loci orationem, ut passim, excerptorem arguere vix est quod moneam. — 66. ἔνθεν] ἔθεν cod. — 67. ἀστυάγεως cod. Mox est Ἀστυάγου in cod. — 68. ἀγριελαιοί] ἀγριέλαιος pro vg. ἀγριελαία legitur etiam ap. Theophrast. H. Pl. II, 3. — 69. εὑρὼν] εὑρῶν καὶ κυπαρίτου codex. — 70. προὔ-

μενοι Μῆδοί τε καὶ οἱ σύμμαχοι ἀνῄεσαν ἐπὶ τοὺς Πέρσας. Ἔνθα δὴ καμόντες (72) ὑπὸ τοῦ πλήθους οἱ Πέρσαι ἔφευγον ἐπὶ ἄκρον τὸ ὄρος, ἵνα αὐτοῖς αἱ γυναῖκες ἦσαν. Αἱ δὲ ἀνασυράμεναι ἐβόων· « Ποῖ φέρεσθε, ὦ κάκιστοι; ἢ ἄχρι ἂν εἰσδύητε ἔνθεν γεγένησθε; » Διὰ τοῦτο ὁ Περσῶν βασιλεύς, ἐπειδὰν εἰς Πασαργάδας ἀφίκηται, χρυσὸν δωρεῖται ταῖς Περσίσι γυναιξί· καὶ διανέμει ἑκάστῃ εἰς λόγον δραχμῶν εἴκοσιν Ἀττικῶν. Οἱ δὲ Πέρσαι, καταισχυνθέντες ἐφ' οἷς εἶδον καὶ ἤκουσαν, ἐπιστρέφουσιν ἐπὶ τοὺς πολεμίους, καὶ μιᾷ ὁρμῇ ἐπιδραμόντες ἐξωθοῦσιν αὐτοὺς ἐκ τοῦ ὄρους, καὶ κτείνουσιν οὐκ ἐλάττους ἑξακισμυρίων. Οὐ μὴν Ἀστυάγης ἀφίστατο τῆς πολιορκίας. Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων καὶ στρατηγημάτων.

Πολλῶν δὲ ἀναμεταξὺ γενομένων, Κῦρος εἰς τὴν σκηνὴν παρελθὼν καθίζει εἰς τὸν τοῦ Ἀστυάγου θρόνον, καὶ τὸ σκῆπτρον αὐτοῦ λαμβάνει. Ἐπευφήμησαν δὲ Πέρσαι· καὶ Οἰβάρας (73) αὐτῷ τὴν κίδαριν ἐπιτίθησιν, εἰπών· « Ἀξιώτερος σύ γε εἶ Ἀστυάγου φορεῖν, θεοῦ σοι διδόντος δι' ἀρετήν, καὶ Πέρσας Μήδων βασιλεύειν. » Τά τε χρήματα πάντα εἰς Πασαργάδας ἀπεκόμιζον, ἐφεστῶτος Οἰβάρα καὶ ἐπιμελητὰς καταστήσαντος. Ἄπλετα δ' ἦν καὶ ἃ οἱ Πέρσαι κατὰ σκηνὰς τρεπόμενοι τὰς ἰδιωτικὰς ὠφέλουν. Καὶ μετ' οὐ πολὺ [ἡ] φήμη πάντη διήγγελλε τὴν Ἀστυάγου φυγήν τε καὶ ἧτταν, ὥς τε ὑπὸ θεῶν του ἀφῄρηται τὸ κράτος. Καὶ οἱ ἄνθρωποι ἀφίσταντο καὶ τὰ ἔθνη. Πρῶτος δ' [ὁ] Ὑρκανῶν ἄρχων Ἀρτασύρας ἧκε ε' μυριάδας ἄγων στρατιᾶς Κύρῳ, καὶ προσεκύνησεν, εἶπέ τε ἑτοίμην εἶναι καὶ ἄλλην πολὺ πλείω, ἐὰν κελεύῃ· μετὰ δὲ, ὅ τε Παρθυαῖος καὶ Σάκης καὶ Βάκτριος καὶ οἱ ἐφεξῆς ἅπαντες, ὥστε σπουδὴν εἶναι ἑκάστου τὸν ἕτερον φθῆναι θέλοντος· εἰς δ' Ἀστυάγης μετ' ὀλίγων ὑπολειφθεὶς, ἐπάξαντος μετ' οὐ πολὺ Κύρου καὶ ἐκ τοῦ ῥάστου μάχῃ κρατήσαντος, αἰχμάλωτος ἐπ' αὐτὸν ἄγεται.

67.

Exc. De virt. : Ὅτι Κῦρος ὁ Περσῶν βασιλεὺς ἦν φιλοσοφίας, εἴ καί τις ἄλλος, ἔμπειρος, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη. Δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη κατά δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις· ὃς καὶ μετεπέμψατο Σίβυλλαν ἐξ Ἐφέσου τὴν Ἡροφίλαν καλουμένην χρησμῳδόν.

68.

Ibid. : Ὅτι ὁ Κῦρος ᾤκτειρε Κροῖσον τὸν Λυδῶν

coacti Medi eorumque socii contra Persas ascendunt. Tum prœlio commisso Persæ ob hostium multitudinem recipiunt se versus cacumen montis, ubi uxores reliquerant. Illæ autem, sublata veste, clamare : « Quousque, ignavi, refugietis? num usque ingrediamini unde editi estis? » Propterea rex Persarum, quando Pasargadas venit, aurum inter mulieres Persicas distribuit, singulisque dat ad rationem viginti drachmarum Atticarum. Etenim Persæ pudore affecti iis quæ viderant audiverantque, in prœlium redeunt et uno omnes impetu irruentes hostem de monte depellunt, nec minus quam sexaginta millia occidunt. Sed ne tum quidem Astyages ab obsidione destitit. *Quære in Exc. De rebus præclare gestis et De strategematis.*

Multis interea rebus gestis, Cyrus in tentorium ingressus in throno Astyagis considit, ac sceptrum ejus in manum sumit, Persis acclamantibus. Œbares vero cidarim ei imponit, aitque : « Dignior tu Astyage, qui gestes eam, deo hoc tibi dante ob virtutem, atque Persas imperare Medis. » Opes omnes Pasargadas deportabant, Œbare huic rei præfecto et procuratores constituente. Ingens vero etiam eorum multitudo erat, quæ privatorum tentoria perquirentes Persæ lucra faciebant. Nec multo post fama ubique divulgabat fugam Astyagis cladem que, utque dii eum imperio exuissent. Quare homines singuli populique ab eo defecerunt. Ac primus Hyrcanorum satrapa Artasyras cum quinquaginta millium exercitu ad Cyrum venit eumque adoravit, et alias copias multo majores, si Cyrus jusserit, fore paratas dixit. Deinde Parthorum, Sacarum, Bactriorum, et ceterorum qui deinceps sunt populorum satrapæ venerunt certatim alter alterum studentes antevertere. Postremo Astyages cum paucis relictus, Cyro exercitum contra eum educente et prœlio facile victore, captivus ad eum adducitur.

67.

Cyrus Persarum rex fuit inprimis philosophiæ peritus, quam apud Magos perdidicerat. Justitia quoque et veritate erat imbutus ex more institutoque optimatum apud Persas. Idem Herophilam Sibyllam, quæ oracula edebat, Epheso accersivit.

68.

Cyrus quidem Crœsi fortunam, utpote indignam homi-

φαίνοντο καὶ codex. — 71. In his iterum cum Ctesianis componere licet Justinum I, 6 : *Quod ubi audivit contractis undique auxiliis, ipse in Persas proficiscitur : et repetito alacrius certamine, pugnantibus suis, partem exercitus a tergo ponit, et tergiversantes ferro agi in hostes jubet : ac denunciat suis, ni vincerent, non minus fortes etiam post terga inventuros quam a frontibus viros : proinde videant, fugientibus hæc, an illa pugnantibus acies rumpenda sit. Ingens post necessitatem pugnandi animus exercitui et vis accessit. Pulsa itaque cum Persarum acies paullatim cederet, matres et uxores eorum obviam occurrunt : orant, in prœlium revertantur. Cunctantibus, sublata veste, obscœna corporis ostendunt, rogantes num in uteros matrum vel uxorum velint refugere? Hac repressi castigatione, in prœlium redeunt : et facta impressione, quos fugiebant, fugere compellunt.* — 72. μάχοντες cod. — 73. Οἰβάρας] οἰαβάρας codex.

67. *Cod. Tur. fol.* 156, 27-32 *r.*

68. *Cod. Tur. fol.* 156, 1 *vso* — 168, 9 *r.* Ad prima verba in margine codicis leguntur hæc : Ὅρα τὰ περὶ Κροῖσον

βασιλέα διὰ τὴν οἰκείαν (1) ἀρετήν. Καὶ οἱ Πέρσαι μεγάλην ἔνησαν πυρὰν Κροίσῳ ὑπό τινα ὑψηλὸν τόπον, ἀφ' οὗ ἔμελλον θεάσασθαι τὰ γινόμενα. Καὶ μετὰ ταῦτα Κῦρος ἐξήλαυνεν ἐκ τῶν βασιλείων, καὶ ἡ δύναμις παρῆν ἅπασα, πολύς τε ὅμιλος καὶ ἀστῶν καὶ ξένων. Ὀλίγον δ' ὕστερον θεράποντες ἦγον Κροῖσον δεσμώτην, καὶ Λυδῶν δὶς ἑπτά (2). Ὡς δὲ ἐθεάσαντο Λυδοὶ, πάντες οἰμωγῇ καὶ στόνῳ ἀνέκλαυσαν, καὶ ἔπληξαν τὰς κεφαλάς. Τοσοῦτος δ' ἐκ τοῦ ὁμίλου κωκυτὸς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν μετὰ δακρύων καὶ βοῆς ἐξερράγη, ὁπόσος οὐδὲ ἁλισκομένης τῆς πόλεως. Τότε δή τις ἂν καὶ τὴν τύχην ᾤκτειρε, καὶ Κροῖσον ἐθαύμασε τῆς πρὸς τῶν ἀρχομένων (3) φιλίας. Ὥσπερ γὰρ πατέρα ἑωρακότες, οἱ μὲν τὰς ἐσθῆτας κατερρήγνυντο, οἱ δὲ τὰς κόμας ἔτιλλον· γυναικῶν δὲ ἡγεῖτο πληθὺς μυρία μετὰ κομμοῦ καὶ ὀλολυγῆς. Αὐτὸς δὲ ἄδακρυς προσῄει καὶ σκυθρωπός. Ὁ δὲ Κῦρος, ταῦθ' ὁρῶν γινόμενα, οὐκ ἐκώλυε, βουλόμενος καὶ τοὺς Πέρσας οἶκτόν τινα λαβεῖν αὐτοῦ. Ὡς δὲ προϊὼν κατ' αὐτὸν γίνεται ὁ Κροῖσος, ἐφθέγξατο μεγάλῃ τῇ φωνῇ, δεόμενος τὸν υἱὸν ἀχθῆναί οἱ, ὃς (4) οὐκέτι ἐπεπήρωτο τὴν φωνὴν, ἐξ ὅτου τὸ πρῶτον ἐφθέγξατο· ἦν δὲ καὶ τἄλλα ἔμφρων. Καὶ ὁ Κῦρος ἄγειν ἐκέλευσε τὸν νεανίσκον. Καὶ μετ' οὐ πολὺ ἤγετο ἑπομένων αὐτῷ πολλῶν ἡλίκων. Θεασάμενος δὲ αὐτὸν ὁ Κροῖσος οὐκέθ' ὁ αὐτὸς ἦν, ἀλλὰ τότε πρῶτον ἐδάκρυσεν. Ὁ δὲ μετὰ κλαυθμοῦ καὶ βοῆς προσπεσὼν πρὸς τὸν Κροῖσον, « Οἴμοι, πάτερ, ἔφη, ἡ σὴ εὐσέβεια (5). Πότε δ' ἡμῖν οἱ θεοὶ βοηθήσουσιν (6); » Ἀποβλέψας δὲ εἰς τοὺς Πέρσας, « Ἄγεθ', ἱκετεύω, κἀμὲ, ἔφη, καὶ συνεμπρήσατε· κἀγὼ γὰρ ὑμῶν πολέμιος εἰμὶ οὐχ ἧττον ἢ ὁ πατήρ. » Καὶ ὁ Κροῖσος, « Οὐχ ὀρθῶς λέγεις, ἔφη, μόνος γὰρ ἐγὼ τὸν πόλεμον ἐξήνεγκα, ὑμῶν δὲ καὶ τῶν ἄλλων Λυδῶν οὐδείς· ἐμὲ χρὴ καὶ τὴν τιμωρίαν ὑποσχεῖν. » Ἐμφυεὶς δὲ τῷ πατρὶ ὁ νεανίσκος οὐκέτ' ἀφίστατο· ἀλλ' ὀδυρόμενος οἴκτου πάντα ἐνέπλησεν (7), ἀφιεὶς (8) καὶ ἑαυτὸν ἄγειν ἐπὶ τὴν πυράν. « Οὐ γὰρ, ἔφη, λελείψομαι τῆς σῆς μοίρας, ὦ πάτερ. Εἰ δὲ νῦν με οὐκ ἐάσουσιν, ἀλλὰ προσδέχου με (9) ταχύ. Τίς ἔτι μοι τοῦ βίου ἐλπίς; ὃς ἐξ ὅτουπερ ἔφυν, ἀεὶ μὲν σοὶ λυπηρὸς ἦν, ἀεὶ δ' ἐμαυτῷ· εὐτυ-

nis virtute, miserabatur. At Persæ Crœso ingentem pyram struxere in convalle supposita editissimo loco, ex quo erant omnia spectaturi. Nec multo post Cyrus ex regia processit cum universo exercitu; aderat etiam maxima turba tum civium, tum peregrinorum. Interjecto dehinc modico tempore, Crœsus cum quattuordecim Lydorum proceribus vinctus a satellitibus adducitur. Quem ubi conspexere Lydi, simul omnes ululatum ac gemitum sustulerunt ac capita percusserunt; tantusque ex omni turba virorum simul ac mulierum cum lacrimis et clamore luctus excitatus est, quantus ne urbe quidem capta fuerat. Ac tum certe aliquis et Crœsi vicem doluisset et subditorum erga eundem benevolentiam obstupuisset. Prorsus enim ac si patrem conspexissent, alius vestem lacerabat, alius crines vellebat. Matronarum quoque præibat turba cum planctu atque ululatu. Ipse Crœsus, oculis siccis, ore ad severitatem composito incedebat. Quæ quum ita fieri cerneret Cyrus, nequaquam vetabat, quippe qui Persas Crœsi miseratione tangi maxime vellet. Postquam Crœsus usque ad Cyri solium pervenit, contentissima voce petere cœpit, ut coram se filius adduceretur. Is, ex quo primum loqui cœperat, expedita erat lingua, ac ceteroqui non mediocri prudentia valebat. Igitur Cyrus juvenem acciri jubet. Qui quum paullo post adfuisset stipatus magno æqualium comitatu, conspicatus filium Crœsus jam non is qui antea erat, tuncque primum in fletum solutus est. At juvenis lacrimabundus in patris amplexum ruens, « Heu, mi pater, inquit, quid pietas profuit tua! Ecquando dii auxilium nobis laturi sunt? » Deinde ad Persas conversus, « Me me, ait, abducite, eodemque rogo concremate, quippe haud minus quam pater vestri hostis sum. » Sed Crœsus, « Abstine, inquit, his verbis; solus enim egomet bellum intuli, ex vobis ac ceteris Lydis nemo; proinde me capite meo pœnam luere par est. » Enimvero adolescens patrem artissime amplexus divelli non poterat, sed flens ac gemens miseratione omnes commovebat, se quoque ipsum duci ad rogum jubens. « Neque enim, aiebat, tuo, pater, fato superstes vivam. Quodsi forte hi nunc me arcebunt, at brevi te subsequar. Quæ enim spes vitæ mihi adhuc superest? qui, ex quo in lucem editus sum, semper tibi ac mihi ipse molestus fui. Ac prosperis quidem rebus

---

τὸν Λυδῶν βασιλέα. Ibidem in summa pagina notata sunt hæc : Ὁ γὰρ Κροῖσος ὅτε στρατεύσειν κατὰ Κύρου ἔμελλεν, ἐρωτήσαντι τὸν Ἀπόλλωνα εἰ τοῦ ἐχθροῦ περιέσται, [ὁ θεὸς] εἶπε · « Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταπαύσει. » Τοῦτο ἦν ἄγνωστον, εἴτε τὴν οἰκείαν εἴτε [τὴν] τοῦ ἐχθροῦ. Ὅθεν ἀπατηθεὶς ὁ Κροῖσος, δοκῶν τὴν τοῦ ἀντιδίκου ἀρχὴν καταλύσειν, καταλέλυκε τὴν οἰκείαν ἀρχὴν, ὡς ὅρα κάτωθεν. Ceterum Orellius: « Nicolaus multum discrepat a narratione Herodotea I, 86, omnem inhumanitatis culpam a Cyro in Persas amoliens. Procul dubio et hîc Xanthum Lydum ante oculos habuit Nicolaus; nam Ctesias, multa alioquin prodigiosa narrans, de rogo nihil habet, sed refert Crœsum in custodia tantum asservatum a Cyro, at quum tonitrum fulminaque irruissent, rursum fuisse solutum, tumque Cyrum vix tandem eum missum fecisse. » — 1. οἰκείαν] deest hæc vox in editt. — 2. δὶς ἑπτὰ Λυδῶν] « Ἡρόδοτος Λυδῶν δὶς ἑπτὰ παῖδάς φησι. Καὶ ἴσως τοιαύτη ἦν καὶ παρὰ τῷ Νικολάῳ ἡ γραφή. » Coray. « Sed infra iterum habemus : καὶ σὺν αὐτῷ δὶς ἑπτὰ Λυδῶν. » Orelli. — 3. τῶν ἀρχομένων] Bremi; πρὸς τοὺς ἀρχομένους codex; παρὰ τῶν ἀρχ. conj. Valesius. — 4. οἱ, ὃς] Vales.; οἵ αν codex. — 5. ἡ σὴ εὐσέβεια] Οὐκ ἔρρωται τὸ χωρίον· ὤφειλε γὰρ κἀνταῦθα, ὡς ἐν τοῖς ἐχομένοις, πειστικῶς εἰπεῖν, Ποῦ ἐστιν ἡ σὴ εὐσέβεια; ἢ Εἰς τί χρήσιμος ἡ σὴ εὐσέβεια; Coray. Orellius proposuit τῆς σῆς εὐσεβείας. Quo nihil opus est, opinor. Assimilanda nostra aliis nominativis, qui in exclamationibus usurpantur. V. Matthiæ Gramm. § 311. — 6. βοηθήσουσιν] Valesius; βοηθήσωσιν cod. — 7. ἐνέπλησεν] ἀνέπλησεν dedit Coray. Inde a verbis ἑαυτὸν ἄγειν incipit folium 157, quod cum fol. 158 in codice transpositum nunc exstat post fol. 164. — 8. ἀφιεὶς] ἐφιεὶς voluit Orellius. — 9. με] Coray; μοι cod.

χοῦντα μὲν ἐκτρεπόμενος ὑπ' αἰδοῦς διὰ τὴν τότε μοι προσοῦσαν ἀφωνίαν τε καὶ λώβην· ἐπεὶ δ' ἠρξάμεθα δυστυχεῖν, τότε πρῶτον φωνὴν ἀφῆκα, καί μ' εἰς τοῦτο μόνον ἤρθρωσαν οἱ θεοὶ, ὅπως ἂν ὀδύρωμαι τὰς ἡμετέρας τύχας.» Ὁ δὲ πατὴρ ἔφη, « Μὴ παντάπασιν, ὦ παῖ, σεαυτὸν ἀπογνῷς, νέος ὢν, καὶ πολλοῦ σοι ἔτι ὄντος τοῦ λοιποῦ βίου, ὅπου γε κἀμοὶ λείπεταί τις ἐλπὶς ὅμως, καὶ οὔπω τὰκ θεοῦ ἀπέγνων. » Ἅμα δὲ ταῦτα λέγοντι προσῄεσαν πολλαὶ δή τινες θεράπαιναι, κομίζουσαι ἐσθῆτας πολυτελεῖς καὶ ἄλλον παμπληθῆ κόσμον, ὃν ἔπεμψαν συγκατακαησόμενον αἱ τῶν Λυδῶν γυναῖκες. Ὁ δὲ, τὸν υἱὸν ἀσπασάμενος καὶ τοὺς ἐν κύκλῳ Λυδοὺς, ἐπὶ τὴν πυρὰν ᾔει. Καὶ ὁ παῖς, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνασχὼν, « Ὦναξ Ἄπολλον καὶ θεοὶ πάντες, εἶπεν, οὕστινας ὁ πατὴρ ἐτίμησεν, ἔλθετε νῦν γε ἡμῖν βοηθοὶ, καὶ μὴ συναπόλλυται (10) Κροίσῳ πᾶσα ἀνθρώπων εὐσέβεια. » Ταῦτα εἰπόντα μόλις ἀπῆγον οἱ φίλοι, βιαζόμενον εἰς τὴν πυρὰν αὑτὸν συνεμβαλεῖν (11). Κροίσου δ' ἐπιβαίνοντος αὐτῇ, ἡ Σίβυλλα ὤφθη ἀπό τινος ὑψηλοῦ χωρίου καταβαίνουσα, ἵνα καὶ αὐτὴ (12) ἴδῃ τὰ γινόμενα. Ταχὺ δὲ θροῦς διῆλθε (13) διὰ τοῦ ὁμίλου, ὅτι ἡ χρησμῳδὸς ἥκει, καὶ ἐν προσδοκίᾳ πάντες ἐγένοντο, εἴ τι πρὸς τὰ παρόντα θειάσειε. Καὶ μετ' οὐ πολὺ ἔντονόν τι φθεγξαμένη βοᾷ·

Ὦ μέλεοι, τί σπεύδεθ' ἃ μὴ θέμις; οὐ γὰρ ἐάσει
Ζεὺς ὕπατος Φοῖβός τε καὶ ὁ κλυτὸς Ἀμφιάραος·
Ἀλλά γ' ἐμῶν ἐπέων πείθεσθ' ἀψευδέσι χρησμοῖς,
Μὴ κακὸν οἶτον ὄλοισθε παρὲκ θεοῦ ἀφραίνοντες (14).

Κῦρος δ' ἀκούσας ἐκέλευσε τὸν χρησμὸν διεξενεγκεῖν (15) τοῖς Πέρσαις, ὡς ἐξευλαβηθεῖεν ἁμαρτάνειν. Οἱ δὲ δι' ὑποψίας γίνονται, ὡς κατεσκευασμένης, ἵνα σώζοιτο Κροῖσος. Ὁ δ' ἤδη ἐπὶ τῆς πυρᾶς καθῆστο, καὶ σὺν αὐτῷ δὶς ἑπτὰ Λυδῶν· ἐν κύκλῳ δὲ Πέρσαι δᾶδας ἔχοντες ἧπτον. Σιωπῆς δὲ γενομένης, στενάξας μέγα, εἰς τρὶς ἀνακαλεῖται πάλιν (16) Σόλωνα. Καὶ ὁ Κῦρος ἀκούσας ἐδάκρυσεν, ἐννοηθεὶς ὅτι νεμεσητὰ δρᾷ, βιασθεὶς ὑπὸ Περσῶν, βασιλέα οὐδὲν ἐλάττονα αὑτοῦ τὴν τύχην ἐμπιπράς. Συνεκέχυντο δὲ ἤδη καὶ Πέρσαι τὰ μὲν ἐπὶ Κροίσῳ, τὰ δὲ ἐπὶ τῷ σφετέρῳ βασιλεῖ, ὁρῶντες ἀχθόμενον ἐπὶ τούτοις, καὶ ἐκέλευον σώζειν Κροῖσον. Ταχὺ δὲ Κῦρος πέμψας τοὺς ἀμφ' (17) αὑτὸν ἐκέλευσε τὴν πυρὰν σβεννύναι. Ἡ δὲ ἤθετο, καὶ οὐκέθ' οἱόντ' ἦν ἐξημμένην ἐν κύκλῳ προσιέναι τινά. Φασὶ δὴ Κροῖσον, ἐμβλέψαντα εἰς τὸν οὐρανὸν, εὔξασθαι τῷ Ἀπόλλωνι ἀρῆξαί οἱ, ὁπότε καὶ οἱ ἐχθροὶ σώζειν αὐτὸν ἐθέλοντες οὐ δύναιντο. Χειμὼν δ' ἔτυχε τὴν ἡμέραν ἐκείνην ἐξ ἠοῦς (18), οὐ μὴν ὑετός γε. Κροίσου δ' εὐξαμένου ζοφερὸς ἐξαίφνης ἀὴρ συνέδραμε νεφούμενος

tuis ob linguæ, quo tunc tenebar, vitium tuum aspectum declinabam; postquam vero afflictæ res nostræ esse cœperunt, tum primum vocem edidi, quasi idcirco solum articulatam loquelam dii mihi commodaverint, ut domesticas calamitates deflere loquendo possem. » At Crœsus, « Noli, inquit, fili, juvenis quum sis et adhuc longum tibi curriculum supersit vitæ, de rebus tuis penitus desperare, quando et mihi nonnihil etiamnum spei reliquum est, neque in deorum numine positam fiduciam prorsus abjeci. » Hæc quum diceret, complures ancillæ superveniunt, vestes pretiosas et plurima omnis generis ornamenta afferentes, quæ Lydorum matronæ congerenda in rogum miserant. Itaque Crœsus filium ac reliquos circumstantes Lydos deosculatus, in pyram ascendit. Sed juvenis regius, manibus in cœlum sublatis, « Rex, ait, Apollo, diique porro omnes, quos pater multum coluit, nunc saltem adeste nobis, nec peribit cum Crœso omnis mortalium pietas. » Hæc fatus vix ab amicis abduci potuit, quum sese in rogum una conjicere niteretur. Interim vero, dum Crœsus in pyram conscendit, ecce derepente Sibylla e sublimi quodam loco progredi ad spectaculum visa est, et statim diffuso per multitudinem rumore, vatem adesse, cuncti exspectatione arrecti erant, num quid super præsenti negotio vaticinaretur. Nec multo post carmine hæc fari cœpit :

O miseri, quæ tanta nefas insania suadet?
Juppiter obstat enim Phœbusque atque Amphiaraus.
Verum desinite et nostris parete libentes
Consiliis, ne vos superûm gravis ira sequatur.

Quæ quum audiisset Cyrus, Persis exponi oraculum jussit, quo a scelere deterrerentur. Sed Persæ ad hoc comparatam fuisse Sibyllam suspicabantur, ut liberaretur Crœsus. Jam ille in pyra cum bis septem Lydis consederat, et circum Persæ tædas gestantes pyram incendebant. Silentibus interea cunctis altum suspirans Crœsus ter Solonem appellare cœpit. Quo Cyrus audito illacrimatus est, quum apud se reputaret, facinus indignum committere se, qui regem nihilo olim inferiorem se ipso coactus a Persis cremaret. Jam vero etiam Persæ conturbari cœperant, quum partim Crœsum respicerent, partim regem suum super his dolentem; ac liberari Crœsum jubebant. Igitur Cyrus, missis e satellitio suo nonnullis, pyram ut restinguerent, imperavit. Sed quum illa arderet, et undique concepto igne nemini locus adeundi esset, tum Crœsus, oculis in cœlum sublatis, Apollinis opem precatus esse dicitur, quando hostes ipsi, qui servare se vellent, minime possent. Forte is dies tempestate a primo solis ortu excitata fœdus erat, absque imbribus tamen. Tum vero, postquam Crœsus Apollinem

— 10. συναπόλλυται] συναπόλοιτο Coray., συναπόληται Orelli. — 11. συμβαλεῖν] sic cod., συμβάλλειν edit. — 12. αὐτὴ] Vales.; καὶ αὐτῇ ἴδῃ τὰ γινομενόμενα (sic) codex. — 13. διῆλθε] sic cod.; ἦλθε editt. — 14. ἀφραίνοντες] Val., ἀφρένοντες cod. — 15. διεξενεγκεῖν] διενεγκεῖν editt. — 16. πάλιν] « Ἴσως ἐγράφετο ἀνακαλεῖται τὸν Σόλωνα, πλὴν εἰ μή τι ἐξερρύη τοῦ χωρίου, πρὸς ὃ συνάπτοιτο τὸ πάλιν. Coray. Scribendum puto πάλιν καὶ πάλιν, vel, quod item in usu est, πάλιν πάλιν. — 17. ἀμφ'] Val.; ἀφ' codex. Mox pro ἐξημμένην Corayus scribi mavult ἐξημμένη. — 18. ἐξ ἠοῦς] scrib. ἐξαίσιος opinatur Coray.

πάντοθεν (19), βρονταί τε γίνονται καὶ ἀστραπαὶ συνεχεῖς· τοσοῦτος δὲ κατερράγη ὑετὸς, ὥστε μὴ μόνον τὴν πυρὰν σϐεσθῆναι, ἀλλὰ (20) καὶ τοὺς ἀνθρώπους μόλις ἀντέχειν. Κροίσῳ μὲν οὖν ταχὺ στέγασμα πορφυροῦν ὑπερέτεινον· τοῖς δὲ ἀνθρώποις τὰ μὲν ὑπὸ ζόφου καὶ λαίλαπος ταραττομένοις, τὰ δὲ ὑπὸ (21) ἀστραπῶν, [καὶ] καταπατουμένοις ὑπὸ τῶν ἵππων, τραχυνομένων πρὸς τὸν ψόφον τῶν βροντῶν, δείματα δαιμόνια ἐνέπιπτε, καὶ οἵ τε τῆς Σιϐύλλης χρησμοὶ τά τε (22) Ζωροάστρου λόγια εἰσῄει. Κροῖσον μὲν οὖν ἐϐόων ἔτι μᾶλλον ἢ πάλαι σώζειν· αὐτοὶ δὲ καταπίπτοντες εἰς γῆν προσεκύνουν, εὐμένειαν παρὰ τοῦ θεοῦ αἰτούμενοι. Φασὶ δέ τινες Θαλῆν, προειδόμενον ἔκ τινων σημείων ὄμϐρον γενησόμενον, καὶ (23) ἀναμένειν τὴν ὥραν ἐκείνην. Τόν γε μὴν Ζωροάστρην (24), Πέρσαι ἀπ' ἐκείνου διεῖπαν, μήτε νεκροὺς καίειν, μήτ' ἄλλως μιαίνειν πῦρ, καὶ πάλαι τοῦτο καθεστὼς τὸ νόμιμον τότε βεϐαιωσάμενοι. Κῦρος δ' εἰς τὰ βασίλεια Κροῖσον ἄγων παρεκάλει τε καὶ ἐφιλοφρονεῖτο, πειθόμενος εἶναι θεοσεϐέστατον· ἐκέλευέ τε, εἴ τι βούλεταί οἱ γενέσθαι, μὴ ὀκνεῖν, ἀλλ' αἰτεῖσθαι. Ὁ δὲ εἶπεν· « Ὦ δέσποτα, ἐπεί μέ σοι θεοὶ ἔδοσαν, σύ τε χρηστὰ ἐπαγγέλλεις, αἰτοῦμαί σε δοῦναί μοι πέμψαι Πυθοῖδε (25) τὰς πέδας τάσδε, καὶ τὸν θεὸν ἐρέσθαι, τί παθὼν ἐξηπάτα με τοῖς χρησμοῖς ἐπάρας στρατεύειν ἐπὶ σὲ ὡς περιεσόμενον; ἐξ ὅτου αὐτῷ τάδε ἀκροθίνια πέμπω (δείξας τὰς πέδας)· καὶ τί δήποτε ἀμνημονοῦσι χάριτος οἱ τῶν Ἑλλήνων θεοί. » Κῦρος δὲ γελάσας καὶ τάδε ἔφη δώσειν, καὶ ἄλλων οὐκ ἀτυχήσειν αὐτὸν μειζόνων. Κῦρος δὲ ὀλίγου χρόνου φίλον ἐπεποίητο Κροῖσον, ἐξιών τε ἐκ Σάρδεων ἀπέδωκε παῖδας καὶ γυναῖκας, καὶ σὺν αὐτῷ ἐπήγετο (26). Φασὶ δέ τινες καὶ ἐπιτρέψαι ἂν αὐτῷ τὴν πόλιν, εἰ μὴ ᾤετο νεωτεριεῖν.

comprecatus est, repente dispersæ nubes conjungi atque obnubilare cœlum cœpere; tonitrua etiam strepere et fulgura micare crebra, tantusque subito imbor effusus est, ut non modo pyram restinxerit, verum etiam spectatores pæne afflixerit. Ceterum ipsi quidem Crœso brevi purpureum pallium arcendo imbri prætensum est: Persas vero, partim tenebris ac turbine, partim fulgurum crebritate conturbatos, conculcatos præterea ab equis, quos strepitus tonitruum efferaverat, religio ac metus divûm incessit: Sibyllæ quoque vaticinia ac Zoroastris oracula in mentem veniebant. Itaque clamitabant, multo, quam antea, contentius, ut Crœsus servaretur. Ipsi in terram proni pacem deorum supplices poscebant. Sunt qui dicant, Thaletem, quum ex quibusdam signis imbrem tum futurum prævidisset, monuisse Crœsum, bono animo ut esset, eamque horam exspectaret. At Persæ exinde sanxerunt juxta præcepta Zoroastris, ne cadavra cremare neque ignem contaminare posthac liceret, quod quum apud eos ex veteri instituto olim obtinuisset, tum magis confirmaverunt. Post hæc Cyrus introductum in regiam Crœsum consolari ac benigne alloqui cœpit, ratus virum diis carissimum esse, hortatusque est, ut, si quid vellet, poscere ne dubitaret. Tum Crœsus, « Quandoquidem, inquit, domine, dii me ditioni tuæ subjecere, ac tu præcipuam humanitatem mihi ostentas, permitte, quæso, hasce ut compedes mittam Delphos Apollinem rogaturus, quid caussæ fuerit, cur me oraculis suis circumventum hortaretur ad bellum tibi inferendum, tanquam victor rediturus essem, cujus belli has ei primitias mitto (compedes, inquam); rogaturus præterea, num Græcorum dii officii ac gratiæ immemores sint. » His auditis, in risum solutus Cyrus, et hæc et alia quoque potiora concessurum se spopondit: ac brevi Crœsum in amicitiam recepit, Postremo Sardibus digrediens filios uxoresque ei restituit, eumque secum abduxit. Nonnulli etiam aiunt, Cyrum præfecturam Sardium traditurum fuisse Crœso, nisi veritus esset, ne Lydi res novas concitarent.

69.

Exc. De virt.: Ἐν ᾧ δὲ οὗτοι περὶ ταῦτα ἦσαν,

69.

Interea Faustulus ad Amulium abducitur. Veritus enim ne

— 19. νεφούμενος πάντοθεν] συνέδραμεν ἐνεφούμενος οὐ πάντοθεν cod. Negationem ejecit Coray. νεφούμενος dedit Valesius. — 20. ἀλλὰ] vocem supplevit Valesius. — 21. ὑπὸ ἀστρ.] ὑπὸ τῶν ἀστρ. editt. contra cod. auctoritatem. Mox v. καὶ supplevit Coray. — 22. τά τε] sic cod.; καὶ τὰ editt. — 23. καὶ] aut exciderunt nonnulla, aut pro καὶ fuit κελεῦσαι, monente Orellio. — 24. τόν γε μὴν Ζωρ.] « Deest hic verbum aliquod, puto αἰδούμενοι aut quid simile, nisi legas τῷ γε μὴν Ζωροάστρῃ ἑπόμενοι. » Valesius. « Valesii conjecturam probat Coray. Grotius vertens *Zoroastris vero dictum illud ex hoc Persæ celebrare cœperunt*, legisse videtur τό γε μὴν Ζωροάστρου Π., quomodo et Bremius legendum judicat. » Orelli. Nihil novandum puto. Verte: *Quod Zoroastrem attinet.* De hoc genus accusativis absolutis, quos vulgo dicunt, vide quos laudat Matthiæ Gr. p. 789 et Schœmannus ad Isæum p. 331 — 25. Πυθοῖδε] sic cod.; Πυθῶδε editt. — 26. ἐπήγετο] Coray., ἀπήγετο codex.

69. *Cod. Tur. fol.* 158, 9 *r.* — 159, 14 *r.* « Hæc cuncta (sc. fr. 69 et 70) ad verbum transcripta sunt ex Dionysio Halicarnassense (I, 82 sqq. et II, 32 sq.), ex quo quædam etiam hic emendavimus. Mirum vero est, Nicolaum nostrum adeo securum fuisse, ut ex auctore et quidem æquali integras paginas furatus sit; sed omnino qui historiam universalem scribebat, multos scriptores compilare necesse habuit. Ejus generis sunt, quæ supra ex Ctesia descripta esse ostendimus. Ex Xantho etiam Lydo multa eundem accepisse, docent Stephani reliquiæ. Nimirum properabat Nicolaus, ut historiam suam Herodi regi amico et ejus cognitionis studioso detexeret. Porro ex hoc furto satis colligitur, Damascenum posteriorem esse Dionysio Halicarnassense. » Valesius. « Corayus Nicolaum a plagii crimine vindicans suspicatur, insigne hoc Dionysii Halicarnassei fragmentum a librariis nescientibus, cujus id auctoris esset, inter Nicolai excerpta fuisse intrusum, quum minime verosimile sit, Nicolaum alias decori observantissimum, et historiæ scriptorem nihilo deteriorem ipso Dionysio, tantæ fuisse impudentiæ, ut scriptoris coætanei opus ad verbum exscriberet pro suo venditans, idque dedicans Herodi, qui facillime potuisset fraudem detegere, usus quippe amicitia Agrippæ aliorumque Augusteæ familiæ principum, quibus historia Dionysii, Romæ quippe versati et historicis æque ac rhetoricis, quos Romæ edide-

ὁ Φαυστύλος ἀπάγεται πρὸς Ἀμόλιον (1). Δεδοικὼς γὰρ μὴ οὐ πιστὰ δόξῃ τῷ Νομέτορι λέγειν ὁ Φαυστύλος, ἄνευ σημείων ἐμφανῶν μεγάλου πράγματος μηνυτὴς γενόμενος, τὸ γνώρισμα τῆς ἐκθέσεως τῶν βρεφῶν, τὴν σκάφην ἀναλαβὼν, ὀλίγον (2) ὕστερον ἐδίωκεν εἰς τὴν πόλιν. Διερχόμενον δ' αὐτὸν τὰς πύλας ταραχωδῶς πάνυ, καὶ περὶ πολλοῦ ποιούμενον μηδενὶ ποιῆσαι καταφανὲς τὸ φερόμενον (3), τῶν φυλάκων τις καταμαθὼν (ἦν δὲ πολεμίων ἐφόδου δέος, καὶ τὰς πύλας οἱ μάλιστα πεπιστευμένοι παρὰ τοῦ βασιλέως ἐφρούρουν), συλλαμβάνει δὴ (4), καὶ τὸ κρυπτὸν ὅ τι δήποτ' ἦν καταμαθεῖν ἀξιῶν ἀποκαλύπτει βίᾳ τὴν περιβολήν. Ὡς δὲ τὴν σκάφην ἐθεάσατο, καὶ τὸν ἄνθρωπον ἔμαθεν ἀπορούμενον, ἠξίου λέγειν, τίς ἡ ταραχὴ, καὶ τί τὸ βούλημα τοῦ μὴ φανερῶς εἰσφέρειν (5) σκεῦος, οὐδὲν (6) δεόμενον ἀπορρήτου φορᾶς. Ἐν δὲ τούτῳ πλείους τῶν φυλάκων συνέρρεον· καί τις αὐτῶν γνωρίζει τὴν σκάφην, αὐτὸς ἐν ἐκείνῃ τὰ παιδία κομίσας (7) ἐπὶ τὸν ποταμὸν, καὶ φράζει πρὸς τοὺς παρόντας. Οἱ δὲ συλλαβόντες τὸν Φαυστύλον (8) ἄγουσιν ἐπ' αὐτὸν τὸν βασιλέα καὶ διηγοῦνται τὰ γενόμενα. Ἀμόλιος δὲ, ἀπειλῇ βασάνων καταπληξάμενος τὸν ἄνθρωπον, εἰ μὴ λέξει τὰς (9) ἀληθείας ἑκὼν, πρῶτον μὲν, εἰ ζῶσιν οἱ παῖδες, ἤρετο (10)· ὡς δὲ ταῦτ' ἔμαθε, τῆς σωτηρίας αὐτοῖς ὅστις ὁ τρόπος ἐγένετο. Διηγησαμένου δὲ αὐτοῦ πάντα ὡς ἐπράχθη, « Ἄγε δὴ, φησὶν ὁ βασιλεὺς, ἐπειδὴ ταῦτα ἀληθεύσας ἔχεις, φράσον, ὅπου νῦν ἂν (11) εὑρεθεῖεν· οὐ γὰρ ἔτι δίκαιοί εἰσιν ἐν βουκόλοις καὶ ἀδόξῳ βίῳ ζῆν, ἔμοιγε ὄντες συγγενεῖς, ἄλλως τε καὶ θεῶν προνοίᾳ σωζόμενοι. » Φαυστύλος δὲ τῆς ἀλόγου πρᾳότητος ὑποψίᾳ κινηθεὶς, μὴ φρονεῖν αὐτὸν ὅμοια τοῖς λόγοις, ἀποκρίνεται ὧδε· « Οἱ μὲν παῖδές εἰσιν ἐν τοῖς ὄρεσι βουκολοῦντες, ὅσπερ ἐκείνων βίος, ἐγὼ δ' ἐπέμφθην παρ' αὐτῶν τῇ μητρὶ δηλώσων, ἐν αἷς εἰσὶ τύχαις. Ταύτην δὲ παρὰ σοὶ φυλάττεσθαι ἀκούων, δεήσεσθαι τῆς σῆς θυγατρὸς ἔμελλον, ἵνα με πρὸς αὐτὴν ἀγάγοι. Τὴν δὲ σκάφην ἔφερον, ἵν' ἔχω δεικνύναι τεκμήριον ἐμφανὲς ἅμα τοῖς λόγοις. Νῦν οὖν ἐπειδὴ δέδοκταί σοι (12) τοὺς νεανίσκους δεῦρο κομίσαι, χαίρω τε, καὶ πέμψον οὕστινας βούλει σὺν ἐμοί. Δείξω μὲν (13) οὖν τοῖς ἐλθοῦσι τοὺς παῖδας, φράσουσι δ' αὐτοῖς

absque certissimis signis in tantæ rei indicio fides sua apud Numitorem laboraret, argumentum facti alveum ipsum, in quo expositi erant pueri, secum sumens mox ad urbem contendit. Eum portas trepide transeuntem, et quod ferebat studiose occultantem, unus custodum quum animadvertisset (erat enim suspicio belli et portæ per fidelissimos regi servabantur) comprehendit, et, quidnam tantopere occultaret, scire cupiens, amiculum ei per vim detraxit, conspectoque alveo, postquam hominem turbatum hærere sensit, quæ perturbationis causa esset, dicere jubet, quove consilio alveum, quem palam ferre liceat, sollicite absconderet. Interim plures custodes confluere, quorum unus alveum agnoscit, quippe quo ipsemet pueros ad fluvium deportasset, remque iis, qui aderant, indicat. Ita correptus Faustulus ad regem perducitur. Amulius perterrefactum hominem tormentorum metu, ni veritatem sponte aperiret, primum quidem interrogavit, viverentne pueri; quo comperto, amplius percontatur, quonam modo incolumes evasissent. Edoctusque omnia, prout gesta erant, « Age, inquit, quandoquidem vera hactenus es locutus, dic, ubinam inveniri modo possint; neque enim æquum fuerit, eos inter bubulcos ignobilem vitam agere, quum et mihi genere conjunctissimi sint, et deorum insuper providentia servati. » Ibi Faustulus ex nova et insolita regis mansuetudine suspicatus, aliud regem verbis præ se ferre, aliud in animo habere, in hunc modum respondit: « Juvenes quidem in montibus armenta pascunt, quæ illorum vitæ ratio est; me vero ad matrem suam miserunt, nuntiatum, quo in statu eorum res sint. Quam quum apud te in custodia detineri audiissem, filiam tuam rogare statueram, me ut ad illam duceret. Alveum vero mecum ideo attuli, ut orationem meam illustri hoc signo confirmare possem. Nunc vero, quando tibi visum est juvenes huc accersere, vehementer lætor. Proinde si quos ex tuis mittere mecum volueris, ego illis juvenes indicabo, quibus mandata tua exponant. »

rat, libris tum temporis celebratissimi, ignota esse non poterat. Cui viro doctissimo equidem prorsus assentior. ORELLIUS. Atqui hæc longe petita. Verum haud dubie vidit Valesius. Ac quidni statuamus Nicolaum in antecedentibus laudasse auctorem suum, atque in congerendis historiis exemplum secutum esse Alexandri Polyhistoris, ipsissima auctorum suorum verba reddere soliti. Fieri quidem potuit, ut in codice folium aliquod suo loco motum ex Dionysii fragmentis in fragmenta Nicolai transmigraverit, idque exemplo codicis Escorialensis comprobari possit; sed ne tale quid nostro loco factum esse statuamus, eo impedimur, quod fragmento 70 suscripta leguntur : τέλος τοῦ ἑβδόμου λόγου Νικολάου. Ζήτει τὰ λείποντα etc. — Ceterum græca nostra multis locis melius habent quam vulgatus Dionysii textus in editione Reiskiana, ubi horum Excerptorum ne mentio quidem fit. Codex noster in plerisque consentit cum optimo codice Vaticano, quem mirum in modum editores neglexerunt. — 1. Ἀμόλιον] Αἰμύλιον codex h. l., sed ceteris locis Ἀμόλιον, ut in Dion. cod. Vat. Pro Νομέτωρ in Dionys. editt. semper Νουμίτωρ. — 2. ὀλίγον] ὀλίγου editt. Dion.; cum nostro facit cod. Vat., ut fere semper. Quod in singulis quibusque monere tædet. — 3. φερόμενον] λεγόμενον cod. et Dionys.; mutavit Gelenius. — 4. δὴ] τε Dionys. — 5. εἰσφέρειν] sic etiam cod. Vatic.; ἐκφέρειν editt. Dion. — 6. οὐδὲν] vox e Dionysio suppleta. — 7. κομίσας] e Dion.; γνωρίσας codex. — 8. Φαυστύλου] φαιστύλον cod. — 9. τὰς] Dion.; τῆς codex. Pro λέξει in editt. Dion. λέξῃ; cod. Vat. λέξοι. — 10. ἤρετο] Dion., εἴρετο cod. Deinde Dionysii editt. : ὡς δὲ τοῦτ' ἔμαθεν, ὅστις αὐτοῖς ὁ τρόπος τῆς σ. ἐγένετο, διηγησαμένου αὐτοῦ π. ὡς ἐπράχθη, ἄγε δὴ, φησὶν, κτλ. Cum nostro facit cod. Vat. — 11. νῦν ἂν] ἂν νῦν Dion. — 12. ἐπειδὴ δέδοκταί σοι] Dionys.; ἐπεὶ δέδοχται τοὺς ν. codex. — 13. δείξω μὲν] Dion., δείξομεν cod. Deinde post τοὺς παῖδας in editt. legitur ἐγὼ,

ἐκεῖνοι τὰ παρὰ σοῦ. » Ὁ μὲν δὴ ταῦτ' ἔλεγεν, ἀναβολὴν εὑρέσθαι βουλόμενος τοῖς παισὶ τοῦ θανάτου, καὶ ἅμα αὐτὸς ἀποδράσεσθαι (14) τοὺς ἄγοντας, ἐπειδὰν ἐν τοῖς ὄρεσι γένηται, ἐλπίσας. Ἀμόλιος δὲ τοῖς πιστοτάτοις τῶν φίλων (15) ἐπιστείλας κρύφα, οὓς ἂν ὁ συφορβὸς (16) αὐτοῖς δείξῃ, συλλαβόντας ὡς αὐτὸν ἄγειν, ἀποστέλλει διὰ ταχέων. Ταῦτα δὲ (17) διαπραξάμενος αὐτίκα γνώμην ἐποιεῖτο, καλέσας τὸν ἀδελφὸν ἐν φυλακῇ ἀδέσμῳ ἔχειν, ἕως ἂν εὖ θῆται (18) τὰ παρόντα, καὶ αὐτὸν ὡς ἐπ' ἄλλῳ δή τινι ἐκάλει. Ὁ δὲ ἀποσταλεὶς ἄγγελος, εὐνοίᾳ τε τοῦ κινδυνεύοντος, καὶ ἐλέῳ τῆς τύχης, ἐπιστρέψας κατήγορος γίνεται Νομέτορι τῆς Ἀμολίου γνώμης. Ὁ δὲ, τοῖς παισὶ δηλώσας τὸν κατειληφότα κίνδυνον αὐτοὺς καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι, παρῆν ἄγων ὡπλισμένους ἐπὶ τὰ βασίλεια, τῶν τε ἄλλων πελατῶν καὶ ἑταίρων, καὶ θεραπείας πιστῆς χεῖρα οὐκ ὀλίγην. Ἧκον δὲ καὶ οἱ ἐκ τῶν ἀγρῶν συνελθόντες εἰς τὴν πόλιν, ἐκλιπόντες τὴν ἀγορὰν, ἔχοντες ὑπὸ ταῖς περιβολαῖς (19) ξίφη κεκρυμμένα, στῖφος καρτερόν. Βιασάμενοι δὲ τὴν εἴσοδον ἀθρόᾳ ὁρμῇ πάντες, οὐ πολλοῖς ὁπλίταις φρουρουμένην, ἀποσφάττουσιν εὐπετῶς Ἀμόλιον, καὶ μετὰ τοῦτο τὴν ἄκραν καταλαμβάνουσι (20). Ταῦτα μὲν οὖν (21) εἴρηται τοῖς περὶ Φάβιον· ἕτεροι δὲ οὐδὲν τῶν μυθωδεστέρων ἀξιοῦντες ἱστορικῇ γραφῇ προσήκειν, τήν γε ἀπόθεσιν τὴν τῶν βρεφῶν οὐχ, ὡς ἐκελεύσθη (22) τοῖς ὑπηρέταις, γενομένην, ἀπίθανον εἶναί φασι· καὶ τῆς λυκαίνης τὸ τιθασὸν (23), ἣ τοὺς μαστοὺς ἐπεῖχε τοῖς παιδίοις, ὡς δραματικῆς μεστὸν ἀτοπίας διασύρουσιν. Ἀντιδιαλλαττόμενοι δὲ πρὸς ταῦτα λέγουσιν, ὡς ὁ Νομέτωρ, ἐπειδὴ τὴν Ἰλουίαν (24) ἔγνω κύουσαν, ἕτερα παρασκευασάμενος παιδία νεογνὰ, διηλλάξατο τεκούσης αὐτῆς τὰ βρέφη, καὶ τὰ μὲν ὀθνεῖα δέδωκε τοῖς φυλάττουσι τὰς ὠδῖνας ἀποφέρειν (25), εἴτε χρημάτων τὸ πιστὸν τῆς χρείας αὐτῶν (26) πριάμενος, εἴτε διὰ γυναικῶν τὴν ὑπαλλαγὴν ποιησάμενος (27)· καὶ αὐτὰ λαβὼν ὁ Ἀμόλιος ὅτῳ δὴ τρόπῳ ἀναιρεῖ (28), τὰ δὲ ἐκ τῆς Ἰλουίας γενόμενα περὶ παντὸς ποιούμενος ὁ μητροπάτωρ διασώζεσθαι, δίδωσι τῷ Φαυστύλῳ.

70.

Exc. De virt. : Ὅτι τοῦ Ῥωμύλου, πληθυσμοῦ ἕνεκεν ἀνδρῶν, ἁρπαγὴν ποιησαμένου τῶν παρθένων, ὡς διεβοήθη τὰ περὶ τὴν ἁρπαγὴν τῶν παρθένων καὶ τὰ περὶ τοὺς γάμους εἰς τὰς πλησιοχώρους πόλεις, αἱ μὲν αὐτὸ τὸ πραχθὲν πρὸς ὀργὴν (1) ἐλάμβανον, αἱ δὲ ἀφ' ἧς ἐπράχθη διαθέσεως, καὶ εἰς ὃ τέλος (2) ἐχώρησεν,

Hæc ille eo consilio aiebat, ut cædem juvenum mora ac dilatione averteret; simul sperans, se ex manibus eorum, a quibus duceretur, facile in montibus fuga dilapsurum. Sed Amulius satellitum fidissimos mittit cum occultis mandatis, ut a subulco demonstratos quam primum ad se pertrahant. Quibus ita constitutis, illico accitum fratrem in libera custodia detinere statuit, donec cuncta pro arbitrio suo composuisset. Confestim, nescio quo prætextu, illum evocat. At nuntius, ut qui periclitanti bene vellet, ac vicem illius miseraretur, mutato consilio, Amulii propositum Numitori aperit. Qui mox, præsenti periculo adolescentibus indicato, jussisque forti animo esse, cum clientum amicorumque et famulorum haud exigua manu armis instructa in regiam contendit. Sed et rusticorum, qui ex agris in urbem convenerant, multitudo valida relicto foro advolat, gladios sub veste tegens. Itaque omnes uno impetu, oppressis in aditu custodibus, qui pauci pro regia excubabant, Amulium facile obtruncant, arcemque occupant. Sic quidem Fabius rem narrat. Alii vero, qui fabulas ab historia longe submovendas existimant, negant verisimile esse, infantes, secus quam jussum sit, a ministris expositos; ad hæc mitem lupam ubera præbentem pueris tanquam rem fabularum figmentis simillimam explodunt, institutaque in diversum narratione aiunt : Numitorem, quum Iliam prægnantem deprehendisset, alios recens natos infantes ad id comparatos germanorum loco subjecisse post Iliæ partum; hos a parturientis custodibus fuisse asportatos, sive illi fidem venalem habuerint, sive muliebri astu circumventi sint; eosque ab Amulio qualicumque ratione necatos fuisse; natos vero ex Ilia cura ac sollicitudine materni avi, qui eos omni ope servatos vellet, traditos esse Faustulo alendos.

70.

Postquam Romulus propter virorum multitudinem virgines rapuerat atque de ea re et de nuptiis virginum per finitimas urbes fama divulgata est, alii graviter eo facto commoveri, alii et consilium raptorum et exitum rei reputantes moderatius ferre. Res tandem in bellum multi-

quod cum nostro om. cod. Vat. — 14. ἀποδράσεσθαι] ἀποδράσαι editt. Dion. — 15. φίλων] ὁπλοφόρων Dion., quod præstat. — 16. συφορβὸς] Dion. συοφορβὸς cod. — 17. δὲ] supplevi e Dion. — 18. εὖ θῆται] Dion., ὤφθηται cod. — 19. περιβολαῖς] ἑαυτῶν addunt editt. Dion. In Vaticano quoque cod. vox deest. — 20. καταλαμβάνουσι] καταλαμβάνονται Dion. — 21. μὲν οὖν] hæc addidi e Dionysio ubi sic : Ταῦτα μὲν οὖν τοῖς περὶ τὸν Φάβιον (περὶ Φ. Vat.) εἴρηται. — 22. ἐκελεύσθη] ἐκελεύθη editt. Dion. — 23. τιθασὸν] cod.; τιθασσὸν Dion. — 24. Ἰλουίαν] Ἰλίαν Dionys. — 25. ὀθνεῖα τοῖς φ. τὰς ὠ. ἔδωκεν ἀποφέρειν editt. Dion. Cum nostro facit Vatic., nisi quod pro ἀποφέρειν male habet ἐπιφέρειν. — 26. τῆς χρ. αὐτῶν] αὐτῶν τῆς χρ. Dion. — 27. ποιησάμενος] μηχανησάμενος Dion. — 28. ἀναιρεῖ] Dion., ἀναιρεῖται codex.

70. *Cod. Tur. fol.* 159, 14 *r.* — 159, 32 *vso.* Hæc transcripta e Dionysii A. R. II, 32 sq. — 1. πρὸς ὀργὴν] δι' ὀργῆς editt. Dion. Cum nostro facit Vatican. — 2. εἰς ὃ τέλος] sic etiam Vatic. Vulgo εἰς τέλος, perperam.

ἀναλογιζόμεναι, μετρίως αὐτὸ ἔφερον. Κατέσκηψε δ' οὖν ἀνὰ χρόνον εἰς πολέμους, τοὺς μὲν ἄλλους εὐπετεῖς, ἕνα δὲ τὸν πρὸς Σαβίνους μέγαν καὶ χαλεπόν. Οἷς ἅπασι τέλος ἐπηκολούθησεν εὐτυχὲς (3), ὥσπερ αὐτῷ τὰ μαντεύματα προεθέσπισε, πρὶν ἐπιχειρῆσαι τῷ ἔργῳ, πόνους μὲν καὶ κινδύνους μεγάλους προσημαίνοντα, τὰς δὲ τελευτὰς αὐτῷ (4) ἔσεσθαι καλάς. Ἦσαν δὲ (5) αἱ πρῶται πόλεις ἄρξασαι τοῦ πολέμου Καινίνη καὶ ἄλλαι (6), πρόφασιν μὲν ποιούμεναι τὴν ἁρπαγὴν τῶν παρθένων, καὶ τὸ [μὴ] (7) λαβεῖν ὑπὲρ αὐτῶν δίκας· ὡς δὲ τἀληθὲς εἶχεν, ἀχθόμεναι (8) τῇ κτίσει τε καὶ αὐξήσει τῆς Ῥώμης, δι' ὀλίγου πολλῇ γενομένῃ, καὶ οὐκ ἀξιοῦσαι περιιδεῖν κοινὸν ἐπὶ τοῖς περιοίκοις ἅπασι κακὸν φυόμενον. Τέως μὲν οὖν πρὸς τὸ Σαβίνων ἔθνος ἀποστέλλουσαι πρέσβεις, ἐκείνους ἠξίουν τὴν ἡγεμονίαν τοῦ πολέμου παραλαβεῖν, ἰσχύν τε μεγίστην ἔχοντας (9) καὶ χρήμασι πλείοσι δυναμένους, ἄρχειν τε ἀξιοῦντας τῶν πλησιοχώρων, καὶ οὐκ ἐλάχιστα περιυβρισμένους (10) τῶν ἄλλων· τῶν γὰρ ἡρπασμένων αἱ πλείους ἦσαν ἐκείνων. Ἐπεὶ δ' (11) οὐδὲν ἐπέραινον, ἀντικαθισταμένων αὐταῖς τῶν παρὰ τοῦ Ῥωμύλου πρεσβειῶν καὶ θεραπευουσῶν λόγοις τε καὶ ἔργοις τὸ ἔθνος, ἀχθόμεναι τῇ τριβῇ τοῦ χρόνου, μελλόντων ἀεὶ τῶν Σαβίνων καὶ ἀναβαλλομένων εἰς χρόνους μακροὺς τὴν περὶ τοῦ πολέμου βουλήν, αὐταὶ καθ' ἑαυτὰς ἔγνωσαν τοῖς Ῥωμαίοις πολεμεῖν, ἀποχρῆν οἰόμεναι τὴν δύναμιν τὴν οἰκείαν (12), εἰ καθ' ἓν αἱ τρεῖς γένοιντο, μίαν αἱρῆσαι πόλιν οὐ μεγάλην. Ἐβουλεύσαντο μὲν ταῦτα, συνελθεῖν δ' οὐκ ἔφθασαν (13) εἰς ἓν ἅπασαι στρατόπεδον, προεξαναστάντων προχειρότερον τῶν ἐκ τῆς Καινίνης (14), οἵπερ καὶ μάλιστα ἐδόκουν τὸν πόλεμον ἐνάγειν. Ἐξεστρατευμένων (15) δὲ τούτων καὶ δῃούντων τὴν ὅμορον, ἐξαγαγὼν τὴν δύναμιν ὁ Ῥωμύλος (16), ἀφυλάκτοις οὖσιν ἔτι τοῖς πολεμίοις ἀπροσδοκήτως ἐπιτίθεται καὶ τοῦ τε χάρακος (17) αὐτῶν ἀρτίως ἱδρυμένου γίνεται κύριος, τοῖς τε φεύγουσιν εἰς τὴν πόλιν ἐκ ποδὸς ἑπόμενος, οὐδέπω τῶν ἔνδον πεπυσμένων τὴν περὶ τοὺς σφετέρους συμφοράν, τεῖχός τε ἀφύλακτον εὑρὼν καὶ πύλας ἀκλείστους, αἱρεῖ τὴν πόλιν ἐξ ἐφόδου, καὶ τὸν βασιλέα τῶν Καινινιτῶν (18), ὑπαντήσαντα σὺν καρτερᾷ χειρί, μαχόμενος (19) αὐτοχειρίᾳ κτείνει, καὶ τὰ ὅπλα ἀφαιρεῖται. Τοῦτον δὲ τὸν τρόπον ἁλούσης τῆς πόλεως, τὰ ὅπλα παραδοῦναι τοὺς ἁλόντας κελεύσας, καὶ παῖδας εἰς ὁμηρείαν οὓς ἐβούλετο λαβών, ἐπὶ τοὺς λοιποὺς (20) ἐχώρει. Γενόμενος (21) δὲ καὶ τῆς ἐκείνων δυνάμεως, ἐσκεδασμένης ἔτι κατὰ τὰς προνομάς, τῇ παρ' ἐλπίδας

plex erupit, prægravante inter cetera Sabino. Quorum omnium felix exitus fuit, ut ei, antequam raptum virginum inchoasset, oraculis prædictum fuerat, laboris quidem ac discriminum plurimum, ceterum prosperos eventus fore. Primæ omnium bellum ei intulerunt Cænina, aliæque (*Antemna et Crustumerium*) prætexentes quidem ultionem virginum raptarum, sed revera ægre ferentes, conditam urbem brevi temporis spatio adeo increvisse, nec connivendum esse ratæ, finitimorum dum communi damno surgeret. Itaque principio quidem legationibus ad Sabinos missis petierant, ut ductu auspicioque illorum bellum gereretur; quippe qui viribus atque opibus præpollerent, imperiumque in vicinos ad se pertinere contenderent, nec minus, quam ceteri, injuriam passi essent: certe enim raptarum virginum maxima pars e Sabinis erat. Sed quum nihil proficerent, obsistentibus legatis Romuli, et gentis favorem verbis factisque exambientibus, pertæsi morarum, Sabinis consilium de suscipiendo bello in dies protrahentibus, decreverunt ipsi suis opibus bellum gerere; satis superque sibi virium esse arbitrati, collatis in unum trium civitatum copiis, ad unam haud maximam urbem expugnandam. Sed quo minus in una omnes castra convenirent, uti decreverant, Cæninensium fecit præpropera eruptio; qui belli inferendi præcipui auctores erant. Hos a sedibus suis excitos ac Romani terminos agri populantes, Romulus repente infestis signis invectus adhuc imparatos aggreditur, et vallo vixdum munito vi potitur, fugientiumque tergo inhærens, priusquam oppidani de suorum clade rescivissent, incustodita mœnia ac portas patentes nactus, urbem primo impetu capit, regem ipsum cum valido juvenum globo occurrentem sua manu obtruncat spoliatque. Cænina hoc modo capta, armis ademptis sumptisque pro arbitrio suo obsidibus in reliquos movit. Sed et horum copias in abigendis prædis adhuc disper-

— 3. εὐτυχὲς] sic et Vat., ἀγαθὸν vgo. — 4. αὐτῷ] αὐτῶν Dion. — 5. ἦσαν δὲ αἱ] Dionys.; ἦσαν δὲ καὶ αἱ codex. Mox Dionysius τοῦ πρὸς αὐτὸν πολέμου. Dein pro Καινίνη codex: Κησίνη. — 6. καὶ ἄλλαι] καὶ Ἄντεμνα καὶ Κρουστουμερία (sic), Dionys. — 7. μὴ] om. Dion. — 8. ἀχθόμεναι] Hæc vox post γενομένῃ legitur ap. Dion. — 9. ἔχοντας.. δυναμένους, ἄρχειν] Dionys.; ἔχουσαι... δυναμέναις, ἀρχὴν cod. — 10. περιυβρ.] περιυβρισμένας cod.; τῶν ἄλλ. περιυβρισμένους Dion. — 11. ἐπεὶ δ'] ἐπειδὴ δ' Dion. — 12. τὴν δυν. τὴν οἰκ.] τὴν οἰκ. δυν. codex. Deinde pro καθ' ἓν αἱ τρεῖς codex habet: καθ' ἕνα τρεῖς. — 13. ἔφθασαν] ὤφθησαν editt. Dion.; ἔφθησαν cod. Vat. — 14. Καινίνης] κενίνης cod. — 15. ἐνάγειν. ἐξεστρατ.] Dion.; ἐξάγειν. ἐκστρατευομένων cod. — 16. ἐξαγαγὼν... Ῥωμύλος] e Dionysio suppleta. — 17. τοῦ τε χάρακος] τούς τε χάρακας cod. — 18. Καινινιτῶν] καινιτῶν cod. — 19. μαχόμενος] μαχόμενον cod — 20. λοιποὺς] Ἀντεμνιάτας Dionys. — 21. γενόμενος] γενομένης cod.

ἐφόδῳ, καθάπερ καὶ τῆς προτέρας, ἐγκρατής, καὶ τὰ αὐτὰ τοὺς ἁλόντας διαθείς, ἀπῆγεν ἐπ' οἴκου τὴν δύναμιν, ἄγων σκῦλά τε ἀπὸ τῶν ἀποίκων (22) κατὰ τὴν μάχην, καὶ ἀκροθίνια λαφύρων θεοῖς (23).

sas nec opinantes adortus fudit ac fugavit, eodemque modo usus victoria, exercitum domum reduxit, detracta hostibus spolia ac votivas manubiarum primitias præferens.

Τέλος τοῦ ἑβδόμου λόγου τῆς Νικολάου Ἱστορίας. Ζήτει τὰ λείποντα περὶ Ἑλληνικῆς ἱστορίας.

Finis libri septimi Historiarum Nicolai Damasceni. Quære quæ desiderantur de rebus Græcorum.

ΕΚ ΤΟΥ ΒΙΒΛ. ΤΟΥ ΙΗ' (Η'?).

E LIBRO XVIII (VIII).

71.

Constant. Porphyr. De them. I, 3 : Τὸ δὲ νῦν καλούμενον Θρακήσιον θέμα πάλαι μὲν καὶ κατ' ἀρχὰς Ἀσία μικρὰ ὠνομάζετο... Θρακήσιοι δὲ ἐπεκλήθησαν ἀπὸ τῆς τοιαύτης αἰτίας. Ἐπὶ τῶν ἡμερῶν Ἀλυάττου τοῦ τῶν Λυδῶν βασιλέως, ἀνήρ τις μετὰ τῆς γυναικὸς καὶ τῶν αὐτοῦ τέκνων ἐκ Μυσίας τῆς τῶν Θρακῶν χώρας ὁρμώμενος, ἧς καὶ Ὅμηρος μνημονεύει λέγων οὕτως,

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,

διεπέρασεν εἰς τὰ μέρη τῆς Ἀσίας εἰς χώραν τὴν λεγομένην Λυδίαν, καὶ κατῴκησε πλησίον τῆς πόλεως Σάρδεων. Τοῦ οὖν βασιλέως πρὸς τῷ τῆς πόλεως τείχει καθεζομένου, διήρχετο ἡ γυνὴ τοῦ Θρακός, ἐπὶ μὲν τῆς κεφαλῆς βαστάζουσα στάμνον, ἐπὶ δὲ τῶν χειρῶν ἠλακάτην καὶ ἄτρακτον, ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἵππος τις προσεδέδετο. Καὶ ἐπὶ μὲν τῆς κορυφῆς ὁ στάμνος ἦν μεστὸς ὕδατος, ἐν δὲ ταῖς χερσὶν εἰργάζετο νήθουσα ἐκ τῆς ἠλακάτης τὸν ἄτρακτον, ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἠκολούθει ὁ ἵππος ἀπὸ τῆς πηγῆς πεποτισμένος. Ταύτην ἰδὼν ὁ βασιλεὺς μεγάλως ἐθαύμασε, καὶ ἠρώτησε πόθεν καὶ τίς καὶ ποίας ἐστὶ πόλεως. Ἡ δὲ ἀπεκρίνατο, Μυσὴ μὲν εἶναι τὸ γένος, Θρᾴκης δ' ἔστιν αὕτη τὸ πολίχνιον. Λαβὼν οὖν ὁ βασιλεὺς ἀπὸ τῆς γυναικὸς ἀφορμήν, πρεσβείαν πρὸς τὸν τῆς Θρᾴκης βασιλέα ποιησάμενος, Κότυν ὀνομαζόμενον, ἐκεῖθεν ἔλαβεν ἄνδρας μετοίκους μετὰ γυναικῶν καὶ τέκνων, ὄχλον ἱκανόν. [Ἐκ τούτου τοῦ γένους ὠνομάσθησαν οἱ τὴν μικρὰν

Quod nunc Thracesiorum thema appellatur, olim quidem et ab initio Asia minor vocabatur... Thracenses vero hac de causa vocati sunt. Alyatte apud Mysos regnante, vir quidam cum uxore et liberis egressus ex ea Thracum regione, cui Mysiæ nomen est, cujusque Homerus isto versu meminit,

Mysorum pugnax genus et celebres Equimulgos,

transiit in Asiæ partem eam, quæ Lydia dicitur, habitavitque non longe Sardibus. Ac forte rege ad muros urbis considente, præteriit illius Thracis uxor urnam gestans capite, manibus colum et fusum; zonæ autem a tergo adjunctus erat equus. Urna, quæ capite gestabatur, aquæ erat plena, manibus vero fusum de colo devolvebat; equus qui zonæ annexus sequebatur, ductus aquatum fuerat. Hanc rex conspectam miratus rogavit, unde veniret, quænam, cujatis. Respondit, Mysam se, e modico Thraciæ oppido. Hinc rex occasione sumpta, ad Thracum regem, cui tum Cotyi nomen erat, legatione missa impetrat inde colonos cum uxoribus ac liberis numero satis magno. [Ex hac natione appellati sunt Asiæ minoris incolæ Thracesii, quod sint operosi ac

— 22. ἀποίκων] Sic codex et Dionysius. Vox corrupta. ἀποιχομένων Portus; ἀποθανόντων vel ἁλόντων Stephanus; ἀποκτανθέντων Casaubonus; περιοίκων dedit Corayus ita explicans : τοὺς τῆς Καινίνης κατοίκους καὶ τοὺς συμμάχους αὐτῶν δηλοῖ τοὺς ὑπὸ Ῥωμαίων καταπολεμηθέντας. Quod si verum esset, simplicius foret scribere ἐποίκων. Sed ferri neutrum potest. — 23. λαφύρων θεοῖς] Dion.; θεοῖς λαφύρων codex.

71. Verbe græca dedi ex recensione I. Bekkeri (Constant. Porphyr. vol. III, p. 22 ed. Bonn. 1840). — « Alio modo eandem historiam enarrat Herodotus V, 12, mulierem illam sub Dario Hystaspe (non sub Alyatte) cum duobus fratribus, Pigre et Mantye, e Pæonia ad flumen Strymonem sita Sardes venisse, Darium autem, admiratum illius populi sollertiam et assiduitatem, Megabazo præfecto Thraciæ per literas mandasse, ut Pæones e sedibus suis ad se transferat, cum liberis pariter et uxoribus. Nicolaum autem sua hausisse e Xantho Lydo suspicatur doctissimus Corayus. » Orell. in Supplem. p. 58. — Lydorum historiam e Xantho Nicolaus narravit libris IV, VI, VII. Quod nostro loco legitur ἐν ιη', quum procul dubio corruptum sit, mutandum dixeris in : ἐν ζ', præsertim quum probabile sit auctores Excerptorum Constantinianorum nonnisi priores libros septem Nicolai ob oculos habuisse. Sed fateor istam mutationem violentiorem esse; contra vero manu lenissima corrigi ἐν η'. Quem librum octavum Porphyrogenitus apud Stephanum Byzantium, quo uti solet, laudatum repererit. Tum vero consentaneum est rem narratam non e Xantho fluxisse, sed ex alio auctore depromptam data occasione a Nicolao fuisse expositam. Nisi fallor, Nicolaus quoque narravit Pæones a Dario in Asiam transductos esse, eaque opportunitate de aliis dixit Thracibus, quos prioribus temporibus Alyattes in Lydiam advocaverit; atque historiunculam quam de Dario Herodotus narrat, ipse ad Alyatten retulit. Quod si est, optime quadrat libri numerus (ἐν η'). Nam quum Cyri historia libro VII legatur, verisimillimum est de primis Darii temporibus

Ἀσίαν οἰκοῦντες Θρακήσιοι, διὰ τὸ εἶναι αὐτοὺς ἐργοπόνους, ἐργώδεις τε καὶ χειρώνακτας] .... Ταύτην δὲ τὴν ἱστορίαν Νικόλαος ὁ Δαμασκηνὸς γράφει ἐν τῷ ιη′ (l. η′) αὐτοῦ βιβλίῳ, ὁ γεγονὼς ὑπογραφεὺς Ἡρώδου τοῦ βασιλέως.

laboriosi et opere manuario victum sibi quæritantes].... Historiam narrat libro octavo Nicolaus Damascenus, qui scriba Herodis regis fuit.

ΕΚ ΒΙΒΛΙΩΝ ΑΔΗΛΩΝ.

E LIBRIS INCERTIS.

72.

Athenæus XIII, p. 593, A : Μυρρίνην δὲ, τὴν Σαμίαν, ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς, ὁ τῆς διαδοχῆς τελευταῖος, καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι Νικόλαος ὁ Δαμασκηνός.

Myrrhinam Samiam meretricem Demetrius (Poliorcetes) habuit rex, postremus ex Alexandri successoribus, eamque, si diadema excipias, regni participem habuit, ut ait Nicolaus Damascenus.

73.

Josephus C. Apion. II, c. 7, p. 373 ed. Didot. : *Quia vero Antiochus* (Epiphanes) *neque justam fecit templi deprædationem, sed egestate pecuniarum ad hoc accessit, quum non esset hostis, et socios insuper nos suos et amicos aggressus est, nec aliquid dignum derisione illic invenit : multi et digni conscriptores super hoc quoque testantur, Polybius Megalopolitanus, Strabo Cappadox, Nicolaus Damascenus, Timagenes et Castor chronographus et Apollodorus : qui omnes dicunt pecuniis indigentem Antiochum transgressum fœdera Judæorum et spoliasse templum auro argentoque plenum.*

74.

Josephus A. J. XIII, 8, 4 : Ὑρκανὸς δὲ τὸν Δαυίδου τάφον ἀνοίξας, ὃς πλούτῳ τοὺς πώποτε βασιλεῖς ὑπερέβαλλε, τρισχίλια μὲν ἀργυρίου τάλαντα ἐξεκόμισεν, ὁρμώμενος δ' ὑπὸ τούτων πρῶτος Ἰουδαίων ξενοτροφεῖν ἤρξατο. Γίνεται δ' αὐτῷ καὶ πρὸς Ἀντίοχον φιλία καὶ συμμαχία· καὶ δεξάμενος αὐτὸν εἰς τὴν πόλιν, ἀφθόνως πάντα τῇ στρατιᾷ καὶ φιλοτίμως παρέσχε. Καὶ ποιουμένῳ τὴν ἐπὶ Πάρθους αὐτῷ στρατείαν συνεξώρμησεν Ὑρκανός. Μάρτυς δὲ τούτων ἡμῖν ἐστι καὶ Νικόλαος ὁ Δαμασκηνὸς, οὕτως ἱστορῶν· « Τρόπαιον δὲ στήσας Ἀντίοχος ἐπὶ τῷ Λύκῳ ποταμῷ, νικήσας Ἰνδάτην τὸν Πάρθων στρατηγὸν, αὐτόθι ἔμεινεν ἡμέρας δύο, δεηθέντος Ὑρκανοῦ τοῦ Ἰουδαίου διά τινα ἑορτὴν πάτριον, ἐν ᾗ τοῖς Ἰουδαίοις οὐκ ἦν νόμιμον ἐξοδεύειν. » Καὶ ταῦτα μὲν οὐ ψεύδεται λέγων.

Hyrcanus, aperto sepulcro Davidis, qui divitiis reges omnes anteibat, tria millia talentorum argenti inde extulit, et his opibus fretus Judæorum primus cœpit externum militem alere. Iniit et cum Antiocho (*Pio*) amicitiam et societatem, eoque in urbem accepto, omnia exercitui abunde et magnifice subministravit. Quumque ille in Parthos expeditionem faceret, eum comitatus est Hyrcanus. De his vero testimonium nobis perhibet Nicolaus Damascenus, ita narrans : « At Antiochus, erecto tropæo ad Lycum fluvium, quum Indaten Parthorum ducem superasset, illic per biduum substitit, ad preces Hyrcani Judæi, quod forte inciderat patrium quoddam festum, in quo Judæis non licebat iter facere. » Et hæc quidem dicendo non falsus habetur.

75.

Idem ib. XIII, 12, 6 : Πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν, ὀψίας ἐπιγενομένης ἔν τισι κώμαις τῆς Ἰουδαίας κατέμεινεν· ἃς γυναικῶν

Ptolemæus (*Lathurus*) post victoriam (de Alexandro Judæorum rege deportatam) regionem populatus, vespere mansit in quibusdam Judææ pagis, quos feminarum et in-

in octavo libro fuisse sermonem. Deinde autem quum illa quæ de Mysia Thraciæ regione memorantur, aperte dicta sint in eam sententiam, ut Mysia Asiæ a Mysis Thraciæ nomen acceperit (quod eodem versu Homeri probare studet Posidonius apud Strabonem p. 296) : vel hinc colligitur non fluxisse hæc e Xanthi Lydiacis. Nam Strabo XII, p. 572 ab iis, qui Thracicam originem Mysis Asiæ tribuunt, diserte distinguit Xanthum, quippe qui Mysos Lydicæ originis populum esse statuerit. Ceterum qui sit iste Alyattes, nescio. De Crœsi patre cogitari nolim, quum ad antiquiora tempora res pertinere debeat. Ex nostris vero fragmentis patet nomen Alyattis etiam inter Heraclidas reges viguisse.

72. De Myrrhina cf. Idomeneus apud Athenæum XIII, p. 590, A.

73. Cf. Diodor. XXXIV, 1 ed. Didot., Castoris fr. 22.

74. Antiochi Sidetæ contra Parthos expeditio cadit in an. 129 a C. Vide Clinton. F. H. tom. III, p. 331. Cf. Appian. Syr. c. 68; Justin. XXXVIII, 10; Diodor. XXXIV, 15. 16.

75. In antecedentibus Josephus narravit, quomodo Alexander, Hyrcani f., post mortem Aristobuli fratris regnum

εὑρὼν μεστὰς καὶ νηπίων, ἐκέλευσε τοὺς στρατιώτας ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας, ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. Τοῦτο δὲ προσέταξεν, ἵν' οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὐτοὺς ἐλθόντες σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους, καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγῶσι ταῦτ' ἰδόντας. Λέγει δὲ καὶ Στράβων καὶ Νικόλαος ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον, καθὼς κἀγὼ προείρηκα.

fantum plenos nactus, militibus imperavit, ut eos jugularent et frustatim dissecarent, et quum membratim in ferventia ahena eos conjecissent, libamenta facerent. Hoc autem mandavit, ut qui ex prœlio elapsi fuerint et ad ipsos venerint, hostes humana carne vesci arbitrarentur, idque videntes majore etiam terrore percuterentur. Strabo quoque et Nicolaus Ptolemæum eo quem dixi modo contra illos se gessisse referunt.

76.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ϞϚ'.

Idem ib. I, 3, 6 : Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐνενηκοστῇ καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ περὶ αὐτῶν, λέγων οὕτως· « Ἔστιν ὑπὲρ τὴν Μινυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, Βᾶρις λεγόμενον· εἰς ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι, καί τινα ἐπὶ λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. Γένοιτο δ' ἂν οὗτος, ὅντινα καὶ Μωυσῆς ἀνέγραψεν ὁ Ἰουδαίων νομοθέτης. »

76.

E LIBRO XCVI

Nicolaus Damascenus libro nonagesimo sexto de his rebus narrat in hæc verba : « Est super Minyada in Armenia mons ingens, Baris dictus, in quem multos diluvii tempore confugientes fama est servatos esse, et quendam in arca vectum ad summum ejus jugum appulisse, lignorumque reliquias diu conservatas esse. Iste fortasse idem ille est de quo etiam scripsit Moyses Judæorum legislator. »

77.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΓ'.

Athenæus X, p. 415, E : Νικόλαος δ' ὁ Περιπατητικὸς ἐν τῇ τρίτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν, Μιθριδάτην φησὶ, τὸν Ποντικὸν βασιλέα, προθέντ' ἀγῶνα πολυφαγίας καὶ πολυποσίας (ἦν δὲ τὸ ἆθλον τάλαντον ἀργυρίου), ἀμφότερα νικῆσαι. Τοῦ μέντοι ἄθλου ἐκστῆναι τῷ μετ' αὐτὸν κριθέντι Καλαμόδρυϊ τῷ Κυζικηνῷ ἀθλητῇ.

77.

E LIBRO CIII.

Narrat Nicolaus Peripateticus centesimo tertio Historiarum libro, Mithridatem Ponti regem, quum proposuisset edendi bibendique certamen, cujus præmium erat argenti talentum, in utroque certamine victoriam reportasse : at præmio tamen cessisse ei qui post ipsum secundas tulisse putatus est, Calamodryi Cyziceno athletæ.

78.

Idem VI, p. 252, F : Μιθριδάτου δ' ἀναγράφει κόλακα Σωσίπατρον, ἄνθρωπον γόητα, Νικόλαος ὁ Περιπατητικός.

78.

Mithridatis adulatorem fuisse Sosipatrum, hominem ridiculum, scribit Nicolaus Peripateticus.

79.

Idem VI, p. 266, E : Νικόλαος δ' ὁ Περιπατητι-

79.

Nicolaus Peripateticus et Posidonius Stoicus in suis uter-

adeptus, prœlio ad Jordanen fluvium cum Ptolemæo Lathuro commisso, ingentem cladem passus sit. Strabonis opus, quod h. l. et fr. 87 citatur, intellige τὰ Ὑπομνήματα ἱστορικά.

76. Hæc Nicolaus narrationi de rebus Mithridatis inseruisse mihi videtur. Similiter Justinus XLII, 2 post memoratum bellum, quod Ortoadisti Armeniorum regi Mithridates intulit, pergit : *Sed quoniam in Armeniam transitum facimus, origo ejus paullo altius repetenda est. Condita est ab Armenio Iasonis Thessali comite*, etc. (Cf. Müller. *Min.* p. 281). Quum Justinus aliique originem Armeniæ ab Iasone Minya deducant, simile quid narraverit Nicolaus Μινυάδα regionem Armeniæ commemorans. Hanc enim librorum lectionem cum Müllero l. l. et Dindorfio in edit. nov. Josephi mutare in Μιλυάδα non ausus sum. Sane quidem apud Plinium V, 31 legitur : *Attingit Galatia et Pamphylia Cabaliam et Mylias, quæ circa Barin sunt et Cyllanticum et Oroandicum Pisidiæ tractum.* Verum Baris hæc est Pisidiæ urbs (de qua v. Ptolem. V, 5, Hierocles p. 673 ibiq. Wessel., Stephan. Byz s. v. Alia ejus nominis urbs Persica ap. Æschyl. Pers. 552), non vero mons Armeniæ. Quare, nisi incongrua plane Josephum miscere dicas, in vulgata acquiescendum est. Bochartus (Geogr. Sacra I, c. 3) Minyadis nomen derivare statuit ab Hebræorum *mini* vel *mimi*, quam regionem cum *Ararat* (i. e. Gordiene) memorat Jeremias l, 27. Ceterum de Gordiæis montibus, in quos arca appulerit, v. Berosi fr. 7. De Bari monte ejusque nominis origine opiniones virorum doctorum vide in Steph. Thes. v. Βᾶρις p. 431.

77. Hoc fragmentum fugit priores Nicolai editores. Cf. Ælian. V. H. I, 27, qui inter ἀδδηφάγους recenset Μιθριδάτην τὸν Ποντικὸν καὶ Καλαμόδρυν τὸν Κυζικηνόν.

79. Acciderunt hæc an. 86 a. C., postquam Archelaus, dux Mithridatis, ad Chæroneam cladem acceperat. Plura v. ap. Appian. Mithr. c. 47, p. 231 ed. Didot. Ipse Nicolaus sua ex Posidonio hauserit.

τικός, καὶ Ποσειδώνιος ὁ Στωικός, ἐν ταῖς Ἱστορίαις, ἑκάτερος τοὺς Χίους φησὶν, ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος, παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν.

que Historiis narrant, Chios in servitutem redactos a Mithridate Cappadoce traditos esse propriis servis vinctos, ut in regionem Colchorum transportarentur.

80.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΔ'.

Athen. VIII, p. 332, F : Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν· « Περὶ Ἀπάμειαν, φησὶ, τὴν Φρυγιακὴν κατὰ τὰ Μιθριδατικὰ, σεισμῶν γενομένων, ἀνεφάνησαν περὶ τὴν χώραν αὐτῶν λίμναι τε αἳ πρότερον οὐκ οὖσαι καὶ ποταμοὶ καὶ ἄλλαι πηγαὶ ὑπὸ τῆς κινήσεως ἀνοιχθεῖσαι· πολλαὶ δὲ καὶ ἠφανίσθησαν. Τοσοῦτόν τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῶν τόπων τῆς θαλάσσης, ὥστε ὀστρέων πλησθῆναι τὸν πλησίον τόπον ἅπαντα καὶ ἰχθύων τῶν τε ἄλλων, ὅσα τρέφει ἡ θάλασσα. »

80.

E LIBRO CIV.

Nicolaus Damascenus libro quarto ac centesimo Historiarum tradit, circa Apameam Phrygiæ temporibus Mithridatici belli post terræ motum in ea regione lacus erupisse, ubi nulli antea fuerant, itemque amnes ac fontes terræ concussu reclusos, multos contra, qui prius exstabant, evanuisse; tantam porro aquæ amaræ copiam scaturivisse eodem in agro, qui a mari plurimum aberat, ut vicina loca ostreis ac ceteris id genus piscibus, quos mare alere solet, opplerentur.

81.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΖ'.

Idem V, p. 261, C : Νικόλαος δ' ἐν τῇ ἑβδόμῃ καὶ ἑκατοστῇ τῶν Ἱστοριῶν Σύλλαν φησὶ, τὸν Ῥωμαίων στρατηγὸν, οὕτω χαίρειν μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. Ἐμφανίζουσι δ' αὐτοῦ τὸ περὶ ταῦτα ἱλαρὸν αἱ ὑπ' αὐτοῦ γραφεῖσαι σατυρικαὶ κωμῳδίαι τῇ πατρίῳ φωνῇ.

81.

E LIBRO CVII.

Nicolaus libro septimo ac centesimo Historiarum refert, Sullam Romanum imperatorem adeo delectatum fuisse mimis et scurris, quum ridiculis ac jocis summopere esset deditus, ut agri publici multa ejusmodi hominibus jugera largitus sit. Ac quantopere iis rebus delectatus sit, ostendunt comœdiæ satyricæ patria ab eo lingua conscriptæ.

82.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΗ'.

Idem XV, p. 682, A : Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν πρὸς ταῖς ἑκατὸν περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέναις κάλχαις.

82.

E LIBRO CVIII.

Nicolaus Damascenus Historiarum libro centesimo octavo circa Alpes lacum esse scribit in multa stadia patentem, in cujus ambitu nascantur quotannis flores odoris suavissimi, pulcherrimique coloris, similes eorum quos κάλχας (*calthas latine*) vocant.

83.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΙ'.

Idem XII, p. 543, A : Νικόλαος δ' ὁ Περιπατητικὸς ἐν τῇ δεκάτῃ καὶ ἑκατοστῇ τῶν Ἱστοριῶν Λεύκολλόν

83.

E LIBRO CX.

Nicolaus Peripateticus libro Historiarum decimo supra centesimum tradit Lucullum, quum Romam reversus, su-

80. Hæc quoque fluxerint e Posidonio, quem multum fuisse constat de terræ motibus, quæ partim sua ipsius ætate acciderunt. V. Strabo VI, p. 276; I, p. 58 (Posidon. fr. 68, 6 et fr. 76). Justin. XL, 1 : *Sed sicut ab hostibus tuta Syria fuit, ita terræ motu vastata est, quo centum septuaginta millia hominum, et multæ urbes perierunt. Quod prodigium mutationem rerum portendere haruspices responderunt.* Pertinent hæc ad tempora quibus penes Tigranem Syriæ imperium erat (83—69).

81. Cf. Plutarch. Sulla c. 36 : Συνῆν μίμοις γυναιξὶ καὶ κιθαρισταῖς καὶ θυμελικοῖς ἀνθρώποις ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων.. ὅθεν καὶ τὴν νόσον... πολὺν χρόνον ἠγνόει κτλ. Nicolaus quoque de postremis Sullæ temporibus loquens hæc attulisse debet. Moritur Sulla an. 78.

82. Cf. Stephan. Thes. Gr. v. κάλχη.

83. Cf. Plutarchus in Lucull. c. 37.

φησιν, ἀφικόμενον εἰς Ῥώμην, καὶ θριαμβεύσαντα, λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου, ἐξοκεῖλαι εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰς ἅπαν Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυοῖν βασιλέοιν πλοῦτον, Μιθριδάτου καὶ Τιγράνου.

84.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΙ'.

Idem IV, p. 153, F : Νικόλαος δ' ὁ Δαμασκηνὸς, εἷς τῶν ἀπὸ τοῦ περιπάτου φιλοσόφων, ἐν τῇ δεκάτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν, Ῥωμαίους ἱστορεῖ παρὰ τὸ δεῖπνον συμβάλλειν μονομαχίας, γράφων οὕτως· « Τὰς τῶν μονομάχων θέας οὐ μόνον ἐν πανηγύρεσι καὶ θεάτροις ἐποιοῦντο Ῥωμαῖοι, παρὰ Τυρρηνῶν παραλαβόντες τὸ ἔθος, ἀλλὰ κἀν ταῖς ἑστιάσεσιν. Ἐκάλουν γοῦν τινες πολλάκις ἐπὶ δεῖπνον τοὺς φίλους ἐπί τε ἄλλοις, καὶ ὅπως ἂν δύο ἢ τρία ζεύγη ἴδοιεν μονομάχων, ὅτε καὶ κορεσθέντες δείπνου καὶ μέθης εἰσεκάλουν τοὺς μονομάχους, καὶ ὁ μὲν ἅμα ἐσφάττετο, αὐτοὶ δ' ἐκρότουν ἐπὶ τούτῳ ἡδόμενοι. Ἤδη δέ τις κἀν ταῖς διαθήκαις γέγραφε γυναῖκας εὐπρεπεστάτας μονομαχῆσαι, ἃς ἐκέκτητο· ἕτερος δὲ παῖδας ἀνήβους ἐρωμένους ἑαυτοῦ. Ἀλλὰ γὰρ οὐχ ἠνέσχετο ὁ δῆμος τὴν παρανομίαν ταύτην, ἀλλ' ἄκυρον τὴν διαθήκην ἐποίησεν. »

85.

Josephus A. J. XIV, 1, 3 : Φίλος δέ τις Ὑρκανοῦ Ἰδουμαῖος, Ἀντίπατρος λεγόμενος, πολλῶν μὲν εὐπόρων χρημάτων, δραστήριος δὲ τὴν φύσιν ὢν καὶ στασιαστὴς, ἀλλοτρίως εἶχε πρὸς τὸν Ἀριστόβουλον καὶ διαφόρως, διὰ τὴν πρὸς Ὑρκανὸν εὔνοιαν. Νικόλαος μέντοι φησὶν ὁ Δαμασκηνὸς τοῦτον εἶναι γένος ἐκ τῶν πρώτων Ἰουδαίων τῶν ἐκ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἀφικομένων. Ταῦτα δὲ λέγει χαριζόμενος Ἡρώδῃ τῷ παιδὶ αὐτοῦ, βασιλεῖ τῶν Ἰουδαίων ἐκ τύχης τινὸς γενομένῳ· περὶ οὗ κατὰ καιρὸν δηλώσομεν.

86.

Idem ibid. XIV, 4, 3, p. 530 (de Pompeio loquitur Hierosolyma obsidente) : Μάθοι δ' ἄν τις ἐντεῦθεν τὴν ὑπερβολὴν ἧς ἔχομεν περὶ τὸν θεὸν εὐσεβείας καὶ τὴν φυλακὴν τῶν νόμων, μηδὲν ὑπὸ τῆς πολιορκίας διὰ φόβον ἐμποδιζομένων πρὸς τὰς ἱερουργίας, ἀλλὰ δὶς τῆς ἡμέρας, πρωΐ τε καὶ περὶ ἐνάτην ὥραν, ἱερουργούντων ἐπὶ τοῦ βωμοῦ, καὶ μηδ' εἴ τι περὶ τὰς προσβολὰς δύσκολον εἴη, τὰς θυσίας παριέντων. Καὶ γὰρ ἁλούσης τῆς πόλεως περὶ τρίτον μῆνα τῇ τῆς νηστείας ἡμέρᾳ, κατὰ τὴν ἐνάτην καὶ ἑβδομηκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ὑπατευόντων Γαΐου Ἀντωνίου καὶ Μάρκου Τυλλίου Κικέρωνος, οἱ πολέμιοι μὲν εἰσπεσόντες ἔσφαττον τοὺς ἐν τῷ ἱερῷ, οἱ δὲ πρὸς ταῖς θυσίαις οὐδὲν

peratis Mithridate et Tigrane regibus, triumphasset, et rationem eorum, quæ gesserat, reddidisset, a pristina frugalitate ad sumptuosum ac delicatum victum descivisse, primumque omnium Romanis ad luxum signa sustulisse, quum duorum regum, Mithridatis ac Tigranis, opibus esset potitus.

84.

E LIBRO CX.

Nicolaus Damascenus Peripateticæ sectæ philosophus libro Historiarum decimo supra centesimum Romanos scribit inter cœnandum gladiatorum paria committere solitos, his verbis : « Gladiatorum autem spectacula non solum in publicis conventibus et amphitheatris edunt Romani, invecto ab Etruscis more, sed etiam inter epulas. Itaque amicos ad cœnam invitant interdum, tum ut alia, tum ut duo triave gladiatorum paria dimicantia iis exhibeant. Igitur postquam vino ac dapibus sese ingurgitarunt, introduci jubent gladiatores; quorum ubi quis jugulatur, universi convivæ plaudunt eo spectaculo exhilarati. Quidam etiam testamento jussit mulieres formosas, quas emerat, ferro inter se dimicare : alius item pueros impuberes, quos in deliciis habuerat. Sed populus eam atrocitatem detestatus testamentum eorum irritum esse jussit. »

85.

Erat Hyrcano amicus quidam Idumæus, nomine Antipater, homo quidem multa abundans pecunia, natura vero gnavus et seditiosus, qui alieno ab Aristobulo erat animo et ab eo dissidebat ex sua in Hyrcanum benevolentia. Nicolaus quidem Damascenus hujus genus a primoribus Judæorum, qui in Judæam venerunt Babylone, deducit. Verum hoc dicit in gratiam Herodis ejus filii, quem fors quædam ad Judæorum regnum evexit : de quo suo tempore dicemus.

86.

Licet hinc discere quam immenso pietatis studio deum colamus et quam observantes legum simus, quod *sacerdotes* ex obsidione nihil præ metu impediti fuerint quominus sacra peragerent, sed bis quotidie, mane et hora nona, rem divinam ad aram fecerint, neque, si quid in oppugnatione difficile inciderit, sacrificia omiserint. Etenim capta urbe, tertio mense, die jejunii, Olympiade centesima septuagesima nona, Caio Antonio et Marco Tullio Cicerone consulibus, quum vi ingressi hostes eos qui erant in fano jugularent, tamen qui sacra procurabant nihilo secius rem

ἧττον ἱερουργοῦντες διετέλουν, οὔτε ὑπὸ τοῦ φόβου τοῦ περὶ τῆς ψυχῆς οὔτε ὑπὸ τοῦ πλήθους τῶν ἤδη φονευομένων ἀναγκασθέντες ἀποδρᾶναι, πᾶν δ' ὅ τι δέοι παθεῖν τοῦτο παρ' αὐτοῖς ὑπομεῖναι τοῖς βωμοῖς κρεῖττον εἶναι νομίζοντες ἢ παρελθεῖν τι τῶν νομίμων. Ὅτι δὲ οὐ λόγος ταῦτα μόνον ἐστὶν ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλ' ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ Πομπήϊον πράξεις ἀναγράψαντες, ἐν οἷς καὶ Στράβων καὶ Νικόλαος καὶ πρὸς τούτοις Τίτος Λίβιος, ὁ τῆς Ῥωμαϊκῆς ἱστορίας συγγραφεύς.

divinam facere perseverabant, neque metu vitæ amittendæ neque jam cæsorum multitudine in fugam compulsi, quicquid pati necesse erat, illud ad aras ipsas sustinere melius putantes quam ut aliquid legibus patriis præscriptum omitterent. Quod autem ista non sint fabula, unice ad falsæ pietatis laudem ostendendam adhibita, sed veritas, testimonio sunt qui res a Pompeio gestas memoriæ prodiderunt, et inter eos Strabo et Nicolaus nec non Titus Livius, historiæ Romanæ scriptor.

87.

Joseph. A. J. XIV, 6, 4, p. 534 : Περὶ δὲ τῆς Πομπηΐου καὶ Γαβινίου στρατείας ἐπὶ Ἰουδαίους γράφει Νικόλαος ὁ Δαμασκηνὸς καὶ Στράβων ὁ Καππάδοξ, οὐδὲν ἕτερος ἑτέρου καινότερον λέγων.

De his autem Pompeii et Gabinii contra Judæos expeditionibus scribit Nicolaus Damascenus et Strabo Cappadox, quorum alter nihil ab altero alienum refert.

88.

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΙΔʹ.

Athenæus VI, p. 252, D : Λικινίου δὲ Κράσσου, τοῦ ἐπὶ Πάρθους στρατεύσαντος, κόλακά φησι γενέσθαι Νικόλαος ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πρὸς ταῖς ἑκατὸν Ἀνδρόμαχον τὸν Καρρηνὸν, ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ, καὶ ἀπολέσθαι. Οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου παρείθη ὁ Ἀνδρόμαχος. Μισθὸν γὰρ λαβὼν τῆς πράξεως τὸ τυραννεῖν Καρρῶν τῆς πατρίδος, διὰ τὴν ὠμότητα καὶ βίαν ὑπὸ τῶν Καρρηνῶν πανοικίᾳ ἐνεπρήσθη.

E LIBRO CXIV.

Licinii Crassi, ejus qui bellum intulit Parthis, adulatorem fuisse tradit Nicolaus libro centesimo decimo quarto Andromachum quendam Carrenum, ab eoque Crassum, qui omnia consilia cum illo communicabat, proditum Parthis ac perditum fuisse; quod quidem scelus haudquaquam inultum dii reliquerunt. Nam quum in præmium ac mercedem sceleris sui tyrannidem Carrarum, quæ ejus patria erat, accepisset Andromachus, ob crudelitatem ac violentiam a Carrenis cum omni familia crematus est.

89

ΕΚ ΤΟΥ ΒΙΒΛΙΟΥ ΡΙϚʹ.

Idem VI, p. 249, A : Νικόλαος δ' ὁ Δαμασκηνὸς (εἷς δ' ἦν τῶν ἐκ τοῦ περιπάτου) ἐν τῇ πολυβίβλῳ Ἱστορίᾳ (ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέσσαρσι), τῇ ἑκκαιδεκάτῃ καὶ ἑκατοστῇ φησιν, Ἀδιάτομον, τὸν τῶν Σωτιατῶν βασιλέα (ἔθνος δὲ τοῦτο Κελτικὸν), ἑξακοσίους ἔχειν λογάδας περὶ αὐτὸν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ σιλοδούρους· τοῦτο δ' ἐστὶν Ἑλληνιστὶ εὐχωλιμαῖοι. Τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων· ἀνθ' ἧς συνδυναστεύουσί τε αὐτῷ, τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ

E LIBRO CXVI.

Nicolaus Damascenus Peripateticus in immenso Historiarum opere (sunt enim quattuor et quadraginta supra centum libri) libro centesimo decimo sexto narrat : Adiatomum regem Sotiatum (gens est Gallica) sexcentos circa se habuisse lectos homines, quos Galli Soldurios lingua patria vocant : ea vox Græcis devotos significat. Hi cum rege una et vitam agunt et moriuntur, quum eo semet ipsi voto obligaverint; in cujus gratiam ipsi quodammodo participes sunt regni, eodemque quum rege victu ac corporis cultu utun-

88. Fusius rem exponit Plutarchus in Crasso c. 20. Moritur Crassus an. 53. Quæ fr. 89 e libro 116 afferuntur, spectant ad annum 56. Quare suspicio nascitur altero loco libri numerum corruptum esse.

89. Petitum fragmentum ex narratione de P. Crassi in Aquitanos expeditione, Gallici belli anno tertio (56 a C. v. Cæsar. B. G. III, 20 sqq. Dio Cass XXXIX, 46. Florus III, 10, 7. Orosius VI, 8). Crassus oppidum Sotiatum oppugnavit. Oppidani tandem petunt ut se in deditionem Crassus recipiat. « *Qua re impetrata arma tradere jussi faciunt. Atque in ea re omnium nostrorum intentis animis, alia ex parte oppidi Adcantuannus, qui summam imperii tenebat, cum sexcentis devotis, quos illi Soldurios appellant (quorum hæc est conditio, uti omnibus in vita commodis una cum his fruantur, quorum se amicitiæ dediderint; si quid iis per vim accidat, aut eundem casum una ferant, aut sibi mortem consciscant : neque adhuc hominum memoria repertus est quisquam, qui, eo interfecto*

συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴτ' ἐν νόσῳ τελευτήσειε βασιλεὺς, εἴτε πολέμῳ, εἴτ' ἄλλως πως. Καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ διεκδύντα.

tur. Ceterum quum rex sive morbo sive in prælio sive alia qua causa interiit, simul ipsis moriendi necessitas incumbit; neque adhuc hominum memoria repertus est quisquam, qui mortuo rege mori recusaverit.

90.

Plutarch. Brut. 53, 2 : Τὸν δὲ Βροῦτον ὁ Ἀντώνιος ἀνευρὼν τεθνηκότα τὸ μὲν σῶμα τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περιβαλεῖν ἐκέλευσεν, ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος ἀπέκτεινε τὸν ὑφελόμενον. Τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ Βρούτου Σερβιλίαν ἀπέπεμψε. Πορκίαν δὲ τὴν Βρούτου γυναῖκα Νικόλαος ὁ φιλόσοφος ἱστορεῖ καὶ Οὐαλέριος Μάξιμος βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀνασπάσασαν ἄνθρακας καταπιεῖν καὶ τὸ στόμα συγκλείσασαν καὶ μύσασαν οὕτω διαφθαρῆναι. Καίτοι φέρεταί τις ἐπιστολὴ Βρούτου πρὸς τοὺς φίλους ἐγκαλοῦντος αὐτοῖς καὶ ὀλοφυρομένου περὶ τῆς Πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. Ἔοικεν οὖν ὁ Νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος καὶ τὸν ἔρωτα τῆς γυναικὸς καὶ τὸν τρόπον τῆς τελευτῆς ὑπονοῆσαι δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν.

90.

Bruti cadaver inventum Antonius pretiosissima suarum punicearum tunicarum involvi jussit, et furem, a quo eam subtractam sensit, interfecit. Reliquias autem ad matrem Bruti Serviliam misit. Porciam vero, Bruti uxorem, Nicolaus philosophus et Valerius Maximus memorant, quum mortis cupida ab amicis prohiberetur, qui ei adhærebant assidui eamque observabant, carbones ex igne arreptos deglutiisse, oreque clauso ita suffocatam periisse. Sane Bruti ad amicos epistola circumfertur, qua eos incusat casumque Porciæ deplorat, quæ ab ipsis neglecta propter morbum mortem sibi consciscere delegerit. Videtur igitur Nicolaus ignorasse mortis tempus, quando ea epistola, si quidem est genuina, morbum amoremque uxoris et mortis modum significat.

91.

Strabo XV, p. 719 : Προσθείη δ' ἄν τις τούτοις καὶ τὰ παρὰ τοῦ Δαμασκηνοῦ Νικολάου. Φησὶ γὰρ οὗτος ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ παρατυχεῖν τοῖς Ἰνδῶν πρέσβεσιν, ἀφιγμένοις παρὰ Καίσαρα τὸν Σεβαστόν. Οὓς ἐκ μὲν τῆς ἐπιστολῆς πλείους δηλοῦσθαι, σωθῆναι δὲ τρεῖς μόνους, οὓς ἰδεῖν φησι, τοὺς δ' ἄλλους ὑπὸ μήκους τῶν ὁδῶν διαφθαρῆναι τὸ πλέον. Τὴν δ' ἐπιστολὴν ἑλληνίζειν ἐν διφθέρᾳ γεγραμμένην, δηλοῦσαν, ὅτι Πῶρος εἴη γράψας· ἑξακοσίων δὲ ἄρχων βασιλέων, ὅμως περὶ πολλοῦ ποιοῖτο φίλος εἶναι Καίσαρι καὶ ἕτοιμος εἴη δίοδόν τε παρέχειν ὅπῃ βούλεται, καὶ συμπράττειν ὅσα καλῶς ἔχει. Ταῦτα μὲν ἔφη λέγειν τὴν ἐπιστολὴν, τὰ δὲ κομισθέντα δῶρα προσενέγκαι ὀκτὼ οἰκέτας γυμνοὺς ἐν περιζώμασι, καταπεπασμένους ἀρώμασιν· εἶναι δὲ τὰ δῶρα τόν τε Ἑρμᾶν ἀπὸ τῶν ὤμων ἀφῃρημένον ἐκ νηπίου τοὺς βραχίονας, ὃν καὶ ἡμεῖς εἴδομεν, καὶ ἐχίδνας μεγάλας, καὶ ὄφιν πηχῶν δέκα, καὶ χελώνην ποταμίαν τρίπηχυν, πέρδικα δὲ μείζω γυπός. Συνῆν δὲ, ὥς φασι, καὶ ὁ Ἀθήνησι κα-

91.

His adjici possunt quæ a Nicolao Damasceno dicuntur. Narrat hic, se Antiochiæ ad Daphnen Indorum vidisse legatos, qui ad Cæsarem Augustum venerant. In epistola quidem plures fuisse memoratos, sed tres tantum superfuisse, quos ab se visos ait, ceteris longitudine itineris magna ex parte absumptis. Epistolam porro Græcam fuisse in membrana scriptam, in qua significaretur, Porum esse qui scriberet : quamvis sexcentis regibus imperaret, Cæsaris tamen amicitiam magni pendere, et paratum esse aditum ei, quacumque velit, concedere, opemque, modo jus fasque sit, ferre. Hæc in epistola dicit contenta fuisse. Allata præterea esse dona ab octo servis nudis subligaculo cinctis et omni aromatum genere delibutis. Ea fuisse Herman brachiis truncum a puero, quem et nos vidimus, tum viperas ingentes et anguem cubitûm decem et testudinem fluviatilem trium cubitûm et perdicem vulture majorem. Aderat etiam, ut aiunt, is, qui semet ipse Athenis crema-

cujus se amicitiæ devovisset, mortem recusaret), cum iis Adcantuannus, eruptionem facere conatus, clamore ab ea parte munitionis sublato, quum ad arma milites concurrissent, vehementerque ibi pugnatum esset, repulsus in oppidum, tamen uti eadem deditionis conditione uteretur, a Crasso impetravit. » Hæc Cæsar III, 22. E Cæsare, ut videtur, Nicolaus.

91. Cf. Dio Cass. LIV, 9. Fidem narrationis in dubium vocat, nescio quo jure, Bohlen. *Das alte Indien* tom. I, p. 70, not. 222. — ἀπὸ Βαργόσης] « Nomen Βαργόση frustra quæsivi apud veteres. Videtur intelligenda urbs Barygaza, nobilissimum Indorum emporium, hodie *Baroantsch*. Vide Mannert. *Geogr.* tom. V, p. 181. » Orelli. Cf. Forbiger. *Geogr.* II, p. 506.

τακαύσας ἑαυτόν. Ποιεῖν δὲ τοῦτο τοὺς μὲν ἐπὶ κακοπραγίᾳ, ζητοῦντας ἀπαλλαγὴν τῶν παρόντων, τοὺς δ' ἐπ' εὐπραγίᾳ, καθάπερ τοῦτον· ἅπαντα γὰρ κατὰ γνώμην πράξαντα μέχρι νῦν, ἀπιέναι δεῖν, μή τι τῶν ἀβουλήτων χρονίζοντι συμπέσῃ· καὶ δὴ καὶ γελῶντα ἅλασθαι γυμνὸν ἐπαληλειμμένον ἐν περιζώματι ἐπὶ τὴν πυράν. Ἐπιγεγράφθαι δὲ τῷ τάφῳ·

ΖΑΡΜΑΝΟΣ ΧΗΓΑΝ

ΙΝΔΟΣ ΑΠΟ ΒΑΡΓΟΣΗΣ

ΚΑΤΑ ΤΑ ΠΑΤΡΙΑ ΙΝΔΩΝ ΕΘΗ

ΕΑΥΤΟΝ ΑΠΑΘΑΝΑΤΙΣΑΣ ΚΕΙΤΑΙ.

vit : quod quidem alii in rebus adversis facere dicuntur, ut præsentia mala effugiant, alii in secundis rebus, quemad modum hic, de quo agimus. Nam quum omnia ex sententia hactenus illi successissent, abeundum sibi censuit e vita, ne quid adversi accideret moranti diutius. Adeoque ridentem illum et nudum unctumque in rogum insiliisse aiunt; ejus tumulo inscriptum esse :

HIC SITUS EST ZARMANUS CHEGAN

INDUS E BARGOSA

QUI MORE INSTITUTOQUE INDORUM

SE E VITA EDUXIT.

92.

ΕΚ ΤΩΝ ΒΙΒΛ. ΡΚΓ' ΚΑΙ ΡΚΔ'.

Josephus A. J. XII, 3, 2: Ὅμοιον δέ τι τούτων καὶ Μάρκον Ἀγρίππαν φρονήσαντα περὶ τῶν Ἰουδαίων οἴδαμεν. Τῶν γὰρ Ἰώνων κινηθέντων ἐπ' αὐτοὺς καὶ δεομένων τοῦ Ἀγρίππα, ἵνα τῆς πολιτείας, ἣν αὐτοῖς ἔδωκεν Ἀντίοχος ὁ Σελεύκου υἱωνός, ὁ παρὰ τοῖς Ἕλλησι Θεὸς λεγόμενος, μόνοι μετέχωσιν, ἀξιούντων δ', εἰ συγγενεῖς εἰσιν αὐτοῖς Ἰουδαῖοι, σέβεσθαι τοὺς ἰδίους αὐτῶν θεούς, καὶ δίκης περὶ τούτων συστάσης, ἐνίκησαν οἱ Ἰουδαῖοι τοῖς αὐτῶν ἔθεσι χρῆσθαι, συνηγορήσαντος αὐτοῖς Νικολάου τοῦ Δαμασκηνοῦ. Ὁ γὰρ Ἀγρίππας ἀπεφήνατο μηδὲν αὐτῷ καινίζειν ἐξεῖναι. Τὸ δ' ἀκριβὲς εἴ τις βούλεται καταμαθεῖν, ἀναγνώτω τῶν Νικολάου Ἱστοριῶν τὴν ἑκατοστὴν καὶ εἰκοστὴν τρίτην καὶ τετάρτην (1).

Idem ib. XVI, 2, 3 : Τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων (Agrippam et Herodem dicit ex Ponto reduces), πολὺ πλῆθος Ἰουδαίων, ὃ τὰς πόλεις ᾤκει, προσῄει, καιροῦ καὶ παρρησίας ἐπειλημμένοι· καὶ τὰς ἐπηρείας ἔλεγον, ἃς ἐπηρεάζοντο, μήτε νόμοις οἰκείοις ἐώμενοι χρῆσθαι, δίκας τε ἀναγκαζόμενοι διδόναι κατ' ἐπήρειαν τῶν εὐθυνόντων ἐν ἱεραῖς ἡμέραις, καὶ τῶν εἰς Ἱεροσόλυμα χρημάτων ἀνατιθεμένων ἀφαιροῖντο, στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν, καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρημάτων,

92.

E LIBRIS CXXIII ET CXXIV.

M. quoque Agrippam similiter erga Judæos affectum fuisse accepimus. Nam quum Iones adversus eos graviter concitati rogassent Agrippam, ut civitatis, quam eis dederat Antiochus Seleuci nepos, is qui a Græcis Deus est cognominatus, soli ipsi participes essent, postularentque, si quidem Judæi ejusdem generis esse vellent, ut eosdem quoque deos colerent : quum res in judicium venisset, causam obtinuerunt Judæi, ut suis moribus sibi vivere liceret, Nicolai Damasceni patrocinio usi. Agrippa enim pronunciavit, nihil sibi innovandum videri. Quæ si quis volet exactius cognoscere, is legat Historiarum Nicolai libros vicesimum tertium quartumque supra centesimum.

Tunc vero quum in Ioniam venissent, magna Judæorum multitudo, qui urbes illas incolebant, ad Agrippam, occasione fiduciaque sumpta, se contulerunt : et apud eum de injuriis, quæ sibi fierent, expostulabant, ut qui suis uti legibus prohibeantur, et sacris diebus in jus vocentur magistratuum iniquitate, et pecuniis spolientur quas Hierosolyma mittere vellent, coganturque ad obeundam militiam et publica munera, et in ea sacras pecunias insumere, quibus semper soluti essent, quum ipsis Romani secundum

92. Quæ sequuntur ex Josepho fragmenta fere omnia pertinent ad historiam Herodis. In qua quum Nicolaus non tam fidei narrationis, quam regis gloriæ consuluisse perhibeatur (Joseph. XVI, 7, 1. fr. 67), consentaneum est ea certissime ex Nicolao Josephum mutuatum dici, quæ vel in laudem regis vel ad crimina ab eo avertenda afferuntur, ita tamen, ut simul aliorum narratio opponatur. Cadit hoc tum in alia nonnulla, tum in ea quæ lib. XV, 6, 2 de causa dicuntur, cur Hyrcanum Herodes interfecerit. Qua exposita, Josephus subjicit : Ταῦτα δὲ γράφομεν ἡμεῖς ὡς ἂν ἐν τοῖς ὑπομνήμασι τοῖς τοῦ βασιλέως Ἡρώδου περιείχετο. Τοῖς δὲ ἄλλοις οὐ κατὰ ταῦτα συμφωνεῖ· τὸν γὰρ Ἡρώδην οὐχ ἐπὶ τοιούτοις δοκοῦσιν, ἀλλ' ἐξ ἐπιβουλῆς μᾶλλον Ὑρκανῷ τὴν αἰτίαν ἐπαγαγόντα κατὰ τὸν αὐτὸν τρόπον ἀποκτεῖναι. κτλ. Quæ non ita sunt intelligenda, ut Commentarios ab ipso rege de rebus suis in publicum editos a Josepho inspectos esse putemus; nam neque aliunde de iis constat, nec omnino probabile est scribendis iis operam dedisse regem multis ad mortem usque negotiis districtum, cuique Nicolaus ἱστοριογράφος præsto adesset. Verum hic ipse Nicolaus, ut fidem dictis conciliaret, ad regiarum chartarum testimonia provocasse censendus est. Ceterum eundem plane auctorem redolent quæ mox sequuntur apud Josephum XV, 7, 6, de animi altitudine, quam oratione ad Cæsarem habita Herodes ostenderit. — (1) Uberius rem Josephus suo loco exponit libro XVI, 2, 3. Quare hunc locum fragmento subjunximus.

ὧν ἀφείδησαν ἀεὶ, Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. Τοιαῦτα καταβοώντων, παρῃτήσατο μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτῶν δικαιολογουμένων. Νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. Τοῦ δὲ Ἀγρίππα Ῥωμαίων τε τοὺς ἐν τέλει, καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου, καταστὰς ὁ Νικόλαος ὑπὲρ τῶν Ἰουδαίων ἔλεξεν (2).

patrias leges vivere permisissent. Hæc dum vociferantur, rogavit Herodes Agrippam, ut illorum rationes audire vellet, allegavitque quendam suum amicum, nomine Nicolaum, qui Judæorum causam ageret. Quumque assessores sibi advocasset Agrippa Romanorum primores et qui aderant reges et principes, Nicolaus pro Judæis dicere aggressus est.

93.

Idem ib. XVI, 7, 1: Ὁ γὰρ Ἡρώδης, πολλοῖς ἀναλώμασιν εἴς τε τὰς ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος [χορηγίας], ἀκηκοὼς ἔτι τάχιον, ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς, ἀνοίξας τὸν Δαυΐδου τάφον, ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων ἔτι, καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχε τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε, νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται, πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. Ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανὸς, οὐχ εὗρε, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολὺν, ὃν ἀνείλετο πάντα. Σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν, καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυΐδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. Καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιοῦσιν ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῄει, καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο, πολυτελὲς τῇ δαπάνῃ. Τούτου καὶ Νικόλαος, ὁ κατ' αὐτὸν ἱστοριογράφος, μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος. Διατελεῖ δὲ καὶ τὰ ἄλλα τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. Ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ, κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφε, μόνων ἁπτόμενος τῶν πρὸς εὔκλειαν αὐτῷ φερόντων, πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων, καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος· ὅς γε καὶ τὸν Μαριάμμης θάνατον, καὶ τῶν παίδων αὐτῆς, οὕτως ὠμῶς τῷ βασιλεῖ πεπραγμένον, εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος, ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων ἐσπουδασμένως ἀπολογούμενος. Ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλὰ ὑπουργίαν τῷ βασιλεῖ ταύτην ἐποιεῖτο.

93.

Herodes autem quum multas erogationes domi forisque faceret, audito, Hyrcanum, qui ante ipsum regnaverat, aperto Davidis sepulcro, tria inde millia talentorum argenti abstulisse, quum multo plura restarent sumptus quamvis magnos expletura, jam dudum quidem id imitari in animo habuerat. Hoc vero tempore noctu aperto monumento intrat, sollicitus, ne per urbem hoc innotesceret, ideoque amicorum nonnisi fidissimos assumpserat. Depositas tamen pecunias, ut Hyrcanus, non invenit, sed multum in ornatu auri et gemmarum, quæ abstulit omnia. Voluit et ad diligentiorem indaginem interius penetrare ad conditoria corporum Davidis et Salomonis, sed duo ex ipsius comitatu perierunt, flamma, ut fertur, e penetralibus erumpente. Queis ipse territus piando facinori ad os monumenti opus struxit magni impendii e marmore. Et operis quidem hujus meminit Nicolaus, qui illa ætate historiam scripsit, sed non et regis descensum illum commemorat, gnarus factum id non ex honesto esse, eundemque morem ubique in scribendis rebus servat. Nam quum vivente illo et regnante scriberet, regi, cujus gratiam magni faciebat, obsecutus est, eaque tantum attigit, quæ ad ipsius gloriam pertinerent. Contra vero, quæ haud dubie facta erant improbe, ea aut quæsito colore pinxit, aut obduxit silentio. Nam et Mariamnes filiorumque ejus cædem crudeliter a rege patratam specie aliqua recti excolere quum vellet, illius impudicitiam, horum etiam insidias confinxit. Atque ita passim in omni scriptione recte a rege Herode facta supra modum prædicat, peccata vero laboriose excusat. Sed ei forte aliquis veniam det; neque enim in posteritatis usum historiam scribebat, sed operam hanc regi gratificabatur.

(2) Sequitur Nicolai oratio longissima, quam apud ipsum Josephum legas.

94.

Joseph. A. J. XVI, 9, 4: Πέρας οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν (1), ἔγνω πάλιν εἰς Ῥώμην ἀποστέλλειν, εἴ τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων καὶ πρὸς αὐτὸν Καίσαρα τὴν ἐντυχίαν ποιησόμενος· κἀκεῖ μὲν ὁ Δαμασκηνὸς ἀπῄει Νικόλαος.

Idem ib. XVI, 10, 8: Τὰ γὰρ περὶ τὴν Νικολάου πρεσβείαν ἀπέβη τοῦτον τὸν τρόπον. Ὡς ἀνῆλθεν εἰς τὴν Ῥώμην καὶ περὶ τὴν αὐλὴν ἐγένετο, πρῶτον μὲν οὐκ ἐφ' οἷς ἐληλύθει μόνον, ἀλλὰ καὶ Συλλαίου κατηγορεῖν ἠξίου. Καὶ οἱ Ἄραβες δῆλοι πρὸ τῆς ἐντυχίας ἦσαν ἀλλήλους πολεμοῦντες, καὶ ὑπονοστήσαντες ἐξ αὐτοῦ καὶ τῷ Νικολάῳ προσελθόντες τὰς ἀδικίας ἁπάσας ἐμήνυον, καὶ τῶν Ὀβόδου ὡς διαφθαρέντων πλείστων ἐκφανῆ τεκμήρια παρέχοντες. Ἦσαν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ κατὰ τὴν ἀπόστασιν ὑφῃρημένοι, καὶ διὰ τούτων ἤλεγχον. Ὁ δὲ Νικόλαος ἐπιτυχίαν ταύτην ὁρῶν αὐτῷ προσγεγενημένην, δι' αὐτῆς ἐπραγματεύετο τὸ μέλλον, ἐπείγων ἐλθεῖν εἰς διαλλαγὰς Ἡρώδῃ ποιῆσαι Καίσαρα· σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογήσασθαι περὶ ὧν ἔπραξεν οὐκ ἔσεσθαι παρρησίαν· ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου, γενήσεσθαι καιρὸν ὑπὲρ Ἡρώδου λέγειν. Συνεστώτων οὖν ἐπ' ἀλλήλους καὶ δοθείσης ἡμέρας, Νικόλαος, παρόντων αὐτῷ τῶν Ἀρέτα πρέσβεων, τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασιλέως ἀπώλειαν λέγων καὶ πολλῶν Ἀράβων, χρήματά τε ὡς εἴη δεδανεισμένος ἐπ' οὐδὲν ὑγιὲς, καὶ μοιχείας ἐξελέγχων οὐ τῶν ἐν Ἀραβίᾳ μόνον, ἀλλὰ καὶ τῶν ἐν Ῥώμῃ γυναικῶν· προσετίθει δὲ τὸ μέγιστον, ὡς ἐξαναστήσειε Καίσαρα, μηδὲν ἀληθὲς διδάξας ὑπὲρ τῶν Ἡρώδῃ πεπραγμένων. Ὡς δὲ ἧκεν ἐπὶ τοῦτον τὸν τόπον, ὁ μὲν Καῖσαρ ἐξεῖργεν αὐτὸν τοῦτο μόνον ἀξιῶν ὑπὲρ Ἡρώδου λέγειν, ὡς οὐ στρατιὰν ἤγαγεν εἰς Ἀραβίαν, μηδὲ δισχιλίους καὶ πεντακοσίους ἀποκτείνειεν τῶν ἐκεῖ, μηδὲ αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας. Πρὸς ταῦτα ὁ Νικόλαος, « Ὑπὲρ τούτων, ἔφη, καὶ μάλιστα διδάξειν, ὅτι μηδὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν, ὡς σὺ ἀκήκοας, καὶ δίκαιον ἦν ἐπ' αὐτοῖς χαλεπῶς φέρειν. » Πρὸς δὲ τὸ παράδοξον Καίσαρος ἐνδόντος αὐτὸν ἀκροατὴν, τὸ δάνειον εἰπὼν τῶν πεντακοσίων ταλάντων καὶ τὴν συγγραφὴν, ἐν ᾗ καὶ τοῦτο ἦν προσγεγραμμένον, ἐξεῖναι τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν ἐξ ἁπάσης τῆς χώρας, τὴν μὲν στρατείαν οὐκ ἐπιστρατείαν ἔλεγεν, ἀλλὰ δικαίαν τῶν ἰδίων ἀπαίτησιν χρημάτων· καὶ μηδὲ ταχὺ ταύτην, μηδὲ ὡς ἐπέτρεπον αἱ συγγραφαὶ ** πολλάκις μὲν ἐπὶ Σατουρνῖνον ἐλθόντα καὶ Οὐολόμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, « τελευταῖον δὲ ἐν Βηρυτῷ τούτων ἐναντίον Συλλαίου τὴν σὴν τύχην ἐπομόσαντος,

94.

Quum nullum tot malorum finem reperiret Herodes, constituit iterum Romam mittere, si quid amicorum gratia et precibus apud Cæsarem impetrare æquius posset. Legationem suscepit Nicolaus Damascenus.

Nicolai legatio hunc in modum successit. Is postquam Romam et in aulam venerat, non ea tantum, quorum ergo missus, exsequi, sed ultro Syllæum accusare constituit. Nam Arabes, priusquam cum iis colloqueretur, aperte inter se dissentiebant, quorum nonnulli quum se a Syllæo subduxissent, ad Nicolaum se applicuere, facta omnia injusta ei indicantes, manifestisque indiciis ostendentes, eum multos ex Obodæ hominibus interfecisse : quum enim discessionem fecissent, subreptæ erant literæ, quibus ipsum redarguebant. Quam rem sibi valde opportunam videns Nicolaus, ea utebatur ad id quod sibi agendum erat, modis omnibus studens, ut Cæsarem cum Herode in gratiam redire faceret. Certo enim sciebat, si vellet Herodis facta defendere, non habiturum audientiam; sin Syllæum accusare constitueret, fore ut occasio sibi daretur Herodis causam melius agendi. Contestata igitur lite dictaque die, Nicolaus, adsistentibus sibi Aretæ legatis, et alia Syllæo objiciebat, et quod regi suo Arabumque multis perniciem attulisset, quodque ad perturbandum statum pecunias mutuo sumpsisset; eum etiam arguebat mulieres corrupisse tam Romæ quam in Arabia : et, quod maximum esset, adjiciebat, Cæsarem alienasse, quod ipsum nihil veri de gestis ab Herode docuerit. Ubi autem ad hunc locum ventum est, eum interpellabat Cæsar, jubens hoc unum diceret de Herode, annon exercitum in Arabiam duxisset et bis mille et quingentos homines illic occidisset, et direpto agro abduxisset captivos? Ad hæc Nicolaus, de his se vel maxime, ait, docere posse, hæc partim nihil habere veri, partim non ita facta ut tu accepisti, nec ut ob ea merito succensere Herodi debeas. His præter opinionem auditis, et Cæsare attentiorem se præbente, quum narrasset de quingentis talentis mutuo datis, et de syngrapha, in qua cautum fuerat ut liceret Herodi, ubi dies præstituta cessisset, pignora capere ex universa Arabum terra, hanc expeditionem non expeditionem esse dixit, sed justis de causis pecuniæ sibi debitæ exactionem. Neque tamen huc festinanter decurrisse Herodem, sed post aditos aliquoties Syriæ duces Saturnium et Volumnium : « denique, postquam apud Berytum his coram Syllæus per tuam fortunam jurasset, omnino

94. Quæ sequuntur, etsi non laudatis Nicolai historiis afferuntur, apponenda tamen curavimus, quod ad Nicolai res gestas pertinent et probabiliter magnam partem ex Nicolai opere deprompta sunt. — 1. Loquitur de Herode qui ob irruptionem in Arabiam factam accusatus apud Cæsarem, quum legati ad causam defendendam Romam missi re infecta re-

ἦ μὴν ἐντὸς ἡμερῶν τριάκοντα παρέξειν τὰ χρήματα καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς Ἡρώδου πεφευγότας. Ὧν οὐδὲν ποιήσαντος Συλλαίου, πάλιν ἐπὶ τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρώδην, κἀκείνων ἐφέντων αὐτῷ λαμβάνειν τὰ ῥύσια, μόλις οὕτως ἐξελθεῖν σὺν τοῖς περὶ αὐτόν. Ὁ μὲν δὴ πόλεμος, ὡς οὗτοι τραγῳδοῦντες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας τοιαῦτα. Καίτοι πῶς ἂν εἴη πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν ἡγεμόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένου δὲ μετὰ τῶν ἄλλων θεῶν καὶ τοῦ σοῦ, Καῖσαρ, ὀνόματος; Τὰ δὲ περὶ τοὺς αἰχμαλώτους ἑξῆς ἤδη λεκτέον. Λῃσταὶ τῶν τὸν Τράχωνα κατοικούντων τεσσαράκοντα τὸ πρῶτον, εἶτα αὖθις πλείονες, τὰς Ἡρώδου κολάσεις διαφεύγοντες, ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. Τούτους ὑπεδέξατο Συλλαῖος ἐπὶ πάντας ἀνθρώπους τρέφων, καὶ χώραν ἔδωκε νέμεσθαι, καὶ τὰ κέρδη τῶν λῃστῶν αὐτὸς ἐλάμβανεν. Ὡμολόγησε δὲ καὶ τούτους ἐπὶ τοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν τοῦ δανείου προθεσμίαν, καὶ δύναιτο ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ παρὸν ἄλλον τινὰ τῆς Ἀράβων χώρας ἢ τούτους ἐξῃρημένους, οὐδὲ πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν. Οὕτως οὖν καὶ τοῦ τῆς αἰχμαλωσίας ἐπιφθόνου συκοφαντήματος πεφηνότος, μέγιστον, ὦ Καῖσαρ, κατάμαθε πλάσμα καὶ ψεῦσμα πρὸς τὴν σὴν ὀργὴν αὐτῷ ποιηθέν. Φημὶ γάρ, ἐπελθούσης ἡμῖν τῆς Ἀράβων δυνάμεως, καὶ τῶν περὶ Ἡρώδην πεσόντος ἑνὸς καὶ δευτέρου, τότε μόλις ἀμυνομένου, Νάκεβον τὸν στρατηγὸν αὐτῶν καὶ περὶ πέντε καὶ εἴκοσι συνέβη πεσεῖν τοὺς πάντας, ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων δισχιλίους καὶ πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγε. »

Ταῦτα μᾶλλον ἐκίνει τὸν Καίσαρα, καὶ πρὸς τὸν Συλλαῖον ἐπιστραφείς, ὀργῆς μεστός, ἀνέκρινεν, ὁπόσοι τεθνήκασι τῶν Ἀράβων. Ἀπορουμένου δὲ αὐτοῦ καὶ πεπλανῆσθαι λέγοντος, αἵ τε συνθῆκαι τῶν δανείων ἀνεγινώσκοντο, καὶ τὰ τῶν ἡγεμόνων γράμματα, πόλεις τε ὅσαι λῃστήρια κατῃτιῶντο. Καὶ πέρας εἰς τοῦτο κατέστη Καῖσαρ, ὡς τοῦ μὲν Συλλαίου καταγνῶναι θάνατον, Ἡρώδῃ δὲ διαλλάττεσθαι, μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ πεπονθώς, καί τι τοιοῦτον εἰπεῖν εἰς Συλλαῖον, ὡς ἀναγκάσειεν αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγνωμονῆσαι (2).

intra trigesimum diem se et nomen exsoluturum, et dediturum qui ex ditione Herodis in Arabiam profugerant. Et quum horum nihil Syllæus præstitisset, iterum ab Herode appellatos duces; quumque hi ei permisissent pignora capere, vix tandem cum suis profectum in Arabiam. Equidem hoc, inquit, est, quod tragice exaggerantes bellum appellant, atque ejusmodi erat ista expeditio At quomodo bellum dicatur hæc juris persecutio post impetratam a ducibus tuis veniam, idque ex præscripto cautionis, post violatum et deorum aliorum numen et tui, Cæsar, nominis majestatem? Jam restat dicere, quæ ad captos homines pertinent. Quum Trachonitæ latrocinari cœpissent, quadraginta primum, mox etiam complures, ne ab Herode ad supplicium raperentur, in Arabiam perfugerunt. Hos recepit Syllæus, et omnium hominum in damnum aluit, locumque ad habitandum dedit, imo et horum ex latrociniis quæstus partem in se vertit. Eodem tamen juramento spopondit, hos se dediturum illa ipsa die, quæ et pecuniæ solvendæ erat præstituta; nec potest ostendere in præsenti quenquam alium præter hos ex Arabia abductum, ac ne hos quidem omnes, sed qui latebras reperire nequibant. Jam quum videris illud invidiæ plenum de hominibus captis nihil esse nisi calumniam, rogo aliud, Cæsar, cognoscas nequissimum figmentum et mendacium, quo usus hic est, ut te ad iram concitaret. Pro cognito enim affirmo, quum in nostras partes irrupisset Arabum exercitus, et eorum qui Herodi parebant unus atque alter periissent, tum demum, et non ante, sua tutante Herode, occubuisse Nacebum illorum ducem, et una homines non supra viginti quinque, e quorum iste singulis centenos faciens, bis mille et quingentos narrabat occisos. »

Cæsarem jam ante nutantem hæc maxime commoverunt; et ad Syllæum versus, jam manifestus iræ, quærit, quot Arabes interierint. Illo autem hærente et male se edoctum fatente, lecta est rei creditæ cautio, lectæ et ducum literæ et civitatum querelæ de latrociniis. Tandem eo perductus est Cæsar, ut capitis Syllæum damnaret, Herodi vero conciliaretur, ut quem jam pœniteret eorum quæ calumniis inductus duriora ipsi scripserat; et Syllæo hoc quoque exprobraret, sese ejus falsis verbis adductum, ut in amicum veterem amicitiæ officia exueret.

95.

Idem XVII, 5,4, postquam apposuit orationem Herodis, qua commissa scelera Antipatro filio exprobrat, pergit ita : Ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται, λέγειν τε ἄπορος ἦν. Καὶ Νικόλαος ὁ Δαμασκηνὸς φίλος τε ὢν τοῦ βασιλέως, καὶ τὰ πάντα συνδιαιτώμενος ἐκείνῳ, καὶ τοῖς πράγμασι, ὃν πραχθεῖεν τρόπον, παρατετευχώς, δεηθέντι τῷ βασιλεῖ τὰ λοιπὰ

95.

Hæc (in filium Antipatrum) dicenti Herodi obortæ lacrimæ finem dicendi fecere. Atque Nicolaus Damascenus, qui et regi amicus erat et convictor prope quotidianus, et plerisque suis rebus, de quibus agebatur, interfuerat, quum

dissent, in summis versabatur angustiis. — 2. Proximum Josephi locum (XVI, 11, 3), qui est de Nicolao Herodem exhortante, ne quid acerbius in filios ab Antipatro accusatos statuat, exscripsi ad fragm. 5, not. 11.

εἰπεῖν, ἔλεγεν ὁπόσα ἀποδείξεών τε καὶ ἐλέγχων ἐχόμενα ἦν....

5. Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις παλιλλογεῖν μειζόνως ἐκδεινῶν, καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε ** τὴν ἀπόδειξιν τοῦ ἐγκλήματος· μάλιστα δὲ τὴν ἀρετὴν ἐπιπολὺ ἐξηγεῖτο τοῦ βασιλέως ᾗπερ εἴς τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων, οὐδαμόθεν εὕροιτο ὀνησιφόρον αὐτὴν, περιπταίων ἑτέροις ἀφ' ἑτέρων. Καίτοι γε οὐχ οὕτω θαυμάζειν τῶν προτέρων τὴν ἀβουλίαν· νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶσσον ἢ χρῆν μεταποιεῖσθαι σπουδάσαντας· Ἀντιπάτρου δ' ἂν δικαίως τὴν μιαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν, ὥσπερ τὰ ἰοβολώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καίτοι γε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στήσαντος. «Καίτοι γε, ὦ Ἀντίπατρε, τῶν ἀδελφῶν μηνυτής τε ὧν τολμήσειαν αὐτὸς ἦς, καὶ ἐρευνητὴς τῶν ἐλέγχων καὶ κολαστὴς τῶν πεφωραμένων. Καὶ οὐ τοῦ ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ ἐλλείποντος, ἀλλὰ τοῦ μιμεῖσθαι τὴν ἀσέλγειαν αὐτῶν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κἀκεῖνα οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρὸς, ἀλλ' ἐπ' ὀλέθρῳ τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος, ἀδεεστέραν ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν· ὃ δὴ καὶ τοῖς ἔργοις παρέστησας. Ἅμα δὲ καὶ τοὺς ἀδελφοὺς ἀνῄρεις, ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φανερὸν τοῖς πᾶσι καθιστὰς, ὡς καὶ συνθήκην πρὸς αὐτοὺς κατὰ τοῦ πατρὸς ποιησάμενος, ἐπανείλου κατηγορεῖν, βουλόμενος σοὶ τὴν ἐπιβουλὴν τῆς πατροκτονίας κερδαίνεσθαι κατὰ μόνας, καὶ δυοῖν ἀγώνοιν εὐφροσύνην καρπούμενος, τρόπου τοῦ σοῦ ἀξίαν, φανεροῦ μὲν τοῦ κατὰ τῶν ἀδελφῶν, ᾧ καὶ ἠγάλλου ὡς ἐπὶ τοῖς μεγίστοις, καὶ ἦν ἄξιον οὕτω φρονεῖν, εἰ δὲ μή γε, σὺ χείρων ἦς κρύπτειν δόλον κατὰ τοῦ πατρὸς συντιθεὶς, ἐκείνους μὲν οὐχ ὡς τῷ πατρὶ ἐπιβεβουλευκότας μισῶν (οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς ἐπὶ πρᾶξιν παραπλησίαν), ἀλλ' ὡς διαδόχους τῆς ἡγεμονίας σου δικαιότερον ἂν γενομένους· τὸν δὲ πατέρα ἐπισφάζειν τοῖς ἀδελφοῖς *, ἵνα θᾶσσον ὡς ἐκείνων ἐπικαταψεύσαιο μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας παρασχεῖν ἄξιος γένοιο, ταύτην παρὰ τοῦ δυστυχοῦς εἰσπράξαιο πατρὸς, ἐπινοῶν πατροκτονίαν οὐ κοινὴν, ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος· οὐχ υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι καὶ εὐεργετηκότι, κοινωνὸς τῆς βασιλείας ὢν τοῖς ἔργοις καὶ διάδοχος προφανθεὶς, καὶ τὴν μὲν ἡδονὴν τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεχωλυμένος, ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμμασι προησφαλισμένος· ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες τῇ ἑαυτοῦ, βουλόμενος

eum rogasset rex, ut reliqua adderet, quæ pertinerent ad criminum probationem, persequebatur....

5. Nicolaus accusationem a rege cœptam atrocius persequens, argumenta omnia ad eam firmandam, quæ ex quæstionibus aut testium fide haberi poterant, densavit. Inprimis vero regis virtutem prædicabat, et merita in bene educandis instituendisque liberis, quorum ille non modo fructum perciperet nullum, sed inde in alias ex aliis incideret calamitates. Neque tamen adeo se mirari priorum filiorum temeritatem: fuisse enim juvenes, et a malis consultoribus corruptos, ut majori quam oporteret fruendi imperii festinatione a naturæ legibus desciscerent. At Antipatri stupendum plane scelus, quem tot patris merita non flexerint, venenati in morem animantis, nisi quod hujus quoque generis aliquid creditur beneficiis emolliri; nec fratrum miseranda exempla absterruerint, quo minus eos imitaretur obfirmato in duritatem animo. Atqui tu ipse, inquit, Antipater, index fuisti facinoris fratrum, tu argumenta suppeditasti, tu in convictos ut animadverteretur fecisti. Nec id culpamus, quod in illis iram satiasti: sed hoc miramur, te tam subito æmulatum ipsorum improbitatem: et hinc discimus, quæ fecisti antea, in iis propositam fuisse non salutem patris, sed fratrum perniciem, dum insectando scilicet ipsorum malitiam id consecutus, ut patris amans filius crederereris, majores inde vires et audaciam ad scelus aggrediendum sumeres. Docet hoc res ipsa. Fratres sustulisti ob ea quæ admiserant: conscios atque adjutores eorum non dedidisti, ut facile appareat, te tacito cum his fœdere inito accusationem aggressum, nimirum, ut solus parricidii compos fieres, et duplicem, sed utramque tuo dignam ingenio perciperes voluptatem: palam quidem confectis fratribus, quo nomine, tanquam rem præclare gessisses, ultro gloriaris, nec injuria; sin minus, tu illis pejores, qui clam patris vitæ insidiatus es, illos, non quod non patri moliti essent necem, odio habens (nam id si esset, non te obligasses eodem crimine), sed quod regni heredes essent justiores. Patrem autem interficere voluisti, scilicet fratribus superadditum, ut periculum effugeres, ne, quæ in eos calumniatus es, detegerentur, et quæ tu meritus eras supplicia, ea de infelici patre exigeres: repertor non vulgaris parricidii, sed quale hactenus ignorat hominum vita. Non enim tantum patri filius insidiatus es, sed et amanti te, beneficiis ab eo affectus, re ipsa jam particeps regni et successor designatus: ita ut voluptatem imperii re ipsa jam perciperes, et spem plenæ possessionis certissimam haberes, conscripta patris voluntate. At tu non Herodis bonitate, sed pravitate ingenii tui res metiebaris, hoc agens, ut patri indulgentissimo par-

τοῦ πάντων σοι ὑπακούσαντος πατρὸς καὶ τὸ μέρος ἀφαιρεῖσθαι· καὶ ὃν προσεποίου τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν, καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ τὴν μητέρα ὧν ἐπενόεις πιμπλὰς, καὶ στασιοποιῶν τὴν εὔνοιαν τοῖς ἀδελφοῖς, καὶ τολμῶν θηρίον ἀποκαλεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν διάνοιαν κατεσκευασμένος, ἢ τὸν ἐκεῖνον ἰὸν ἐπὶ τοὺς συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας παρεκάλεις ἐπὶ συμμαχίαις φυλάκων, καὶ τέχναις ἀνδρῶν καὶ γυναικῶν φρασσόμενος κατὰ τοῦ γέροντος, ὥσπερ οὐκ ἀρκούσης τοῦ τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν παραστῆσαι. Καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευθέρων, οἰκετῶν, ἀνδράσι καὶ γυναιξὶ διὰ σὲ γεγονυίας, μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύδων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετηκὼς ἐκ τοῦ ἀνθρωπείου βίου, ἀλλ' ἤδη καὶ νόμον κατὰ σοῦ γεγραμμένον, καὶ τὴν ἀρετὴν τοῦ Οὐάρου, καὶ τοῦ δικαίου τὴν φύσιν. Οὕτως ἄρα τῇ ἀναιδείᾳ πέποιθας, ὥστε καὶ βασανίζεσθαι ἀξιοῖς, καὶ ψευδεῖς λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσιν τοῦ ἠληθευκέναι, αἱ δὲ σαὶ βάσανοι δοκῶσι πισταί. Οὐ ῥύσῃ, Οὐάρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν; οὐδὲ ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν εὔνοιαν προσποιούμενον τοῦ πατρὸς, ἔνθα δὲ μέλλοι κατὰ μόνας ταχέως ἀποίσεσθαι τὴν βασιλείαν, πάντων αὐτῷ θανασιμώτατον ἀναφαινόμενον; γνοὺς ὅτι πατροκτονία κοινόν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ τοῦ βίου, πεφηνυῖα οὐδὲν ἧσσων ** ὡς τοῦ βεβουλευμένου, καὶ ὁ μὴ κολάζων ἀδικεῖ τὴν φύσιν. »

6. Προσετίθει δὲ ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁπόσα πρός τινας ἦν κουφολογίᾳ γυναικείῳ εἰρημένα, μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας, καὶ ὁπόσα μετὰ τῶν Φερώρα γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς, τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα· πολλὰ δὲ καὶ παντοῖα ἦν τὰ μὲν προητοιμασμένα, τὰ δὲ πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφηυρημένα.

tem quæ ei restabat de imperio auferres, et cujus conservator volueras dici, eum re ipsa conareris interficere : ac quasi non satis esset temet malum esse, matrem etiam tuis pessimis consiliis implevisti, et fratrum concordiam dissociasti. Atque patrem feram appellare ausus es, ipse pessimos serpentes exsuperans feritate animi, unde illud virus in proximos sanguine et tantorum tibi bonorum auctores in promptu esset, stipato satellitiis, armato astubus, nec virorum tantum sed etiam mulierum adversus senem, quasi tuus ille odio tam injusto insessus animus ad maleficia non sufficeret. Et nunc apparere hic audes, ut post tortos homines, liberos, servos, viros, feminas, tuam unius ob causam, post tot judicia eorum qui tecum conspiraverant, veritatem oppugnes : quasi, quod patrem rebus humanis voluisti eximere, parum sit, nisi insuper evertas legem in te scriptam, et Vari æquitatem et ipsam vim justitiæ. Itane tuæ confidis audaciæ et confidentiæ, ut etiam tormentis temetipsum subjici velis, dum prius habitis quæstionibus fidem detrahis, ut illi scilicet, qui patrem tuum salvum voluerunt, mendaces habeantur, illis vero credatur quæstionibus, quas tu rexisti? Quando regem liberabis, Vare, a consanguineorum injuriis? quando exstingues portentum illud hominis, eum dico, qui in fratrum perniciem patris amorem simulavit, ac deinde, quum solus brevi regno esset potiturus, fata ejus maxime omnium præcipitare voluit? Scis quippe parricidium communem in humanum genus universum esse injuriam, et naturæ pariter ac vitæ hominum infestum, nec ideo minus ** ut tantum modo cogitatum; et qui non punit, naturæ ipsi facit injuriam. »

6. Addidit super hæc Nicolaus quædam a matre Antipatri muliebri garrulitate effusa, consultos vates et sacra facta, quibus rex devoveretur; et quæ in Pheroræ uxores Antipater in vino atque amoris æstu proterve fecerat. Tum vero repetiit, quæ tormentis et testimoniis comperta erant : multa autem et varia erant partim ex præmeditatione indicata, partim ex tempore et subinde confirmari reperta.

95 a.

Idem XVII, 9,6 : Καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπὼν, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν, παύεται τοῦ λέγειν. Ἀνίσταται δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου καὶ ἔλεγεν, τὰ μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀνατιθεὶς μᾶλλον ἢ ἐξουσίᾳ τοῦ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας, οὐ μόνον τῷ καθ' αὑτοὺς ὑβρίζοντι εἶναι πονηροὺς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἀμυ-

Antipater talia locutus multisque e consanguineis ad ea quæ dixerat testimoniis suis firmanda adhibitis, finem dicendi fecit. Surrexit vero Nicolaus, qui Archelai causam egit, dixitque, illa quidem, quæ in templo facta, obstinatis potius eorum animis, qui passi sint, imputans quam Archelai potestati. Nam talia cœptantes non eo tantum injustos esse, quod innocentes vexent, sed etiam quod pacis et æqui amantes in ultionem impellant. Hos autem

95 a. Interfecto Antipatro, mox defunctus est Herodes, qui secundo, quod paullo ante mortem scripserat, testamento successorem regni constituerat Archelaum filium. Is antequam Romam proficisceretur, ut Cæsar testamentum patris auctoritate sua confirmaret, Judæorum seditionem compescuit. Scilicet quum postulatis eorum non obtemperatum esset, festi tempore seditiosos in fano cœtus habebant, adeoque se gerebant insolenter, ut vim vi Archelaus repel

ναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένους. Ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' Ἀρχελάου, τὸ δὲ ἀληθὲς εἰς Καίσαρα, φανερὸν εἶναι. Τοὺς γὰρ ὑϐριοῦντας, κωλύτας παραγενομένους καὶ ὑπ' Ἀρχελάου πεπομφότας, κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ Θεοῦ οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς Ἀρχέλαον, ἢ μίσει τοῦ ἀρετῇ δικαίου. Οἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων, οἵδε εἰσὶν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν. Ἀνετίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. Οὐ τῇ φύσει τοιούτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν ἂν δοκεῖν Ἀρχέλαον. Τοσήνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ὑϐριοῦντος εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς μὲν εὐεργέτην, συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. Τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως, καὶ κυριωτέρας εἶναι τῶν γεγραμμένων πρότερον, διὰ τὸ Καίσαρα δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων· μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕϐριν αὐτῶν, οἳ τῆς Ἡρώδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕϐριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. Οὔκουν Καίσαρά τε ἀνδρὸς ὑπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας, οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπασαν τὴν οἰκουμένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμοῦ ἔκστασιν κατακρίνειν ἀνδρὸς βασιλέως, υἱεῖ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτε ἁμαρτάνειν Ἡρώδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

7. Καὶ Νικόλαος μὲν τοιάδε διελθὼν, καταπαύει τὸν λόγον. Καῖσαρ δὲ Ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα φιλοφρόνως ἀνίστη φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας.

homines verbo quidem in Archelaum patrasse hostilia, re ipsa autem in Cæsarem, uti pateat. Constat enim (inquit), quos ad vim ac injuriam prohibendam Archelaus miserat, occisos ab illis neque Deum neque fas dierum sanctissimorum reverentibus. Etsi sunt, quorum non puduit Antipatrum suscipere tutelam, sive ut odio in Archelaum suo morem gereret, sive quod jus et æquum omne aversetur. Certe qui adoriuntur alios, nihilque mali suspicantes injuriis lacessunt, hi sunt, qui nolentes cogunt sui tuendi causa ad arma recurrere. Tum reliquorum omnium, quæ objecta fuerant, causam assignavit iis ipsis, qui consilio erant accusatoribus. Nihil enim esse quod non illorum instinctu factum jam in injuriæ *tanquam ab Archelao commissæ* accusationem producatur : unde color quæratur injuriæ, quod non ipsis factum sit suasoribus. Neque ea per se esse improba, sed in odium Archelai ita referri, ut improba videantur. Tanto illos agi studio lædendi cognatum hominem de ipsorum parente bene meritum et ipsos omnibus amicitiæ officiis prosecutum. Testamentum a patre factum bene mentis compote, et haud dubie posteriores tabulas potiores esse prioribus, eoque magis, quod Cæsari omnium, quæ in iis scripta sint, plenissimum arbitrium relinquatur. Non timendum, ne horum iniquitatem Cæsar imitetur, qui Herodis, ex cujus viventis potentia fructus plurimos ceperint, nunc mortui voluntatem oppugnent, idque satis sibi conscii, neutiquam se de Herode ita meritos, ut Archelaus fuerit. Non eum esse Cæsarem, qui viri amici, bellorum socii, qui in omnibus ex Cæsare pendere semper voluerit, rescindat testamentum suæ commissum fidei. Multum ab horum malignitate abfuturam Cæsaris virtutem ac fidem toti humano generi testatissimas, neque id in eum cadere, ut non sanæ mentis pronuntiet regem, qui primum filio bono hereditatem reliquerit, deinde in hoc ipsius Cæsaris fidem imploraverit. Quando testamentum condens Herodes ita sapuerit, ut Cæsaris arbitratui cuncta submitteret, in herede quidem eligendo desipere non potuisse.

Hæc fere quum oratione percurrisset Nicolaus, finem dicendi facit. Cæsar autem Archelaum, qui se ad pedes ejus abjecerat, comiter allevavit, regno dignissimum esse dicens.

96.

Joseph. A. J. XVII, 11, 3 : Τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος τούς τε βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν, διὰ τὸ παρ' ὃν ἔζη χρόνον

96.

Quum autem Judæi ejusmodi orationem habuissent, Nicolaus reges de criminibus purgavit, Herodem quidem, quod nulla de re ab illis accusatus fuerit quamdiu viveret,

lens ter mille Judæos occideret. Post hæc Romam profectus præter alios etiam Nicolaum nostrum secum abduxit (Joseph. XVII, 9, 3). Eodem autem tempore Romam venit Antipas, alius Herodis filius, qui quum primo testamento hæres designatus esset, consiliis cedens amicorum (inter quos Ptolemæus frater Nicolai), successionem regni surripere Archelao moliebatur. Re ad Cæsarem delata, contra Archelaum verba facit Antipater, filius Salmones, quæ soror Herodis erat. Exprobrat autem adversario tum alia complura, tum illud maxime, quod in Judæos scelus commisisset, et quod antequam licuisset Cæsaris venia, arbitratu suo res administrasset. His expositis subjungit Josephus quæ nostro fragmento leguntur.

96. In antecedentibus Josephus narravit quomodo Judæorum legati apud Cæsarem de Herodis et Archelai sævitia conquesti petiverint ut suis sibi legibus vivendi sub Romanorum tutela detur potestas.

ιυχεῖν ἀκατηγόρητον, οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις καὶ παρὰ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συντιθέναι, τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀντετίθει, οἳ ὀριγνώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ὑβρίζοντας προμηθουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν. Ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονὴν ἀπαιδευσίαν τε τοῦ ἕπεσθαι δίκῃ καὶ νόμοις, ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. Ταῦτα μὲν οὖν Νικόλαος.

neque fas esse ut qui apud æquos rerum judices accusare et de vivente pœnam sumere potuerint, mortuo accusationem conflarent; quæ vero ab Archelao acta essent, ad illorum improbitatem injuriasque referebat, qui quum res contra leges affectassent, et illorum cædes facere cœpissent, quibus curæ erat illos ab injuriis prohibere, nunc de injuriis vindicatis quererentur. Iisque objecit rerum novarum studium, quodque seditionibus delectarentur, ut qui justitiam colere legibusque parere nescirent, quod in omnibus vincere vellent. Et hæc quidem Nicolaus.

ΕΚ ΒΙΒΛΙΩΝ ΑΔΗΛΩΝ.

E LIBRIS INCERTIS.

97.

Josephus Ant. Jud. I, 3 : Ἡσίοδός τε καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος καὶ Ἀκουσίλαος καὶ πρὸς τούτοις Ἔφορος καὶ Νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. Eadem Syncell. p. 43, A.

Hesiodus, Hecatæus, Hellanicus, Acusilaus, nec non Ephorus ac Nicolaus veteres olim ad mille annos vitam produxisse aiunt.

98.

Bekker. Anecd. Gr. p. 367, 24 : Ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλεξις, ἀκολαστότατα δὲ Ἀριστοτέλης, καὶ ἀκολαστότερα Νικόλαος.

Ἀκολασία Thucydides dixit, ἀκολαστία vero Alexis, ἀκολαστότατα Aristoteles, et ἀκολαστότερα apud Nicolaum legitur.

ΒΙΟΣ ΚΑΙΣΑΡΟΣ.

VITA CÆSARIS.

99.

ΠΕΡΙ ΤΗΣ ΚΑΙΣΑΡΟΣ ΑΓΩΓΗΣ.

DE CÆSARIS INSTITUTIONE.

Exc. De virt. : Ὅτι εἰς τιμῆς ἀξίωσιν οὕτω (1) προσεῖπον οἱ ἄνθρωποι, ναοῖς τε καὶ θυσίαις γεραίρουσιν, ἀνά τε νήσους καὶ ἠπείρους διῃρημένοι, καὶ κατὰ πόλεις καὶ ἔθνη, τό τε μέγεθος αὐτοῦ τῆς ἀρετῆς καὶ τὴν εἰς σφᾶς εὐεργεσίαν ἀμειβόμενοι. Δυνάμεως γὰρ καὶ φρονήσεως εἰς τὰ πρῶτα ἀνελθὼν οὗτος ὁ ἀνὴρ, πλείστων μὲν ἦρξεν ἀνθρώπων τῶν διὰ μνήμης, μακροτάτους τε ὅρους ἐποιήσατο τῆς Ῥωμαίων δυναστείας, εἴς τε τὸ βεβαιότατον οὐ τὰ φῦλα μόνον καὶ Ἑλλήνων καὶ βαρβάρων, ἀλλὰ καὶ αὐτὰς τὰς διανοίας κατεστήσατο, τὸ μὲν πρῶτον σὺν ὅπλοις, μετὰ δὲ ταῦτα καὶ ἄνευ ὅπλων, ἐθελουσίους τε προσαγόμενος διὰ τὸ (2) μᾶλλον ἔτι ἔνδηλος γίνεσθαι τῇ φιλανθρωπίᾳ, ἔπεισεν ἑαυτοῦ ἀκροᾶσθαι, ὧν δὴ (3) πρότερον οὐδὲ ὀνόματα ἠπίσταντο οἱ ἄνθρωποι, οὐδέ τινος ὑπήκοοι ἐγένοντο διὰ μνήμης, ἡμερωσάμενος (4), ὁπόσοι ἐντὸς (5) Ῥήνου ποταμοῦ

Huic viro cognomen *Augusti* in honoris testimonium imposuerunt, templisque eum et sacrificiis venerantur per insulas continentesque dispersi populi atque civitates, ut et virtutes ipsius maximas et collata in se beneficia rependant. Hic enim ille est, qui ad summum tam prudentiæ quam potentiæ culmen evectus, omnium quos memoria complectitur hominum latissime regnavit et longissimis terminis Romanum sepsit imperium, ac firmissime Græcorum barbarorumque non populos tantum sed animos etiam sibi adjunxit, primum quidem armis, mox vero etiam nulla usus vi, sed volentes lubentesque ad se pelliciens, quum humanitate magis etiam quam viribus inclaruisset, vel iis obsequium persuasit, quorum antea ne nomina quidem noveramus, quique nullius unquam per hominum memoriam imperio subditi fuerant : nam quot populi trans Rhenum

99. *Cod. Tur. fol.* 160, 1 *r.* — 162, 32 *r.* — I, 1. οὕτω] sc. Σεβαστόν. V. Sueton. Octav. 7; Dio Cass. LIII, 16. 18; Oros. VI, 20; Censorin. D. N. 21; Ovid. Fast. I, 587; Calend. Prænest. ap. Orell. Inscr. II, p. 346. 382; Feriale Cumanum in Museo Rhenan. tom. IV, p. 630; Monum. Ancyr. col. 18. — 2. διὰ τὸ μᾶλλον ἔτι] διὰ μᾶλλόν τι codex. Articulum addidit Valesius; τι in ἔτι mutarunt Orellius et Corayus, qui ita dedit : προσαγόμενος διὰ δὲ τὸ μᾶλλον ἔτι κτλ. Pro ἔνδηλος fortasse ἔκδηλος fuisse idem suspicatur Corayus. — 3. δὴ] Coray., δὲ codex. — 4. ἡμερωσάμενος]

κατοικοῦσιν, ὑπέρ τε τὸν Ἰόνιον πόντον καὶ τὰ Ἰλλυριῶν γένη· Παννονίους αὐτοὺς καὶ Δάκας (6) καλοῦσιν. Ζήτει ἐν τῷ Περὶ ἀνδραγαθημάτων.

II. Περὶ δὴ τούτου τοῦ ἀνδρὸς φρονήσεώς τε καὶ ἀρετῆς ἰσχὺν δεῖξαι ὁπόσον δύναται, τὰ μὲν ἐκ τῆς πολιτείας ἥντινα ἐν τῇ πατρίδι ἐπολιτεύσατο, τὰ δὲ (1) κατὰ στρατηγίας μεγάλων πολέμων ἐγχωρίων τε καὶ ἀλλοεθνῶν, ἀγώνισμα μὲν ἀνθρώποις πρόκειται λέγειν καὶ γράφειν, ὡς ἂν εὐδοκιμοῖεν (2) ἐν καλοῖς ἔργοις. Καὐτὸς δ' ἀφηγήσομαι τὰ πεπραγμένα, ἐξ ὧν οἷόν τε γνῶναι σύμπασι τὴν ἀλήθειαν. Πρότερον δ' αὐτοῦ τό τε γένος διέξειμι καὶ τὴν φύσιν, τούς τε γεννητάς, ἀφ' ὧν ἦν, τήν τ' (3) ἐκ νηπίου τροφήν τε καὶ παίδευσιν, ᾗ χρησάμενος τοσόσδε ἐγένετο. Πατὴρ μὲν οὖν ἦν αὐτῷ Γάϊος Ὀκταούϊος, ἀνὴρ τῶν ἐκ τῆς συγκλήτου. Οἱ δ' αὐτοῦ πρόγονοι, κατά τε πλοῦτον καὶ ἐπιείκειαν ὀνομαστότατοι γενόμενοι (4), ὀρφανῷ ὄντι ἐκείνῳ τὰ χρήματα ἐλίποντο· [οἱ] καταστάντες δ' ἐπίτροποι ταῦτα διεφόρησαν· ὁ δὲ τῶν πρὸς αὐτοὺς δικαίων ἀποστάς, τοῖς περιλειφθεῖσιν ἤρκεῖτο.

III. Ὅτι Καῖσαρ περὶ ἐννέα ἔτη μάλιστα γεγονώς, θαῦμά τε οὐ μικρὸν παρέσχε Ῥωμαίοις, φύσεως ἀκρότητα δηλώσας ἐν τοιᾷδε ἡλικίᾳ, καὶ τοῖς ἀνδράσι πολὺς ἐγγίνεται θόρυβος ἐν πολλῷ ὁμίλῳ δημηγοροῦντι (1). Ἀποθανούσης δ' αὐτῷ τῆς τηθῆς, παρὰ τῇ μητρὶ ἐτρέφετο Ἀντίᾳ, καὶ τῷ ταύτης ἀνδρὶ Φιλίππῳ Λευκίῳ, ὃς ἦν ἀπόγονος τῶν τὸν Μακεδόνα Φίλιππον κεχειρωμένων (2). Παρὰ δὴ τῷ Φιλίππῳ ὁ Καῖσαρ, ὡς παρὰ πατρί, τρεφόμενος πολλὴν ὑπέφαινεν ἐλπίδα, ἤδη τε (3) ἀξιότιμος καὶ τοῖς ἥλιξιν ἐφαίνετο τοῖς εὐγενεστάτοις παισί· καὶ συνήεσαν πρὸς αὐτὸν παμπληθεῖς, οὐκ ὀλίγοι δὲ καὶ τῶν νεανίσκων, οἷς τὸ πράττειν δι' ἐλπίδος ἦν. Προὔπεμπον δὲ αὐτὸν πάμπολλοι ὁσημέραι καὶ μειρακίσκοι καὶ ἄνδρες καὶ ἥλικες παῖδες, εἴτε ἐφ'

habitant et supra mare Ionium, et Illyricæ originis gentes, quos Pannonios et Dacas vocant, omnes pacavit. *Quære in Excerptis de rebus fortiter gestis.*

II. Hic vir quantum præstiterit virtute et prudentia, quæ quum domi in administratione reipublicæ tum foris in difficillimis bellis et civilibus et externis eluxit, dictis scriptisque prosequi materia ingeniis proposita est eorum, qui celebrando præclara facta ipsi gloriam sibi parare cupiant. Ego vero res ejus gestas ita enarrabo, ut verum omnibus pateat. Primum igitur de genere ejus atque indole dicam, qui ejus parentes ac quæ a prima ætate fuerit institutio, cujus beneficio tantus postmodum vir evasit. Pater ei Octavius senatorii fuit ordinis, cui quum majores et opibus et æquitate nobiles impuberi adhuc rem reliquissent, et eam tutores dissipassent, ipse jus suum illis remittens, residuis contentus vixit.

III. Annum ætatis circiter nonum agens Cæsar haud mediocri admirationi fuit Romanis, quippe qui in tantilla ætate egregiæ indolis specimina ederet, ita ut et ab adultæ ætatis viris orationem habens ad multitudinem maximo applausu acciperetur. Porro mortua avia (Julia) educatus est apud Atiam matrem et L. Philippum vitricum: qui quidem originem ab iis ducebat, qui Philippum Macedonem superaverant. Apud hunc velut alterum patrem educatus Cæsar maximam spem ostendebat, jamque tum ab æqualibus suis, pueris nobilissimis, colebatur. Adjungebant se ei plurimi, inter quos et adolescentes non pauci, quibus capessendæ propediem reipublicæ spes erat, ac quotidie maxima frequentia juvenum ac virorum et æqualium puerorum deducebatur, sive equitatum extra urbem prodiret,

In codice hæc vox legitur post ἄνθρωποι. Transposuerunt eam Valesius et Corayus. — 5. ἐντὸς] Vales.; ἐν τοῖς codex. — 6. Δάκας] Meminit hujus loci Bernhardyus ad Dionys. Perieg. 305, p. 593, de ratione disputans, qua Dacas a Getis Romani distinxerint.

II, 1. δὲ] omis. codex. — 2. εὐδοκιμοῖεν] e conj. Corayi; εὐδοκιμεῖν codex. — 3. τ'] om. codex. — 4. Cf. Sueton. Octav. c. 3: *C. Octavius a principio ætatis et re et existimatione magna fuit... Amplis innutritus opibus, honores et adeptus est facile et egregie administravit.* Quæ de tutoribus ejus n. l. leguntur, aliunde non nota sunt. Articulum οἱ ante καταστάντες addidit Corayus.

III, 1. δημηγοροῦντι] « Intelligit sine dubio orationem funebrem, quam Augustus vixdum decennis habuit in rostris de laudibus aviæ Juliæ; de qua re sic Suetonius Octav. 8: *Quadrimus patrem amisit, duodecimum annum agens aviam Juliam defunctam pro concione laudavit.* Lege *decimum annum agens* ex Damasceno nostro. Sic Tiberius novem natus annos defunctum patrem pro rostris laudavit, teste Suetonio. » Valesius. Ego Suetonii loco nihil mutandum esse censeo. Nam primum cum eo facit Quinctilianus XII, 6, 1: *Cæsar Augustus duodecim natus annos aviam pro rostris laudavit.* Deinde satis sibi constat Suetonius pergens hunc in modum: *Quadriennio post, toga virili sumpta* (an. 49 a. C.), *militaribus donis triumpho Cæsaris Africano* (an 46 a. C.) *donatus est, quamquam expers belli propter ætatem* (cf. Nicol. c. 6). Anno vero 46 a. C. Octavius (natus die 23 Septembr. 63 a. C.) annos sedecim natus erat, adeo ut orationem habuisse debeat annos natus duodecim. Igitur si funebrem istam orationem Nicolaus quoque intellexit, quod addubitari vix potest, de anno quo defuncta sit Julia, aliter statuit aut adulandi causa sciens verum ignorare voluit, aut, quod malim, legendum: περὶ ἕνδεκα. — 2. « An potius Περσέα scribendum est? Etenim Q. Marcius L. F. Philippus bellum gessit cum Perseo Macedonum rege, et facilem victoriam Æmilio Paullo successori tradidit. » Valesius. At eundem Marcium Philippum jam Philippi regis temporibus in Macedoniam legatum esse constat ex Livio XXXIX, 48. XL, 2. 3. De nostro Philippo (L. Marcio L. f., Q. n., Philippo), qui Attiam viduam uxorem duxit, v. Dio XLV, 1; Vellejus II, 59, 3; Cicero Philipp. III, 6, 17; Appian. B. C. III, 10. 13; Plutarch. Cic. 44. Ovid. Fast. VI, 807. Pro *Atia* in Nicolai excerptis constanter scribitur Ἀντία, uno excepto loco, ubi: Ἀτία. — 3. τε] deest in cod.; addidit Valesius. Fort. fuit καὶ δή. — 4. προήει] Coray.; ἄστεως προσήει codex.

ἱππασίαν ἔξω τοῦ ἄστεος προΐει (4), εἴτε παρὰ συγγενεῖς ἢ ἄλλους τινάς. Ἤσκει γὰρ καὶ τὴν ψυχὴν τοῖς καλλίστοις ἐπιτηδεύμασι, καὶ τὸ σῶμα ταῖς γενναίαις καὶ πολεμικαῖς μελέταις, καὶ τῶν διδασκόντων θᾶττον αὐτὸς τὴν μάθησιν ἐπὶ τῶν ἔργων ἀπεδείκνυτο, ὥστε ἀπὸ τοῦδε καὶ ἐν τῇ πατρίδι πολὺν ζῆλον ἐνέγκασθαι. Ἐφεστήκει δὲ αὐτῷ καὶ ἡ μήτηρ, καὶ ὁ ταύτης ἀνὴρ Φίλιππος, ἀνὰ πᾶσαν ἡμέραν πυνθανόμενοι παρὰ τῶν διδασκάλων τε καὶ ἐπιμελητῶν, οὓς παρακατέστησαν τῷ παιδὶ, ὅ τι πράξειε, καὶ ὅποι πορευθείη, ἢ ὅπως διημερεύσειε, τάς τε διατριβὰς μεθ' ὧν ποιήσαιτο.

IV. Ἐν δὲ τῷ κατασχόντι ταράχῳ τὴν πόλιν ὑπεκπέμπει ἥ τε μήτηρ Ἀντία καὶ Φίλιππος Καίσαρα εἴς τι τῶν πατρῴων χωρίων. Κατέβαινε δὲ εἰς τὴν ἀγορὰν περὶ ἔτη μάλιστα γεγονὼς τεσσαρεσκαίδεκα, ὥστε ἀποθέσθαι μὲν αὐτὸν ἤδη τὴν περιπόρφυρον ἐσθῆτα, ἀναλαβεῖν δὲ τὴν καθαρὰν, σύμβολον οὖσαν τῆς εἰς ἄνδρας ἐγγραφῆς (1). Περιβλεπόμενος δ' ὑπὸ παντὸς τοῦ δήμου διά τε εὐπρέπειαν (2) καὶ λαμπρότητα εὐγενείας, ἔθυε τοῖς θεοῖς, καὶ ἐνεγράφη εἰς τὴν ἱερωσύνην εἰς τὸν Λευκίου Δομιτίου τόπον τετελευτηκότος (3). Καὶ ὁ δῆμος μάλα προθύμως ἐχειροτόνησε. Καὶ ὁ μὲν ἅμα τῇ μεταλλαγῇ τῆς ἐσθῆτος καὶ τῇ καλλίστῃ τιμῇ κοσμηθεὶς ἔθυε. Καίπερ δὲ κατὰ νόμον εἰς ἄνδρας ἐγγεγραμμένον, διεκώλυεν ἡ μήτηρ ἔξω τῆς αὐλείου (4) θύρας χωρεῖν, πλὴν ὅπῃ καὶ πρότερον, ὅτε παῖς ἦν, ἐφοίτα, δίαιτάν τε τὴν αὐτὴν ἔχειν ἐπηνάγκαζε, κοιτάζεσθαί τε ἔνθα καὶ πρότερον ἐν τῷ αὐτῷ δωματίῳ. Νόμῳ τε μόνον ἀνὴρ ἦν, τὰ δ' ἄλλα παιδικῶς ἐπεστατεῖτο. Τῆς δὲ ἐσθῆτος οὐδοτιοῦν ἐξήλλαξεν, ἀλλ' ἀεὶ τὴν πάτριον ἀμπείχετο (5).

V. Ἐφοίτα δὲ καὶ εἰς τὰ ἱερὰ ἐν ταῖς νομίμοις ἡμέραις νύκτωρ διὰ τὴν προσοῦσαν αὐτῷ ὥραν, ἅτε δὴ καὶ (1) πολλὰς γυναῖκας ἐκμήνας εὐπρεπείᾳ καὶ λαμπρότητι γένους. Ἐπιβουλευόμενος δὲ παρ' αὐτῶν, οὐδαμῇ ἐφαίνετο ἁλωτὸς ὤν· ἀλλὰ τὰ μὲν ἡ μήτηρ ἀπήρυκεν αὐτοῦ φυλάττουσα καὶ οὐδαμόσε μεθιεῖσα, τὰ δὲ καὶ αὐτὸς ἤδη ἔννους ὤν, ἅτε εἰς τοὔμπροσθεν τῆς ἡλικίας προϊὼν (2). Ἐνστάσης δέ τινος ἑορτῆς Λατίνης, ὁπότε καὶ τοὺς ὑπάτους εἰς Ἄλβαν (3) τὸ ὄρος ἀναβαίνειν ἔδει, πατρίου θυσίας ἕνεκα, τοὺς δ' ἱερεῖς διαδόχους αὐτῶν τῆς δικαιοδοσίας εἶναι, καθίζει ἐπὶ τὸ βῆμα Καί-

sive ad propinquos aut alios quos viseret. Nam animum quidem optimis artibus, corpus vero generosis ac militaribus exercitationibus instruebat; et quæ didicerat facilius quam docentes ipsi in rem conferebat; quod vel maxime civitati eum admirabilem fecit. Enimvero eum sollicite observabat mater Attia cum Philippo vitrico; quotidie a magistris et custodibus, quos puero apposuerant, inquirentes studiose, quid rei egisset, quo esset profectus, qua ratione diem transegisset, quibuscum denique esset versatus.

IV. Post hæc bello civili urbem turbante in villam paternam subductus est a parentibus. Inde annos circiter quattuordecim natus in forum descendit, posita prætexta togam puram indutus, quod virilis tirocinii argumentum est; omniumque civium oculis in eum defixis, ob oris speciem atque generis nobilissimi splendorem diis sacrificavit : et in collegium pontificum adscriptus est in locum L. Domitii (*Ahenobarbi*), qui e vivis abierat : quod quidem populus suis suffragiis libentissime jussit. Ita simul cum virili toga maximo sacerdotio ornatus, diis sacra faciebat. Ceterum tametsi inter tirones relatus esset ex more ac legibus Romanorum, nihilominus mater ex vestibulo eum progredi vetabat, nisi quo antea prætextatus ventitare consueverat, eodemque cultu illum habebat, et in eodem quo prius cubiculo cubare cogebat, prorsus legibus duntaxat tiro, cetera prætextati instar arctius habebatur. Vestitum porro nunquam mutavit, sed perpetuo patria veste amictus fuit.

V. Legitimis diebus templa deorum adibat sed noctu, quum formæ decore ac splendore generis plurimas mulieres in amorem sui raperet; sæpe vero ab iis tentatus nullis unquam artibus cessit; sed partim matris sollicitudo, quæ eum custodiebat, neque evagari sinebat longius, partim ipse semet sua prudentia muniebat, quippe qui ætate in dies progrederetur. Porro quum Latinæ feriæ adessent (quibus consules sacrificii patrii causa in montem Albanum egredi mos est, jurisdictione interim sacerdotibus mandata,) Cæsar medio in foro posita curuli sella consedit. Quem quidem

IV. 1. Togam virilem sumpsit Augustus die 18 Octobr. an. 706 a. u., 48 a. C. (teste Feriali Cumano lin. 5.) paullo post pugnam Pharsalicam. Igitur natus tum erat Octavius annos quindecim. — 2. εὐπρέπειαν] e conj. Corayi; διά τε εὐγένειαν καὶ λ. εὐγενείας codex. — 3. Intellige L. Domitium, C. f., Ahenobarbum, qui in pugna Pharsalica cecidit. V. Sueton. Nero 3; Cicero Phill. II, 11. 27. 29. V, 17; Vellejus II, 59, 3 : *Pontificatusque sacerdotio puerum honoravit* (*Cæsar*). Ad sequentia : ὁ δῆμος... ἐχειροτόνησε v. Sueton. l. l. de jure sacerdotum creandorum a collegis ad populum translato. — 4. αὐλαίου] αἰλίου cod.; mox παῖς ὢν et νέμων pro νόμῳ codex; correxit Valesius. — 5. τὴν πάτριον] « Percrebuerat hic mos ætate Ciceronis, ut nobiles adolescentes, atque etiam senatores in hortis ac suburbanis externo uterentur cultu, ac pallium cum crepidis et mitella sumerent. Verba Ciceronis sunt in oratione pro Rabirio Posthumo : *Deliciarum causa et voluptatis non modo cives Romanos, sed et nobiles adolescentes et quosdam etiam senatores summo loco natos, non in hortis et suburbanis suis, sed Neapoli in celeberrimo oppido cum mitella sæpe videmus*, etc. Cf. Gellius N. A. XIII, 20. » VALESIUS.

V. 1. ἅτε δὴ] e conj. Corayi. Codex : ὥραν ἀντηδὲ καὶ πολλ. γ. ἐκμείνασα εὐπρ. Vocem καὶ, quam ejecit Coray., retinui. Aliorum conatus, quos Orellius affert, lubens omitto. — 2. προϊὼν] sic codex, non προσιών, quod Valesius dedit. — 3. Ἄλβαν] Ἀλβανόν edidit Valesius correcturus.

ναρ ἐν μέσῃ ἀγορᾷ. Προσῄεσαν δ' ἄπλετοι ἄνθρωποι δικαιοδοσίας χάριν, πολλοὶ δὲ καὶ μηδενὸς πράγματος χάριν, θεωρίας ἕνεκα τοῦ παιδός· ἀξιοθέατος γὰρ πᾶσιν ἦν, καὶ μάλιστα ἐν τῷ τότε σεμνότητα καὶ ἀξίωμα προσειληφώς.

VI. Καίσαρος δὲ ἤδη κεχειρωμένου μὲν τοὺς ἐν τῇ Εὐρώπῃ πολέμους (1), νενικηκότος δὲ καὶ περὶ Μακεδονίαν Πομπήϊον, ᾑρηκότος δ' Αἴγυπτον, ἐπαναπερῶντος δ' ἔκ τε Συρίας καὶ τοῦ Εὐξείνου πόντου, μέλλοντος δ' ἐπὶ Λιβύης χωρεῖν, ὡς τὰ λειπόμενα τοῦ ἐκεῖ μεταστάντος (2) πολέμου καθέλοι, βουλόμενος συστρατεύειν αὐτῷ ὁ νέος Καῖσαρ, ὡς καὶ πολεμικῶν (3) ἔργων ἔμπειρος εἴη, ἐπεὶ ᾔσθετο ἐναντιουμένην Ἀντίαν τὴν μητέρα, οὐδὲν ἀντειπὼν ἠρέμα εἶχε. Δῆλος δ' ἦν καὶ ὁ πρεσβύτερος Καῖσαρ ὑπ' εὐνοίας οὐδέπω βουλόμενος αὐτὸν στρατεύεσθαι, ὡς μή, τήν τε δίαιταν ἐν ἀσθενεῖ σώματι μεταβαλὼν καὶ ὅλην ἕξιν φαύλως διατεθείη. Διὰ μὲν δὴ ταῦτα τῆς στρατείας (4) παρελύετο.

VII. Ἐπεὶ δὲ κἀκεῖνον τὸν πόλεμον κατεργασάμενος Καῖσαρ ἐπανῆλθεν εἰς Ῥώμην, σφόδρα ὀλίγοις τῶν ὑποπεσόντων αἰχμαλώτων συγγνούς, διὰ τὸ τοῖς προτέροις αὐτοὺς μὴ σεσωφρονῆσθαι πολέμοις, συνηνέχθη τοιόνδε. Ἦν εἰς τὰ μάλιστα Καίσαρι τῷ νέῳ συνήθης καὶ φίλος Ἀγρίππας, ἐν ταὐτῷ τε παιδευθείς, καί τινα ἔχων ὑπερβολὴν ἑταιρείας. Τούτου ἀδελφὸς Κάτωνι συνῆν, κατά τε φιλίαν σπουδαζόμενος, καὶ τοῦ Λιβυκοῦ πολέμου κεκοινωνηκώς, τότε δ' αἰχμάλωτος ᾑρημένος. Τοῦτον, οὐδέν πω (1) πρότερον αἰτήσας Καίσαρα, ἐβούλετο μὲν ἐξαιτεῖσθαι, ὑπὸ δὲ αἰδοῦς ὤκνει, καὶ ἅμα ὁρῶν αὐτόν, ὡς διέκειτο πρὸς τοὺς ἐν ἐκείνῳ τῷ πολέμῳ ἑαλωκότας. Θαρρήσας δ' οὖν ποτέ, ᾔτησε καὶ ἔτυχεν. Ἐφ' οἷς περιχαρὴς ἦν τῷ αὑτοῦ φίλῳ τὸν ἀδελφὸν ἀνασεσωκώς· ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τῶν ἄλλων, εἰς οὐδὲν πρότερον (2) καταθέμενος τὴν αὑτοῦ σπουδὴν καὶ ἔντευξιν ἢ εἰς φίλου σωτηρίαν.

VIII. Ἐκ τούτου τὰς θριαμβικὰς ἦγε πομπὰς Καῖσαρ τοῦ κατὰ Λιβύην πολέμου, τῶν τε ἄλλων, οὓς ἐπολέμησε. Καὶ τὸν νέον Καίσαρα, υἱὸν ἤδη πεποιημένος (1), ὄντα δὲ τρόπον τινὰ καὶ φύσει διὰ τὸ ἐγγυτάτω τοῦ γένους εἶναι, ἐκέλευσε τῷ ἑαυτοῦ ἅρματι ἕπεσθαι, κόσμοις αὐτὸν στρατηγικοῖς ἀσκήσας, ὡς ἂν αὐτοῦ σύσκηνον ἐν πολέμῳ γεγονότα. Ὁμοίως δὲ καὶ ἐν ταῖς θυσίαις, καὶ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις ἐγγύτατα ἵστη, τούς τε ἄλλους εἴκειν προσέταττεν αὐτῷ. Καὶ ὁ μὲν ἤδη τὰς αὐτοκρατορικὰς ἐφέρετο τιμάς, αἳ δὴ μέγισται κατὰ τὸν Ῥωμαίων νόμον ἦσαν, καὶ ζηλωτὸς ἐν τῇ πατρίδι ἦν. Συνὼν δὲ ὁ παῖς αὐτῷ καὶ ἐν

plurimi jurisdictionis causa adierunt, multi causa duntaxat spectandi adolescentis confluxere, quippe omnium in se oculos convertebat, maxime eo in tempore, quum majestatem ac dignitatem quandam sibi adscivisset.

VI. Ceterum quum C. Julius Cæsar Europæa bella jam confecisset, ac Pompeium in Macedonia superasset, Ægyptoque esset potitus, tandemque ex Syria et Euxino reversus ponto trajicere in Africam pararet, ut reliquum belli in eam partem translati conficeret: Octavius, qui avunculum in eo bello comitari cupiebat, quo usum rei militaris colligeret, postquam Attiam matrem ab eo consilio abhorrere sensit, tum quidem quievit. Nam Cæsar quoque avunculus ut ejus amantissimus, nondum illum proficisci ad bellum velle videbatur, ne adolescens corpore infirmo, mutata repente ratione victus, morbum contraheret. His igitur causis expeditioni minime interfuit.

VII. Verum confecto hoc quoque bello quum Cæsar Romam rediisset atque ex captivis paucissimos venia prosequeretur, eo quod prioribus bellis minime admoniti fuissent, hujusmodi quid tum temporis evenit. Erat Agrippa singulari amicitia ac præcipua quadam sodalitate cum Octavio conjunctissimus, quippe qui a puero simul educatus fuisset. Hujus frater M. Catoni acceptissimus ac bello Africo comes, tunc inter captivos erat. Cui Octavius veniam quidem impetrare cupiebat, sed quum præ pudore (nondum enim ab avunculo quidquam petierat), tum etiam gnarus, quam infenso animo in cives eo bello captos esset Cæsar, identidem cunctabatur. Tandem vero, quum se ipse confirmasset, petiit et obtinuit; qua quidem re magnopere lætabatur, quod amico fratrem restituisset. Sed a ceteris quoque non mediocriter laudabatur, eo quod gratia atque ambitione sua primum ad salutem amici esset usus.

VIII. Exinde Cæsar ex bello Africo ac ceteris a se confectis bellis triumphum egit, et Octavium, quem sibi filium adoptaverat, quum ob cognationis vinculum pæne natura esset filius, currum suum prosequi jussit, ornatum donis militaribus, ac si in eo bello contubernalem habuisset. Pariterque in sacrificiis et quoties deorum templa adibat, juxta se proximum collocabat, utque ceteri ei concederent jubebat. Et jam C. Cæsar imperatoriis insignibus ornatus, qui honos Romæ maximus habetur, summo in honore apud cives erat. Ceterum Octavius, et in theatro et

VI, 1. πολέμους] fuisse videtur πολεμίους, monente Corayo et Bremio. — 2. μεταστάντος] sic codex, non καταστάντος ut editt. — 3. πολεμικῶν] editt., πολεμίων codex. — 4. στρατείας] Coray., στρατιᾶς codex.

VII, 1. οὐδέν πω] Coray., οὐδέπω codex. — 2. Post πρότερον in codice vacuum duodecim fere literarum spatium, at non lacunam, sed literas erasas indicans.

VIII, 1. Testamentum, quo Cæsar Octavium adoptavit, scriptum est die 13 Septembr. an. 709, teste Sueton. Cæs. 83. Tum vero jam peregerat Cæsar bellum Hispanicum, ad quod profectum esse Nicolaus decimo demum capite narrat. Aut igitur verba υἱὸν ἤδη πεποιημένος mutanda in υἱὸν ἤδη ποιησόμενος, aut excidit ἐν τῇ ἑαυτοῦ γνώμῃ vel tale quid. Hoc etiam suadent quæ infra cap. 13 leguntur, ubi de Cæsare ex Hispania reduce loquens Nicolaus ait : Ἔγνω

τοῖς θεάτροις (2) καὶ ἐν πότοις, ὁρῶν τε φιλανθρώπως ἑαυτῷ διαλεγόμενον οἷα τέκνῳ, καὶ μικρὸν ὅσον ἤδη τεθαρρηκὼς, πολλῶν αὐτοῦ δεομένων καὶ φίλων καὶ πολιτῶν αἰτεῖσθαι σφίσι παρὰ Καίσαρος, ὧν ἕκαστοι ἐν χρείᾳ ἦσαν, ἐπιτηρῶν εὐκαιρίας μετὰ πάσης αἰδοῦς ᾐτεῖτό τε καὶ κατώρθου, πλείστου τε ἄξιος πολλοῖς τῶν ἀναγκαίων ἐγένετο, φυλαττόμενος τὸ μήτε ἀκαίρως παρακαλεῖν, μήτ' ἐκείνῳ προσάντως (3). Καὶ ὁ μὲν οὐκ ὀλίγα ζώπυρα καὶ φιλανθρωπίας ἅμα καὶ φρονήσεως φυσικῆς ἀπεδείκνυτο.

IX. Βουλόμενος δ' αὐτὸς ὁ Καῖσαρ καὶ ἔμπειρον τοῦ ἀγωνοθετεῖν (1) ἐν ταῖς τοιαύταις χορηγίαις εἶναι, δυοῖν ὄντοιν θεάτροιν, τοῦ μὲν Ῥωμαϊκοῦ, ἐν ᾧ αὐτὸς παρὼν τὴν φροντίδα εἶχε, θατέρου δὲ Ἑλληνικοῦ, τούτου ἐπέτρεψεν ἐκείνῳ (2) τὴν ἀγωνοθεσίαν. Καὶ ὁ μὲν σπουδάζων ἐπιμέλειάν τε καὶ φιλανθρωπίαν ἀποδείξασθαι ἐν καυματώδεσι καὶ μακροτάταις ἡμέραις, οὐδαμοῦ τε ἀπιὼν, ἄχρι λύσειε τὴν θέαν, εἰς νόσον πίπτει, οἷα νέος καὶ πόνων ἀπείρατος. Χαλεπῶς δὲ διακειμένου, πάντες μὲν ἐν φόβῳ ἦσαν, ἀγωνιῶντες εἴ τι πείσεται τοιαύτη φύσις, μάλιστα δὲ πάντων (3) Καῖσαρ. Διὸ πᾶσαν ἡμέραν ἢ αὐτὸς παρὼν αὐτῷ εὐθυμίαν παρεῖχεν, ἢ φίλους πέμπων, ἰατρούς τε (4) ἀποστατεῖν οὐκ ἐῶν. Καί ποτε δειπνοῦντι ἤγγειλέ τις, ὡς ἔκλυτος εἴη καὶ χαλεπῶς ἔχοι· ὁ δὲ ἐκπηδήσας ἀνυπόδητος ἧκεν, ἔνθα ἐνοσηλεύετο, καὶ τῶν ἰατρῶν ἐδεῖτο ἐμπαθέστατα μεστὸς ὢν ἀγωνίας, καὶ αὐτὸς παρεκάθητο· ἀνακτησάμενος δ' αὐτὸν εὔθυμος ἐγένετο.

X. Ἐπεὶ δ' ἀνέσφηλεν ἐκ τῆς νόσου, διαπεφευγὼς μὲν τὸν κίνδυνον, ἀσθενῶς δ' ἔτι διακείμενος τὸ σῶμα, στρατεύειν μὲν ἔδει Καίσαρα, ἔνθα διενοεῖτο τὸ πρότερον ἐπάγεσθαι καὶ τὸν παῖδα· τότε δ' οὐχ οἷός τ' ἦν διὰ τὴν προσπεσοῦσαν νόσον. Καταλιπὼν δ' οὖν αὐτοῦ πολλοὺς ἐπιμελητὰς, ὡς δι' ἀκριβοῦς διαίτης φυλάττοιτο, καὶ ἐντολὰς δοὺς, εἰ ῥωσθείη, ἕπεσθαί οἱ, ᾤχετο ἐπὶ τὸν πόλεμον. Ὁ γὰρ Μάγνου Πομπηΐου πρεσβύτατος παῖς, μέγα στράτευμα ἀθροίσας ἐν ὀλίγῳ χρόνῳ παρὰ τὴν πάντων ἐλπίδα, διενοεῖτο ἐπαμῦναι (1) τῷ πατρὶ, καὶ τὴν ἐκείνου ἧτταν ἀναμαχέσασθαι, εἰ δύναιτο. Ὑπολειφθεὶς δ' ἐν τῇ Ῥώμῃ Καῖσαρ, πρῶτον μὲν (2) τοῦ σώματος ἐγκρατέστατα ἐπεμελήθη, καὶ ταχὺ ἀνερρώσθη· ἔπειτα δὲ τὴν ἔξοδον ἐκ τῆς πατρίδος ἐποιεῖτο ἐπὶ τὴν στρατιὰν κατὰ τὰς τοῦ θείου ἐντολάς· οὕτω γὰρ αὐτὸν ἐκάλει. Πολλῶν δ' αὐτῷ συνεκδημεῖν σπουδαζόντων, διὰ τὸ μέγεθος τῆς ἐν αὐτῷ ἐλπίδος, πάντας παρωσάμενος καὶ τὴν μητέρα αὐτὴν, τοὺς ὠκυτάτους τῶν οἰκετῶν καὶ ἐρρωμενεστάτους ἐκλεξάμενος, συνέτεινε τὴν πορείαν, καὶ ἀπίστῳ τάχει χρησάμενος διέδραμε

in conviviis assiduus illius comes, quum illum prorsus paterna benevolentia secum colloqui videret, jam paullisper animo erectior ac confirmatior, captata temporis opportunitate, verecunde apud avunculum intercedebat pro amicis ac civibus, qui ejus suffragio quidpiam obtinere a Cæsare volebant, nec difficile impetrabat; multisque adeo necessariorum maximo usui fuit, quum sollicite observaret, ne importune neve moleste avunculum interpellaret. Hæc tum et humanitatis et insitæ prudentiæ non obscura nec pauca specimina edebat.

IX. Sed quum C. Cæsar præbitionibus ludorum atque hujuscemodi editionibus adsuefacere illum vellet, duoque essent theatra, alterum Romanum, Græcum alterum: Romani quidem ipse curam sumpsit, Græci vero curationem Octavio delegavit. Qui quum operam daret impensius, suam ut industriam ac comitatem testificaretur, perside-retque assidue usque ad finem spectaculi, idque maximo æstu ac diebus longissimis, tandem, utpote adolescens nondum assuetus labori, in morbum incidit; quo ingravescente cuncti timore pallebant, solliciti, ne quid ejusmodi indoles tristius pateretur: maxime autem omnium C. Cæsar sollicitus erat. Proinde quotidie aut ipsemet præsens adolescenti animum spemque addebat, aut amicos visendi causa mittebat, medicosque ab eo vetabat discedere. Forte quadam die cœnanti nunciatum a quopiam est, adolescentem deliquium pati ac pessime se habere; statimque, ut erat discalceatus, e lecto exsiliens, ad cubiculum, in quo æger curabatur, contendit, et pavens ac sollicitus medicos enixissime rogavit, ipse lecto adsedit, ac tandem recuperato puero magnopere est gavisus.

X. Porro quum Octavius morbi quidem discrimine liberatus, adhuc tamen infirmo corpore esset, Cæsar proficisci ad bellum in Hispaniam parabat, quo quidem puerum in contubernio suo deducere ante statuerat, sed ob conflatam ægritudinem haudquaquam poterat. Igitur appositis puero custodibus, qui accurata victus ratione illum regerent, datisque mandatis, quum vires collegisset, se ut sequeretur, ad bellum perrexit. Namque Cn. Pompeius Magni filius major natu, brevi temporis spatio præter omnium spem magnis copiis comparatis, vindicare patris necem in animo habebat, cladem que ejus, quantum in se esset, resarcire. Sed Romæ relictus Octavius primum quidem omni diligentia corpus curavit, viresque brevi recuperavit; postea vero statim ad iter se accinxit ex mandatis avunculi (sic enim eum vocabat). Quumque plurimi sese ei comites ambitiose offerrent ob maximam spem quam in se ostendebat, rejectis omnibus atque in his matre ipsa, selecto ex famulis robustissimo quoque ac velocissimo, iter acceleravit, atque incredibili celeritate longissima spatia permen-

μὲν οὖν καὶ πρότερον παῖδα ἀποδεῖξαι, δεδιὼς δὲ... συνέκρυψε τὴν γνώμην. Ἐν δὲ ταῖς διαθήκαις αὐτὸν υἱοῦται. — 2. συνὼν.. θεάτροις] Corayus. Codex : καὶ ἐν θεάτροις συνὼν δὲ ὁ παῖς. — 3. προσάντως] Citat locum Suidas : Προσάντως· ἐπίρρημα· « Μήτε ἀκαίρως παρακαλεῖν μήτε προσάντως. »

IX, 1. ἀγωνοθετεῖν] Vales.; ἀγωνοθέτην codex. — 2. τούτου... ἐκείνῳ] Vales.; τούτῳ.. ἐκείνου codex. — 3. Καῖσαρ] ὁ Κ. editt. contra codicis auctoritatem. — 4. τε] sic codex, δὲ editt. Mox codex : δείπνοντι.

X, 1. ἐπαμῦναι] Coray., ἐπεῖναι codex. Deinde εἰ δύναιτο Valesius pro ἢ δύνατο codicis. — 2. μὲν] e codice sup-

τὴν μακρὰν ὁδὸν (3), σύνεγγύς τε ἦν Καίσαρι, διαπεπολεμηκότι ἤδη τὸν σύμπαντα πόλεμον ἐν μησὶν ἑπτά.

XI. Ἀφικόμενος δ' εἰς Ταρρακῶνα ἀπιστίαν παρέσχεν, ὅπως ἀφίκοιτο ἐν τοσῷδε πολέμου ταράχῳ. Οὐχ εὑρὼν δὲ ἐνταῦθα Καίσαρα, πλείω πόνον καὶ κίνδυνον εἶχεν· ἀφίκετο δὲ εἰς Ἰϐηρίαν πρὸς Καίσαρα περὶ πόλιν Καλπίαν (1). Καὶ ὁ μὲν οἷα τέκνον περιϐαλὼν (2), διά τε τὸ νοσοῦντα καταλελοιπέναι καὶ ἐκ πολλῶν πολεμίων καὶ λῃστηρίων περισεσωσμένον ὁρᾶν ἀδοκήτως, ἠσπάζετο, καὶ οὐδαμῇ μεθίει, ὁμοδίαιτόν τε εἶχεν· ἐπῄνει δ' αὐτοῦ (3) καὶ τὴν ἐπιμέλειαν ἅμα καὶ σύντασιν (4), ὡς πρῶτος τῶν ἐκ τῆς Ῥώμης ἐξεληλυθότων ἧκεν. Ἐπιμελὲς δ' (5) ἐποιεῖτο πρὸς αὐτὸν διαλεγόμενος ὑπὲρ πολλῶν ἀνακρίνειν, ἀποπειρώμενος αὐτοῦ τῆς διανοίας. Ὁρῶν δὲ εὔστοχον καὶ εὐσύνετον καὶ βραχυλόγον, αὐτά τε ἀποκρινόμενον τὰ καιριώτατα, ἔστεργε καὶ ὑπερησπάζετο. Ἐκ τούτου πλεῖν ἔδει ἐπὶ Καρχηδόνος· προσταχθὲν δ' αὐτῷ ἐμϐαίνειν εἰς τὴν αὐτὴν Καίσαρι ναῦν σὺν πέντε δούλοις, αὐτὸς ὑπὸ φιλοστοργίας καὶ τρεῖς ἑταίρους πρὸς τοῖς δούλοις ἐνεϐίϐασε· καὶ ἐδεδίει, μὴ τοῦτο γνοὺς Καῖσαρ ἐπιμέμψαιτο. Τοὐναντίον δ' ἐγένετο· ἥσθη γὰρ ἐκεῖνος ἐπὶ τῷ εἶναι φιλέταιρον, καὶ ἐπῄνεσεν, ὅτι ἀεὶ βούλεται παρεῖναι αὐτῷ τοὺς πάντων ἐπόπτας ἐσομένους ἄνδρας καὶ ἀρετῆς ἐπιμελουμένους, πρόνοιάν τε οὐ μικρὰν χρηστῆς δόξης ἐν τῇ πατρίδι ἤδη ποιοῖτο.

XII. Ἧκε δ' οὖν εἰς τὴν Καρχηδόνα Καῖσαρ, ὡς τοῖς χρῄζουσιν ἐντευξόμενος. Πολλοὶ δὲ συνεληλύθεσαν, οἱ μὲν δικαιοδοσίας χάριν περὶ ὧν εἶχον ἀμφιϐόλων πρός τινας, οἱ δὲ οἰκονομίας πολιτικῆς, οἱ δ' ὅπως ἂν τὰ ἆθλα τῶν ἠνδραγαθημένων λάϐοιεν· περὶ ὧν ἐνέτυχεν (1). Ἄλλοι τε ἡγεμόνες πλεῖστοι συνεληλύθεσαν. Προσφεύγουσι (2) τῷ Καίσαρι καὶ Ζακύνθιοι μεγάλα ἐγκλήματα ἔχοντες, καὶ δεόμενοι βοηθείας. Ὁ δὲ τούτων προὔστη τε, καὶ διαλεχθεὶς ἄριστα πρὸς Καίσαρα ἐν φανερῷ (3), τῶν τε αἰτιῶν αὐτοὺς ἀπήλλαξε, καὶ προὔπεμψεν ἐπ' οἴκου ἡδομένους τε καὶ πρὸς πάντας αὐτὸν ὑμνοῦντας, σωτῆρά τε ὀνομάζοντας (4). Ἐντεῦθεν πολλοὶ συνέρρεον προστασίας δεόμενοι, οἷς πλείστου ἄξιος γενόμενος, τῶν μὲν διέλυε τὰ ἐγκλήματα, οἷς δ' ᾐτεῖτο δωρεάς, οὓς δ' εἰς ἀρχὰς προῆγε. Πάντες τε (5) ἀνὰ στόμα εἶχον τήν τε (6) ἡμερότητα καὶ φιλανθρω-

sus, tandem haud procul castris avunculi pervenit, qui quidem septem mensibus bellum jam omne confecerat.

XI. Tarraconem ingressus, admiratione omnes perculit, quonam pacto in tanto bellorum tumultu advenisset. Nec tamen invento ibi avunculo, pluribus laboribus ac periculis conflictatus est, tandemque avunculum in Hispania assecutus est circa urbem Calpiam. At Cæsar, qui eum ægrotum domi reliquerat, quum salvum ex hostium ac latronum insidiis insperato videret, tanquam filium amplecti ac deosculari cœpit. Neque vero eum dimittebat usquam, sed assidue in contubernio habebat, laudabatque ejus industriam simul et festinationem, quod primus eorum, qui ab urbe profecti erant, affuisset, eumque de multis rebus sedulo interrogabat, quo ingenii ac judicii periculum faceret. Sed quum sagacem et sollertem ac modici sermonis eaque solum, quæ ad rem pertinent, respondentem deprehenderet, magis ac magis illum in dies amabat. Hinc quum Carthaginem navigandum esset, jussus in avunculi navem cum quinque famulis conscendere, tres præterea sodales secum adduxit. Ac verebatur quidem, ne ab avunculo factum resciente objurgaretur; sed longe aliter res cecidit, siquidem ea re delectatus Cæsar juvenem laudavit eo, quod sodales diligeret et virtuti ac bonis artibus deditos testes omnium factorum secum habere semper vellet, atque optimam sibi famam apud cives comparare multum studeret.

XII. Venerat Carthaginem (*Hispaniæ*) Cæsar eo, ut adeuntibus copiam sui præberet; ac permulti eo convenerant partim jurisdictionis causa ob privatas controversias, partim ob negotia publica; quidam, ut præmia virtutis ac præclare factorum acciperent: de his igitur aditus illis dabat. Multi præterea alii duces in eam urbem confluxerant. Tum Saguntini, qui maximis criminibus urgebantur et auxilio opus habebant, ad Octavium confugerunt; qui suscepta ipsorum causa quum palam apud Cæsarem prudenter disseruisset, eos impositis criminibus liberavit lætosque et præcones laudum suarum ac servatorem appellantes domum dimisit. Exinde complures patrocinii causa ad illum concurrere, quibus industriam suam approbavit; quippe alios calumniis et criminationibus liberabat, aliis præmia impetrabat, aliis magistratus; proinde erat in ore omnium

---

plevi. — 3. Cf. Suetonius Octav. 8 : *Profectum mox avunculum in Hispanias adversus Cn. Pompeji liberos, vix tum firmus a gravi valetudine, per infestas hostibus vias, paucissimis comitibus, naufragio etiam facto, subsecutus, magnopere demeruit, approbata cito etiam morum indole super itineris industriam.* Vellejus II, 29, 2 : (*Cæsar Octavium*) *dilexit ut suum, natumque annos XVII, Hispaniensis militiæ, adsecutum se, postea comitem habuit, nunquam aut alio usum hospitio quam suo, aut alio vectum vehiculo.* Cf. Dio Cass. XLIII, 41.

XI, 1. Καλπίαν] Strabo III, p. 140 Κάλπην dicit. Plura de his nominibus disputat Valesius ad h. l., quæ legere etiam est apud Holstenium ad Steph. Byz. v. Κάλπαι et Καρπηία. — 2. περιϐαλὼν] Valesius; περιλαϐὼν et mox νοστοῦντα pro νοσοῦντα, codex. — 3. αὐτοῦ] Valesius, αὐτόν codex. — 4. σύντασιν] Coray.; σύνεσιν codex. — 5. Particulam δὲ de suo addidit Valesius.

XII, 1. ἐνέτυχεν· ἄλλοι] Coray.; ἔτυχεν. ἄλλων codex. Οἱ δὲ περὶ ὧν ἔτυχεν ἄλλων ἄλλοι τε, κτλ. Vales. — 2. προσφεύγουσι] Valesius; προσφέρουσι cod. — 3. φανερῷ] Val.; φανεροῦ cod. — 4. ὀνομάζοντας] Coray.; νομίζοντας cod. — 5. πάντες τε] πάντες τε τε cod. — 6. τήν τε... φιλανθρ.] Valesius; τής (sic) τε ἡμερότητα φιλανθρωπίαν. Possis etiam τήν τε τῆς ἡμερότητος φιλανθρωπίαν.

πίαν καὶ τὴν ἐν ταῖς ἐντεύξεσι φρόνησιν. Αὐτὸς μὴν Καῖσαρ εὐλα[βούμενος?] ***.

(Λείπουσι σελίδες δύο.)

100.

χόντων) καὶ (6) κατέθηκεν αὐτοῦ πρὸ τῶν ποδῶν τὸ διάδημα. Βοῶντος δὲ τοῦ δήμου, ἐπὶ τὴν κεφαλὴν τίθεται· καὶ ἐπὶ τοῦτον Λέπιδον καλοῦντος τὸν ἱππάρχην, ὁ μὲν ὤκνει· ἐν τούτῳ δὲ Κάσσιος Λογγῖνος, εἷς τῶν ἐπιβουλευόντων, ὡς δῆθεν εὔνους ὤν, ἵνα καὶ λανθάνειν μᾶλλον δύναιτο, ὑποφθὰς ἀνείλετο τὸ διάδημα καὶ ἐπὶ τὰ γόνατα αὐτοῦ ἔθηκε. Συνῆν δὲ καὶ Πόπλιος Κάσκας (7). Καίσαρος δὲ διωθουμένου καὶ τοῦ δήμου βοῶντος, ταχὺ προσδραμὼν Ἀντώνιος γυμνὸς ἀληλιμμένος (8), ὥσπερ ἐπόμπευεν, ἐπὶ τὴν κεφαλὴν ἐπιτίθησι. Καῖσαρ δὲ ἀνελόμενος αὐτὸ εἰς τὸν ὄχλον ἔρριψε. Καὶ οἱ μὲν τελευταῖοι ἐκρότησαν ἐπὶ τούτῳ, οἱ δὲ πλησίον ἐβόων δέχεσθαι καὶ μὴ διωθεῖσθαι τὴν τοῦ δήμου χάριν. Ἄλλοι γὰρ ἄλλην γνώμην περὶ τῶν δρωμένων εἶχον· οἱ μὲν γὰρ ἐδυσχέραινον, ἅτε δυναστείας δήλωσιν (9) μείζονος ἢ κατὰ δημοκρατίαν· οἱ δὲ χαρίζεσθαι οἰόμενοι συνέπραττον· οἱ δὲ οὐχ ἔξω τῆς γνώμης αὐτοῦ διεθρόουν τοῦτο Ἀντώνιον (10) πεποιηκέναι· πολλοῖς δ' ἦν καὶ βουλομένοις βασιλέα αὐτὸν ἀναμφιλόγως γενέσθαι. Παντοδαπαὶ μὲν φῆμαι ἐν τῷ ὁμίλῳ ἦσαν. Τὸ δ' οὖν δεύτερον Ἀντωνίου ἐπιτιθέντος, ὁ δῆμος ἐβόησε « Χαῖρε βασιλεῦ » τῆς ἑαυτοῦ γλώττης. Ὁ δὲ οὐ δεχόμενος (11) ἐκέλευσεν εἰς τὸ τοῦ Καπιτωλίου Διὸς ἱερὸν ἀποφέρειν αὐτό· ἐκείνῳ γὰρ μᾶλλον ἁρμόττειν. Καὶ πάλιν ἐκρότησαν οἱ αὐτοί, ὥσπερ καὶ πάλαι. Λέγεται δὲ καὶ ἕτερος λόγος, ὡς ταῦτα ἔπραττεν Ἀντώνιος ἐκείνῳ μέν, ὥς γε ᾤετο, χαρίζεσθαι βουλόμενος, αὑτῷ δὲ ἐλπίδα μνώμενος εἰ γένοιτο ποιητὸς υἱός. Τελευταῖον δὲ ἀσπασάμενος Καίσαρα δίδωσι τῶν παρεστώτων τισὶν ἐπιθεῖναι αὐτὸ ἐπὶ τὴν κεφαλὴν τοῦ πλησίον ἀνδριάντος Καίσαρος· οἱ δὲ ἐπέθεσαν. Ἐν δ' οὖν τοῖς τότε (12) οὐδενὸς ἧττον καὶ τόδε πραχθὲν ἤγειρε θᾶττον τοὺς ἐπιβουλεύοντας, πίστιν ἐν ὀφθαλμοῖς μείζω παρασχὸν τῶνδ' ἃ (13) δι' ὑποψίας εἶχον.

XXII. Κίννας δὲ μετ' οὐ πολὺ στρατηγῶν Καίσαρα παραιτησάμενος δόγμα ἐκύρωσεν κατιέναι τοὺς ἀπελαθέντας δημάρχους καί, ὥσπερ βούλεται ὁ δῆμος, πεπαυμένους τῆς ἀρχῆς ἰδιώτας εἶναι τῶν κοινῶν μὴ εἰργομένους (τῆς ἀρχῆς) (1). Καῖσαρ δὲ οὐ διεκώλυε τὴν κάθοδον· καὶ οἱ μὲν κατήεσαν (2). Ἀρχαιρεσίαι δ' ἦσαν ἐνιαύσιοι, ὑπὸ Καίσαρος ἀγόμεναι· αὐτὸς γὰρ εἶχε τὴν τούτων ἐξουσίαν, ὥσπερ ἐκέλευσε τὸ δόγμα· καὶ δὴ ἀποδείκνυσι εἰς τὸ ἐπιὸν ὑπάτους Οὐίβιον Πάνσαν (3), καὶ Αὖλον Ἵρτιον· εἰς δὲ τρίτον ἔτος Δέκμον (4) Βροῦτον, ἕνα τῶν ἐπιβούλων, καὶ Μουνάτιον Πλάγκον (5). Κατόπιν δὲ τούτου καὶ ἕτερον ἐπράχθη, ὃ

et ante pedes ejus diadema deposuit; dein clamante populo, in caput ponit. Contra hunc Cæsar Lepidum advocat magistrum equitum. Is vero moras nectebat. Interea Cassius Longinus, conjuratorum unus, bene se affectum simulans, quo lateret tanto facilius, detraxit diadema et in genua reposuit. Una cum eo erat etiam Publius Casca. Cæsare autem rejiciente diadema, populoque plaudente, confestim accurrens Antonius nudus unctus, sicuti erat in pompa, rursus imponit capiti. Tum detractum Cæsar in populum projecit. Ac postremi quidem ob id plausum ediderunt, sed propius adstantes clamabant, ut acciperet neque rejiceret donum populi. Etenim alii aliter de his sentiebant. Pars ægre id ferebant, ut imperii signum majoris quam popularis status admitteret; pars gratificari volentes rem comprobabant. Alii haud absque ipsius Cæsaris sententia Antonium hoc fecisse dictitabant. Multis etiam haud invitum erat Cæsarem sine controversia regium tenere imperium. Tam varii inter multitudinem rumores spargebantur. Porro quum iterum Antonius diadema capiti Cæsaris admoveret, clamare populus : *Salve rex*. Ille vero recusans diadema Jovi in Capitolium mitti jussit, huic magis id convenire dicens. Ad quæ denuo iidem plaudebant, sicuti antea. Ceterum alius quoque de his sermo fertur, ex quo Antonius illa fecit Cæsari quidem, uti sperabat, gratificaturus, sibi autem spem fovens, si forte pro filio ab eo adoptaretur. Postremo Cæsarem amplexus adstantibus quibusdam diadema tradidit, qui statuæ Cæsaris proximæ imponerent. Idque illos fecisse aiunt. Inter ea igitur quæ tunc evenerunt, etiam hoc inprimis conjuratos ad maturanda destinata consilia incitavit, quum majorem fidem eorum quæ suspicabantur ob oculos poneret.

XXII. Haud multo post prætor *L. Cornelius* Cinna, Cæsare precibus placato, decretum scribi curavit, quo pulsis tribunis permissum est, ut in patriam redirent, et ex populi voluntate, adempta potestate tribunicia, privati essent, sed a republica capessenda non arcerentur. Itaque, non refragante Cæsare, Romam tribuni redierunt. Mox Cæsar comitia annua magistratibus creandis habet (nam horum quoque ex decreto penes ipsum potestas erat), et in annum sequentem consules designat C. Vibium Pansam et A. Hirtium, in tertium annum Decimum Brutum, e conjuratis unum, et Munatium Plancum. Post hæc aliud accidit, quod vehementer conjuratos excitavit. Etenim fo-

στεφάνῳ περιελίξας Ἀντώνιος Plut. Anton. 12, 1. — 6. καὶ] particulam de meo addidi. — 7. Κάσκας] κασικὰς codex h. l. et infra. — 8. ἀληλιμμένος] ἀληλειμένος, codex. — 9. δήλωσιν] δήλωσι codex. — 10. Ἀντώνιον] ἀντωνίου codex. — 11. οὐ δεχόμενος] οὐδ' ἐχόμενος cod. — 12. τοῖς τότε] supplevi τοῖς. — 13. παρασχὸν τῶνδ' ἃ] παραχόντων ὃ codex.

XXII 1. τῆς ἀρχῆς] inclusi, ut abundantia, et probabiliter ex antecedentibus male repetita. — 2. κατήεσαν] Aliter Appian. II, 122, ubi Cassius et Brutus post mortem Cæsaris tribunos illos ex exilio revocandos esse censent. Sueton. c. 80 : *Post remotos Cæsetium et Marullum tribunos, reperta sunt proximis comitiis complura suffragia consules eos declarantium*... Quod item de absentibus intelligendum esse videtur. — 3. Οὐίβιον Πάνσαν] ὄρβιον πάνα codex. — 4. Δέκμον] δέγμον codex. — 5. Πλάγκον] πλάγκτον codex.

σφόδρα ἤγειρε τοὺς συνεστῶτας. Ἀγορὰν κατεσκεύαζε μεγάλην καὶ ἀξιοπρεπῆ ἐν Ῥώμῃ, καὶ τοὺς τεχνίτας ἀθροίσας τὰ ἔργα εἰς τὴν κατασκευὴν διεπίπρασκεν. Ἐν τούτῳ δὲ αὐτῷ προσῆλθον (6) οἱ Ῥωμαῖοι ἄριστοι τιμὰς φέροντες, ἅστινας τότε ἐψηφίσαντο ἐν κοινῷ. Τούτων δ' ἡγεῖτο μὲν ὁ ὕπατος, συνάρχων τότε αὐτῷ ὤν, κομίζων τὰ ἐψηφισμένα· ῥαβδοφόροι τε προῄεσαν ἔνθεν καὶ ἔνθεν τὸν ὄχλον ἀνείργοντες· συνῄεσαν δὲ τῷ ὑπάτῳ οἵ τε στρατηγοὶ καὶ δήμαρχοι καὶ ταμίαι καὶ ἄλλαι πᾶσαι ἀρχαί· μετὰ δὲ ἡ σύγκλητος ἐν κόσμῳ εἵπετο καὶ ὁ λαὸς (7) ἄπειρος τὸ πλῆθος καὶ ὅσος οὐκ ἄλλος· πολλὴ δὲ ἥ τε ἔκπληξις ἦν καὶ τὸ ἀξίωμα τῶν πρώτων, εἰς οὓς τὰ συμπάντων ἀνήρτητο κράτη, θαυμαζόντων ἄλλον κρείττω. Ὁ δὲ προσιόντων ἐκάθητο καὶ διὰ τὸ τοῖς ἐκ πλαγίου ὁμιλεῖν οὔτ' ἐπιστρέψας πρὸς αὐτοὺς τὸ πρόσωπον οὔτε προσέχων, ἀλλ' ὁμοίως διοικῶν ἃ ἐν χερσὶν εἶχεν, εἰς ὅ τῶν πλησίον φίλων τις (8) εἶπεν, Ὅρα τοὺς ἐξ ἐναντίας προσιόντας· καὶ τότε ἀποθέμενος τὰ γραμματίδια ἐπεστράφη (9), καὶ περὶ ὧν ἦλθον ἤκουε. Συνόντες οὖν αὐτοῖς οἱ ἐπιβουλεύοντες τὸ γεγονὸς (10) καὶ τοὺς ἄλλους τῆς πρὸς αὐτὸν δυσμενείας ἀνέπλησαν καὶ αὐτοὺς ἤδη ἀχθομένους· ὤργων τότε καὶ οἱ ἐπὶ ὀλέθρῳ τῶν συμπάντων, μή τί γε ἐπ' ἐλευθερίᾳ ἐπιχειρεῖν τῷ ἀνδρὶ [βουλόμενοι] (11), καὶ προσεδόκων χειρώσασθαι αὐτὸν ἀνίκητον παντάπασι δοκοῦντα εἶναι· δυσὶ γὰρ καὶ τριακοσίαις μάχαις ἐδόκει συμβαλὼν εἰς ἐκεῖνον τὸν χρόνον ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ (12) οὔποθ' ἡττῆσθαι. Μόνος δὲ πολλάκις ἐξιὼν καὶ φαινόμενος αὐτοῖς ἐλπίδα ἐνεδίδου τοῦ ἐπιβουλῇ ἁλώσιμος εἶναι· ἐμηχανῶντό τε, εἴ πως παραλύσειαν αὐτοῦ τὴν ἀμφὶ τὸ (13) σῶμα φυλακήν, λόγῳ τε κηλοῦντες ὡς χρεὼν εἴη ἱερὸν αὐτὸν πρὸς πάντων νομίζεσθαι πατέρα τε καλεῖσθαι τῆς πόλεως, καὶ ψηφίσματα περὶ τούτων γράφοντες, εἴ πως ἐκεῖνος τούτοις παραχθεὶς τῷ ὄντι πιστεύσειεν ὑπ' αὐτῶν στέργεσθαι, καὶ τοὺς δορυφόρους ἀπολύσειεν, οἰόμενος τῇ πάντων εὐνοίᾳ φυλάττεσθαι. Ὅπερ γενόμενον πολλὴν αὐτοῖς εἰς τὸ ἔργον ῥᾳστώνην παρέσχε.

XXIII. Συνῄεσαν δ' ἐν φανερῷ μὲν οὔποτε βουλευσόμενοι, λάθρα δὲ κατ' ὀλίγους εἰς τὰς ἀλλήλων οἰκίας· καὶ πολλὰ μέν, ὥσπερ εἰκὸς ἦν, ἐλέχθη τε αὐτοῖς καὶ ἐκινήθη, σκοπουμένοις τοσόνδε ἔργον ὅπως τε ἐπιθήσωνται καὶ ὅποι. Τινὲς μὲν οὖν εἰσέφερον διὰ τῆς ἱερᾶς καλουμένης ὁδοῦ ἰόντι ἐγχειρεῖν· ἐφοίτα γὰρ πολλάκις ἐκείνῃ· ἄλλοι δ' ἐν ταῖς ἀρχαιρεσίαις, ἐν αἷς αὐτὸν ἔδει καθιστάντα ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ τὰς ἀρχὰς διιέναι τινὰ γέφυραν, διακληρωσάμενοι τὸ ἔργον ὅπως

rum amplum splendidumque Romæ ædificans Cæsar opifices convocaverat, iisque opera facienda elocabat. Dum his occupatur, accedunt principes Romanorum, decreta afferentes honorum, quos tunc communi consensu in senatu ei detulerant. Agmen ducebat *Antonius* consul, Cæsaris collega, manu tenens decreta; præibant lictores hinc inde plebem arcentes; consulem comitabantur prætores et tribuni et quæstores et reliqui omnes magistratus; sequebatur senatus decore incedens, et deinceps immensa numero multitudo et quanta nulla usquam alia. Stupendus erat splendor dignitasque primorum, qui quum summam totius imperii tenerent ipsi alium admirabantur præstantiorem. Accedentibus illis, Cæsar sedebat, et cum iis qui obliqui adstabant colloquens ideoque faciem ab advenientibus aversam habens, quæ in manu erant negotia tractare pergebat, usque dum ex amicis quidam diceret : « Specta ex adverso accedentes. » Tum positis libellis ad illos se convertit, et de iis quorum causa venerant dedit aditum. Quibus quum interessent conjurati, ob casum illum etiam reliquos suo in Cæsarem odio implebant vel ipsos jam male affectos. Animis tunc ardebant vel ii, qui ad perniciem reipublicæ, non ad recuperandam libertatem manum viro injicere moliebantur, opportunitatemque exspectabant, qua domare possent eum qui insuperabilis esse omnibus videbatur : nam trecentis ac duobus prœliis, quæ ad illud temporis in Asia et Europa commiserat, nunquam cladem tulisse putabatur. Jam quum solus sæpe exiret et conspiciendum se ipsis præberet, spes erat fore, ut insidiis circumveniretur. Nihilominus machinabantur si qua ratione corporis custodiam amovere possent, verbis eum demulcentes, quasi sacrosanctus ab omnibus censeri et pater patriæ appellari deberet, atque decreta in hanc sententiam scribentes, num forte his seductus et revera se ab ipsis amari confidens omniumque benevolentia satis se custoditum putans satellites dimitteret. Quo demum facto, multa iis exsequendi consilia præbebatur facilitas.

XXIII. Ad deliberandum palam coitabant nunquam, sed clanculum bini vel terni in suas invicem domus. Ubi multa, ut consentaneum, dicta motaque sunt circumspicientibus tantam rem qua ratione et quo loco aggrederentur. Nonnulli igitur proponebant, ut invaderent per viam sacram euntem; sæpius enim illic transibat. Aliis placuit ut in comitiis magistratuum creandorum causa habendis, ubi Cæsari in campo ante urbem sito magistratus constituturo pons transeundus esset, ita rem peragerent, ut, divisis partibus,

— 6. Eandem historiam paullo aliter narrant Appian. II, 107; Sueton. Cæs. 78; Liv. Epit. 116.; Plut. Cæs. 60, 2; Dio Cass. 44, 8. — 7. λαὸς] πᾶς cod. Mox πολλοὶ cod. — 8. τις] C. Trebatius sec. Sueton. c. 68. — 9. Minus facete excusare Cæsarem student illi qui dicunt eum non assurrexisse ὅτι τῆς κοιλίας ἀκρατὴς ὑπὸ διαρροίας ἐγεγόνει, Dio Cass. 44, 8. Aliam excusationem affert Plutarch. Cæsar. 60, 2. — 10. Verti quasi scriptum esset διὰ τὸ γεγονός. A verbo ἐπιβουλεύοντες accusativus τὸ γεγονὸς pendere nequit; suspicari autem licet verba συνόντες οὖν αὐτοῖς corrupta esse, scriptoremque dixisse : διασύροντες οὖν αὐτοὶ οἱ ἐπιβ. τὸ γεγονὸς vel συκοφαντοῦντες δ' οἱ ἐπιβ. κτλ. vel ejusmodi quid. Mox codex ὤργουν. — 11. βουλόμενοι] inserui; si nolis, scribe ἐπιχειροῦντες. — 12. Ἀσίᾳ καὶ Εὐρώπῃ] Ἀσίαν Εὐρώπῃ codex. — 13. τὸ] τοῦ codex.

οἱ μὲν ὤσειαν αὐτὸν ἀπὸ τῆς γεφύρας, οἱ δὲ ἐπιδραμόντες κτείνειαν (1)· ἄλλοι δὲ ὅταν θέαι μονομάχων ἄγωνται· ὑπόγυοι δ' ἦσαν· ἔνθα καὶ ὅπλα ὁρᾶσθαι παρεσκευασμένα ἐπὶ τὴν πρᾶξιν ἀνύποπτον ἦν διὰ τὸν ἀγῶνα. Οἱ πλεῖστοι δὲ παρῄνουν ἐν τῇ βουλῇ συνεδρεύοντα κτείνειν, ἡνίκα μόνος αὐτὸς ἔμελλεν ἔσεσθαι· οὐ γὰρ συνειςίασιν οἱ μὴ μετέχοντες αὐτῆς, πολλοὶ δ' οἱ ἐπιβουλεύοντες ὑπὸ τοῖς ἱματίοις ἔχοντες ἐγχειρίδια. Καὶ ἐκράτει ἥδε ἡ γνώμη. Συνέλαβε δὲ καὶ τύχη τις εἰς τοῦτο, ποιήσασα ἡμέραν ῥητὴν αὐτὸν ὁρίσαι εἰς ἣν (2) συνίασιν οἱ ἐκ τοῦ συνεδρίου βουλευσόμενοι περὶ ὧν αὐτὸς ἔμελλεν εἰσοίσειν. Ἐπεὶ δὲ ἐνέστη ἡ κυρία ἡμέρα, συνῆεσαν παρεσκευασμένοι τοῖς πᾶσιν. Ἐγίνετο δὲ αὐτοῖς ἡ σύνοδος εἰς τὴν Πομπηίου στοάν, ἔνθα ἑκάστοτε (3) συνελέγοντο. Τῷ δ' ἄρα ὁ δαίμων διεδείκνυε τὰ ἐνθάδε (4) ὁποῖα εἴη, ὡς πάντα ἀστάθμητα καὶ τῆς τύχης ἥττω, εἰς τὸ τοῦ ἐχθροῦ αὐτὸν ὑπάγων χωρίον, ἐν ᾧ ἔμελλε πρὸ τοῦ ἐκείνου ἀνδριάντος νεκρὸς κείσεσθαι, καὶ οὗ ζῶντος περιεγένετο, τούτου τεθνεῶτος πρὸς τῷ εἰδώλῳ ἀποσφάττεσθαι. Ἰσχυρότερον δέ τι καὶ ἡ μοῖρα, εἰ δή τις ἐπέστη τούτοις. Οἵ τε (5) γὰρ φίλοι ἐκείνης τῆς ἡμέρας ἐκώλυον, διά τινας φήμας οἰωνιζόμενοι, πορεύεσθαι εἰς τὸ βουλευτήριον· ἰατροί τε διὰ νόσον σκοτώδη (6) ἑκάστοτε συμβαίνουσαν αὐτῷ καὶ τότε προσπεσοῦσαν· ἥ τε γυνὴ πάντων μάλιστα, Καλπουρνία ὄνομα, διά τινας ὄψεις ἐνυπνίων δειματωθεῖσα (7), ἐνέφυ τε αὐτῷ καὶ οὐκ ἔφη ἐάσειν ἐκείνης ἐξιέναι τῆς ἡμέρας. Παραστὰς δὲ Βροῦτος, εἷς τῶν ἐπιβουλευόντων, ἐν δὲ τοῖς μάλιστα φίλοις τότε νομιζόμενος, « Τί σὺ λέγεις, εἶπεν, ὦ Καῖσαρ; Καὶ σὺ ὁ τηλικόσδε, γυναικὸς ἐνυπνίοις καὶ ἀνδρῶν ματαίων κληδόσι (8) προσσχών, ὑβρίσεις (9) τὴν σε τιμήσασαν σύγκλητον, ἣν αὐτὸς συνεκάλεσας, οὐκ ἐξιών; Ἀλλ' οὐχ, ἤν γέ μοι πείθῃ, ἀλλὰ ῥίψας τὰ τούτων ὀνειροπολήματα πορεύσῃ· κάθηται γὰρ ἐξ ἑωθινοῦ σὲ περιμένουσα. » Καὶ ὃς ἐπείσθη τε καὶ ἐξῆλθεν.

XXIV. Ἐν τούτῳ οἱ μὲν σφαγεῖς ηὐτρεπίζοντο, τάττοντες αὐτοὺς οἱ μὲν εἰς πλησίον αὐτοῦ καθέδρας, οἱ δὲ ἐξ ἐναντίας, οἱ δὲ κατόπισθεν. Οἱ δὲ ἱερεῖς θύματα προσέφερον πρὸ τῆς εἰς τὸ βουλευτήριον εἰσόδου θυσομένῳ τὴν ὑστάτην θυσίαν ἐκείνην. Καὶ δῆλον ὡς οὐκ ἐκαλλιέρει. Δυσθυτοῦντες δ' οἱ μάντεις ἕτερα ἐφ' ἑτέροις θύματα ὑπήλλαττον, εἴ τι αὐτοῖς ἄμεινον ὧν (1) ἐσημαίνετο φανείη· τελευτῶντες δὲ χαλεπῶς τὰκ θεῶν ὁρᾶν ἔφασαν,

alii de ponte eum detruderent, alii incurrentes jacentem confoderent. Nonnulli tempus quo ludi gladiatorum celebrarentur destinabant. Qui quidem tunc erant proximi, in iisque armorum apparatus conspici suspicione carebat. Plurimi autem suadebant, ut in senatu trucidarent, quando solus futurus esset : nam in curiam nonnisi senatores admitti, quorum multi forent conjurationis socii pugiones sub veste gestantes. Atque hæc sententia prævaluit. Ceterum etiam fortuna quædam adjuvavit, quæ effecit, ut ipse Cæsar diem definitam indiceret, qua senatores de rebus ab ipso proponendis deliberaturi essent. Ubi aderat dies indicata, omnibus rebus instructi conveniunt in Pompeii porticum, in quam interdum convocabantur. Unde numen testatum fecit quænam rerum humanarum sit indoles et natura, quam instabilia sint omnia et fortunæ arbitrio obnoxia : siquidem Cæsarem in inimici domum induxit, uti mox ad statuam ejus jaceret cadaver, et quo vivo superior fuerat, ejus mortui ad simulacrum jugularetur. At potentius quiddam sane fatum est, quandoquidem vis fati cujusdam in his debet agnosci. Nam et amici eum prohibebant, ex ominibus quibusdam male augurantes, quominus illa die in curiam se conferret; et medici propter vertigines, quibus, quum sæpius laboraret, etiam tunc correptus est; et ipsa denique Calpurnia uxor, quæ visis nocturnis territa, omnium maxime inhæsit ei amplexa, neque admissuram sese dixit, ut foras illa die prodiret. Tum vero adstans Brutus, ex conjuratis unus, Cæsarique ex intimis, uti putabant, amicis, « Quid tu dicis, inquit, Cæsar? Num tu vir tantus, mulieris ad somnia futiliumque hominum vaticinia attendens, senatum, qui honoribus te ornavit quemque ipse tu convocasti, contumelia eo, quod domi manes, afficies? Minime vero, mihi siquidem auscultes; imo, missis nugis istis somniorum, in curiam proficisceris, ubi a mane inde exspectans te senatus considet. » His ille persuasus exiit.

XXIV. Interim percussores ita se disposuerunt, ut alii juxta sellam Cæsaris considerent, alii ex adverso, alii a tergo. Aruspices vero victimas attulerunt pro introitu in curiam sacra hæc facturo ultima. Ac manifestum erat eum non litare. Infausta reperientes exta vates cum aliis alias hostias permutabant, si forte meliora iis, quæ prioribus portendebantur, apparerent. Postremo infesta esse signa deorum declararunt; vindicem quendam aientes occulta-

XXIII. 1. Cf. Sueton. Cæs. 80 : *Qui primum cunctati, utrum illum in campo, per comitia tribus ad suffragia vocantem, partibus divisis e ponte dejicerent atque exceptum trucidarent; an in sacra via vel in aditu theatri adorirentur, postquam aditus Idibus Martiis in Pompeii curiam editus est, facile tempus et locum prætulerunt.* — 2. ἣν] τὴν codex. — 3. ἑκάστοτε] ἑκάστοτε pro *interdum* etiam infra occurrit. Quamquam l. l. omissum esse aliquod putari possit, quibus illud ἑκάστοτε definiebatur. Appian. B. C. II, 115 : Θέαι δ' ἦσαν ἐν τῷ Πομπηίου θεάτρῳ, καὶ βουλευτήριον ἔμελλε τῶν τις περὶ αὐτὸ οἴκος ἔσεσθαι, εἰωθὸς ἐπὶ ταῖς θέαις ὧδε γίγνεσθαι. De loco cf. etiam codex Med. in Dion. Cass. 44, 17 : ἐκεῖ γάρ που (ad theatrum Pompeii) ἐν οἰκήματί τινι τοῦ περιστώου συνεδρεύειν ἔμελλον, ad quem locum Gronovius : « Videtur locus ita ædificatus fuisse, ut ex area columnis circumsepta ad aliquod quadrati latus discedentes in curiam Pompeiam intrarent. » — 4. τὰ ἐνθάδε] Dübner.; τὰ ἔθη codex. — 5. οἵ τε] οὔτε codex. — 6. νόσον σκοτώδη] Hujus morbi meminit Plutarch. Cæsar. 60, 2, ubi eo excusare studet Cæsarem senatui decreta afferenti non surgentem. — 7. δειματωθεῖσα] δειγματωθεῖσα codex. — 8. κληδῶσι codex. — 9. ὑβρίσεις] ὑβρισεῖς codex.

XXIV. 1. ὧν] ὃν codex. In anteced. nota vocem δυσθυτέω, et in sqq. v. δίοπτον.

καί τινα ἀλάστορα ἐν τοῖς ἱεροῖς ἐγκεχρυμμένον δίοπτον εἶναι. Ὁ δὲ ἀχθεσθεὶς ἀπεστράφη πρὸς δυόμενον τὸν ἥλιον· καὶ οἱ μάντεις πολὺ μᾶλλον τοῦτο οἰωνίσαντο. Παρόντες δὲ οἱ φονεῖς (2) ἥσθησαν ἐπὶ τούτοις. Ὁ δὲ Καῖσαρ, πολὺ μάλιστα τῶν φίλων δεομένων ἀναβαλέσθαι τὸν σύλλογον ἐκείνης τῆς ἡμέρας διὰ τὰ λεγόμενα ὑπὸ τῶν μάντεων, ἐκέλευσε (3) καὶ δὴ τοῦτο δρᾶν. Ταχὺ δ' οἱ ὑπηρέται αὐτῷ ἐπέστησαν καλοῦντες καὶ λέγοντες ὅτι πλήρης ἡ βουλὴ εἴη. Καὶ ὁ μὲν εἰς τοὺς φίλους διέβλεψεν. Ὁ δὲ Βροῦτος αὐτῷ πάλιν παραστάς, « Ἴθι, ὦ ἀγαθέ, ἔφη, τοῖς λήροις τούτων χαίρειν φράσας, καὶ ἃ Καίσαρί τε καὶ τῇ τοσαύτῃ ἀρχῇ διοικεῖν πρέπει, μὴ ἀναβάλλου, αἴσιον οἰωνὸν τὴν σεαυτοῦ ἀρετὴν ποιούμενος. » Καὶ ὁ μὲν ταῦτα παραπείθων, ὁμοῦ τῆς δεξιᾶς λαβόμενος (ἐγγὺς δ' ἦν καὶ τὸ συνέδριον) ἦγεν αὐτόν. Ὁ δὲ εἵπετο σιωπῇ. Εἰσιόντα δὲ αὐτὸν ὡς εἶδεν ἡ σύγκλητος, ὑπανέστη εἰς τιμῆς ἀξίωσιν. Οἱ δὲ μέλλοντες ἐγχειρήσειν περὶ αὐτὸν ἦσαν. Πρῶτος δὲ πάντων ἐπ' αὐτὸν χαθίετο (4) Τύλλιος Κίμβρος (5), ᾧ ἔφευγεν ἀδελφὸς ἐληλαμένος ὑπὸ Καίσαρος. Ἐν προσχήματι δὴ τοῦ ἀντιβολεῖν αὐτὸν λιπαρῶς ὑπὲρ τοῦ ἀδελφοῦ προσελθὼν ἥπτετο τῆς ἀναβολῆς, καί τι θρασύτερον εἴσω τὰς χεῖρας ἔχοντος ἐδόκει δρᾶν, ἐκώλυέ τε, εἰ βούλοιτο ἀνίστασθαι καὶ ταῖς χερσὶ χρῆσθαι· ὀργιζομένου δ' ἐπιστρεφῶς ἐκείνου, ἔργου εἴχοντο οἱ ἄνδρες, ταχὺ δὲ πάντες γυμνώσαντες τὰ ἐγχειρίδια, ἐπ' αὐτὸν ὥρμησαν. Καὶ πρῶτος μὲν Σερουίλιος Κάσκας (6) κατὰ τὸν ἀριστερὸν ὦμον ὀρθῷ τῷ ξίφει παίει μικρὸν ὑπὲρ τὴν κλεῖν, εὐθύνων ἐπ' αὐτήν, ταραττόμενος δὲ οὐχ ἠδυνήθη (7). Καῖσαρ δ' ἀνέστη (8) ὡς ἀμυνόμενος ἐπ' αὐτόν· καὶ ὃς τὸν ἀδελφὸν βοᾷ Ἑλλάδι γλώττῃ ὑπὸ θορύβου. Ὁ δ' ὑπακούσας ἐρείδει τὸ ξίφος κατὰ τῆς πλευρᾶς. Μικρὸν δὲ Κάσσιος ὑποφθὰς εἰς τὸ πρόσωπον ἐγκαρσίαν αὐτῷ πληγὴν δίδωσι· Δέκμος δὲ Βροῦτος ὑπὸ ταῖς λαγόσι διαμπερὲς παίει. Κάσσιος δὲ Λογγῖνος ἑτέραν ἐπενδοῦναι πληγὴν σπεύδων, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τῆς Μάρκου Βρούτου χειρός. Μινούκιος (9) δὲ καὶ αὐτὸς τύπτων Καίσαρα, παίει Ῥούβριον εἰς τὸν μηρόν. Ἐῴκεσάν τε μαχομένοις ἐπ' αὐτῷ. Πίπτει δὲ ὑπὸ πλήθους τραυμάτων πρὸ τοῦ Πομπηίου ἀνδριάντος. Καὶ οὐδεὶς ἔτι λοιπὸν ἦν ὃς οὐχὶ νεκρὸν κείμενον ἔπαιεν, ὅπως ἂν καὶ αὐτὸς (10) δοκοίη τοῦ ἔργου συνῆφθαι, εἰς ὃ ε' καὶ λ' (11) λαβὼν τραύματα ἀπέπνευσεν.

XXV. Κραυγὴ δὲ μυρία ἐφέρετο, τῶν μὲν ἐκ τοῦ συνεδρίου φυγόντων μετ' ἐκπλήξεως, ὅσοι μὴ μετεῖχον τοῦ βουλεύματος, καὶ οἰομένων αὐτίκα καὶ ἐπὶ σφᾶς τὸ δεινὸν ἥξειν, τῶν δ' ἔξω Καίσαρι συνόντων (1) πάσης οἰο-

tum in extis victimarum esse perspicuum. Quod ægre ferens Cæsar quum ad occidentem se solem averteret, hoc ipsum multo magis ominosum esse vates augurabantur. Percussores præsentes his lætabantur. Cæsar, enixe rogantibus amicis ut conventum in aliam diem differret, tandem etiam facere hoc volebat. Sed eodem tempore accedentes apparitores in curiam, quæ plena jam esset, invocant. Hæsitabundus Cæsar oculos in amicos defigit. At iterum adstans Brutus, « Age, inquit, o bone, nugas istas valere jubeas; quæ Cæsarem tantumque decent imperium, ea tractare ne differas; faustum augurium tuam tibi habe virtutem. » Idque persuadens, dextra ejus apprehensa, in curiam, quæ in propinquo erat, abduxit. Ille sequebatur taciturnus. Ingredientem ubi conspexit senatus, in honorem ejus assurrexit. Jam manum illaturi undique circumstabant. Primus ad eum prodiit Tullius Cimber, cujus fratrem Cæsar exilio multaverat. Is igitur quasi pro fratre obtestaturus instanter, propius accedit, togamque apprehendens audacius aliquid quam pro viro intra vestem manus continente facere videbatur, atque sic impediebat Cæsarem, quominus, si vellet, de sede assurgeret et manibus uti posset. Illo autem severiorem in modum irascente, aggredientes rem conjurati illico omnes in eum strictis gladiolis irruerunt. Primus Servilius Casca recto ferro humerum sinistrum ferit paullo supra jugulum, in quod direxerat ictum, sed præ perturbatione aberrans non tetigit. Surrexit Cæsar defensurus se; Casca vero fratrem vocat lingua græca clamans ob tumultum. Audiens ille ferrum infigit lateri. Paullulum antevertens eum Cassius in faciem infligit ictum transversum. Decimus Brutus inguen perfodit penitus. Cassius Longinus alterum addere ictum properans aberrat, manumque tangit Marci Bruti. Minutius *Basilus* item Cæsarem petens Rubrium *Rufum* in femore sauciat. Certantium de eo præbebant spectaculum. Tandem vulnerum multitudine concidit ad statuam Pompeii; nec jam quisquam relinquebatur, quin exanimi jacentique ictum ingereret, ut ipse quoque particeps facinoris fuisse videretur, usque dum ille triginta quinque confectus vulneribus animam efflasset.

XXV. Clamor edebatur ingens partim ab iis qui conspirationis non conscii terrore perculsi e curia se proripiebant, et jamjam in ipsos quoque tempestatem istam irruituram opinabantur, partim ab iis qui Cæsarem comitati foras

— 2. φονεῖς] φρονεῖς cod. — 3. ἐκέλευσε] fuisse videtur ἐθέλησε. — 4. χαθίετο] καθείη codex. Fortasse præstat κατήει. — 5. Κίμβρος] κίμαρος codex. Τύλλιος Κίμβρος Plutarch. Cæsar. 66, 2. Τίλλιος Κίμβρος Appian. II, 117. Alii aliter, quos vide ap. Sturz. ad Dio Cass. 44, not. 98. — 6. μὲν Σερουίλιος Κάσκας] μὲν χῖλων κασικὰς codex. — 7. Cf. Appian. II, 117 : Κάσκας δ' ἐφεστὼς ὑπὲρ κεφαλῆς, ἐπὶ τὴν σφαγὴν ἤρεισε πρῶτος· παρολισθὼν δὲ ἐνέτεμε τὸ στῆθος. Plutarch. 66, 2 : πρῶτος δὲ Κάσκας ξίφει παίει παρὰ τὸν αὐχένα πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν, ἀλλ', ὡς εἰκός, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς. — 8. ἀνέστη] ἀνέστει cod. — 9. Μινούκιος] μαυνίκιος codex. — 10. αὐτὸς] οὗτος cod. — 11 ε' καὶ λ'] reliqui scriptores 23 vulnera memorant.

XXV. 1. Appian. II, 118 : Αἱ πλέονες ἀρχαὶ καὶ πολὺς ὅμιλος ἄλλος ἀστῶν καὶ ξένων καὶ πολὺς θεράπων καὶ ἐξελεύθερος

μένων εἶναι τῆς βουλῆς τὸ ἔργον καὶ στράτευμα μέγα (2) εἶναι τὸ ἐπὶ τοῦτο ἐληλυθὸς, τῶν δ' ἄλλων ὑπ' ἀγνοίας τοῦ γεγονότος πρὸς τὸ ἐξαπιναῖον τοῦ θορύβου καὶ τὰ ἐν ὄψει δρώμενα (ταχὺ γὰρ οἱ σφαγεῖς τὰ ἐγχειρίδια ἡμαγμένα ἔχοντες * (3)) δειματουμένων τε καὶ δρόμῳ φερομένων. Πάντα δ' ἦν φευγόντων πλέα μετὰ κραυγῆς. Ἐξανέστη δὲ καὶ ὁ δῆμος οὐδενὶ σὺν κόσμῳ φεύγων ἐκ τοῦ θεάτρου (ἐτύγχανε γὰρ θεώμενος μονομαχίας), τὸ μὲν πραχθὲν βεβαίως οὐκ εἰδὼς, ὑπὸ δὲ τῆς πάντοθεν βοῆς ταραττόμενος. Οἱ μὲν γὰρ ἔφασαν τὴν σύγκλητον ὑπὸ τῶν μονομάχων σφάττεσθαι, οἱ δὲ Καίσαρος ἀποσφαγέντος τὴν στρατιὰν ἐφ' ἁρπαγὴν τῆς πόλεως τετράφθαι, ἄλλοι δὲ ἄλλα ὑπελάμβανον. Ἀκοῦσαι δ' οὐδὲν ἦν σαφές· ἄκριτος γάρ τις ἐπεῖχε τάραχος εἰς ὃ τοὺς σφαγέας εἶδον, καὶ Μάρκον Βροῦτον παύοντα τὸν θόρυβον καὶ θαρρεῖν παρακελευόμενον, ὡς οὐδενὸς κακοῦ γεγονότος· ἡ δὲ σύμπασα διάνοια ἦν, καὶ τὰ λόγῳ κομπαζόμενα τοῖς σφαγεῦσιν (4), ὡς τύραννον κτείνειαν. Ἐγένοντο δ' ἐν αὐτοῖς λόγοι, ὡς χρὴ καὶ ἄλλους ἀναιρεῖν, οἳ ἔμελλον σφίσιν ἐναντίως ἔσεσθαι καὶ περὶ τῆς ἀρχῆς αὖθις ἀγωνιεῖσθαι· οὓς ἐπισχεῖν φασὶ Μάρκον Βροῦτον, οὐ δίκαιον λέγοντα εἶναι, πρὸς οὓς ἐμφανῆ μὴ ὑπέστη (5) ἐγκλήματα, τούτους δι' ὑποψίας ἀποφανοῦς ἀποσφάττειν. Καὶ ἐνίκα ταῦτα. Ἐξαΐξαντες δὴ τοὐντεῦθεν οἱ σφαγεῖς ἔφευγον θέοντες διὰ τῆς ἀγορᾶς εἰς τὸ Καπιτώλιον, γυμνὰ ἔχοντες τὰ ξίφη, ὑπὲρ κοινῆς ἐλευθερίας ταῦτα βοῶντες εἰργάσθαι. Εἵπετο δ' αὐτοῖς πολὺς μονομάχων καὶ οἰκετῶν ὄχλος, ἐπ' αὐτὸ τοῦτο εὐτρεπής. Διαδρομαὶ δ' εὐρεῖαι ἦσαν ἔν τε ταῖς ὁδοῖς καὶ κατ' ἀγορὰν, διεξελθόντος ἤδη τοῦ λόγου εἰς τὸ πλῆθος, ὅτι σφαγείη Καῖσαρ· ἐῴκει τε ἡ πόλις ἁλισκομένῃ. Ἀναβάντες δὲ εἰς τὸ Καπιτώλιον καὶ διανειμάμενοι τὸ χωρίον ἐν κύκλῳ ἐφρούρουν, δεδοικότες, μὴ τὸ Καίσαρος στρατιωτικὸν αὐτοῖς ἐπίοι.

XXVI. Ὁ δὲ νεκρὸς ἐκεῖ (1) ἔκειτο ἔνθα ἔπεσεν ἀτίμως πεφυρμένος αἵματι, ἀνδρὸς ἐλάσαντος μὲν πρὸς ἑσπέραν ἄχρι Βρεττανῶν τε καὶ Ὠκεανοῦ, διανοουμένου δ' ἐλαύνειν πρὸς ἕω ἐπὶ τὰ Πάρθων ἀρχεῖα καὶ Ἰνδῶν, ὡς ἂν, κἀκείνων ὑπηκόων γενομένων, εἰς μίαν ἀρχὴν κεφαλαιωθείη γῆς πάσης καὶ θαλάττης τὰ κράτη· τότε δ' οὖν ἔκειτο, μηδενὸς τολμῶντος ὑπομένειν (2) καὶ τὸν νεκρὸν ἀναιρεῖσθαι. Οἱ μὲν γὰρ παρόντες ἐπεφεύγεσαν, οἱ δ' ἔξω ὄντες τῶν φίλων ἐκρύπτοντο ἐν ταῖς οἰκίαις· οἱ δ' ἐξῄεσαν μεταμφιεννύμενοι εἴς τε τοὺς ἀγροὺς καὶ τὰ σύνεγγυς χωρία. Παρέστη δ' αὐτῷ τῶν φίλων οὐδεὶς, πολλῶν ὄντων, οὔτε σφαττομένῳ οὔτε μετὰ ταῦτα, ὅτι μὴ Σαβῖνος Καλουίσιος καὶ Κηνσωρῖνος. Οὗτοι δὲ ἐπιφερομένων τῶν περὶ Βροῦτον καὶ

erant, et commune totius senatus facinus esse magnumque exercitum ad hoc convenisse putabant; partim a reliquis rei ignaris et ob repentinum tumultum atque propter ea quæ suis oculis conspiciebant (nam statim percussores cruentos pugiones manu tenentes *in publicum prodierunt*) metu attonitis et huc illuc discurrentibus. Omnia repleta erant fuga ac vociferatione. Exsurrexit etiam populus tumultuanter e theatro prorumpens (nam ludos gladiatorum tum spectabat), de re acta nondum certior factus, sed auditis undique clamoribus perterrefactus : alii dicebant senatum a gladiatoribus trucidari, alii exercitum, occiso Cæsare, ad urbem diripiendam se convertisse; alii alia credebant. Accuratius quid comperire non licebat. Anceps obtinebat terror donec percussores conspiciunt et Marcum Brutum sedantem tumultus, bonoque animo esse jubentem : nihil enim accidisse funestum. Summa mens vero eorum quæ ille dicebat et reliqui percussores orationibus gloriabantur, hæc erat, tyrannum ab ipsis interfectum esse. Ceterum sermones inter eos facti sunt de reliquis quoque interficiendis qui adversaturi ipsis et de imperio rursus certaturi essent. Quod suadentes M. Brutus inhibuisse fertur, haud justum esse dicens in quos manifestæ criminationes non suppeterent, eos obscuræ suspicionis causa occidere. Eaque sententia pervicit. Deinde e curia prosilientes percussores cursim fugerunt per forum in Capitolium, nudos tenentes pugiones, pro communi omnium libertate clamantes hæc se perpetrasse. Sequebatur eos multa gladiatorum servorumque turba ad hoc ipsum instructa. Discursatio ingens in viis et foro erat, percrebrescente jam in vulgus sermone de Cæsare trucidato. Ab hoste captam urbem fuisse diceres. Isti vero in Capitolium egressi, partibus divisis, circumcirca locum custodiebant, metuentes ne milites Cæsaris se adorirentur.

XXVI. Interea corpus occisi jacebat ubi ceciderat, fœde inquinatum cruore, viri illius qui occidentem versus ad Britannos usque et Oceanum penetraverat, qui orientem versus ad Parthorum et Indorum regias expeditionem destinaverat, ut his quoque subactis in unum caput terræ universæ marisque imperia conjungerentur. Tunc vero jacebat, nullo manere apud eum audente et tollere mortuum. Nam qui cum eo fuerant in curia, fuga se proripuerant; quos foris habebat amicos, ii in domibus occultabant se, vel mutata veste urbem relinquentes in agros et propinquos locos sese subducebant. Ex tot amicis nemo ei adstabat neque dum jugulabatur neque postea, præter Sabinum Calvisium et Censorinum; sed hi quoque postquam irruentibus Bruti Cas-

αὐτὸν ἐπὶ τὸ βουλευτήριον ἐκ τῆς οἰκίας παρεπεπόμφεισαν. — 2. μέγα] μέγαν cod. — 3. ἔχοντες] Lacunam notavi. Plutarch. Cæs. 67, 2 : Οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου ἐχώρουν εἰς τὸ Καπιτώλιον κτλ. Appian. II, 119 : Οἱ δὲ σφαγεῖς... τὰ ἱμάτια ταῖς λαιαῖς ὥσπερ ἀσπίδας περιπλεξάμενοι, καὶ τὰ ξίφη μετὰ τοῦ αἵματος ἔχοντες, ἐβοηδρόμουν βασιλέα καὶ τύραννον ἀνελεῖν. Cf. infra. — 4. τοῖς σφαγεῦσιν] τοῖς φαγεῦσιν cod. — 5. ὑπέστη] ὑπέστην cod.

XXVI. 1. ἐκεῖ] ἐπεὶ cod. — 2 ὑπομένειν] ὑπομείνειν cod.

Κάσσιον μικρὸν ἀντιστάντες ἔφυγον διὰ τὸ ἐκείνων πλῆθος· οἱ δὲ ἄλλοι τὸ κατὰ σφᾶς περιέβλεπον· τοῖς δὲ καὶ βουλομένοις ἦν τὰ γιγνόμενα. Φασί γέ τοί τινα αὐτῶν εἰπεῖν ἐπὶ τεθνηῶτι· «Ἅλις τυράννου θεραπείας.» Οἰχέται δὲ δὴ τρεῖς (3), οἵπερ ἦσαν πλησίον, ὀλίγον ὕστερον ἐνθέμενοι τὸν νεκρὸν εἰς φορεῖον οἴκαδε ἐκόμιζον διὰ τῆς ἀγορᾶς ὁρώμενον, ἔνθεν καὶ ἔνθεν ἀνεσταλμένων τῶν παρακαλυμμάτων, αἰωρουμένας (4) τὰς χεῖρας καὶ τὰς ἐπὶ τοῦ προσώπου πληγάς. Ἔνθα οὐδεὶς ἄδακρυς ἦν, ὁρῶν τὸν πάλαι ἴσα καὶ θεὸν τιμώμενον· οἰμωγή τε πολλὴ καὶ στενὼ (5) συμπαρεπέμπετο ἔνθεν καὶ ἔνθεν ὀλοφυρομένων ἀπό τε τῶν τεγῶν καθ' οὓς ἂν γένοιτο καὶ ἐν ταῖς ὁδοῖς καὶ προθύροις. Καὶ ἐπειδὴ πλησίον τῆς οἰκίας ἐγένετο, πολὺ δὴ μείζων ὑπήντα κωκυτός· ἐξεπεπηδήκει (6) γὰρ ἡ γυνὴ μετὰ πολλοῦ ὄχλου γυναικῶν τε καὶ οἰκετῶν, ἀνακαλουμένη τὸν ἄνδρα, καὶ ἑαυτὴν ὀδυρομένη, ὅτι μάτην προὔλεγε μὴ ἐξιέναι τὴν ἡμέραν ἐκείνην. Τῷ δ' ἤδη μοῖρα ἐφειστήκει πολὺ κρείττων ἢ κατὰ τὴν αὐτῆς ἐλπίδα.

XXVI. Καὶ οἱ μὲν αὐτῷ τάφον ηὐτρέπιζον, οἱ δ' αὐτόχειρες, πολλοὺς πρὸ τοῦ ἔργου ἑτοιμασάμενοι μονομάχους, ἡνίκα μὲν ἔμελλον ἐγχειρήσειν, ἵδρυσαν αὐτοὺς ἐν ὅπλοις μεταξὺ τοῦ τε βουλευτηρίου καὶ τοῦ θεάτρου ἐν τῷ Πομπηίου περιπάτῳ. Ἦν δ' ὁ τούτους εὐτρεπίζων Δέκμος Βροῦτος (1), προφάσεσι μὲν ὡς ἐπ' ἄλλο, συναρπάσαι δή τινα βουλόμενος, ὡς ἔφη, τῶν εἰς τὸ θέατρον συνιόντων μονομάχων, ὃς αὐτὸν ἐκείνῳ προαπεμίσθωσεν (ἀγῶνες γὰρ τότε ἦσαν· οὓς δὴ (2) καὶ αὐτὸς δώσειν μέλλων προσεποιεῖτο φιλοτίμως ἔχειν πρὸς τὸν τότε ἀγωνοθέτην)· τῷ δ' ἔργῳ ἡ παρασκευὴ ἐγίνετο ἐπὶ τὸν φόνον, ἵν' εἴ τι ἀντικρούσεται τῶν Καίσαρι ἀμυνομένων, παρείη αὐτοῖς ἡ βοήθεια. Τούτους οὖν ἔχοντες κατέβαινον ἐκ τοῦ Καπιτωλίου καὶ ἄλλο οἰκετῶν πλῆθος. Συγκαλέσαντες δὲ τὸν δῆμον διάπειραν ἔγνωσαν αὐτοῦ καὶ τῶν ἐν τέλει ποιήσασθαι, πῶς ἔχουσι γνώμης πρὸς αὐτούς, πότερον ὡς τυραννίδα παύσαντας ἀποδέχοιντο ἢ ὡς φονέας ** μείζω (3) κακὰ ἀπ' αὐτῶν ἐκραγήσεσθαι· οὐ γὰρ ἀπὸ μικρᾶς διανοίας καὶ παρασκευῆς γεγονέναι ταῦτα, οὔτε ὑφ' ὧν ἐπράχθη, οὔτε ἐπὶ οὓς ἠβουλήθη· μεγάλα γὰρ δὴ στρατόπεδα εἶναι τὰ Καίσαρος ἐπικουρικά, καὶ μεγάλους ἡγεμόνας τοὺς διαδόχους αὐτοῦ τῆς διανοίας ἀπολελειμμένους. Σιγὴ δὲ τότε παρὰ τὸ ἀηθες ἐν θορύβῳ τῆς γνώμης πολλὴ ἦν (4), καραδοκούντων πάντων, ὅ τι πρῶτον ὡς ἐν τῷ τοιῷδε τολμηθείη, καὶ ἄρξειε τῆς νεωτεροποιίας. Ἐν τούτῳ δὲ Μάρκος Βροῦτος, κατὰ πολλὴν ἡσυχίαν τοῦ δήμου τὸ μέλλον προσδεχομένου, σωφροσύνῃ τε βίου διὰ παντὸς τιμώμενος κατά τε εὔκλειαν προγόνων, καὶ τὴν ἀπ' αὐτοῦ ἐπιείκειαν εἶναι

siique sociis aliquantisper restiterant, propter multitudinem adversariorum in fugam se dederunt. Reliqui autem omnes nonnisi suæ prospexerunt saluti; nonnullis etiam haud invitis res accidit. Certe unus eorum ad mortuum dixisse fertur : « Satis est præstiti tyranno obsequii. » Tandem servi tres, qui prope aderant, paullo post cadaver in lecticam impositum domum reportarunt per forum, ita ut, elevatis utroque latere aulæis, manus dependentes vulneraque faciei conspicerentur. Tum virum videns pariter ac deum modo honoratum, nemo non lacrimabat; ingens eum lamentatio et gemitus utrinque prosequebatur plorantium in tectis, in viis, in vestibulis, ubicumque corpus transferebatur. Ubi demum ad ædes Cæsaris appropinquabat, tum vero multo major occurrebat ejulatus. Nam prosiluerat uxor cum mulierum servorumque multitudine, invocans nomen mariti, cum fletu se ipsam accusans, quod frustra eum præmonuisset ne domo die ista prodiret. At illi tum fatum jam instabat multo illud quam pro uxoris exspectatione potentius.

XXVI. Ac hi quidem funus adornabant; percussores vero multos antea gladiatores collegerant, quos, ubi Cæsari manus illaturi erant, armatos inter curiam et theatrum in Pompeii deambulacro collocaverant. Instruxerat eos Decimus Brutus, verbo tenus ut gladiatorem ex iis qui eo die prodituri in theatrum conveniebant quendam, qui ipsi prius se accepta mercede elocasset, corriperent (scilicet ludi gladiatorii tunc erant, quos quum ipse quoque edere vellet, simulabat se æmulatione ductum cum eo qui tunc edebat, contendere); re vera autem apparatus ille ad cædem pertinebat, ut, si quid adversi ex defendentibus Cæsarem accideret, præsto adesset auxilium. His igitur gladiatoribus aliaque servorum caterva stipati e Capitolio descenderunt. Ac convocato populo, periculum ejus et magistratuum facere voluerunt, quomodo essent affecti, utrum se ut liberatores et tyrannicidas excepturi essent, an ut sicarios. ** mox majora etiam mala in rempublicam irruptura esse; nam haud parvo consilio et apparatu hæc facta esse neque eorum qui peregissent, neque eorum contra quos structa essent; magnos esse Cæsaris exercitus auxiliares, ac magnos duces relictos, qui consilia ejus cœptaque persequerentur. Tunc igitur propter rei novitatem altum in magna animorum perturbatione erat silentium, cunctis præstolantibus quidnam primum in tanto discrimine ausuri essent, quodnam rerum novarum foret initium. In hac populi futura exspectantis tranquillitate M. Brutus, honoratus ille ob moderationem per totam ejus vitam conspicuam simulque ob gloriam majorum et quam ipsi tribuebant

3. Cf. Appian. II, 118 extr. Sueton. 82. — 4. αἰωρουμένας] αἰωρουμένων cod. Sueton. l. l. : *Exanimis, diffugientibus cunctis, aliquamdiu jacuit, donec lecticæ impositum, dependente brachio, tres serculi domum retulerunt.* — 5. στενὼ] στένω codex; si genuina vox, addenda lexicis. In antec. ἴσα καὶ θεοῦ. — 6. ἐξεπεπηδήκει] ἐξεπηδήκει codex.

XXVI. 1. Attingit hæc Appian. II, 122. — 2. δὴ] δὲ cod. — 3. Locus turbatus. Supplere possis Ὁ δὲ δῆμος ὑπελάμβανε vel simile quid. — 4. πολλὴ ἦν] πολλὴν codex.

δοκοῦσαν, ἔλεξε τοιάδε. Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.

XXVII. Μετὰ δὲ τὴν δημηγορίαν ἀναχωρήσαντες πάλιν εἰς τὸ Καπιτώλιον ἐβουλεύοντο περὶ τῶν παρόντων ὃ χρὴ ποιεῖν. Ἔδοξε δ' οὖν αὐτοῖς πέμψαι πρέσβεις πρός τε Λέπιδον καὶ Ἀντώνιον, ὅπως ἂν πείσειαν ἐλθεῖν τε πρὸς αὐτοὺς εἰς τὸ ἱερὸν καὶ ἐν κοινῷ βουλεύεσθαι περὶ τοῦ μέλλοντος συνοίσειν τῇ πόλει, ὑπισχνεῖσθαί τε αὐτοῖς, πάνθ' ὅσα ἔχουσι παρὰ Καίσαρος, ἐν δωρεᾶς μέρει κύρια ποιήσειν, ὥστε τούτων γ' οὕνεκα μὴ διαφέρεσθαι. Τοῖς δ' ἥκουσιν ἐκείνοις ἔφασαν εἰς τὴν ὑστεραίαν ἀπόκρισιν δώσειν. Γενομένων δὲ τούτων περὶ δείλην ὀψίαν πολὺ μείζων κατέσχε τὴν πόλιν θόρυβος. Ἕκαστός τε τὸ καθ' ἑαυτὸν ἐφυλάττετο τοῦ κοινοῦ ἤδη ἀφεστηκώς, φοβούμενος τὰς ἐξαπίνης ἐπιβουλὰς καὶ ἐπιχειρήσεις (1), τῶν πρώτων ἐν ὅπλοις ὄντων καὶ ἀλλήλοις ἀντικαθημένων, σφίσι δὲ ἔτι ἀδήλου ὄντος τοῦ βεβαίως προστησομένου. Καὶ τότε μὲν ἐπεὶ νὺξ ἦν, διελύθησαν ἀπ' ἀλλήλων· τῇ δὲ ὑστεραίᾳ ἦν μὲν ἐν ὅπλοις Ἀντώνιος ὕπατος ὤν· Λέπιδος δὲ ἀθροίσας οὐκ ὀλίγην στρατιὰν ἐπικούρων, διὰ μέσης ἀγορᾶς διεξῄει ἀμύνειν ἐγνωκὼς Καίσαρι. Ὡς δὲ τοῦτο γεγονὸς εἶδον οἱ πρότερον ἐνδοιάζοντες, συνέρρεον πρὸς αὐτοὺς μεθ' ὅπλων κατὰ ἰδίας ἑταιρείας, καὶ μέγα (2) στράτευμα ἐγένετο. Ἦσαν δὲ οἱ τοῦτο δέει ἔδρων οὐ βουλόμενοι φανεροὶ εἶναι χαίροντες ἐπὶ τῇ Καίσαρος τελευτῇ, ἀλλὰ τῷ συνίστασθαι μετὰ τούτων θεραπεύοντες τὴν ἔπειτα ἐλπίδα. Πολλὰ δὲ ἐπέμπετο καὶ εἰς τοὺς ὑπὸ Καίσαρος εὖ πεπονθότας ἢ πόλεων κατοικησίαις (3) ἢ γῆς κληρουχήσεσι ἢ χρημάτων νομαῖς, ὡς μέλλοι πάντα κινεῖσθαι, εἰ μή τι φανείη καὶ ἀπ' αὐτῶν καρτερόν. Πολλαὶ δὲ καὶ ὀλοφύρσεις καὶ ἱκετεῖαι πρὸς τοὺς ἐκείνου φίλους ἐγίγνοντο, καὶ μάλιστα τοὺς συνεστρατευμένους πρότερον μνημονεύειν παρακελευόμεναι, οἷος ὢν οἷα πάθοιεν ἐρημίᾳ φίλων. Συνέρρεον (4) δὲ ἤδη πολλοὶ κατά τε οἶκτον καὶ φιλότητα, καὶ κέρδη ἴδια δὲ καὶ νεωτερισμοῦ εὑρόντες, καὶ μάλιστα ἐπειδὴ μαλακώτερα τὰ ἐκ τῶν ἐναντίων ἐφαίνετο, καὶ οὐχ ὁποῖα τὸ πρότερον προσεδοκήθη κατὰ ὑπόνοιαν ἰσχύος μείζονος. Ἐλέγετο δ' ἤδη ἐκ τοῦ φανεροῦ, ὅτι χρὴ ἀμύνειν αὐτῷ μηδὲ ἄλλως ποιεῖν μηδὲ περιορᾶν ἀτιμώρητον τὸν φόνον (5). Ἄλλοι δὲ ἄλλα κατὰ συστάσεις ἀθροιζόμενοι ἔλεγον, οἱ μὲν πρὸς τῶνδε, οἱ δὲ πρὸς τῶνδε. Ὅσοι δὲ πολιτείας τι μετεποιοῦντο ἡδόμενοι ἐπὶ τῇ συμπάσῃ (6) μεταβολῇ, ἐκάκιζον τοὺς Καίσαρος σφαγέας, ὅτι οὐχὶ πλείους ἀνέλοιεν τῶν τότε ὑπόπτων, καὶ βέβαιον ἀποδοῖεν σφίσι τὴν ἐλευθερίαν· πράγματα γὰρ αὐτοῖς τοὺς λειπομένους οὐκ ὀλίγα παρέξειν· ἦσαν δ' οἱ προμηθείᾳ πλέονι δοκοῦντες καὶ πείρᾳ τῶν ἐπὶ Σύλλα πρότερόν ποτε συμπεσόντων εἰδότες παρακελεύεσθαι ἐκ μέσου συστῆναι

æquitatem, dixit hunc in modum. *Quære in Exc. de concionibus.*

XXVII. Post concionem in Capitolium regressi deliberarunt in præsenti rerum statu quid faciendum sit. Placuit legatos mittere ad Lepidum et Antonium, quibus suaderent, ut ad ipsos venirent in templum, ibique in communi deliberarent quæ forent e republica; ac simul promittere se omnia quæ a Cæsare illi accepta tenerent, pro donis rata habituros esse, adeo ut ab hac saltem parte nihil dissiderent. Illi vero legatis dixerunt postridie se responsuros esse. Hæc quum sera vespera fierent, multo magis aucta est in urbe animorum perturbatio. Suis unusquisque rebus consulebat, deserta jam republica, metuens repentinas insidias et aggressiones; nam duces in armis erant castra castris opponentes; necdum liquebat quinam firmo imperio rebus præfuturus esset. Et tunc quidem, ubi nox venerat, digressi sunt. Postridie vero Antonius consul in armis erat; Lepidus haud mediocri collecta manu auxiliari, per medium forum prodiit cædem Cæsaris ulturus. Quod ubi viderunt qui dubii hucusque fuerant, sumptis armis cum suo quisque sodalitio ad eum confluebant, adeo ut magnus coiret exercitus. Ceterum erant qui metu hoc facerent, nolentes manifestum fieri suum de nece Cæsaris gaudium, atque eo, quod illis se adjungebant, spei futuri inservientes. Multum etiam missis nuntiis eos sollicitabant, quos beneficiis Cæsar, sive urbibus ad habitandum concessis sive agrorum distributione sive pecuniarum largitione, affecerat, omnia dicentes fore ut statu suo moverentur, nisi ab ipsis quoque fortius aliquid ederetur. Denique multis precibus et lamentationibus amicos Cæsaris adibant, eos maxime qui in expeditionibus ejus socii fuerant, meminisse jubentes, quantus vir qualia passus esset quod amicis fuisset destitutus. Sic frequentes jam confluebant, partim miseratione et amicitia ducti, partim vero sua sibi lucra etiam ex rebus novis fore putantes, præsertim quum remissius ab adversariis agi viderent nec uti antea majoris roboris suspicione exspectaverant. Jam palam profitebantur Cæsarem ulciscendum, neque aliter faciendum, neque committendum esse, ut cædem ejus impunem sinerent. Alia alii in cœtus ab his, ab illis congregati dictitabant. Qui vero liberam rempublicam asserere volebant, facta rerum conversione gaudentes reprehendebant Cæsaris percussores, quod non plures eorum, qui suspecti essent, occidissent eoque libertatem stabilivissent : nam relictos haud parum negotii ipsis facturos esse. Nonnulli porro prudentia præstantes et peritia eorum quæ Sullæ temporibus olim acciderant edocti hortabantur,

XXVII. 1. ἐπιχειρήσεις] χειρήσεις cod. — 2. μέγα] μέγαν cod. Idem paullo post φανερὸν εἶναι. — 3. κατοικησίαις] κατοικησίας cod. Formam κατοικησία nonnisi ex Etym. M. novimus. V. Steph. Thes. v. κατοικεσία. — 4. συνέρρεον] συννέρρεων cod. Mox fort. scrib. ἐκ νεωτερ. — 5. τὸν φόνον] addidi articulum. — 6. συμπάσῃ] malim συμβάσῃ.

ἀμφοτέροις· καὶ γὰρ τότε οἱ ἀπολωλέναι δόξαντες αὖθις ἀναθαρρήσαντες τοὺς νενικηκότας ἤλασαν· πολὺν οὖν πόνον παρέξειν Καίσαρα καὶ ἀπολωλότα τοῖς τε σφαγεῦσι καὶ τῇ τούτων ἑταιρείᾳ, μεγάλων στρατευμάτων ἐνεστώτων καὶ ἀνδρῶν ἐπ' αὐτοῖς δραστηρίων. Οἱ δὲ περὶ Ἀντώνιον πρὶν μὲν παρασκευάσασθαι, διεπρεσβεύοντο καὶ διελέγοντο τοῖς ἐν Καπιτωλίῳ. Ἐπεὶ δὲ πλήθει ὅπλων καὶ στρατιᾶς ἐθάρρησαν, διοικεῖν ἠξίουν τὰ κοινὰ, παύσαντες τὸν ἐν τῇ πόλει τάραχον. Πρῶτον δὲ ἐν σφίσι βουλὴν προὔθεσαν ὅπως χρὴ ἔχειν πρὸς τοὺς σφαγέας, συγκαλέσαντες τοὺς φίλους. Τῶνδε Λέπιδος μὲν ἀπεφήνατο γνώμην, πολεμεῖν ἄντικρυς αὐτοὺς καὶ τιμωρεῖν Καίσαρι· Ἵρτιος δὲ διαλέγεσθαι καὶ φιλίαν τίθεσθαι. Ἄλλος δὲ τὴν ἐναντίαν εἶπε τῷ Λεπίδῳ, προσθέμενος, ὡς καὶ ἀνόσιον εἴη περιορᾶν νήποινον τὸν Καίσαρος φόνον, καὶ αὐτοῖς μέντοι οὐκ ἀσφαλὲς, ὅσοι ἐκείνῳ ἦσαν φίλοι· καὶ γὰρ εἰ ἐν τῷ παρόντι ἡσυχάζουσιν οἱ αὐτόχειρες, ἀλλὰ δύναμίν γε κτησάμενοι χωρήσουσιν ἐπὶ πλέον. Ἀντώνιος δὲ τῇ Ἱρτίου προσθέμενος γνώμῃ, σώζειν αὐτοὺς ἠξίου. Ἦσαν δ' οἱ ἀποπέμψασθαι παρακελευόμενοι ἐκ τῆς πόλεως ὑποσπόνδους (8).

XXVIII. Μετὰ δὲ θάνατον καὶ κηδείαν τοῦ μεγάλου Καίσαρος συνεβούλευσαν οἱ φίλοι Καίσαρι τῷ νέῳ Ἀντώνιον ποιήσασθαι φίλον καὶ τῶν πραγμάτων ἐπιμελητήν. ** Πολλῶν (1) δὲ καὶ ἄλλων αἰτίων συμβάντων πρὸς τὴν πρὸς ἀλλήλους διαφορὰν, ἐδόκει αὐτοῖς τὴν ἔχθραν ἐξάπτειν μᾶλλον πρὸς ἀλλήλους, διάφορος μὲν ὢν (2) πρὸς Καίσαρα, συμπράττων δ' Ἀντωνίῳ. Καῖσαρ δ' οὐδὲν ὀρρωδῶν ἐκ τοῦ μεγαλόφρονος, θέας ἐποίει (3) ἐνστάσης ἑορτῆς ἣν ὁ πατὴρ αὐτοῦ κατεστήσατο Ἀφροδίτῃ. Καὶ αὖθις προσελθὼν (4) σὺν πλείοσιν ἔτι καὶ φίλοις, παρεκάλει Ἀντώνιον, συγχωρῆσαι τὸν δίφρον μετὰ τοῦ στεφάνου τίθεσθαι τῷ πατρί. Ὁ δ' ὅμοια ἠπείλησεν, εἰ μὴ τούτων ἀποστὰς ἡσυχίαν ἄγοι. Καὶ ὃς ἀπῄει καὶ οὐδὲν ἠναντιοῦτο, κωλύοντος τοῦ ὑπάτου· εἰσιόντα γε μὴν αὐτὸν εἰς τὸ θέατρον ἐκρότει ὁ δῆμος εὖ μάλα καὶ οἱ πατρικοὶ στρατιῶται ἠχθημένοι (5) διότι τὰς πατρῴους ἀνανεούμενος τιμὰς διεκωλύθη, ἄλλους τε ἐπ' ἄλλοις κρότους ἐδίδουν παρ' ὅλην τὴν θέαν ἐπισημαινόμενοι (6). Ὁ δὲ τὸ ἀργύριον ἠρίθμει τῷ δήμῳ· ὅπερ αὐτῷ μεγάλην εὔνοιαν παρέσχεν. Ἐξ ἐκείνης δὲ τῆς ἡμέρας μᾶλλόν τι φανερὸς ἦν Ἀντώνιος δυσμενῶς ἔχων πρὸς Καίσαρα, ἐμποδὼν γενόμενος τῇ τοῦ δήμου σπουδῇ πρὸς

ut neutri se parti adjungentes, medios se inter utrosque collocarent : nam tunc quoque qui periisse viderentur, resumptis animis victores expulisse. Multum igitur laboris præbiturum Cæsarem etiam mortuum percussoribus eorumque factioni, magnis jam imminentibus exercitibus, quibus duces præessent strenuissimi. Antonius autem ejusque socii antequam ad exsequendum propositum accingerentur, missis legatis cum iis qui in Capitolio erant, collocuti sunt. Et armorum militumque copia fidentes rempublicam administrare cœperunt, sedato in urbe tumultu. Primum vero, convocatis amicis, deliberarunt inter se, quomodo erga percussores ipsis agendum esset. Lepidus armis contra eos dimicandum et Cæsaris necem ulciscendam esse censuit; Hirtius transigi et amicitiam jungi voluit. Alius contrariam sententiam cum Lepido faciens proposuit, neque pium esse addens si inultam cædem Cæsaris sinerent, neque ipsis ejus amicis alias securitatem fore; « nam si in præsenti, ait, quiescunt interfectores, certe simul ac viribus aucti fuerint, insolescent. » Antonius Hirtii sententiæ adstipulans servandos esse censuit. Erant etiam qui ex urbe dimittendos esse pactis induciis existimarent.

XXVIII. Post necem et exsequias Cæsaris magni, familiares suadebant Cæsari juniori, ut Antonium amicum sibi conciliaret eumque rerum suarum procuratorem constitueret. *** Præterea quum alia multa ad dissidium eorum conferrent, ille a Cæsare alienus et cum Antonio faciens, magis etiam excitare inimicitiam eorum videbatur. Cæsar vero nihil reformidans præ animi altitudine, spectacula adornavit, instante festo, quod pater Veneri *Genitrici* instituerat. Ac denuo cum amicis compluribus ad Antonium accedens petivit, ut sellam et coronam patri ponere sibi permitteretur. Ille autem eadem quæ antea minabatur, nisi ab his desistens quietem ageret. Abiit Cæsar neque quidquam contra molitus est, impediente consule. Ceterum in theatrum ingredientem ingenti plausu populus excepit et patris commilitones, ægre ferentes eum paternos honores renovaturum prohiberi; aliosque supra aliis plausus edentes per totum spectaculum favorem suum professi sunt. Porro Cæsar argentum populo dinumeravit; unde magnam sibi benevolentiam conciliavit. Inde ab illa die manifestior erat Antonii adversus Cæsarem simultas eo quod populi in eum

8. Plura excerptor omisit.

XXVIII. 1. Lacunam notavi. Codex αἰτιῶν — 2. διάφορος μὲν ὢν] Hæc intelligenda puto de Critonio tribuno. V. not. seq — 3. Appian. III, 58 : Θέαι δ' ἦσαν, ἃς Κριτώνιος ἀγορανομῶν ἔμελλε τελέσειν· καὶ ὁ Καῖσαρ ἐς τὰς θέας τῷ πατρὶ τόν τε χρύσεον θρόνον καὶ στέφανον παρεσκεύαζεν, ἅπερ αὐτῷ κατὰ πάσας θέας ἐψηφίσαντο προτίθεσθαι. Τοῦ Κριτωνίου δὲ εἰπόντος, οὐκ ἀνέξεσθαι τιμωμένου Καίσαρος ἐν ταῖς αὐτοῦ δαπάναις, ὁ Καῖσαρ αὐτὸν ἐς τὸν Ἀντώνιον ἦγεν, ὡς ὕπατον. Ἀντωνίου δὲ εἰπόντος, ἐς τὴν βουλὴν ἐπανοίσειν, χαλεπήνας ὁ Καῖσαρ, Ἀνάφερε, εἶπεν· ἐγὼ δὲ τὸν θρόνον, ἕως ἂν ᾖ τὸ δόγμα, προθήσω. Καὶ ὁ Ἀντώνιος χαλεπήνας ἐκώλυσεν. Ἐκώλυσε δὲ καὶ ἐν ταῖς ἑξῆς θέαις ἔτι παραλογώτερον, ἃς αὐτὸς ὁ Καῖσαρ ἐτέλει, ἀνακειμένας ἐν τοῦ πατρὸς Ἀφροδίτῃ Γενετείρᾳ, ὅτεπερ αὐτῇ καὶ τὸν νεὼν ὁ πατὴρ τὸν ἐν ἀγορᾷ ἅμα αὐτῇ ἀγορᾷ ἀνετίθει. Τότε δὴ καὶ μάλιστα μῖσος ἤδη σαφὲς ἐκ πάντων ἐς τὸν Ἀντώνιον ἐγίγνετο κτλ. Cf. Dio 45, 6; Sueton. Cæs. 10 et 88; Plutarch. Anton. 16, 2; August. ap. Plinium H. N. II, 23. De prioribus ludis, quos Critonius edidit, ipsum etiam Nicolaum exposuisse, colligas ex verbis αὖθις προσελθὼν κτλ. — 4. προσελθὼν] προελθὼν cod. — 5. ἠχθημένοι] ἠσθημένοι cod. — 6. ἐπισημαιν.]

αὐτόν (7)· ἑώρα τε Καῖσαρ (8), ὅπερ αὐτῷ ἐκ τῶν τότε παρόντων καταφανὲς γενόμενον, προστασίας δεόμενος πολιτικῆς· ἑώρα δὲ καὶ τοὺς ὑπάτους ἐκ τοῦ φανεροῦ ἀνθεστῶτας ἰσχύν τε πολλὴν ἔχοντας καὶ ἄλλην ἔτι σφίσι προσποιοῦντας. Καὶ γὰρ τὸ ταμιεῖον τῆς πόλεως, ὃ πολλῶν χρημάτων ὁ πατὴρ αὐτοῦ ἐνέπλησεν, ἐντὸς δυοῖν μηνοῖν ἢ Καίσαρα τελευτῆσαι κενὸν ἐποίησαν καθ' ἣν τύχοι πρόφασιν ἐν ἀκαταστασίᾳ πολλῇ πραγμάτων ἐκφοροῦντες ἀθρόον τὸ ἀργύριον, καὶ τοῖς σφαγεῦσι φίλοι ἦσαν. Μόνος δ' ἔτι λοιπὸς ἦν Καῖσαρ τιμωρὸς τῷ πατρί, διαμεθέντος Ἀντωνίου τὸ σύμπαν καὶ τὴν πρὸς τοὺς φονεῖς ἀγαπῶντος ἀμνηστίαν. Συνῄεσαν οὖν πολλοὶ [μὲν] πρὸς αὐτὸν, οὐκ ὀλίγοι δὲ καὶ πρὸς τοὺς περὶ Ἀντώνιον καὶ Δολοβέλλαν. Ἦσαν δ' οἱ ἐν μέσῳ τὴν ἔχθραν ἀνάγοντες αὐτῶν καὶ πράττοντες τοῦτο *. Τούτων δ' ἦσαν κορυφαῖοι Πόπλιος, Οὐίβιος (9), Λεύκιος, πάντων δὲ μάλιστα Κικέρων. Καῖσαρ δὲ οὐκ ἀγνοῶν (10) ὅντινα τρόπον αὐτῷ συνίασιν οὗτοι παροξύνοντες ἐπὶ Ἀντώνιον, οὐ διωθεῖτο, ὅπως αὐτῶν τὴν βοήθειαν φυλακήν τε ἐρρωμενεστέραν περὶ ἑαυτὸν καταστήσοιτο· ᾔδει γὰρ ἑκάστους ἐλάχιστα μὲν τοῦ κοινοῦ προεστῶτας, περισκοποῦντας δὲ ἀρχὴν καὶ δυναστείαν, ὡς ἂν τοῦ ταῦτα κεκτημένου πρότερον ἐκποδὼν (11) ὄντος, αὐτοῦ δὲ κομιδῇ νεωτέρου καὶ οὐκ ἂν ἀνταρκέσαντος, ὥς γε ὑπολαμβάνειν, πρὸς τοσόνδε τάραχον, ἄλλων ἄλλα προσδοκώντων καὶ ἰδίᾳ σφίσιν ἃ δύναιντο (12) κτωμένων. Ἀνῃρημένης γὰρ τῆς εἰς τὸ κοινὸν γνώμης, κατὰ πολλὰ δὲ μέρη τῶν δυνατῶν διεσχισμένων, καὶ ἑκάστων ἑαυτοῖς τὰ κράτη περιποιούντων τὰ σύμπαντα ἢ ὁπόσα γοῦν δύναιντο παρασπάσασθαι, πολυπρόσωπός τις (*) ἦν καὶ ἀλλόκοτος ἡ ταραχή. Καὶ Λέπιδος μὲν μοῖραν τινὰ τῆς Καίσαρος στρατιᾶς ἀπορρήξας, ἀντείχετο καὶ αὐτὸς ἐξουσίας ἐν Ἰβηρίᾳ τῇ ἐπιτάδε, Κελτούς τε τοὺς γειτνιῶντας τῇ ἄνω θαλάττῃ κατέχων· τοὺς δ' ἐπέκεινα Μουνάτιος (13) Λεύκιος Πλάγκος (14) ὑφ' αὑτῷ ἐπεποίητο σὺν ἑτέρῳ στρατῷ ὕπατος καὶ αὐτὸς ἀποδεδειγμένος. Ἰβηρίας δὲ τοὺς ἐπέκεινα οἰκοῦντας Γάϊος Ἀσίνιος (15), ἄλλου στρατοῦ ἄρχων, ὑπῆκτο. Δέκμος δὲ Βροῦτος τὴν ἰσόνομον ἐκράτει Γαλατίαν σὺν δυοῖν τάγμασιν, ἐφ' ὧν ἔμελλεν αὐτίκα μάλα χωρεῖν Ἀντώνιος· Μακεδονίᾳ δὲ Γάϊος Βροῦτος ἔφεδρος (16) ἦν, ὅσον οὔπω περαιωθεὶς ἐκ τῆς Ἰταλίας ἐπ' αὐτὴν, καὶ Συρίᾳ Κάσσιος Λογγῖνος, ὅστις ἀπεδέδεικτο (17) τῆς Ἰλλυρίδος (18) στρατηγός. Τοσαῦτα μὲν στρατεύματα ἐν τῷ τότε συνειστήκει, καὶ τοσοίδε ἄρχοντες, αὐτός τις ἕκαστος ἑαυτὸν ἀξιῶν τὴν τῶν ὅλων δυναστείαν ἔχειν, ἀνῃρημένου παντὸς νομίμου καὶ δικαίου, κατ' ἰσχὺν δὲ τὴν ἑκάστοις προσοῦσαν τοῦ

studiis impedimento erat. Viditque Cæsar, quod e præsenti rerum statu clare elucebat, indigere se præsidio aliquo publico; vidit etiam consules aperto resistentes magnaque potitos potentia majora adhuc appetentes. Nam ærarium civitatis, quod multis opibus pater ejus impleverat, intra duos menses inde a morte Cæsaris exhauserant, obvio quoque prætextu per summam rerum omnium confusionem pecunias dilapidantes; denique percussoribus amici erant. Sic solus adhuc reliquus erat Cæsar paternæ cædis vindex, quum Antonius totum hoc negligeret et concessam percussoribus rerum anteactarum oblivionem tueretur. Multi sane ad Cæsarem accedebant, sed haud pauci etiam ad Antonium et Dolabellam; alii vero in medio positi hoc agebant, ut inimicitiam eorum focillarent. Quorum principes erant Publius, Vibius, Lucius et præ ceteris Cicero. Cæsar etsi haud nescius quonam consilio se convenirent hi, qui contra Antonium exstimulabant, non repulit tamen, ut eorum auxilio usus firmiore se custodia muniret. Nam bene noverat singulos illos non salutis publicæ curam agere, sed summum magistratum et imperium circumspicere, quum J. Cæsar antea his potitus non amplius impedimento esset, ipse vero juvenis admodum, adeoque impar, uti putabant, tantis componendis turbis foret, aliis alia exspectantibus et sibi singulis quæ possent vindicantibus. Etenim sublata omni quæ ad communem salutem spectaret cogitatione, virisque principibus in multas factiones divisis, singulisque affectantibus aut summam imperii aut quantum ejus pertrahere ad se possent : multiformis et immanis erat rerum conturbatio. Lepidus parte quadam a Cæsaris exercitu avulsa, et ipse imperium appetebat, Hispaniam tenens Citeriorem et Galliam quæ mari superiori imminet; ulteriores Gallos L. Munatius Plancus in potestate habebat cum alio exercitu consul creatus. Iberiam ulteriorem tenebat C. Asinius *Pollio*, alius dux exercitus. Decimus Brutus in Gallia Cisalpina imperabat cum duabus legionibus, contra quas jam exire properabat Antonius. Macedoniam sibi vindicabat C. Brutus tantum nondum ex Italia in eam profectus, Syriam Cassius Longinus, qui Illyriæ prætor designatus erat. Tanti exercitus tum contracti erant, tot duces constituti, quorum sibi quisque summam imperii asserere studebat, quum sublata esset omnis legum auctoritas et justitia, atque vi armorum, quibus quisque polleret, res disceptaren-

ἐπισημεν. cod. Mox ἠρίθμει cod. — 7. αὐτὸν] ἑαυτὸν cod. — 8. Καῖσαρ] καίσαρι cod. — 9. Οὐίβιος] ὄρβιος, ut supra. — 10. οὐκ ἀγνοῶν] οὐκαινοῶν cod. — 11 ἐκποδὼν] ἐμποδὼν codex. — 12. ἃ δύν.] ἀδυν. cod. — * πολὺ πρόσω πίστις codex. — 13. τοὺς δ' ἐπέκεινα Μουνάτιος] τούτους δὲ κομανοὺς cod. Lepido Cæsar Galliam Narbonensem et Hispaniam finitimam tribuerat. Ulteriorem Galliam tenebat Munatius Plancus. Dio Cass. 43, 51. 45, 10. — 14. Πλάγκος] πλάγκτος cod. Deinde πεποίητο. — 15. Ἀσίννιος, altera ν litera suprascripta, codex. — 16. ἔφεδρος] ἔφδρος cod. — 17. ἀπεδ.] ἀποδεδ. codex. — 18. Ἰλλυρίδος] Exspectabas Κυρήνης, ut apud plurimos traditur, v. c. ap. Appian. III, 8. Neque tamen omnes inter se consentiunt. Sic *Bithyniam* Cassio assignatam a senatu esse dicit Dio Cass. 47, 21, ubi vide quæ

πράγματος βραβευομένου. Μόνος δὲ Καῖσαρ, ᾧ τὸ σύμπαν κράτος κατελέλειπτο (19) νομίμως κατά τ' ἐξουσίαν τοῦ πρότερον κεκτημένου καὶ συγγένειαν, ἄμοιρος ὢν δυνάμεως ἡστινοσοῦν, ἐπλάζετο μεταξὺ αἰωρούμενος (20) φθόνου τε πολιτικοῦ καὶ πλεονεξίας τῶν (τε) ἐφεδρευόντων αὐτῷ καὶ τοῖς σύμπασι πράγμασιν· ἅπερ ὕστερον ἐπρυτάνευσεν ὀρθῶς τὸ δαιμόνιον καὶ ἡ τύχη. Ὁ δὲ Καῖσαρ ἤδη καὶ περὶ τῆς ψυχῆς δεδοικώς, ἐνδήλου αὐτῷ τῆς Ἀντωνίου (21) γνώμης γιγνομένης, καὶ οὐδενὶ τρόπῳ δυνάμενος αὐτὸν μεταπεῖσαι, οἴκοι καθῆστο καιρὸν ἐπιτηρῶν.

XXIX. Πρώτη δ' ἐν τῇ πόλει κίνησις γίνεται ἐκ τῶν πατρικῶν αὐτοῦ στρατιωτῶν, ἀχθομένων ἐπὶ τῇ τοῦ Ἀντωνίου περιοψίᾳ, καὶ κατ' ἀρχὰς μὲν ἐν ἑαυτοῖς λογοποιούντων, ὅτι ἀμνημονοῦσι τοῦ Καίσαρος, τὸν ἐκείνου παῖδα προπηλακιζόμενον περιορῶντες, ὃν ἐχρῆν ὑπὸ πάντων αὐτῶν ἐπιτροπεύεσθαι, εἴ τις δικαίου λόγος ἢ ὁσίου. Μετὰ δὲ ταῦτα ἀθρόοι γινόμενοι μᾶλλόν τι (1) κατεμέμφοντο σφᾶς συνιόντες ἐπὶ τὴν Ἀντωνίου οἰκίαν· τούτοις γὰρ κἀκεῖνος ἐθάρρει (2)· καί τινας λόγους ἐποιοῦντο ἐκ φανεροῦ, διότι καλῶς ἔχει μετριώτερον αὐτὸν χρῆσθαι Καίσαρι, καὶ μεμνῆσθαι ὧν ἐπέσκηψεν ὁ πατήρ· καὶ γὰρ αὐτοῖς εὐσεβέστερον εἶναι μὴ περιορᾶν ταῦτα, ἀλλὰ καὶ τὰ τυχόντα τῶν ἐκείνου ὑπομνημάτων (3) διασώζειν, μήτι γε τὸν παῖδα καὶ διάδοχον ὑποδειχθέντα, ἐκείνοις τε δρᾶν τὴν ὁμοφροσύνην ἐν τῷ παρόντι διὰ τὸ πλῆθος τῶν περιεστώτων ἐχθρῶν ὠφελιμωτάτην. Ταῦτα λεγόντων ὡς μὴ δοκοίη ἐναντιοῦσθαι τῇ ὁρμῇ Ἀντώνιος (4), ἐπειδὴ καὶ δεόμενος αὐτῶν ἐτύγχανεν, ἔφη βούλεσθαι καὶ ταῦτα δοκιμάζειν, εἴγε μετριάζοι κἀκεῖνος, τήν τε προσήκουσαν αὐτῷ τιμὴν ἀπονέμοι, ἕτοιμός τε εἶναι εἰς λόγους ἐλθεῖν, παρόντων ἐκείνων καὶ ἐπακροωμένων. Οἱ δ' ἐπῄνουν, καὶ συνέθεντο αὐτὸν ἄξειν εἰς τὸ Καπιτώλιον, καὶ μεσιτεύειν τὰς διαλλαγάς, εἰ αὐτὸς ἐθέλοι. Συνέφη δ' οὖν, καὶ εὐθὺς ἐξαναστὰς ᾤχετο εἰς τὸ τοῦ Διὸς ἱερὸν, ἐκείνους τε ἔπεμψεν (5) ὡς τὸν Καίσαρα. Οἱ δὲ συνερρύησαν ἄσμενοι πολλοὶ καὶ ἦλθον, ὥστ' ἐν ἀγωνίᾳ κἀκεῖνον γενέσθαι, ἀπαγγείλαντος τινὸς αὐτῷ, διότι πλῆθος ἥκοι στρατιωτῶν ἐπὶ τὰς θύρας, οἱ δ' ἐντὸς εἶεν ζητοῦντες αὐτόν. Ὁ δὲ ταραχθεὶς, τὸ μὲν πρῶτον εἴς τι ὑπερῷον ἀπεχώρησε σὺν τοῖς φίλοις, οἳ ἔτυχον παρόντες, καὶ τῶν ἀνθρώπων ἐπυνθάνετο διακύπτων ὅ τι βούλοιντο, καὶ τοῦ χάριν ἐληλύθοιεν, ἐγνώριζέ τε αὐτοὺς οἰκείους ὄντας στρατιώτας. Οἱ δ' ἀποκρίνονται ἐπὶ τῷ ἀγαθῷ αὐτοῦ τε

tur. Solus vero Cæsar, ad quem legitime summum imperium ex voluntate ejus qui prius obtinuerat, et secundum cognationem pertinebat, destitutus ab omni potestate errabat inter invidiam fluctuans et avaritiam eorum, qui ipsi et summæ rerum insidiabantur. Quæ quidem postea recte moderatum est numen et fortuna. Interim Cæsar, jam de vita sibi timens, quum mentem Antonii perspectam haberet nulloque pacto mutare posset, domi sedebat agendi exspectans opportunitatem.

XXIX. Primus in urbe motus a patris commilitonibus profectus est, qui ægre ferentes quem Antonius ostendebat contemptum, initio quidem inter se sermones faciebant, ut qui Cæsaris immemores essent atque filium ejus contumeliis affici paterentur, cui omnes se patrocinari deceret, si justi piique rationem haberent. Deinde vero frequentiores acrius se incusabant ad domum Antonii confluentes (his enim militibus Antonius quoque fidebat), et aperte nonnulli profitebantur decere eum Cæsare moderatius uti, ac meminisse quæ pater ejus mandaverit : nam tum ipsos pietate admoneri ne hæc despicerent, sed ut vel minima quæque ab eo in mandatis scripta observanda curarent, nedum ut filium ejus et successorem designatum tuerentur; tum illis conducere concordiam in præsenti propter inimicos undique imminentes utilissimam. Hæc dicentibus, ne refragari eorum studiis videretur Antonius, quoniam ope eorum indigebat, velle se respondit hæc probare, modo ille quoque moderatum se gereret debitumque sibi honorem tribueret; se paratum esse in colloquium venire, cui ipsi auditores interfuturi essent. Collaudabant hæc milites, ac convenit inter eos, ut Antonium in Capitolium deducerent, ibique, si ipse vellet, reconciliationis mediatores essent. Consentit Antonius et confestim exsurgens in Jovis fanum proficiscitur, illos vero ad Cæsarem misit. Qui haud inviti magno numero confluentes ad domum ejus accesserunt, adeo ut in summa Cæsar perplexitate versaretur, nuntiante quodam militum multitudinem ad fores esse, aliosque intus eum quærere. Qua in perturbatione primum quidem una cum amicis, qui tum præsentes erant, in superiora ædium confugit, ac inde prospiciens interrogavit homines, quidnam vellent et cujus rei causa venissent. Respondent illi adesse se eorum causa quæ ipsi et toti fa-

---

affert Sturzius. — 19. κατελελ.] καταλελ. codex. — 20. αἰωρούμενος] codex ἐωρούμενος. — 21. Ἀντωνίου] ἀντωνίνου cod.

XXIX. 1. μᾶλλόν τι] μέλλοντι cod. — 2. κἀκεῖνος ἐθάρρει] Sc. Antonius e veteranis Cæsarianis satellitium suum delegerat. Conferre cum nostris liceat Appian. III, 29 : Ἀπειλησαμένου δὲ αὐτοῦ (Ἀντωνίου) τῷ Καίσαρι πικρότερον, καὶ τῆς ἀπειλῆς ἐξενεχθείσης ἐς τὸ φανερὸν, ἔτι μᾶλλον ἅπαντες ὥρμηντο. Καὶ οἱ τῆς φρουρᾶς Ἀντωνίου ταξίαρχοι ἐστρατευμένοι τε Καίσαρι τῷ προτέρῳ, καὶ ἐς τὰ μέγιστα ὑπ' Ἀντωνίου τότε προτιμώμενοι, τὴν ὕβριν αὐτὸν ἐπισχεῖν ἠξίουν καὶ διὰ σφᾶς καὶ δι' ἑαυτὸν, ὑπὸ Καίσαρι στρατευσάμενον, καὶ τῶνδε τῶν οἱ παρόντων ἀγαθῶν παρ' ἐκείνου τυχόντα, κτλ. Cf. alteram similem militum ad Antonium orationem ibid. c. 32. Scilicet Appianus ab Nicolao differt eo, quod bis reconciliatos Octavium et Antonium narrat. Paucis rem tangunt Dio Cass. 45, 8; Plutarch. Anton. 16, 2. — 3. ὑπομνημάτων] Plutarch. Anton. 15, 1 : Ἔλαβε δὲ (Ἀντώνιος) καὶ τὰ βιβλία τοῦ Καίσαρος, ἐν οἷς ὑπομνήματα τῶν κεκριμένων καὶ δεδογμένων ἦν ἀναγεγραμμένα. Cf. Vellejus II, 60. — 4. Ἀντώνιος] Ἀντωνίου codex. — 5. ἐκείνους τε ἔπεμψεν] ἐκεῖνον τε ἔπεμψαν codex.

καὶ τῆς ὅλης μερίδος, εἰ κἀκεῖνος θέλοι ἀμνησικακεῖν (6) ὧν εἴργασται Ἀντώνιος· οὐδὲ γὰρ αὐτοῖς ἀρεστὰ γέγονε (7) ταῦτα· δεῖν δ' αὐτοὺς πᾶσαν ὀργὴν ἐκβαλόντας διαλλάττεσθαι ἁπλῶς καὶ ἀδόλως. Εἷς δ' αὐτῶν καὶ μείζονι τῇ βοῇ βοήσας θαρρεῖν ἐκέλευε, καὶ γινώσκειν ὅτι κληρονομία οἱ πάντες εἶεν αὐτοῦ· μεμνῆσθαι γὰρ τοῦ κατὰ γῆς πατρὸς ἴσα καὶ θεοῦ, καὶ περὶ τῶν διαδόχων αὐτοῦ ἅπαν ἂν δρᾶσαι καὶ παθεῖν. Ἄλλος δὲ μεῖζον ἐπιφθεγξάμενος καὶ Ἀντώνιον ἂν διαχρήσασθαι αὐτόχειρ ἔφη, εἰ μὴ τὰς Καίσαρος διαθήκας ἅμα καὶ βουλῆς ἴσα φυλάττοι. Καὶ ὃς θαρρῶν ἤδη ἐπ' αὐτοῖς κατέβη τε (8) καὶ φιλοφρονηθεὶς ἥσθη ἐπὶ τῇ εὐνοίᾳ τε καὶ προθυμίᾳ. Ἐκεῖνοι μὲν αὐτὸν παραλαβόντες διὰ τῆς ἀγορᾶς λαμπρότατα ἦγον εἰς τὸ Καπιτώλιον, ἁμιλλώμενοι τῇ σπουδῇ πρὸς ἀλλήλους, οἱ μὲν ἤδη ἀχθόμενοι τῇ Ἀντωνίου δυναστείᾳ, οἱ δὲ κατὰ εὐσέβειαν τὴν πρὸς Καίσαρα καὶ τὸν ἐκείνου διάδοχον, οἱ δ' ἐλπίδος ἕνεκα τῆς ἀπ' αὐτοῦ, μεγάλα ὠφεληθήσεσθαι σὺν τῷ δικαίῳ προσδοκῶντες, οἱ δὲ τιμωρίαν σπουδάζοντες γενέσθαι παρὰ τῶν σφαγέων ὑπὲρ τοῦ φόνου, καὶ ταύτην μάλιστά γε (9) πράξεσθαι διὰ τοῦ παιδὸς οἰόμενοι, εἰ συλλήπτωρ εἴη καὶ ὁ ὕπατος. Πάντες γε μὴν παρῄνουν αὐτῷ ὑπ' εὐνοίας προσιόντες μὴ φιλονεικεῖν, ἀλλὰ προσέχειν τῷ σφετέρῳ ἀσφαλεῖ, καὶ ὡς δύναιντο συμπροσλαμβάνειν βοηθούς, μεμνημένον ὡς σφαλερὸς εἴη ὁ Καίσαρος θάνατος. Ταῦτα ἀκούων Καῖσαρ, καὶ ὁρῶν τὴν τῶν ἀνθρώπων σπουδὴν οὐκ ἀπεικότως περὶ αὐτὸν, ἧκεν εἰς τὸ Καπιτώλιον, ἔνθα πολὺ πλείους ἑώρα πατρικοὺς στρατιώτας, οἷς ἐθάρρει Ἀντώνιος, πολὺ μᾶλλον εὔνους αὐτῷ ὄντας, εἴ τι ἀδικεῖν περὶ αὐτὸν ἐγχειροίη. Ἐκ τούτου ἀπεχώρουν οἱ πλείους· περιλειφθέντες δὲ ἀμφότεροι μετὰ τῶν φίλων διελέγοντο.

ctioni suæ saluti futura sint, si ipse quoque illatas ab Antonio injurias vellet oblivisci; neque sibi hæc grata fuisse; debere autem eos, omni ira deposita, sincere et absque dolo reconciliari. Unus vero elatiore voce clamans, bono animo esse Cæsarem, atque bene tenere jussit universos ipsius esse hereditatem : nam patris defuncti pariter atque dei se meminisse, atque pro successore ejus omnia facere patique fore paratos. Alius summa voce acclamavit se vel Antonium sua manu interfecturum, nisi Cæsaris mandata simul atque senatus exsequeretur. Tum resumpta fiducia Cæsar descendit et comiter eos amplexus laudavit ob propensam in se benevolentiam. Illi vero assumentes eum solenni pompa in Capitolium duxerunt alacritate inter se certantes, partim odio ducti in Antonii imperium, partim pietate erga Cæsarem ejusque successorem, partim spe magnorum præmiorum, quæ haud immerito ab eo exspectabant, partim desiderio ultionis, qua cædis pœnæ a percussoribus repeterentur, quas quammaxime a filio exactum iri, si adjutor ei consul esset, existimabant. Omnes certe ob benevolentiam ad Cæsarem accedentes hortabantur, ne vellet altercari, sed hoc spectare, ut securitati factionis suæ consuleret eique auxiliares adjungeret, memor quam fallax fuisset mors Cæsaris. Quæ audiens vidensque quanto studio se haud immerito prosequerentur, in Capitolium venit, ubi multo plures conspexit milites paternos, quibus fidebat Antonius, sed qui multo propensiores in ipsum erant, si forte injuria aliqua ab Antonio afficeretur. Deinde quum plurimi recessissent, Cæsar et Antonius cum amicis relicti inter se collocuti sunt.

XXX. Ὅτι τοῦ Καίσαρος εἰς τὴν οἰκίαν ἀπιόντος μετὰ τὸ διαλλαγῆναι πρὸς Ἀντώνιον, μονωθέντα Ἀντώνιον αὖθις ἀνερεθίζεσθαι, τὴν εὔνοιαν ὁρῶντα (1) παραπολὺ τοῦ στρατιωτικοῦ παντὸς ἀπονεύουσαν ὡς πρὸς [Καίσαρα]· ἐκεῖνον μὲν γὰρ ἐποιοῦντο παῖδά τε εἶναι καὶ διάδοχον ἀποδεδεῖχθαι ἐν ταῖς διαθήκαις τῷ τε ὀνόματι ὁμοίως προσαγορεύεσθαι, γενναίαν τε ὑποφαίνειν ἐλπίδα καὶ ἀπὸ τοῦ τῆς φύσεως δραστηρίου (2), εἰς ὃ ὁ Καῖσαρ ἀποβλέψας οὐχ ἧττον ἢ τὴν συγγένειαν ἀποδείξειεν αὐτὸν παῖδα, ὡς μόνον ἔγγονον αὐτοῦ τήν τε σύμπασαν ἀρχὴν καὶ τὸ τοῦ οἴκου ἀξίωμα διασώζειν. Ἃ δὴ τότε ἐνθυμιαζόμενος Ἀντώνιος μετεγίνωσκε

XXX. Cæsare post reconciliationem domum revertente, Antonium *narrat*, quum solus esset, denuo ad iram excitatum esse, videntem multo magis in Cæsarem inclinare exercitus universi benevolentiam. Hunc enim contendebant et filium Cæsaris esse et successorem ab eo in testamenti tabulis designatum, et eodem nomine appellari, et spem egregiam etiam indolis virtute ostendere, ad quam non minus atque ad cognationem Cæsar respiciens pro filio eum adoptasset, ut qui solus ad conservandum imperium domusque dignitatem idoneus esset. Quæ in animum inducens Antonius sententiam mutavit, factique eum pœnituit,

— 6. κἀκεῖνος θ. ἀμνησ.] κακείνοις θ. μνησικακεῖν codex. — 7. γέγονε] indicativum librarii esse puto. — 8. τε] γε codex. — 9. γε] τε codex.

XXX. Inter initium hujus capitis et finem antecedentis plura excerptor omisit. Idque lineola in codice indicatum est. Ad ea quæ in seqq. narrantur de insidiis a Cæsare structis Antonio, cf. Appian. III, 39. 40. Paucis rem absolvunt Plutarchus Anton. 16, 3 : Μεθ' ἡμέρας ὀλίγας ἐνέπεσε λόγος, ὡς ἐπιβουλεύοι Καῖσαρ αὐτῷ. Καῖσαρ δὲ ἀπελογεῖτο μὲν, οὐκ ἔπειθε δέ· καὶ πάλιν ἦν ἐνεργὸς ἡ ἔχθρα, καὶ περιθέοντες ἀμφότεροι τὴν Ἰταλίαν τὸ μὲν ἱδρυμένον ἐν ταῖς κατοικίαις ἤδη τοῦ στρατιωτικοῦ μεγάλοις ἀνίστασαν μισθοῖς· Sallust. Octav. 10 : *Hortantibus itaque nonnullis percussores ei subornavit. Hac fraude deprehensa, periculum invicem metuens, veteranos simul in suum et reipublicæ auxilium quanta potuit largitione contraxit.* Vellejus II, 60 : *Mox etiam velut insidiis ejus petitus (Antonius) sceleste insimulare cœpit, in qua turpiter deprehensa ejus vanitas est.* Cic. Ep. XII, 23. Seneca De clementia I, 9. — 1. ὁρῶντα] ὁρῶν τοῦ cod. Prima hæc oratione indirecta enuntiata excerptoris esse puta. Mox supplevi vocem Καίσαρα. — 2. δραστη-

καὶ ἠλλοίωτο τῇ γνώμῃ, καὶ μάλισθ' ὅτε τοὺς Καίσαρος στρατιώτας ἐν ὀφθαλμοῖς εἶδεν ἑαυτὸν μὲν καταλελοιπότας, Καίσαρα δ' ἐκ τοῦ ἱεροῦ ἀθρόως προπέμποντας. Ἐδόκει δέ τισι μηδ' ἂν ἀποσχέσθαι αὐτοῦ, εἰ μὴ ἐδεδίει τοὺς στρατιώτας, μὴ ἐπ' αὐτὸν ὁρμήσαντες τιμωρίαν ποιοῖντο, καὶ ἀκονιτὶ (3) πᾶσαν αὐτοῦ τὴν μερίδα ἀφέλοιντο. Κατελείπετο γὰρ ἀμφοτέροις στρατεύματα ἔφεδροι. Ὁ μὲν δὴ τοιαῦτα λογιζόμενος ἔμελλέ τε (4) καὶ ὤκνει, καίπερ ἠλλοιωμένος τῇ γνώμῃ. Καῖσάρ γε μὴν πιθανὸς ἀδόλως γεγονέναι σφίσι τὰς διαλλαγὰς, ἐφοίτα ὁσημέραι ἐπὶ τὴν οἰκίαν αὐτοῦ, ὥσπερ ἐχρῆν, ὑπάτου τε ὄντος καὶ πρεσβυτέρου καὶ πατρικοῦ φίλου, τήν τε ἄλλην πᾶσαν ἀπένεμε τιμὴν, καθότι ὑπέσχετο, εἰς ὃ Ἀντώνιος τῆς δευτέρας ὑπῆρξεν αὖθις ἀδικίας τρόπῳ τοιῷδε. Ἀλλαξάμενος Γαλατίαν ἐπαρχίαν πρὸς Μακεδονίαν, μετεβίβαζε τὰς ἐν αὐτῇ δυνάμεις εἰς Ἰταλίαν· καὶ ἐπεὶ ἧκον, ἐξῄει ἐκ τῆς Ῥώμης ὑπαντησόμενος αὐταῖς ἄχρι Βρεντεσίου. Οἰόμενος δὲ καιρὸν ἐπιτήδειον ἔχειν πρὸς ἃ ἐπενόει, διαδίδωσι λόγον, ὡς ἄρα ἐπιβουλεύοιτο. Καί τινας συλλαβὼν στρατιώτας ἔδησεν ὡς ἐπ' αὐτὸ τοῦτο πεμφθέντας, ὅπως αὐτὸν ἀνέλοιεν· ᾐνίττετο δὲ Καίσαρα, οὐ μήν πω σαφῶς ἐδήλου. Ταχὺ δ' ἡ φήμη κατὰ τὴν πόλιν διήγγελλεν (5), ὡς ἐπιβουλευθείη ὁ ὕπατος, καὶ συλλάβοι τοὺς ἐπ' αὐτὸν ἥκοντας, σύνοδοί τε τῶν ἐκείνου φίλων εἰς τὴν οἰκίαν ἐγίγνοντο, καὶ στρατιωτῶν σὺν ὅπλοις μεταπέμψεις. Περὶ δὲ δείλην ὀψίαν ἔρχεται καὶ εἰς Καίσαρα ὁ (6) λόγος, ὅτι κινδυνεύσειεν Ἀντώνιος ἀποσφαγῆναι, καὶ μεταπέμποιτο τοὺς φυλάξοντας αὐτὸν ἐκείνην τὴν νύκτα. Καὶ παραχρῆμα πέμψας ὡς αὐτὸν, ἕτοιμος ἔφη εἶναι καὶ αὐτὸς σὺν τῇ ἑαυτοῦ θεραπείᾳ παραγενόμενος πρὸς κοίτην αὐτοῦ τἀσφαλὲς παρέχειν, οἰηθεὶς ὑπὸ τῶν περὶ Κάσσιον αὐτὸν καὶ Βροῦτον ἐπιβεβουλεῦσθαι. Καὶ ὁ μὲν ταῦτα ἐφιλανθρωπεύετο, οὐδὲν ὑπονοῶν περὶ τῶν ὑπ' αὐτοῦ λεγομένων τε καὶ βεβουλευμένων. Ἀντώνιος δ' οὖν οὐδ' αὐτὸν παραδέξασθαι τὸν ἄγγελον ἀφῆκεν ἐντὸς τῶν θυρῶν, ἀλλὰ ἀπεῖρξεν ἀτίμως (7). Ὁ δ' ἐπανελθὼν καί τι πλέον ἀκηκοὼς ἀπήγγελλε Καίσαρι, ὡς οὐδὲ τοὔνομα αὐτοῦ διαφέροιτο περὶ τὰς Ἀντωνίου θύρας ἐν τοῖς ἀνθρώποις, ὡς αὐτὸς εἴη ὁ τοὺς φονέας πεπομφὼς Ἀντωνίῳ, οἳ δὴ καὶ δεσμῶται εἶεν. Ὁ δὲ ἀκούσας τὸ μὲν πρῶτον ὑπὸ τοῦ ἀδοκήτου ἠπίστει· μετὰ δὲ αἰσθόμενος τὴν ὅλην γνώμην, ὡς ἐπ' αὐτὸν εἴη τετραμμένον, μετὰ τῶν φίλων ἐσκόπει ὅ τι χρὴ ποιεῖν. Ἧκε δὲ ὁ Φίλιππος καὶ Ἀτία (8) ἡ μήτηρ διαπορούμενοι τῷ παραδόξῳ, καὶ πυνθανόμενοι τίς ὁ λόγος εἴη, καὶ τίς ἡ διάνοια τἀνθρώπου· παρῄνουν τε αὐτῷ ὑποχωρῆσαι ἐκποδὼν ἐκείνας τὰς ἡμέρας, ἄχρι ταῦτα ἐξετασθέντα ἐκκαλυφθείη. Καὶ ὃς, ἅτε οὐδὲν ἑαυτῷ συνειδὼς τοιοῦτο, ἔνδεινον ᾤετο (9) ἐκ μέσου ἰέναι καὶ τρόπον τινὰ καταγινώσκειν ἑαυτοῦ· πλέον γὰρ οὐδὲν περαίνειν εἰς τά-

præsertim quum suis oculis cerneret quomodo Cæsariani milites, ipso relicto, frequentissimi Cæsarem e templo domum deducerent. Neque continuisse se nonnullis videbatur, nisi timuisset, ne milites eum adorientes ultionem repeterent, ac facili negotio totam ejus factionem ad se pertraherent. Relinquebantur enim utrique exercitus eventum rerum aucupantes. Hæc igitur secum reputans cunctabatur ac moras nectebat, quamvis mutata jam sententia. Interim Cæsar, sinceram fuisse reconciliationem persuasus, quotidie domum Antonii frequentabat, ut par erat, quum ille et consul esset et senior et amicus paternus, atque reliquum omnem, prouti promiserat, honorem ei habebat, donec denuo Antonius alteram injuriam prior intulit hunc in modum. Quum Macedoniam provinciam cum Gallia commutasset, copias e Macedonia in Italiam traduci jussit. Quæ ubi appulerant, urbe exiit ut obviam iis proficisceretur usque ad Brundusium. Censensque tempus opportunum ad exsequenda consilia se nactum esse, rumorem sparsit de insidiis, quibus appetitus esset. Atque milites quosdam comprehendit et in vincula conjecit, utpote ad hoc ipsum, ut eum interficerent, immissos; auctorem vero Cæsarem esse, quamquam non diserte profitebatur, subindicabat tamen. Confestim fama per urbem nuntiat consuli insidias structas, et aggressos eum sicarios comprehensos esse. Cœtus fiebant amicorum domum ejus accurrentium, militesque in armis arcessebantur. Circa seram denique vesperam ad Cæsarem quoque sermo venit, parum abfuisse quin Antonius a sicariis interfectus esset, eumque corporis custodes in noctem arcessere. Et statim Cæsar quosdam ad domum ejus misit qui nuntiarent approperaturum se quoque cum ministerio suo ad lectum Antonii, ut securitati ejus prospiceret. Videlicet a Cassii et Bruti sociis insidias ei paratas esse putabat. Tanta Cæsar humanitate eum prosequebatur, quæ ille dictitaret ac machinaretur nihil suspicatus. Antonius vero ne nuntium quidem intra fores admitti volebat, sed arcebat ignominiose. Is igitur reversus quæ accuratiora de re comperuerat, Cæsari retulit, aiens ejus ne nomen quidem ad fores Antonii ab hominibus pronuntiari, quasi ipse percussores, qui jam vincti essent, Antonio immisisset. Quibus auditis Cæsar primum quidem ob improvisum rei diffidebat; mox vero totum consilium contra ipsum directum esse sentiens, cum amicis, quid faciendum esset, circumspiciebat. Philippus quoque et Atia mater casu inopinato consternati, advenerunt, sciscitantes quæ dicerentur et quid homo iste sibi vellet. Ac suadebant Cæsari, ut per dies aliquot ex urbe discederet usquedum res explorata et patefacta esset. Ille vero nullius sibi facinoris conscius, grave ducebat si e conspectu se subduceret, coque pacto se ipse quodammodo condemnaret; neque ad majo-

ρίου] δραστήριον cod. — 3. ἀκονιτὶ] ἀκὼν ἔτι cod. — 4. τε] ται καὶ ὤκνυει cod. — 5. διήγγελλεν] διήγγελεν cod. — 6. Καίσαρα ὁ] καίσαρος cod. — 7. Sec. Appian. III, 39 ipse Cæsar ad domum Antonii defensurus se venit. — 8. Ἀτία] sic h. l. Supra semper Ἀντία. — 9. ἔνδεινον ᾤετο.. ἰέναι] ἐνδεινώετο ἐκ μέσου εἶναι codex. Possis etiam ἐδεινοῦτο τῷ,

σφαλὲς ἐκποδὼν γενόμενος, ἀλλ' ἴσως καὶ διάρας (10) που μᾶλλον ἐκ τοῦ ἀφανοῦς ἀναιρεθήσεσθαι. Τότε μὲν οὖν ἐν τοιούτοις λόγοις ἦν. Τῇ δὲ ὑστεραίᾳ ἕωθεν καθίζει ὥσπερ εἰώθει μετὰ τῶν ἑαυτοῦ φίλων, ἀναπεταννύναι δὲ τὰς θύρας κελεύει τοῖς εἰωθόσι φοιτᾶν καὶ δεξιοῦσθαι τῶν ἀστῶν καὶ ξένων καὶ στρατιωτῶν, καὶ (11) διελέγετο πᾶσιν, ὥσπερ καὶ ἄλλοτε εἰώθει, μηδὲν ἐναλλάξας τοῦ καθ' ἡμέραν ἔθους. Ἀντώνιος δὲ συνέδριον τῶν φίλων ἀθροίσας εἶπεν ἐν μέσοις, ὡς ἐπιβουλευόμενος καὶ πρότερον ὑπὸ Καίσαρος οὐκ ἀγνοοίη, ἐπειδὴ δ' ἔμελλεν ἔξω τῆς πόλεως βαδιεῖσθαι ὡς (12) ἐληλυθὸς τὸ στράτευμα, καιρὸν παράσχοι τοῦτον καθ' αὑτοῦ. Καί τινα τῶν ἐπὶ τὴν σφαγὴν πεμφθέντων (13) ἀφικόμενον μηνυτὴν αὐτῷ γενέσθαι μεγάλαις δωρεαῖς, καὶ διὰ τοῦτο τοὺς μὲν συλλαβεῖν, ἐκείνους δ' εἰς τὸ παρὸν ἀθροῖσαι (14) συνέδριον, ὡς γνώμας ἀκούσειε καὶ ὅπως χρηστέον εἴη τοῖς παροῦσι. Ταῦτα εἰπόντος Ἀντωνίου ἐπυνθάνοντο οἱ σύνεδροι, ὅπου εἶεν οἱ συνειλημμένοι ἄνθρωποι, ὥς τι γνοῖεν παρ' αὐτῶν. Καὶ ὁ Ἀντώνιος προσποιηθεὶς μηδὲν τοῦτο εἶναι πρὸς τὸ παρὸν, ὡς δῆθεν ὁμολογουμένου τούτου, καὶ εἰς ἄλλα ἄττα ἐκτρέψας τὸν λόγον, ἐκαραδόκει μάλιστα εἴ τις εἴποι ὡς χρὴ Καίσαρα ἀμύνεσθαι καὶ μὴ ἡσυχάζειν. Σιωπῆς δ' ἐκ πάντων γενομένης [καὶ] συννοίας (15), διὰ τὸ μηδένα ὁρᾶν ἐν μέσῳ ἔλεγχον, εἶπέ τις ὡς ἂν εὐπρεπῶς διαλύσειε τὸν σύλλογον, ὅτι ἐπιεικῶς προσήκει αὐτὸν φέρειν τε καὶ τίθεσθαι, καὶ μή τινα ταραχὴν ὕπατον ὄντα ἐγείρειν. Ὁ μὲν τοιαῦτα εἰπών τε καὶ ἀκούσας διέλυσε τὸν σύλλογον (16)· τρίτῃ δ' ἢ τετάρτῃ ἡμέρᾳ εἰς Βρεντέσιον ὥρμησεν, ὡς παραλάβοι τὴν ἀφιγμένην στρατιάν· λόγος τε οὐδὲ εἷς ἦν περὶ τῆς ἐπιβουλῆς, ἀλλὰ οἰχομένου, διαλύουσι τὸ σύμπαν πρᾶγμα οἱ ὑπολειφθέντες ἐκείνου φίλοι, καὶ τοὺς λεγομένους συνειλῆφθαι τῶν ἐπιβούλων εἶδεν οὐδείς.

XXXI. Καῖσαρ δὲ καίπερ ἀπολελυμένος τῆς αἰτίας, οὐδὲν ἧττον ἠγανάκτει ἐπὶ τῷ λόγῳ, καὶ μεγάλης ἐπιβουλῆς εἰς αὐτὸν τοῦτο ἐποιεῖτο τεκμήριον· εἴ τε παροῦσα ἐτύγχανεν Ἀντωνίῳ ἡ στρατιὰ τεθεραπευμένη χρήμασιν, ᾤετο μὴ ἂν ὀκνῆσαι καὶ ἐπιχειρεῖν αὐτῷ, [καὶ] ταῦτα (1) μηδὲν ἀδικούμενον, ἀλλ' ἀπὸ ἑτέρας ἐλπίδος ἐπὶ τοῦτο προαγόμενον· δῆλόν τε εἶναι ταῦτα συνθέντα καὶ ἐπὶ ἕτερα χωρῆσαι καὶ ἐθελῆσαι ἂν ἔτι ἐξ ἀρχῆς, εἴπερ ἐνῆν αὐτῷ τοῦτο πράξαντι τὸ ἀδεὲς (2) ἐκ τῆς στρατιᾶς ἔχειν. Ὀργῆς οὖν δικαίας ἐπίμπλατο εἰς αὐτὸν ἅμα καὶ προνοίας περὶ αὑτοῦ, φανερᾶς τῆς ἐκείνου γνώμης γενομένης, πάντα τε (3) περισκοπῶν ἑώρα οὐχ ἡσυχαστέον ὂν ἑαυτῷ· οὐ γὰρ εἶναι τοῦτο ἀκίνδυνον· ἀλλὰ ζητητέον τινὰ ἐπικουρίαν ἀντίπαλον ἐκείνου δυνάμει τε καὶ ἐπινοίᾳ. Τοῦτο οὖν ἐνθυμούμενος ἔγνω χρῆναι φεύγειν ἐπὶ τὰς πατρῴους ἀποικίας,

rem securitatem facere quod procul abiret, sed fortasse ex urbe digressum tanto facilius se in occulto posse interfici. Tunc igitur in ejusmodi rerum consideratione versabatur. Postero die inde a mane sedet, uti consueverat, cum amicis suis, et aperiri fores jubet iis qui frequentare eum et salutare solebant, civibus, hospitibus et militibus, et cum omnibusque colloquitur, nihil mutata consuetudine quotidiana. Antonius autem, amicis in concilium convocatis, haud ignorare se dixit jam antea Cæsaris insidiis appetitum esse, ubi vero ex urbe ad exercitum in Italiam trajectum proficisci voluisset, tunc hanc se occasionem rei exsequendæ illi præbuisse; at ex missis ad cædem sicariis unum, ut index rei fieret, magnis donis esse adductum; atque sic percussores comprehensos, ipsos vero ad hocce convocatos esse concilium, ut sententias audiret de ratione qua rebus præsentibus utendum esset. Quibus dictis, socii concilii quæsiverunt ex Antonio, ubinam essent comprehensi isti, quos interrogantes rem explorarent. Tum Antonius simulans nihil hoc facere ad rem præsentem, quoniam facinus in confesso esset, et ad alia quæque orationem devertens, hoc maxime attendebat, si quis dicturus foret vindictam a Cæsare sumendam, neque quiescendum esse. Verum quum omnium altum silentium multaque cogitatio esset, quod nullum viderent in medium prolatum facinoris indicium, tandem unus eorum dixit commodum fore dimitti ab eo concilium, quod deceret ipsum moderate rem ferre neque turbas excitare, quippe qui consul esset. Itaque his dictis et auditis Antonius concionem dimisit. Tertio autem vel quarto die post Brundusium contendit, ut traductum eo exercitum assumeret. Neque ulla quæstio de insidiis erat, sed, illo profecto, totam hanc rem relicti ejus amici diluunt, et qui comprehensi ex insidiatoribus dicebantur, nemo unquam vidit.

XXXI. Cæsar vero etsi crimine exemptus, nihilominus ægre ferebat sparsos de ipso rumores, iisque insidiarum, quæ sibi pararentur, indicium agnoscebat; et si præsto esset Antonio exercitus largitionibus ad obsequium adductus, haud eum cunctaturum putabat quin adoriretur se, idque nulla affectum injuria, sed alia spe ad hoc permotum. Nam manifestum esse eum qui ista machinatus esset, etiam alia aggressurum, idque voluisse jam inde ab initio, nisi facienti hoc ab exercitu metuendum fuisset. Igitur justæ iræ plenus in Antonium, cujus consilia in aprico erant, summa utebatur prudentia. Omnia autem circumspiciens haud quiescendum sibi videbat; id enim absque periculo fieri non posse; verum quærendum esse auxilium quoddam, quod potentiæ ejus et molimini opponeret. Hæc in animo volvens ad paternas confugere statuit colonias, quibus agros pater distribuerat urbiumque conditor

sed longius hoc ab acceptis recedit. — 10. διάρας] *digressus*, eodem sensu quo ἀπάρας. Alterum exemplum hujus usus non novi. — 11. supplevi v. καὶ quam delevi in antecc., ubi pro τῶν ἀστῶν codex habet καὶ ἀστῶν. — 12. ὡς] ὥστ' cod. — 13. πεμφθέντων] πεμφθέντα cod. — 14. ἀθροῖσαι] ἀθροίσας cod. — 15. καὶ] supplevi. — 16. σύλλογον] σύλλον cod.

XXXI. 1. Καὶ ταῦτα] καὶ supplevi. — 2. ἀδεὲς] οὐδεὲς cod. Ceterum locus hic male sanus est. — 3. πάντοπερισκοπῶν cod.

αἷς ἔδωκε τὰς κληρουχίας ὁ πατὴρ αὐτοῦ καὶ οἰκιστὴς (*) ἐγένετο τῶν πόλεων, ὡς ἀναμνήσας τοὺς ἀνθρώπους τῶν ἐκείνου εὐεργεσιῶν, καὶ ὀδυρόμενος περὶ ὧν ἐκεῖνός τε ἔπαθε καὶ αὐτὸς πάσχει, λάθοι βοηθοὺς τούσδε, καὶ χρημάτων δόσει προσαγάγοιτο. Τοῦτο γὰρ αὐτῷ μόνον καὶ ἀσφαλὲς ἅμα καὶ εὔκλειαν μεγάλην παρέξειν, ἀνασώσεσθαί τε καὶ τὸ τοῦ οἴκου κράτος· πολὺ γὰρ ἄμεινον εἶναι καὶ δικαιότερον μᾶλλόν περ ἢ ὑπὸ τῶν μηδὲν προσηκόντων περιωθούμενον τῆς πατρῴας τιμῆς ἔτι καὶ προσαπολέσθαι ἀνόμως τε καὶ ἀδίκως, ὃν τρόπον καὶ ὁ πατήρ. Ταῦτα βουλευσάμενος μετὰ τῶν φίλων, καὶ θεοῖς θύσας τύχης ἀγαθῆς συλλήπτορας αὐτῷ γενέσθαι δικαίας καὶ εὐκλεοῦς ἐλπίδος, ὥρμησεν, οὐκ ὀλίγα ἐπιφερόμενος χρήματα, εἰς Καμπανίαν πρῶτον· [ἦν γὰρ ἐκεῖ ἡ (4)] ἑβδόμη λεγεὼν καὶ ἡ ὀγδόη (οὕτω γὰρ τὴν σύνταξιν καλοῦσι Ῥωμαῖοι). Διαπειρᾶσθαι δὲ πρότερον ἐδόκει χρῆναι τῆς ἑβδόμης· (μεῖζόν τε γὰρ ἀξίωμα*)· ἐνδοθείσης δὲ ταύτης τῆς ἀποικίας, καὶ ἄλλων πολλῶν συνεληλυθότων ** (5). Καὶ ταῦτα αὐτῷ βουλευομένῳ καὶ τοῖς ἄλλοις συνεδόκει φίλοις, οἳ μετεῖχον τῆς στρατείας τῶν τε μετὰ ταῦτα πραγμάτων. Ἦσαν δὲ οὗτοι, Μάρκος Ἀγρίππας, Λεύκιος Μικήνας, Κόϊντος Ἰουέντιος, Μάρκος Μοδιάλιος καὶ Λεύκιος (6). Εἵποντο δὲ αὐτῷ καὶ ἄλλοι ἡγεμόνες καὶ στρατιῶται καὶ ἑκατοντάρχαι, καὶ οἰκετῶν πλῆθος [καὶ] ὑποζυγίων (7) τά τε χρήματα κομιζόντων καὶ τὰς ἄλλας ἀποσκευάς. Τῇ μητρὶ δ' οὐκ ἐδόκει τὴν γνώμην δηλοῦν, μὴ ὑπὸ φιλοστοργίας ἅμα καὶ ἀσθενείας, οἷα γυνή τε καὶ μήτηρ, μεγάλαις ἐπινοίαις ἐμποδὼν γένοιτο. Ἔλεγε μὲν ἐκ τοῦ φανεροῦ, (ὅτι) ἐπὶ τὰ ἐν Καμπανίᾳ βαδίζειν τῶν πατρῴων χρημάτων, ὡς κἀκεῖνα ἀποδόμενος ἀθροίσειέ τ' ἀργύριον καὶ εἰς ἃ προσέταξεν ὁ πατὴρ ἀναλοῖεν. Ἀλλ' ὁ μὲν οὐ πάνυ τι πείθων αὐτὴν ἀνέζευξε. Τότε δὲ Μάρκος Βροῦτος καὶ Γάϊος Κάσσιος ἐπὶ Δικαιαρχίαν ἦσαν· καὶ πυθόμενοι τὸ πλῆθος τῶν ἐκ Ῥώμης συνεξεληλυθότων Καίσαρι, καὶ τῶν ἀγγέλων ἐπί τι μεῖζον ταῦτα διηγουμένων, οἷα φιλεῖ γίνεσθαι, συνεταράχθησαν καὶ ἐν μεγάλῳ δείματι ἦσαν, οἰόμενοι ἐπὶ σφᾶς εἶναι τὴν ἔξοδον. Καὶ φεύγουσι διὰ τῆς Ἀδριανῆς θαλάττης. Καὶ Βροῦτος μὲν εἰς Ἀχαΐαν ἧκε, Κάσσιος δ' εἰς Συρίαν (8). Καῖσαρ δὲ τῆς Καμπανίας εἰς Καλλατίαν ἐλθών, ἐδέξαντο (9) αὐτόν, ὡς εὐεργέτου παῖδα καὶ διὰ πλείστης τιμῆς ἦγον. Καὶ τῇ ὑστεραίᾳ ἐγύμνου τὸν πάντα λόγον αὐτοῖς, καὶ παρεκάλει τοὺς στρατιώτας, ὡς ἀδίκως καὶ ὁ πατὴρ ἀποθάνοι καὶ αὐτὸς ἐπιβουλεύοιτο. Ταῦτα λέγοντος οἱ μὲν ἐκ τῆς βουλῆς οὐ πάντα εἰσήκουον, ὁ δὲ δῆμος καὶ μάλα προθύμως καὶ εὐνόως, καὶ τοῦτον ᾤκτειραν, καὶ ἐπεβόων πολλά-

erat, ut beneficia Cæsaris colonis in mentem revocans, et de iis quæ ille passus esset et ipse pateretur lamentans auxiliares conciliaret sibi nec non pecuniæ largitione adjungeret. Hoc enim solum securitatem simul et famam præclaram præbiturum, domusque potentiam servaturum esse : multo hoc præstare et justius esse quam ab alienis prorsus hominibus paterno depelli honore, ac tandem etiam perire contra fas et jus, quemadmodum patrem suum. De his postquam cum amicis deliberaverat ac sacra fecerat diis faustæ fortunæ, ut adjutores essent spei justæ et gloriosæ, magnam vim pecuniæ secum ferens primum profectus est in Campaniam, ubi septima et octava erat legio (sic certum quoddam agmen militare Romani vocant). Prior autem exploranda videbatur legio septima, quippe cujus major esset existimatio ; et quando hæc colonia militaris ad partes suas accessisset, et alii multi convenissent ***. Probarunt hoc ejus consilium etiam reliqui amici, quos expeditionis illius et eorum quæ deinde gessit socios habebat. Hi vero erant Marcus Agrippa, Lucius Mæcenas, Quintus Juventius, Marcus Modialius et Lucius. Comitabantur eum etiam duces et milites et centuriones et servorum agmen et jumentorum, quæ pecunias reliquumque apparatum portabant. Ceterum matri consilium suum declarare haud videbatur, ne præ amore et imbecillitate, utpote mater et mulier, magnis cœptis esset impedimento. Profitebatur ergo in Campaniam se proficisci, ut venditis qui ibi essent fundis paternis, argentum colligeret, collectamque in ea quæ demandasset pater expenderet. Deinde, quamquam matri non persuaserat, iter est ingressus. Marcus Brutus et Caius Cassius, qui tunc ad Dicæarchiam erant, quum de multitudine eorum qui cum Cæsare Roma profecti essent, comperissent, atque in majus rem nuntii, ut fieri solet, exaggerassent, turbati metuque perculsi sunt, putantes eum contra ipsos expeditionem suscipere. Itaque aufugientes per mare Adriaticum Brutus in Achaiam, Cassius in Syriam se contulerunt. Cæsar vero quum in Callatiam Campaniæ urbem venerat, excipientes eum ut filium benefactoris in summo habebant honore. Postero die totam rem iis exposuit, militesque commonefecit quam injuste et pater necatus esset et ipse insidiis appeteretur. Hæc dicenti senatores quidem non satis morem gerebant, populus autem animo prompto admodum et benevolo, Cæsaremque miserati ac

* οἰκιστὴς] Dübner.; οἰκειότης codex. — 4. ἦν γὰρ ἐκεῖ ἡ] ἡ γὰρ ἑβδόμη codex. Fortasse plura exciderunt. — 5. Hic quoque turbatum aliquid. De re cf. Appian. III, 40 : Δείσας δὲ ὁ Καῖσαρ μὴ μετὰ στρατιᾶς ἐπανελθὼν ἀφρούρητον αὐτὸν λάθοι (Ἀντώνιος), χρήματα φέρων εἰς Καμπανίαν ᾔει, πείσων τὰς πόλεις οἱ στρατεύεσθαι τὰς ὑπὸ τοῦ πατρὸς ᾠκισμένας. Καὶ ἔπεισε Καλατίαν, ἐπὶ δ' ἐκείνῃ Κασιλῖνον, δύο τάσδε Καπύης ἑκατέρωθεν· ἐπιδοὺς δ' ἑκάστῳ δραχμὰς πεντακοσίας, ἦγεν ἐς μυρίους ἄνδρας κτλ. Vellejus II, 61 ; Cicero ad Att. XII, 8 ; Philipp. III, 2. IV, 1. II, 39 ; Suetonius Octav. 10 ; Dio Cass. 45, 12. — 6. Qui sit Lucius ille nescio. Neque *Quintus* Juventius mihi notus est. Modialii nomen corruptum fuerit. Latebit vir gentis Madiæ. — 7. καὶ ὑποζ.] addidi καί. — 8. δὲ] post Κάσσιος inserui. — 9. ἐδέξαντο] ἐδέξατο cod. Seduxit scribam

κις θαρρεῖν· εἰς ἅπαν γὰρ συλλήψεσθαι αὐτὸν (10) καὶ οὐ περιόψεσθαι, ἄχρι ἂν ἐν τῇ πατρῴᾳ καταστήσῃ τιμῇ. Καὶ προσκαλεσάμενος αὐτοὺς εἰς τὴν οἰκίαν, δίδωσιν ἑκάστῳ φ' δραχμάς, καὶ τῇ ὑστεραίᾳ τοὺς βουλευτὰς συγκαλέσας παρεκάλει μὴ ἀπολείπεσθαι τῆς τοῦ δήμου εὐνοίας μεμνημένους Καίσαρος, ὃς αὐτοῖς τήν τε κατοικίαν καὶ τὴν τιμὴν περιέθηκε· πείσονται (12) δ' οὐκ ἐλάττω ἀγαθὰ ὑπ' αὐτοῦ· προσήκειν τε οὐκ Ἀντωνίῳ ἀλλ' ἑαυτῷ καὶ καρποῦσθαι τὴν ἀπ' αὐτῶν ὠφέλειαν καὶ χρῆσθαι τῇ δυνάμει τε καὶ τοῖς ὅπλοις. Καὶ μείζονι σπουδῇ ὥρμηντο βοηθεῖν αὐτῷ, [καὶ] συνάρασθαι πόνον τε καὶ κίνδυνον εἰ δέοι. Ὁ δὲ Καῖσαρ ἐπαινέσας τὴν προθυμίαν παρεκάλεσε συμπροπέμψαι αὐτὸν καὶ τἀσφαλὲς τῷ σώματι παρασχεῖν ἄχρι τῆς ἀστυγείτονος ἀποικίας. Ὁ δὲ δῆμος μάλα ἡδόμενος ἐπ' αὐτῷ ἀσμένως ὑπήκουσε, καὶ σὺν τοῖς ὅπλοις ἤγαγον εἰς τὴν δευτέραν ἀποικίαν. Ἀθροίσας [δὲ] καὶ τούτους εἰς ἐκκλησίαν ὅμοια διελέχθη. Καὶ πείθει ἀμφότερα τὰ τάγματα εἰς Ῥώμην αὐτὸν παρὰ τὰς ἄλλας κατοικίας προπέμψαι, τήν τε Ἀντωνίου βίαν, εἴ τι κινοῖ, ἐρρωμένως ἀμύνεσθαι. Προσκατέλεξε δὲ καὶ ἄλλους στρατιώτας μεγάλοις μισθοῖς, καὶ τοὺς μὲν νεολέκτους ἐγύμναζέ τε καὶ ἀνεδίδασκε κατὰ τὴν ὁδὸν ἰδίᾳ τε καὶ κοινῇ πάντας, διαλεγόμενος ἐπὶ Ἀντώνιον ἥκειν. Πέμπει δ' ἑτέρους τῶν ἑπομένων φρονήσει τε καὶ τόλμῃ διαφέροντας εἰς τὸ Βρεντέσιον, εἴ πως δύναιντο καὶ τοὺς νεωστὶ ἥκοντας ἐκ Μακεδονίας στρατιώτας πεῖσαι τὰ αὐτῶν ἑλέσθαι μεμνημένους Καίσαρος τοῦ πατρὸς, καὶ μηδενὶ τρόπῳ καταπροδόντας τὸν ἐκείνου παῖδα. Εἴρητο δ' αὐτοῖς, εἰ ἐκ τοῦ φανεροῦ μὴ δύναιντο, ἀλλὰ ταῦτα γράψαντας διαρρῖψαι πολλαχοῦ (13) ὡς διαράμενοι οἱ ἄνθρωποι τὰ γράμματα ἀναγινώσκοιεν (14). Προέσχηψε δὲ καὶ τοῖς λοιποῖς ἐλπίδων ἐμπλήσας, ἡνίκα δύναμις αὐτῷ συνέσται, ὡς ἂν ἕλοιντο τὰ αὐτοῦ. Καὶ οἱ μὲν ᾤχοντο.

Τέλος τοῦ βίου Καίσαρος
καὶ τῆς Νικολάου Δαμασκηνοῦ Συγγραφῆς.

clamando sæpius bono animo esse jubebat; nam ad omnia se adjuturos eum minimeque neglecturos esse, donec in honore paterno collocassent. Cæsar vero in domum suam advocatis quingentos singulis dedit denarios, ac postridie senatores convocatos hortatus est, ne benevolentia se vinci a populo paterentur, memores Cæsaris, cui coloniam et honorem quo ornati essent, accepta referrent, neque minoribus ipsum beneficiis eos affecturos esse promisit. Decere proinde non Antonium, sed ipsum frui commodis, quæ copiis suis et armis præstare possent. His majori opitulandi studio accensi, labores et pericula, si opus fuerit, una cum illo se subituros declararunt. Cæsar autem, collaudata hac animorum alacritate, hortatus eos est, ut ad vicinas colonias comitantes ipsum securitatem corpori præberent. Lubentissime populus obsecundavit et in armis Cæsarem ad proximam coloniam deduxit. Ubi in concionem multitudine convocata, quum similia disseruisset, utrique legioni persuadet, ut Romam se per reliquas colonias deducerent, et vim Antonii, si quid contra moliretur, fortiter propulsarent. Præterea alios milites magna mercede collegit, et recens conscriptos in ipso itinere exercendo erudiebat modo per partes modo in commune omnes, contra Antonium se proficisci dictitans. Nonnullos autem comitum prudentia et audacia insignes Brundusium misit, ut milites e Macedonia nuper transvectos in suas ipsius partes trahere tentarent, exhortantes ut Cæsaris patris memores essent neque ullo pacto filium ejus proderent. Quodsi ex aperto in colloquia venire non possent, jussit hæc literis consignata multis locis disseminari, ut tollentes scripta milites legerent. Reliquos quoque spe replens eorum, quæ largiturum se imperio potitum promittebat, adduxit ut suas partes amplecterentur. Et illi quidem profecti sunt.

FINIS VITÆ CÆSARIS
ET SCRIPTIONIS NICOLAI DAMASCENI.

ΠΑΡΑΔΟΞΩΝ ΕΘΩΝ ΣΥΝΑΓΩΓΗ.

ΕΚ ΤΟΥ ΣΤΟΒΑΙΟΥ ΑΝΘΟΛΟΓΙΟΥ.

102. ΙΒΗΡΕΣ.

V, 121 : Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ τι ἂν ἐξυφήνωσιν ἐν κοινῷ δεικνύουσιν· ἄνδρες δὲ χειροτονητοὶ κρίναντες τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν·

MORUM MIRABILIUM COLLECTIO.

E STOBÆI FLORILEGIO.

102. IBERI.

Iberorum mulieres quotannis in publicum exhibent opera quæ telâ confecerunt. Viri autem suffragiis lecti de ipsis judicant, et quam earum plurimum elaborasse inve-

nominativus qui præcedit absolutus, Καῖσαρ κτλ. — 10. αὐτὸν] sc. τὸν δῆμον, nisi forte αὐτῷ scribendum est. — 12. πείσονται] hoc quoque loco indicativum infinitivo ab excerptore substitutum esse puto. — 13. Idem narrat Appianus III, 31, sed ita, ut Romæ hoc fieri jusserit, antequam in Campaniam proficisceretur. — 14. ἀναγιγνώσκειν cod. Deinde post v. προέσχηψε δὲ accusativus aliquis desideratur.

102. Seriem fragmentorum exhibemus ex adornatione Westermanni in Paradoxographis. Cf. Apostol. IX, 60; Arsen. p. 263; Ephorus ap. Strabon. IV, p. 199; Ælian. V. H. XIV, 7; A. Gellius N. A. VII, 22.

(2) Ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ἣ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.

niunt, ei primos honores deferunt. 2. Habent quoque zonam certæ mensuræ, intra quam si venter cujusquam comprehendi nequeat, pro dedecore id habetur.

103. ΤΑΡΤΗΣΣΙΟΙ.

XLIV, 41 : Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι.

103. TARTESSII.

Apud Tartessios minori natu adversus majorem testimonium ferre non licet.

104. ΚΕΛΤΟΙ.

VII, 40 : Κελτοὶ οἱ τῷ Ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν. (2) Πλημμυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης μεθ' ὅπλων ἀπαντῶντες ὑπομένουσιν ἕως κατακλύζωνται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι.

104. CELTÆ.

Celtæ Oceani accolæ pro dedecore habent, si quis muro aut domui ruenti se subducat. (2) Quum Oceani æstus accedit, armis induti ei obviam eunt, subsistuntque donec mergantur, idque ne fugientes videantur quoquo modo mortem formidare.

105.

XLIV, 41 : Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράττουσι. (2) Μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ πολίτου φυγή. (3) Τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους. (4) Τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.

105.

Celtæ gladiis cincti omnia reipublicæ negotia tractant. (2) Graviorem pœnam apud eos luit, qui peregrinum, quam qui civem interemerit; illi enim mors irrogatur, huic exilium indicitur. (3) Ante omnes honore eos afficiunt, qui victoria potiti agrum aliquem publico acquisiverunt. (4) Januas ædium nunquam occlusas habent.

106. ΟΜΒΡΙΚΟΙ.

VII, 39 : Ὀμβρικοὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις αἴσχιστον ἡγοῦνται ἡττημένοι ζῆν, ἀλλ' ἀναγκαῖον ἢ νικᾶν ἢ ἀποθνήσκειν.

106. UMBRI.

Umbri turpissimum ducunt amissæ victoriæ superesse, sed ita statuunt, aut vincendum aut moriendum esse.

107.

X, 70 : Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες ὡς ἐν πολέμῳ μάχονται, καὶ δοκοῦσι δικαιότερα λέγειν οἱ τοὺς ἐναντίους ἀποσφάξαντες.

107.

Umbri, quum controversias inter se habent, armati, ut in bello, pugnant, et videntur justiorem habere causam, qui adversarium interemerint.

108. ΛΕΥΚΑΝΟΙ.

XLIV, 41 : Λευκανοὶ δικάζονται ἀλλήλοις ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. Ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ. Καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

108. LUCANI.

Lucani, tanquam criminis alicujus, etiam luxuriæ ignaviæque judicia agitant. Si quis convictus sit luxurioso mutuum dedisse, mutuo isto mulctatur. Athenis quoque ignaviæ judicia sunt.

109. ΣΑΥΝΙΤΑΙ.

XLIV, 41 : Παρὰ Σαυνίταις κατ' ἔτος οἵ τε ἠίθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι, ὁ δὲ κριθεὶς ἄριστος εἶναι λαμβάνει ἣν βούλεται, εἶτ' ὁ μετ' ἐκεῖνον δεύτερος καὶ οὕτως ἑφεξῆς.

109. SAMNITES.

Apud Samnites de adolescentibus et virginibus quotannis publicum habetur judicium. Quem eorum optimum esse sententia judicum pronunciarit, is sibi ex virginibus eligit uxorem, quam vult, deinde secundus ab eo alteram, et sic de ceteris fit deinceps.

---

103. Cf. Philostrat. Vit. Apoll. V, 1; Eustath. ad Dionys. Perieg. 337.

104. 2. Hæc hauserit vel ex Ephoro vel e Posidonio, quos de his laudat Strabo VII, p. 293, vel ex Aristot. Eth. Eudem. II, c. 1. Cf. Ælian. V. H. XII, 23.

105. Postrema leguntur etiam ap. Damascium in Append. ad Stobæi Floril. p. 74 ed. Gaisf. Ad § 2 cf. Cæsar. B. G. VI, 23; Aristot. Mirab. c. 85.

106. Contra Theopompus mollitiem Umbrorum notat ap. Athenæum XII, p. 527, F.

108. De Lucanorum moribus cf. Justin. XXXIII, 1.

109. Cf. Strabo V, p. 250.

110. ΔΑΡΔΑΝΕΙΣ.

V, 51 : Δαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον, ὅταν γεννῶνται, καὶ ἐπὶ γάμοις, καὶ τελευτῶντες.

111. ΛΙΒΥΡΝΙΟΙ.

XLIV, 41 : Λιβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι, καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρις ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι καὶ ἑκάστῳ τὸν ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.

112. ΑΥΤΑΡΙΑΤΑΙ.

LIV, 39 : Αὐταριᾶται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.

113. ΒΟΙΩΤΟΙ.

XLV, 41 : Βοιωτῶν ἔνιοι τοὺς τὸ χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτοῖς· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. Δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ, Βοιωτὸς ὢν τὸ γένος.

114. ΛΑΚΕΔΑΙΜΟΝΙΟΙ.

Ibid. : Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. (2) Ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. (3) Τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ τοὺς ἰδίους πατέρας. (4) Γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστι, οὕτω καὶ παρθένων. (5) Ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ οὔτε Σπαρτιάταις ξενιτεύειν. (6) Ταῖς δὲ αὐτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων. (7) Χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάταις. (8) Νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. (9) Σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὐτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. (10) Μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. (11) Οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιιόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν. (12) Αἰσχρὸν δέ ἐστι δειλῶν σύσκηνον ἢ συγγυμναστὴν ἢ φίλον γενέσθαι. (13) Κρίσις δὲ τῆς γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προτίθεται τοῖς τε εὖ ἢ κακῶς (καὶ καλῶς Or.) ζήσασιν. (14) Ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἀγήτορος Διὸς ἐναυσάμενος πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ

110. DARDANI.

Dardani, gens Illyrica, ter tantummodo in vita lavantur, quum in lucem recens editi sunt, quum nuptias contrahunt, quum fato sunt functi.

111. LIBYRNII.

Libyrnii uxores habent communes et liberos communiter alunt usque ad annum ætatis quintum. Anno autem sexto in unum convocant omnes pueros, atque tum ex similitudine ad quemlibet virorum conjecturam facientes, cuilibet similem patri filium assignant. Quem ita a matre infantem quisque accipit, eum filium suum esse putat.

112. AUTARIATÆ.

Autariatæ (*Illyrica gens*) milites per viam ægros imbecillesque factos in vivis nunquam relinquunt.

113. BOEOTI.

Quidam Bœotorum eos, qui non sunt solvendo, in forum adducunt et considere jussis cophinum superinjiciunt; ac qui hac cophini pœna affectus fuerit, inde infamis fit. Quam pœnam irrogatam etiam Euripidis patri, qui ex Bœotis oriundus erat, sunt qui existiment.

114. LACEDÆMONII.

Lacedæmonii inhonestum ducunt aliis operam navare artibus quam ad res bellicas pertinentibus. (2) Cibum omnes viri una capiunt. (3) Senes reverentur non secus ac parentes suos. (4) Ut viris, ita etiam virginibus sua sunt gymnasia. (5) Peregrinis Spartæ degere fas non est, nec Spartanum peregre proficisci. (6) Uxoribus suis potestatem faciunt prolem suscipiendi ex pulcherrimis tum civium tum peregrinorum. (7) Quæstum facere Spartano indecorum. (8) Numis utuntur ex corio; quodsi contingat aurum domi alicujus vel argentum deprehendi, morte pœnam luit. (9) Maxima omnibus gloria, si se humiles et obedientes magistratibus suis præbeant. (10) Beatiores apud eos judicantur, qui præclaram mortem oppetunt, quam qui in magna prosperitate vivunt. (11) Pueri ex lege quadam aram (*Dianæ Orthiæ*) circumeuntes flagellantur, donec pauci ex iis reliqui perdurantes sub flagris coronas præmium auferunt. (12) Turpe est timidum aliquem contubernalem vel gymnasii socium vel amicum sibi jungere. (13) De iis qui probe et honeste vixerunt ad terminum vitæ (*post exactum vitæ annum sexagesimum*) judicium habetur, num senatorum consilio adscribendi sint. (14) Quum exercitus educitur extra limites regionis, sacerdos, qui ignifer dicitur, ab ara Jovis Ductoris, ignem incendit quem a rege non procul

110. Idem narrat Ælianus V. H. IV, 1. Cf. Strabo VIII, p. 310.

111. Cf. quæ similia de Libybus Tritonidis accolis leguntur apud Herodotum IV, 180.

113. Cf. Müller. *Min.* p. 408. Quod de Euripidis patre Nicolaus affert, aliunde non novimus, fictaque criminatio esse videtur. Moschopolus in Vit. Eurip. : Εὐριπίδης, Μνησάρχου καὶ Κλειτοῦς, οἳ φεύγοντες ἐς Βοιωτίαν μετῴκησαν.

114. 8. σκοτίνῳ] Hæc ficta esse videntur Müllero *Dor.* II, p. 205. σιδηρῷ scr. Fischer.

τηρῶν. (15) Συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταὶ, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. Μάχονται δὲ ἐστεφανωμένοι. (16) Ὑπανίστανται δὲ τῷ βασιλεῖ πάντες πλὴν τῶν ἐφόρων. Ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν.

remotus præfert, inexstinctum servans. (15) Adjunguntur autem regi in bellum eunti vates, medici, tibicines : nam tibiis in bellis vice tubarum utuntur. Pugnantes autem coronis ornantur. (16) Regi assurgunt omnes præterquam ephori. Jurat rex, antequam regnum adeat, imperaturum se juxta leges reipublicæ.

115. ΚΡΗΤΕΣ.

Ibid. : Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον τοῦ Μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. Προσεποιεῖτο δὲ ὁ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. Μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει·

Τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα γε Μίνως
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

(2) Οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης Κρὴς τὸ γένος. (3) Συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξ ἴσου πάντες. Δῶρα δὲ αὐτοῖς ἐστιν ὅπλα τιμιώτατα.

115. CRETENSES.

Cretenses primi inter Græcos leges habuerunt a Minoe rege conditas, qui et primus maris imperio potitus est. Fingebat autem Minos se ab ipso Jove didicisse, quod per annos novem ad montem quendam commearet, ubi antrum Jovi sacrum erat, a quo reversus semper leges aliquas Cretensibus attulit. Cujus Homerus quoque meminit hisce versibus (Od. 19, 178) :

Inter illas est Gnossus, urbs magna, ubi Minos
Novem annis imperavit, qui Jovis magni confabulator erat.

(2) Cretensium pueri in greges distributi communi duræque educationi adstringuntur; scilicet venationibus operam dant, per acclivia nudis pedibus discurrunt, et armati ad saltationem pyrrhicham dictam magno labore assuefiunt, cujus inventor fuit Pyrrhichus Cydoniates, genere Cretensis. (3) Viri autem simul in publico cibum capiunt, eademque victus ratione æqualiter omnes utuntur. Dona apud ipsos plurimi æstimata sunt arma.

116. ΤΕΛΧΙΝΕΣ.

XXXVIII, 56 : Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν Κρῆτες, οἰκήσαντές [τε] καὶ ἐν Κύπρῳ, μεταναστάντες δ' εἰς Ῥόδον καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί· τεχνῖται δὲ ὄντες καὶ τὰ τῶν προτέρων ἔργα μιμησάμενοι Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου.

116. TELCHINES.

Homines illi, qui Telchines dicuntur, antiquitus Cretenses, postea Cyprum inhabitarunt; hinc vero in Rhodum migrantes, primi eam insulam occuparunt, maligni admodum et invidi erant. Quumque artes mechanicas exercerent majorumque opera imitarentur, Minervæ Telchiniæ (*Lindiam intellige*) statuam primi erexerunt, quod nomen sonat, ac si dicas : Minervæ præstigiatricis.

117. ΚΙΟΙ.

CXXIII, 12 : Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν, ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

117. CII.

Cii (*Ciani*) mortuos quum cremarunt, ossa eorum colligunt, quæ in mortario contundunt. Tum in navigium imponentes in altum navigant, ubi per cribrum ea ad ventos dispergunt, donec omnia difflantur et evanescunt.

118. ΤΡΙΒΑΛΛΟΙ.

LIV, 40 : Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται, τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.

118. TRIBALLI.

Triballi quattuor ordines in acie instruunt : primum faciunt imbecillium, alterum ab eo fortissimorum quorumque, tertium equitum, ultimum mulierum, quæ in fugam versos conviciis sistant.

116. Cf Strabo XIV, p. 653; Welcker. *Tril.* p. 184 sq.

117. Κίοι] Corayus aut Κεῖοι (Cei ins. incolæ) aut Κιανοὶ (Cii urbis incolæ) scribendum esse putat. Quamquam Κία apud seriores etiam *Ceos* ins. (*Zia* hodie) nominata esse videtur. Certe Κία est in mappa insularum maris Ægei medio ævo delineata, quam ex codice Paris. Ptolemæi affert Brœndstedius Itiner. Gr. tab. XXIX, p. 92. Eademque forma usus esse videtur Ptolemæus V, 15; denique Philo II p. 510 ed. Mangey. Ceum ins. dicit Κίανον, quod item Κίαν potius fuerit quam Κέω, notante Schneidewino ad. Heraclid. Pol. p. XXXVIII et 69. De Ceorum circa defunctos cura nonnulla habes in Heraclid. fr. 9. Etiam quæ n. l. narrantur a moribus eorum non abhorrere putat Schneidewinus. Westermannus de Cii urbis incolis cogitasse videtur. Ego quoque Ponti accolas intelligo *Ciosque* pro *Cianis* dici puto.

119. ΤΡΑΥΣΙΑΝΟΙ.

CXX, 24 : Καυσιανοὶ (Τραυσιανοὶ) τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν.

119. TRAUSIANI.

Causiani (*Trausiani*) eos, qui in lucem eduntur, deplorant; qui autem e vita excedunt, eos beatos judicant.

120. ΤΑΥΡΟΙ.

CXXIII, 12 : Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.

120. TAURI.

Tauri, gens Scythica, una cum regibus mortuis gratissimos quosque eorum amicos humare solent. Rex vero quum amicum aliquem morte amittit, aut partem auriculæ aut totam eam abscindit, prout dignitas amici mortui merebatur.

121. ΣΙΝΔΟΙ.

Ibid. : Σίνδοι τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ.

121. SINDI.

Sindi quum quenquam sepeliunt, tum quot hostes in vita occiderit, totidem pisces ejus sepulcro injiciunt.

122. ΣΑΥΡΟΜΑΤΑΙ.

XLIV, 41 : Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. (2) Ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις. (3) Παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

122. SAUROMATÆ.

Sauromatæ (*Sarmatæ*) per tres dies cibo se ita ingurgitant, ut repleantur. (2) Uxoribus in omnibus obtemperant tanquam dominabus. (3) Virgini non prius nuptias concedunt, quam hostem aliquem interfecerit.

123. ΓΑΛΑΚΤΟΦΑΓΟΙ.

V, 73 : Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί εἰσιν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν, τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι, καί εἰσι διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὐτοῖς πάντη τὴν τροφὴν ἔχοντες. (2) Οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο. (3) Εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας ὀνομάζειν, τοὺς δὲ νεωτέρους παῖδας, τοὺς δ' ἥλικας ἀδελφούς. (4) Ὧν ἦν καὶ Ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθείς, ὃς ἦλθεν εἰς τὴν Ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν Ἑλλήνων νόμιμα. (5) Τούτων καὶ Ὅμηρος μέμνηται ἐν οἷς φησιν·

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

Ἀβίους δ' αὐτοὺς λέγει ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν ἢ διὰ τὸ ἀοίκους εἶναι ἢ διὰ τὸ χρῆσθαι τούτους μόνους τόξοις· βιὸν γὰρ λέγει τὸ τόξον. (6) Παρὰ τούτοις οὐδὲ εἷς οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν οὔτε φοβούμενος ἱστορήθη διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. (7) Μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς ὅταν δέῃ, καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρις Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης.

123. GALACTOPHAGI.

V. Meinek. Comic. fr. tom. IV, p. 557 sq.

Aliunde de Athenione comico non constat; et de ætate ejus nihil decernit Meinekius. Suspicor apud ipsum Jubam Athenionem degisse, eundemque esse cum eo, cujus in seq. fragmento mentio fit.

ΕΠΙΓΡΑΜΜΑ.

83.

Athenæus VIII, p. 343, E: Ὀψοφάγος δ' ἦν καὶ Λεοντεὺς ὁ Ἀργεῖος τραγῳδὸς, Ἀθηνίωνος μὲν μαθητὴς, οἰκέτης δὲ γενόμενος Ἰόβα τοῦ Μαυρουσίων βασιλέως, ὥς φησιν Ἀμάραντος ἐν τοῖς Περὶ σκηνῆς, γεγραφέναι φάσκων εἰς αὐτὸν τόδε τὸ ἐπίγραμμα τὸν Ἰόβαν, ὅτε κακῶς τὴν Ὑψιπύλην ὑπεκρίνατο·

Μή με Λεοντῆος τραγικοῦ κιναρηφάγου ἦθος
λεύσσων Ὑψιπύλης ἐς κακὸν ἦτορ ὅρα.
Ἤμην γάρ ποτ' ἐγὼ Βάκχῳ φίλος, οὐδέ τιν' ὧδε
γῆρυν χρυσολόβοις οὔασιν ἠγάσατο.
Νῦν δέ με χυτρόποδες, κέραμοι καὶ ξηρὰ τάγηνα
χήρωσαν φωνῆς, γαστρὶ χαριζόμενον.

ΟΜΟΙΟΤΗΤΕΣ.

84.

Athenæus IV, p. 170, E: Ζητητέον δὲ, εἰ καὶ ὁ τραπεζοκόμος ὁ αὐτός ἐστι τῷ τραπεζοποιῷ. Ἰόβας γὰρ ὁ βασιλεὺς ἐν ταῖς Ὁμοιότησι τὸν αὐτὸν εἶναί φησι τραπεζοκόμον καὶ τὸν ὑπὸ Ῥωμαίων καλούμενον στρούκτωρα, παρατιθέμενος ἐκ δράματος Ἀλεξάνδρου, ᾧ ἐπιγραφὴ Πότος·

Εἰς αὔριόν με δεῖ λαβεῖν αὐλητρίδα·
τραπεζοποιὸν δημιουργὸν λήψομαι.
Ἐπὶ τοῦτ' ἀπέστειλ' ἐξ ἀγροῦ μ' ὁ δεσπότης.

---

assare. Quæ quum humana saperet suavius,
esu abstinuerunt mutuo, assarunt diis
mactatas pecudes. Experimentum sui
semel ut voluptas dederat, hinc facto initio
artem coquendi in majus majusque auxerunt.
Unde et nunc, memores morum qui fuerant prius,
quæ dis sacrantur exta tradunt ignibus
sale non adhibito: nam principio non erat
usus saliendi ad condituram cognitus.
Sed et hoc post illa placuit: inde jam salem
cibis adhibent; licet deorum in honoribus
priscos ritus servantes. Atque hoc unicum
nobis salutis exstitit primordium,
quod studio accenso ars semper consummatior
fieret coquendi, multis suavitatibus.
B. Profecto hic nobis alter est Palæphatus.
A. Ergo paulatim procedente tempore
omasum farctum nescio quis intulit,
tenerumque coctum cum suo sibi succo hædulum
inclusit in pericomma. [B.] Ad cantum tibiæ?
[A.] Piscem ambierunt, ut nequiret conspici,
alicula, salsamentum, mella, olusculum.
Quum propter has, quas dixi, delicias procul
abessent cuncti a carnis humanæ esibus,
sociare vitam libuit, populi colligi
cœpere, passim surrexerunt oppida:
artis quæ, ut dixi, nostræ sunt beneficia.
B. Salve homo mihi: perapte convenis hero.
A. Nos auspicamur, nos sacrificamus coqui,
nos et libamus; quia di nobis maxime
sunt obsequentes, qui res tantas reperimus,
quibus adjuti homines ævum recte degerent.
B. De pietate quidem quod ais, mitte dicere.
A. Peccavi. B. Hic igitur mecum tu cibum cape:
mox intus recte, tibi quæ tradentur, para.

83.

Obsonii lurco fuit etiam Leonteus Argivus, tragœdus, Athenionis discipulus, domesticus Jubæ regis Mauritaniæ, ut tradit Amarantus in libro De scena; ubi ait quum Hypsipylen male egisset, scripsisse in eum Jubam tale epigramma:

Leontei tragici cinaræ lurconis ingenium
spectaturus, ne Hypsipyles ægrum pectus respice.
Fui enim ego quondam Baccho carus, nec ille sonos
cujusquam auro-perculsis auribus probavit.
Nunc me vero pediculatæ ollæ siccæque sartagines
privarunt voce, ventri gratificantem.

84.

Quærendum etiam, sitne idem τραπεζοποιός et τραπεζοκόμος. Juba enim rex, in Similitudinibus, eundem ait esse τὸν τραπεζοκόμον et eum quem *structorem* Romani vocant; citatque ex Alexandri fabula, cui titulus Compotatio, hæc verba:

In crastinum me sumere oportet tibicinam:
τραπεζοποιὸν, artificem, sumam:
ad hoc me herus ex agro huc misit.

Ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπεζῶν ἐπιμελητὴν καὶ τῆς ἄλλης εὐκοσμίας.

85.

E LIBRO QUINTODECIMO.

Hesych. : Κάρτη, εἶδος ἱματίου· παρὰ Ἰὼϐ (Ἰόϐᾳ Scal.) ἐν πεντεκαιδεκάτῳ Περὶ ὁμοιοτήτων.

Cf. Hesych. : Κόρτην· Πάρθοι ἐσθῆτα καλοῦσιν, ἣν λαμϐάνουσι παῖδες εἰς ἄνδρας ἀφικόμενοι (ut Romani prætextam virilem).

ΠΕΡΙ ΦΘΟΡΑΣ ΛΕΞΕΩΣ.

86.

E LIBRO SECUNDO.

Photius et Suidas : Σχομϐρίσαι, παρὰ Ἰόϐᾳ ἐν β' Φθορᾶς λέξεως, παιδιᾶς ἀσελγοῦς εἶδος ἀποδίδοται καὶ κατὰ τὸ ἦτρον πλατεῖ τῷ ποδὶ πλήσσοντος ὡς ψόφον ἐργάσασθαι. Cf. Hesych. v. ῥαθαπυγίζειν.

87.

Etym. M. p. 277, 38 : Διόνυσος... οἱ δὲ Δεύνυσον, ἐπειδὴ βασιλεὺς ἐγένετο Νύσσης· δεῦνον δὲ τὸν βασιλέα λέγουσιν οἱ Ἰνδοὶ, ὡς Ἰόϐας.

88.

Hesych. Βρίγες, οἱ μὲν Φρύγες· οἱ δὲ βάρϐαροι· οἱ δὲ σολοικισταί· Ἰόϐας δὲ ὑπὸ Λυδῶν φαίνεται (scr. ἀποφαίνεται) Βρίγα λέγεσθαι τὸν ἐλεύθερον.

SEDIS INCERTÆ.

89.

Hesych. : Κυλικίας, ἰδιώτης, ἀπὸ τόπου. Ἰόϐας. Quæ quorsum spectent nescio. Κυλίκας locum in Illyria e Polemone memorat Athenæus XI, p. 462, B. Num de eodem etiam Hesychii glossa intelligenda? Cogitari possit de Callicranibus (de quibus v. Athenæus l. l.) vel de Siculis Cillicyriis, quod utrumque erat genus *helotum*. Quare nescio an pro ἰδιώτης in suspecta hac glossa olim fuerit εἵλωτες.

90.

Hesych. : Τερέϐινθος, πόλις. Ἰὼϐ (Ἰόϐας?). Terebinthus urbs Hebræorum. Vid. interpretes.

91.

Herodian. p. 13, 30 : Κάνωϐος. Οὐδὲν εἰς βος λῆγον ὑπὲρ δύο συλλαϐὰς τῷ ω παραλήγεται, ἀλλὰ μόνον ὁ κάνωϐος· τὸ γὰρ παρὰ τοῦ Ἰώϐᾳ (sic) κείμενον βαρϐαρικὸν ὄνομα ναϐωμὸς διὰ τοῦ μ γράφεται.

Jubæ nomen Dindorfius reponendum suspicatur ap. Herodian. p. 11, 19, ubi codex : Ἀγροιῶτας ἀπὸ Λιϐυχῶν. Quem locum vide in fragmentis *Agrœtæ*.

Servius ad Virg. Æn. V, 522 *objicitur*] *Superius* (*IV*, 549) *de his particulis secundum Jubam artigraphum tractavimus.*

Ad lib. IV, 549 Servius ita : OB *naturaliter brevis est sicut et* RE *et* AD; *sed plerumque producuntur hac ratione : obicio, reicio, adicio; i habent vocalem sequentem quæ per declinationem potest in consonantem transire; ut objeci, rejeci. Ergo etiam antequam transeat, interdum fungitur officio consonantis, et præcedentem longam facit.*

Priscianus De metris Terent. p. 235, ex Asmonio : *Juba ideo in secundo et quarto et sexto loco iambos non recepit nisi a brevi incipientes, quia in his locis feriuntur per conjugationem pedestrium metrorum. Et vult extrema pars pedum iambicorum celerior esse quomodo et ipsi iambi.*

Serioris ævi grammaticum h. l. laudari neque cum Juba rege confundendum censent Vossius et Sevinus. Quod neque affirmare neque negare ausim; etsi nihil impedit quominus Juba de lingua latina scripserit latine.

In codice Palatino n°. 129, qui ἐκλογὰς ἐκ διαφόρων συγγραφέων continet, secundum *Recensionem codd. qui ex universa bibl. Vaticana selecti,* etc. (Lipsiæ 1803), inter alia inesse dicuntur Excerpta ex Theodoreto, Thucydide, *Joba,* Hippocrate, etc.

Vocant autem τραπεζοποιὸν eum, qui et mensas et alia curabat, ut ordine administrarentur.

85.

Carte, pallii genus, teste Juba libro decimo quinto De similitudinibus.

DE DICTIONIS CORRUPTIONE.

86.

Σχομϐρίσαι. Juba libro secundo De corruptione dictionis vocem hanc significare dicit genus lascivi ludi; quum quis planta pedis imum ventrem feriens strepitum edit.

87.

Dionysus.. secundum nonnullos proprie est *Deunysus*, id est *rex Nysæ;* nam *deunum* Indi regem dicunt, teste Juba.

88.

Briges. Juba demonstrat *Brigem* a Lydis dici liberum.

89.

Cylicias, privati (?) nomen, a loco quodam.

90.

Terebinthus, urbs; Juba.

91.

Nabomus, Ναϐωμὸς, nomen barbaricum, apud Jubam occurrit.

ATHENODORUS TARSENSIS.

Athenodoros Tarsenses novimus duos, quorum uterque insignem inter stoicos philosophos locum tenuit. Alter, cui cognomen Cordylioni (1), senex vivebat Pergami, bibliothecæ præfectus (2), usque dum Cato minor e Macedonia, ubi militans tum subsistebat, Pergamum transvectus precibus suis philosophum permovisset, ut Romam cum ipso abiret (3). Apud Catonem deinde ad diem usque supremum versatus est.

Alter Athenodorus Sandonis filius, Posidonii Rhodii discipulus, Apolloniæ inter præceptores Augusti Cæsaris, cum quo Romam deinde profectus est. De eo locus classicus apud Strabonem XIV, p. 675 : Ἀθηνόδωροι δύο· ὧν ὁ μὲν, Κορδυλίων καλούμενος... ὁ δὲ τοῦ Σάνδωνος, ὃν καὶ Κανανίτην φασὶν ἀπὸ κώμης τινὸς, Καίσαρος καθηγήσατο, καὶ τιμῆς ἔτυχε μεγάλης· κατιών τε εἰς τὴν πατρίδα ἤδη γηραιὸς, κατέλυσε τὴν καθεστῶσαν πολιτείαν, κακῶς φερομένην ὑπό τε ἄλλων καὶ Βοηθοῦ, κακοῦ μὲν ποιητοῦ, κακοῦ δὲ πολίτου, δημοκοπίαις ἰσχύσαντος τὸ πλέον. Ἐπῆρε δ' αὐτὸν καὶ Ἀντώνιος, κατ' ἀρχὰς ἀποδεξάμενος τὸ γραφὲν εἰς τὴν ἐν Φιλίπποις νίκην ἔπος· καὶ ἔτι μᾶλλον ἡ εὐχέρεια ἡ ἐπιπολάζουσα παρὰ τοῖς Ταρσεῦσι, ὥστ' ἀπαύστως σχεδιάζειν παρὰ χρῆμα πρὸς τὴν δεδομένην ὑπόθεσιν, καὶ δὴ καὶ γυμνασιαρχίαν ὑποσχόμενος Ταρσεῦσι τοῦτον ἀντὶ γυμνασιάρχου κατέστησε, καὶ τὰ ἀναλώματα ἐπίστευσεν αὐτῷ. Ἐφωράθη δὲ νοσφισάμενος τά τε ἄλλα καὶ τοὔλαιον· ἐλεγχόμενος δ' ὑπὸ τῶν κατηγόρων ἐπὶ τοῦ Ἀντωνίου, παρῃτεῖτο τὴν ὀργὴν σὺν ἄλλοις καὶ ταῦτα λέγων, ὅτι Ὥσπερ Ὅμηρος ἐξύμνησεν Ἀχιλλέα καὶ Ἀγαμέμνονα καὶ Ὀδυσσέα, οὕτως ἐγώ σε· οὐ δίκαιος οὖν εἰμι εἰς τοιαύτας ἄγεσθαι διαβολὰς ἐπὶ σοῦ. Παραλαβὼν οὖν ὁ κατήγορος τὸν λόγον· Ἀλλ' Ὅμηρος μὲν, ἔφη, ἔλαιον μὲν Ἀγαμέμνονος οὐκ ἔκλεψεν, ἀλλ' οὐδὲ Ἀχιλλέως· σὺ δέ· ὥστε δώσεις δίκην. Διακρουσάμενος δ' οὖν θεραπείαις τισὶ τὴν ὀργὴν, οὐδὲν ἧττον διετέλεσεν ἄγων καὶ φέρων τὴν πόλιν μέχρι τῆς καταστροφῆς τοῦ Ἀντωνίου. Τοιαύτην δὲ τὴν πόλιν καταλαβὼν ὁ Ἀθηνόδωρος, τέως μὲν ἐπεχείρει λόγῳ μετάγειν κἀκεῖνον καὶ τοὺς συστρατιώτας· ὡς δ' οὐκ ἀπείχοντο ὕβρεως οὐδεμιᾶς, ἐχρήσατο τῇ δοθείσῃ ὑπὸ τοῦ Καίσαρος ἐξουσίᾳ, καὶ ἐξέβαλεν αὐτοὺς, καταγνοὺς φυγήν. Οἱ δὲ πρῶτον μὲν κατετοιχογράφησαν αὐτοῦ τοιαῦτα·

Ἔργα νέων, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων.

Ἐπεὶ δ' ἐκεῖνος ἐν παιδιᾶς μέρει δεξάμενος, ἐκέλευσε παρεπιγράψαι, — βρονταὶ δὲ γερόντων· καταφρονήσας δέ τις τοῦ ἐπιεικοῦς, εὔλυτον τὸ κοιλίδιον ἔχων, προσέρρανε πολὺ τῇ θύρᾳ καὶ τῷ τοίχῳ, νύκτωρ παριὼν τὴν οἰκίαν. Ὁ δὲ τῆς στάσεως κατηγορῶν ἐν ἐκκλησίᾳ, τὴν νόσον τῆς πόλεως, ἔφη, καὶ τὴν καχεξίαν πολλαχόθεν σκοπεῖν ἔξεστι, καὶ δὴ καὶ ἐκ τῶν διαχωρημάτων. Οὗτοι μὲν Στωικοὶ ἄνδρες. Ἀκαδημαϊκὸς δὲ Νέστωρ (*) ὁ καθ' ἡμᾶς, ὁ Μαρκέλλου καθηγησάμενος, τοῦ Ὀκταουίας παιδὸς, τῆς Καίσαρος ἀδελφῆς. Καὶ οὗτος δὲ προέστη τῆς πολιτείας, διαδεξάμενος τὸν Ἀθηνόδωρον, καὶ διετέλεσε τιμώμενος παρά τε τοῖς ἡγεμόσι καὶ ἐν τῇ πόλει.

Adde Lucian. Macrob. c. 21 (p. 643 Didot.) : Ἀθηνόδωρος Σάνδωνος Ταρσεὺς Στωικὸς, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος σεβαστοῦ θεοῦ, ὑφ' οὗ ἡ Ταρσέων πόλις καὶ φόρων ἐκουφίσθη, δύο καὶ ὀγδοήκοντα ἔτη βιοὺς ἐτελεύτησεν ἐν τῇ πατρίδι καὶ τιμὰς ὁ Ταρσέων δῆμος αὐτῷ κατ' ἔτος ἕκαστον ἀπονέμει ὡς ἥρωι.

Eusebius Arm. Chron. ad Ol. 197, 1 (9 p. Chr.) : *Athenodorus Tarsensis philosophus physicus* (*stoicus* Hieron.) *cognoscebatur*. Cf. Syncell. p. 318,

(1) Strabo XIV, p. 675 : Ἄνδρες δ' αὐτῆς (sc. ἐκ Τάρσου) γεγόνασι τῶν μὲν στωικῶν Ἀντίπατρός τε καὶ Ἀρχέδημος καὶ Νέστωρ· ἔτι δ' Ἀθηνόδωροι δύο, ὧν ὁ μὲν Κορδυλίων καλούμενος, συνεβίωσε Μάρκῳ Κάτωνι, καὶ τελευτᾷ παρ' ἐκείνῳ, ὁ δὲ τοῦ Σάνδωνος, κτλ.

Cordylionis cognomentum egregie Hasius, v. cl., restituit grammatico in Crameri Anecd. Parisin. I, p. 16, ubi ad codicis vocem corruptam Κογκύλῳ margo exhibet:... νοδώρω... λην κορ.. λίωνι, i. e. Ἀθηνοδώρῳ ἐπίκλην Κορδυλίωνι.

(2) Diogen. L. VIII, 34 : (Ἰσίδωρος ὁ Περγαμηνὸς) ἐκτμηθῆναί φησιν ἐκ τῶν βιβλίων τὰ κακῶς λεγόμενα παρὰ τοῖς Στωικοῖς ὑπ' Ἀθηνοδώρου τοῦ Στωικοῦ, πιστευθέντος τὴν ἐν Περγάμῳ βιβλιοθήκην· εἶτα ἀντιτεθῆναι αὐτὰ, φωραθέντος τοῦ Ἀθηνοδώρου καὶ κινδυνεύσαντος.

(3) Plutarch. Cat. m. c. 10 : Πυθόμενος δ' Ἀθηνόδωρον, τὸν ἐπικαλούμενον Κορδυλίωνα, μεγάλην ἕξιν ἐν τοῖς Στωικοῖς λόγοις ἔχοντα, διατρίβειν περὶ Πέργαμον, ἤδη γηραιὸν ὄντα, καὶ πάσαις ἐρρωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις καὶ φιλίαις διαμεμαχημένον, οὐδὲν ᾤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτὸν, ἀλλ' ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν, ἔπλευσεν εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα, πιστεύων τοῖς ἐν αὐτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. Συγγενόμενος δὲ καὶ καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν, ἧκεν ἄγων εἰς τὸ στρατόπεδον, περιχαρὴς καὶ μεγαλοφρονῶν, ὥς τι κάλλιστον ᾑρηκὼς, καὶ λαμπρότερον ὧν Πομπήϊος τότε καὶ Λεύκολλος ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιιόντες. Catonis ad Athenodorum iter memorat etiam in Moral. p. 777 (p. 949 ed. Did.).

Idem ib. c. 16. Ἐπανελθὼν δ' εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον κατ' οἶκον Ἀθηνοδώρῳ ἢ κατ' ἀγορὰν τοῖς φίλοις παριστάμενος διετέλεσε. Cf. Plinius H. N. VII, 30.

(*) Hunc Vossius censet esse Nestorem, cujus Ὑπομνήματα θεατρικὰ laudat Athenæus X, p. 415, C : Ἐνίκησε (sc. Ἡρόδωρος) ὁ Μεγαρεὺς σαλπιγκτὴς τὴν περίοδον δεκάκις, καὶ ἐδείπνει καθήμενος, ὡς ἱστορεῖ N. ἐν τοῖς Θεατρικοῖς ὑπομνήμασι. Nestoris nomen reponendum ap. schol. Eurip. Phœn. 13 (v. Lysimachi fr. 10 a).

C. Idem *Alexandrinus* dicitur ap. Cedren. p. 172. Mich. Glycas Ann. III, 206. Manasses v. 1872, coll. 1881. 1904. (Distinguendus a Nostro est Athenodorus, qui præceptor vel familiaris erat Tiberii Claudii juvenis, de quo vide Augusti Cæsaris epistolam ap. Suetonium in Claudio c. 4.) Cf. Perizonius ad Ælian. Var. Hist. XII, 25, ubi : Καὶ ὁ Σεβαστὸς Ἀθηνοδώρου (τι ὤνατο). Dio Chrysostom. Orat. Tarsica prior, p. 408 : Ἀθηνόδωρος ὁ πρώην γενόμενος, ὃν ᾔδεῖτο ὁ Σεβαστός. Consiliis Athenodori obtemperasse Augustum refert etiam Zosimus in Hist. I, 5, 6 (unde sua habet Suidas v. Ἀθηνόδωρος, v. ibi Bernhardy). Pertinet huc quæ narrat Plutarchus, Apophthegm. Regg. p. 207, D : Ἀθηνοδώρῳ δὲ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν. Ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ Ἀθηνόδωρος εἶπεν, Ὅταν ὀργισθῇς, Καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτὸν, ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς, Ἔτι σοῦ παρόντος, ἔφη, χρείαν ἔχω· καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτὸν, εἰπὼν ὅτι Ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας. (Eadem in Crameri Anecdd. Parisin. II, p. 276.) Porro Dio Cassius LVI, 43 : Ἀθηνοδώρου ἐν δίφρῳ καταστέγῳ ἐς τὸ δωμάτιον αὐτοῦ (Augusti), ὡς καὶ γυναικός τινος, ἐσκομισθέντος, καὶ ἐξ αὐτοῦ ξιφήρους ἐκπηδήσαντος καὶ προσεπειπόντος « Οὐ φοβῇ, μή τις σὲ οὕτως ἐσελθὼν ἀποκτείνῃ ; » οὐχ ὅπως ὠργίσθη, ἀλλὰ καὶ χάριν αὐτῷ ἔγνω. (Fusius hæc exponit Zonaras p. 544, B; v. Sturz. ad l. Dionis.) Idem Dio LII, 37, in oratione Mæcenatis ad Augustum (725 a. u. c.) : Καὶ ἐκείνους (sc. τοὺς φιλοσοφεῖν προσποιουμένους) φυλάσσεσθαι σε παραινῶ· μὴ γὰρ ὅτε καὶ Ἀρείου καὶ Ἀθηνοδώρου καλῶν καὶ ἀγαθῶν ἀνδρῶν πεπείρασαι, πίστευε καὶ τοὺς ἄλλους πάντας τοὺς φιλοσοφεῖν λέγοντας ὁμοίους αὐτοῖς εἶναι. Memoratur denique Athenodorus apud Plutarch. Qu. Conv. II, 1, 13, p. 634, F, ubi Timagenes ex Athenodoro quæsivisse dicitur εἰ φυσικὴ ἡ πρὸς τὰ ἔκγονα φιλοστοργία, et apud alios passim, quæ jam non excutio (*). Omnino enim parum liquet num recte Athenodoro inter historicos locum assignaverimus. Exstat sane locus Stephani Byzantii, ubi de Anchiales urbis conditore laudatur Athenodorus περὶ τῆς αὐτοῦ πατρίδος (fr. 1); quod ut non dubitavi ad Tarsensem Athenodorum referre, hoc tamen incertum, utrum Cordylio sit an Sandonis filius, an denique tertius aliquis intelligendus. Sandonis filio expressis verbis vindicatur liber ad Octaviam Augusti sororem scriptus, ex quo Mucii Scævolæ quoddam cognomentum commemorat Plutarchus. At nemo hinc certum argumentum petere ausit scriptum istud fuisse argumenti historici; potuit tractare locum ex philosophia morali petitum, quem exemplis auctor illustraverit; sicuti in opere Περὶ σπουδῆς καὶ παιδιᾶς, cujus fragmentum legitur apud Athenæum XII, p. 519, B : Καὶ Ἀθηνόδωρος (nescio qui) ἐν τῷ Περὶ σπουδῆς καὶ παιδιᾶς Ἀρχύταν φησὶ τὸν Ταραντῖνον, πολιτικὸν ἅμα καὶ φιλόσοφον γενόμενον, πλείστους οἰκέτας ἔχοντα, ἀεὶ τούτοις παρὰ τὴν δίαιταν ἀφιεμένοις εἰς τὸ συμπόσιον ἥδεσθαι. Ἀλλ' οἱ Συβαρῖται ἔχαιρον τοῖς Μελιταίοις κυνιδίοις, καὶ ἀνθρώποις οὐχ ἀνθρώποις.

Haud minus infirmum judicium de iis quæ de Sarapide ex Athenodoro afferuntur (fr. 4); quanquam quum alius accedat locus de Nabatæis Arabiæ Felicis, haud omni verisimilitudinis specie conjectura caret esse hæc omnia profecta ex opere vel geographico vel historico. De Oceano ejusque fluxu et refluxu (fr. 5) disputaverit in scripto physiologico (*).

(*) Peculiarem libellum de Athenodoro stoico scripsit J. H. Hoffmann. Lips. 1732, 4. Sevinus in *Mém. de l'Acad.*, tom. XIII.

(*) Ex scriptis philosophicis præterea laudatur opus Περίπατοι inscriptum, quod quater citat Diog. Laertius (III, 3, de Platone : Ἀλλὰ καὶ ἐχορήγησεν Ἀθήνησι Δίωνος ἀναλίσκοντος, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῳ Περιπάτων. V, 36 : Θεόφραστος Ἐρέσιος, Μελάντα κναφέως υἱός, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ Περιπάτων. VI, 81, de Diogene : Τὸν δὴ φιλόσοφον Ἀθηνόδωρός φησιν ἐν ὀγδόῃ Περιπάτων ἀεὶ στιλπνὸν φαίνεσθαι διὰ τὸ ἀλείφεσθαι. IX, 41 : Φησὶ δὲ Ἀθηνόδωρος ἐν η' Περιπάτων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν (Δημόκριτον) κελεῦσαι κομισθῆναι γάλα, καὶ θεασάμενον τὸ γάλα εἰπεῖν εἶναι αἰγὸς πρωτοτόκου καὶ μελαίνης.. Ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην).

Idem Stoicorum placita enumerans Athenodori meminit VII, 68. 121. 149. — Ἀθηνόδωρος ἐν τῷ Ἀριστοτέλους Κατηγορίαι ἐπιγραφομένῳ βιβλίῳ ap. Simplic. in Aristot. Categ. p. 15 *b*. 5. 23 *b*. 41. 47 *b*. Porphyr. in Categ. p. 2 et 10, ubi ad Athenodorum rhetoricas suas artes Cornutus scripsisse dicitur. — Cf. Seneca phil. I, p. 224. 305. 307. 311 ed. Amstel. 1619.

Athenodori Eretriensis mentionem faciemus in fragmentis auctorum ætatis incertæ. Alios Athenodoros colligas e Vita Arati I et II; Quinctilian. II, 17, 15; Philostrat. V. L. II, 14 p. 594. Suidas v. Ἀθηνόδωρος. Eudoc. p. 51. Plutarch. De fortun. Alex. or. II, 2 (p. 410 Didot.), De frat. amore c. 11 (p. 586 ed. Did.) Stobæi Floril. 33, 5. Ælian. V. H. I, 25, et Plutarch. in Phocione. Plutarch. Sympos. VIII, 9. Plin. epist. VII, 27. Antholog. III, p. 369. Diog. L. VII, 38. Pausanias X, 9, 8. Euseb. in Chron. Olympionic. Ol. 207. 208. 210. Plinius H. N. XXXIV, 8, 19.

ΠΕΡΙ ΤΑΡΣΟΥ ΠΑΤΡΙΔΟΣ.

1.

Steph. Byz. : Ἀγχιάλη, πόλις Κιλικίας, παραθα-

DE TARSO PATRIA.

1.

Anchiale condita est ab Anchiale Iapeti filia, ut prodit Athenodorus in libro De patria sua testem apponens Diodorum (*Tarsensem ?*) grammaticum, qui ipse cum Ptolemæo (*VII Physcone ?*) rege consentit. « Iapeti filia, ait,

λασσία τῇ Τάρσῳ καὶ Ζεφυρίῳ· ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρὸς, ὡς Ἀθηνόδωρος Περὶ τῆς αὐτοῦ πατρίδος γράφων, καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ. « Γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ κτίζει πόλιν Ἀγχιάλην [πρὸς] Ἀγχιαλέα τὸν παρακείμενον ποταμόν. Γεννᾷ δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῷ· ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία. Μεταπεσόντος δὲ τοῦ ὀνόματος, Τάρσος ἐκλήθη. »

Eadem ex parte in sua transcripsit Eustathius ad Dionys. v. 875. Vulgaris traditio, ex qua Tarsus et Anchiale a Sardanapallo uno et eodem die conditæ feruntur, notissima est. A Græcis conditam Tarsum Strabo quoque dicit, alio tamen modo atque Athenodorus. Τάρσος, ait, κτίσμα τῶν μετὰ Τριπτολέμου πλανηθέντων Ἀργείων κατὰ ζήτησιν Ἰοῦς. Cf. Steph. Byz. v. Τάρσος. Jam quum Strabo bene nosset libros Athenodori Sandonis filii, hic si illa retulisset quæ Stephanus tradit, Strabonem ea commemoraturum fuisse suspiceris. Quapropter alium Tarsensem Athenodorum a Stephano laudari non improbabile est. Diodorus ille grammaticus ipse quoque, puto, Tarsensis est, ille scilicet, quem Strabo p. 876, inter claros ejus urbis cives commemorat. In postremis scripserim ἀφ' οὗ ἡ πόλις ἐκλήθη Π. Μεταπεσόντος δ. τ. ὀν. Τ. μετωνομάσθη.

ΠΡΟΣ ΟΚΤΑΟΥΙΑΝ.

2.

Plutarch. Poplicola c. 17 : Τοῦτον τὸν ἄνδρα Μούκιον ὁμοῦ τι πάντων καὶ Σκαιόλαν καλούντων, Ἀθηνόδωρος ὁ Σάνδωνος ἐν τῷ πρὸς Ὀκταουΐαν τὴν Καίσαρος ἀδελφὴν καὶ Ὀψίγονον ὠνομάσθαι φησίν.

3.

Strabo XVI, p. 779, de Petra Nabatæorum urbe : Βασιλεύεται μὲν οὖν (sc. ἡ Πέτρα) ὑπό τινος ἀεὶ τῶν ἐκ τοῦ βασιλικοῦ γένους· ἔχει δ' ὁ βασιλεὺς ἐπίτροπον, τῶν ἑταίρων τινὰ καλούμενον ἀδελφόν· σφόδρα δ' εὐνομεῖται. Γενόμενος γοῦν παρὰ τοῖς Πετραίοις Ἀθηνόδωρος, ἀνὴρ φιλόσοφος καὶ ἡμῖν ἑταῖρος, διηγεῖτο θαυμάζων. Εὑρεῖν γὰρ ἐπιδημοῦντας ἔφη πολλοὺς τῶν Ῥωμαίων, πολλοὺς δὲ καὶ τῶν ἄλλων ξένων· τοὺς μὲν οὖν ξένους ὁρᾶν κρινομένους πολλάκις, καὶ πρὸς τοὺς ἀλλήλους καὶ πρὸς τοὺς ἐπιχωρίους · τῶν δ' ἐπιχωρίων οὐδένας ἀλλήλοις ἐγκαλοῦντας, ἀλλὰ τὴν πᾶσαν εἰρήνην ἄγοντας πρὸς ἑαυτούς.

4.

Clemens Alexandr. Protrept. p. 14 ed. Sylb. : Οἱ μὲν γὰρ αὐτὸν (τὸν Αἰγύπτιον Σάραπιν) ἱστοροῦσι χαριστήριον ὑπὸ Σινωπέων Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τῷ Αἰγυπτίων πεμφθῆναι βασιλεῖ, ὃς λιμῷ τρυχομένους αὐτοὺς ἀπ' Αἰγύπτου μεταπεμψάμενος σῖτον ἀνεκτήσατο· εἶναι δὲ τὸ ξόανον τοῦτο ἄγαλμα Πλούτωνος, ὃ δεξάμενος ὁ Πτολεμαῖος τὸν ἀνδριάντα καθίδρυσεν ἐπὶ τῆς ἄκρας, ἣν νῦν Ῥακῶτιν καλοῦσιν, ἔνθα καὶ τὸ ἱερὸν τετίμηται τοῦ Σαράπιδος, γειτνιᾷ δὲ τοῖς τόποις τὸ χωρίον (?). Βλίστιχιν δὲ τὴν παλλακίδα τελευτήσασαν ἐν Κανώβῳ μεταγαγὼν ὁ Πτολεμαῖος ἔθαψεν ὑπὸ τὸν προδεδηλωμένον σηκόν. Ἄλλοι δέ φασιν Ποντικὸν εἶναι βρέτας τὸν Σάραπιν, μετῆχθαι δὲ εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς πανηγυρικῆς. Ἰσίδωρος μόνος παρὰ Σελευκέων τῶν πρὸς Ἀντιόχειαν τὸ ἄγαλμα μεταχθῆναι λέγει, ἐν σιτοδείᾳ καὶ αὐτῶν γενομένων καὶ ὑπὸ Πτολεμαίου διατραφέντων. Ἀλλ' ὅ γε Ἀθηνόδωρος ὁ τοῦ Σάνδωνος ἀρχαΐζειν τὸν Σάραπιν βουληθεὶς οὐκ οἶδ' ὅπως περιέπεσεν, ἐλέγξας αὐτὸν ἄγαλμα εἶναι

Anchiale est, quæ urbem condit Anchialen ad Anchialeum fluvium sitam. Filium habuit Cydnum, a quo Cydnus fluvius Tarsum interfluens nominatus est. Cydnus filium genuit Parthenium, a quo urbs Parthenia vocata est, quæ deinde mutato nomine appellata est Tarsus. »

2.

AD OCTAVIAM.

Mutium, quem omnes fere Scævolam cognominant, Athenodorus Sandonis filius in iis quæ ad Octaviam Augusti sororem scripsit, etiam Opsigonum dictum esse prodit.

3.

Regnat Petræ semper aliquis e regia stirpe, rex vero ipse aliquem ex sodalibus, qui frater vocatur, curatorem habet. Legibus admodum bonis gubernatur. Athenodorus quidem philosophus, sodalis noster, apud Peræos commoratus, cum admiratione narrabat, multos se quum Romanos tum alios peregrinos ibi invenisse, ac peregrinos quidem sæpe forenses lites inter se atque adversus indigenas vidisse exercentes, oppidanos vero inter se nunquam criminationes habuisse, sed summa semper usos esse tranquillitate.

4.

Sarapin scribunt fuisse munus missum a Sinopensibus ad Ptolemæum Philadelphum, qui eos fame laborantes misso ex Ægypto frumento obligaverit. Esse autem effigiem Plutonis. Ptolemæum acceptam statuam posuisse in promontorio, quod nunc appellant Racotim, ubi et Sarapidis coli solet templum. Est autem ager iis locis vicinus. Blistichin autem pellicem mortuam Canopi, translatam Ptolemæus in eo, cujus ante memini, sepeliit fano. Alii autem Ponticam statuam dicunt esse Sarapim, translatam autem fuisse honorifice Alexandriam a frequenti hominum conventu. Isidorus solus, a Seleucensibus, qui sunt propter Antiochiam, statuam fuisse traductam, qui ipsi quoque penuria frumenti laboraverant, et nutriti fuerant a Ptolemæo. Ceterum Athenodorus filius Sandonis, quum vellet Sarapidis ostendere antiquitatem, nescio quomodo eo est prolapsus, ut factam fuisse statuam argueret. Sesostrim quippe ait Ægyptium regem quum plurimas Græcorum subjugasset gentes, reversum in Ægyptum, artifices adduxisse multos.

γενητόν. Σέσωστρίν φησι τὸν Αἰγύπτιον βασιλέα τὰ πλεῖστα τῶν παρ' Ἕλλησι παραστησάμενον ἐθνῶν, ἐπανελθόντα εἰς Αἴγυπτον ἐπαγαγέσθαι τεχνίτας ἱκανούς· τὸν οὖν Ὄσιριν τὸν προπάτορα τὸν αὑτοῦ δαιδαλθῆναι ἐκέλευσεν αὐτὸς πολυτελῶς· κατασκευάζει δὲ αὐτὸν Βρύαξις ὁ δημιουργὸς, οὐχ ὁ Ἀθηναῖος, ἄλλος δέ τις ὁμώνυμος ἐκείνῳ τῷ Βρυάξιδι· ὃς ὕλῃ κατακέχρηται εἰς δημιουργίαν μικτῇ καὶ ποικίλῃ. Ῥίνημα γὰρ χρυσοῦ ἦν αὐτῷ καὶ ἀργύρου, χαλκοῦ τε καὶ σιδήρου καὶ μολύβδου, πρὸς δὲ καὶ κασσιτέρου, λίθων δὲ Αἰγυπτίων ἐνέδει οὐδὲ εἷς, σαπφείρου καὶ αἱματίτου θραύσματα σμαράγδου τε, ἀλλὰ καὶ τοπαζίου. Λεάνας οὖν τὰ πάντα καὶ ἀναμίξας ἔχρωσε κυάνῳ, οὗ δὴ χάριν μελάντερον τὸ χρῶμα τοῦ ἀγάλματος, καὶ τῷ ἐκ τῆς Ὀσίριδος καὶ τοῦ Ἄπιος κηδείας ὑπολελειμμένῳ φαρμάκῳ φυράσας τὰ πάντα διέπλασεν τὸν Σάραπιν· οὗ καὶ τοὔνομα αἰνίττεται τὴν κοινωνίαν τῆς κηδείας καὶ τὴν ἐκ τῆς ταφῆς δημιουργίαν, σύνθετον ἀπό τε Ὀσίριδος καὶ Ἄπιος γενόμενον Ὀσίραπις. Cf. Plutarch. De Is. et Os. c. 28 sqq.

(4.)

Eustathius ad Dionys. v. 215 : Γαιτοῦλοι, ἔθνος μέγιστον Λιβυκόν· τούτους Ἀθηνόδωρος Γαιτουλίους λέγει. Cf. Stephanus Byz. : Γάιτοῦλοι, ἔθνος Λιβύης. Ἀρτεμίδωρος Γαιτυλίους αὐτούς φησι. Artemidori nomen reponendum esse apud Eustathium, qui Stephanum exscribere solet, vix dubium.

5.

Strabo I, p. 6 : Ἡμεῖς δὲ τὸν μὲν πλείω λόγον περὶ τοῦ Ὠκεανοῦ καὶ τῶν πλημμυρίδων εἰς Ποσειδώνιον ἀναβαλλόμεθα καὶ Ἀθηνόδωρον, ἱκανῶς διακρατήσαντας τὸν περὶ τούτων λόγον (Posidon. fr. 93).

Idem I, p. 55 : Περὶ μὲν οὖν τῶν πλημμυρίδων καὶ τῶν ἀμπώτεων εἰρήκασιν ἱκανῶς Ποσειδώνιός τε καὶ Ἀθηνόδωρος.

Idem III, p. 173 : Ὥσπερ Ἀθηνόδωρός φησιν, εἰσπνοῇ τε καὶ ἐκπνοῇ τὸ συμβαῖνον περὶ τὰς πλημμυρίδας καὶ περὶ τὰς ἀμπώτεις ἔοικεν.

Potuerunt hæc ab Athenodoro tractari in opere geographico; quanquam verisimilius est petita esse ex scripto ad physicam pertinente similique operis quod Περὶ ὠκεανοῦ Posidonius magister scripserat.

Osirim itaque, a quo genus duxerat, jussit magnifice affabreque variatum effingi. Eum autem Bryaxes fecit opifex non Atheniensis ille (*de quo Pausanias* 1,40,6), sed alius quidam ejus nominis, qui ad opus faciendum mixta et varia usus est materia. Habebat enim ramentum auri et argenti et æris et ferri et plumbi, stanni denique : nec ei ullus lapis deerat Ægyptius, nec sapphiri et hæmatitis fragmenta neque smaragdi neque denique topazii. Hæc ergo omnia levigata tritaque ac commixta cærulo imbuit colore. Qua de causa nigrior est color simulacri. Totum denique pharmaco ex sepultura Osiridis et Apis relicto oblinivit, atque sic finxit Sarapim, cujus nomen significat et funeris societatem, et opus quod factum est ex sepultura; compositum est nomen ex Osiride et Api, unde factum est Osirapis.

4.

Gætuli, Libyæ populus maximus; hos Athenodorus (l. *Artemidorus*) Gætulios dicit.

5.

Nos majorem quæstionis partem de oceano et æstu ad Posidonium atque Athenodorum rejicimus, qui de his satis copiose disputarunt.

De maris æstuatione reciproca sufficiunt quæ a Posidonio sunt et Athenodoro dicta.

Ut Athenodorus dicit, inspirationis et exspirationis simile quippiam habet maris affluxus et refluxus.

DIONYSIUS PERGAMENUS.
DIODORUS SARDIANUS. THEODORUS GADARENUS.

Inter scriptores, qui Augusti ætate floruerunt, recensendus etiam Dionysius Pergamenus, Apollodori, qui magister Octavii fuerat, discipulus. De eo ita Strabo XIII, p. 625 : Μαθητὴν δ' ἔσχεν (sc. Ἀπολλόδωρος ὁ Περγαμηνός) ἀξιόλογον Διονύσιον, τὸν ἐπικληθέντα Ἀττικὸν, πολίτην αὐτοῦ· καὶ γὰρ σοφιστὴς ἦν ἱκανὸς καὶ συγγραφεὺς καὶ λογογράφος. Ex usu vocis συγγραφεὺς conjeceris eum historica quædam composuisse, de quibus aliunde non constat. De Dionysio tanquam rhetore cf. Westermann. *Gesch. d. gr. Bereds.* § 86, 13 (ubi delenda sunt quæ not. 14 de Attico rhetore ex Strabone l. l. afferuntur).

Strabo XIII, p. 627 : Ἄνδρες δ' ἀξιόλογοι (Sardibus oriundi) γεγόνασι τοῦ αὐτοῦ γένους, Διόδωροι δύο οἱ ῥήτορες, ὧν ὁ πρεσβύτερος ἐκαλεῖτο Ζωνᾶς, ἀνὴρ πολλοὺς ἀγῶνας ἠγωνισμένος ὑπὲρ τῆς Ἀσίας· κατὰ δὲ τὴν Μιθριδάτου τοῦ βασιλέως ἔφοδον αἰτίαν ἐσχηκὼς, ὡς ἀφιστὰς παρ' αὐτοῦ τὰς πόλεις, ἀπελύσατο τὰς διαβολὰς ἀπολογησάμενος· τοῦ δὲ νεωτέρου φίλου ἡμῖν γενομένου καὶ ἱστορικὰ συγγράμματά ἐστι, καὶ μέλη, καὶ ἄλλα ποιήματα, τὴν ἀρχαίαν γραφὴν ἐμφαίνοντα ἱκανῶς.

Suidas : Θεόδωρος Γαδαρεὺς, σοφιστὴς, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος. Ἐπεὶ δὲ συνεκρίθη περὶ σοφιστικῆς ἀγωνισάμενος Ποτάμωνι καὶ Ἀντιπάτρῳ, ἐν αὐτῇ τῇ Ῥώμῃ. Ἐπ' Ἀδριανοῦ Καίσαρος ὁ υἱὸς αὐτοῦ Ἀντώνιος συγκλητικὸς ἐγένετο. Βιβλία δ' ἔγραψε Περὶ τῶν ἐν φωναῖς ζητουμένων γ'. Περὶ ἱστορίας α'. Περὶ θέσεως ἕν. Περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως β'. Περὶ πολιτείας β'. Περὶ Κοίλης Συρίας α'. Περὶ ῥήτορος δυνάμεως α', καὶ ἄλλα.

Verba ἐπεὶ δὲ... Ῥώμῃ laborant. « Cum Porto legere malim ἔπειτα δὲ... » *Küster*. « Mihi sub finem videntur quædam intercidisse, Theodorus ut traditus sit in ipsa Roma habitasse et artem explicasse. » *Bernhardy*. Per tempus aliquod Rhodi docuerat. Quintilianus III, 1, 17 : *Præcipue in se converterunt studia Apollodorus Pergamenus, qui præceptor Apolloniæ Cæsaris Augusti fuit, et Theodorus Gadarenus, qui se dici maluit Rhodium : quem studiose audiisse quum in eam insulam secessisset dicitur Tiberius Cæsar. Hi diversas opiniones tradiderunt, appellatique inde Apollodorei et Theodorei.* Ceterum jam *puerum* Tiberium instituerat secundum Sueton. Tiber. c. 57 : *Sæva ac lenta natura ne in puero quidem latuit : quam Theodorus Gadareus rhetoricæ præceptor et perspexisse primus sagaciter et assimilasse aptissime visus est, subinde in objurgando appellans eum* πηλὸν αἵματι πεφυραμένον.

Euseb. Chron. ad Ol. 187,2 (31 a. C., qui est Tiberii pueri annus duodecimus) : *Nicetes et Hybreas et Theodorus et Plutio nobilissimi artis rhetoricæ Græci præceptores habentur.*

Cf. Seneca Suasor. 3 p. 28 : *Tiberius ipse Theodoreus offendebatur Nicetis ingenio.* Idem Contrv. 9 p. 167 : *Tu Apollodorum habuisti, cui semper narrare placet; ego Theodorum, cui non semper-* Quintilian. III, 1, 18 : *Plura scripsit Theodorus, cujus auditorem Hermagoram sunt qui viderint.* Strabo XVI, p 759 : Ἐκ δὲ τῶν Γαδάρων... καὶ Θεόδωρος, ὁ καθ' ἡμᾶς ῥήτωρ. Cf. præterea Quinctil. II, 15, Theon. Progymn. p. 52; Longin. p. 10 (vel. Rh. Gr. tom IX, p. 100, et I, p. 243 ed. Walz.). Ad eundem pertinet locus mutilus in Demetrio De eloc. § 237 : Περὶ δὲ τὴν λέξιν γίνεται τὸ ξηρὸν, ὅταν πρᾶγμα μέγα σμικροῖς ὀνόμασι ἀπαγγέλλῃ, οἷον ὡς ὁ Γαδαρεὺς ἐπὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας φησὶ ***.

E libro historico, *De Cœlesyria*, siculi e reliquis, nihil tulit ætatem.

STRABO AMASENSIS.

Strabo Amasensis antequam ad Geographias componendas se accingeret, Ὑπομνήματα ἱστορικὰ scripserat. Opus hoc peramplum fuit, uti discimus ex glossemate, quod apud Suidam v. Πολύβιος codex A. in margine exhibet, codex V. omisit, in reliquis libris cum Suidianis verbis contextum est : Ἰστέον ὅτι διαδέχεται τὴν Πολυβίου ἱστορίαν Ποσειδώνιος Ὀλβιοπολίτης σοφιστής· ἔγραψε δὲ καὶ Στράβων Ἀμασεὺς τὰ μετὰ Πολύβιον ἐν βιβλίοις (λόγοις cod. A.) μγ'. Ab ipso autem Strabone (XI, p. 755, v. infra) docemur librum primum τῶν μετὰ Πολύβιον fuisse quintum τῶν Ὑπομνημάτων : adeo ut totum opus constiterit libris quadraginta septem. Fragmenta ejus multo rariora quam ex tanta mole exspectaveris. Quorum ultimum quum ad res anni 38 a. C. pertineat, patet Strabonem ad suam ipsius ætatem, fortasse usque ad annum quo Augustus imperio potitus est, narrationem deduxisse. Incertius est unde exordium fecerit. Quodsi priores libri quattuor narratione continua, ut probabile est, sequentibus juncta erant, initium petitum esse dixeris ab everso regno Macedonum, sive ab anno 168, quem primo consilio Polybius (v. III, 1, 9) Historiarum terminum sibi constituerat. At ne quid confidentius asseveremus, alio Strabonis (II, p. 70) loco impedimur, ubi, postquam Indicôn scriptores ad unum omnes plus minus ψευδολόγους esse dixerat, addit : καὶ ἡμῖν δ' ὑπῆρξεν ἐπιπλέον κατιδεῖν ταῦτα, ὑπομνηματιζομένοις τὰς Ἀλεξάνδρου πράξεις. « Quæ nescio, Casaubonus ait, an ita debeamus accipere, ut fuisse ab eo historiam Alexandri conscriptam intelligamus. Non enim alibi factam reperio ejus operis mentionem; et videntur posse illa accipi de iis, quæ quum alibi multis locis tum maxime libris tribus postremis de rebus gestis Alexandri scribit. » — « Sed mihi, Gerhardus Vossius inquit, altera sententia non minus verisimilis esse videtur. » Dicere licebat eam absque dubitatione præferendam esse, quippe quam verba Strabonis sponte suppeditent. Quodsi Strabo in libro secundo monere voluisset de iis quæ sequentibus demum libris de India aliisque regionibus, quas Alexandri exercitus triverunt, exponuntur, pro καὶ ἡμῖν ὑπῆρξεν dixisset καὶ ἡμῖν ἔσται κτλ. Contra vero dubii hæremus utrum commentarii De rebus Alexandri peculiare opus constituerint, an libris illis quadraginta septem, quos supra vidimus, comprehensi fuerint, adeo ut auctor res inde ab Alexandro usque ad eversionem Corinthi gestas per quattuor volumina ratione compendiaria persequens quasi πρόναον quoddam posuerit earum historiarum quas grandiori stylo condidit. — Utinam benigniorem fortunam opus hoc expertum esset! Nam quam in geographiis laudamus in congerenda materia diligentiam, et in dijudicandis variorum narrationibus acumen et sinceritatem, easdem virtutes etiam in Historiis enituisse consentaneum est ac vel ex parcis earum reliquiis licet augurari. Sic fragm. 13 de eadem re Asinii Pollionis et Hypsicratis testimonia auctor adducit. Similiter fragm. 9 Timagenis auctoritate utitur. Diligentiam in eo quoque agnoscimus, quod, quum in Historiis de Parthorum institutis loquens quædam de synedrio Parthico vel omisisset vel aliter atque Posidonius narrasset, ea in Geographiis addenda esse censuit (fr. 2). Ceterum quibusnam lectoribus scripserit et quodnam in componendis Commentariis consilium stoicus noster philosophus secutus sit, ipse nos docet loco, quem jam subjicimus.

TESTIMONIA.

1.

Strabo I, p. 13, § 22, de opere suo geographico loquens : Ἁπλῶς δὲ κοινὸν εἶναι τὸ σύγγραμμα τοῦτο δεῖ καὶ πολιτικὸν καὶ δημωφελὲς ὁμοίως, ὥσπερ τὴν τῆς ἱστορίας γραφήν. Κἀκεῖ δὲ πολιτικὸν λέγομεν οὐχὶ τὸν παντάπασιν ἀπαίδευτον, ἀλλὰ τὸν μετασχόντα τῆς τε ἐγκυκλίου καὶ συνήθους ἀγωγῆς τοῖς ἐλευθέροις καὶ τοῖς φιλοσοφοῦσιν· οὐδὲ γὰρ ἂν οὔτε ψέγειν δύναιτο καλῶς οὔτ' ἐπαινεῖν, οὐδὲ κρίνειν ὅσα μνήμης ἄξια τῶν γεγονότων, ὅτῳ μηδὲν ἐμέλησεν ἀρετῆς καὶ φρονήσεως καὶ τῶν εἰς ταῦτα λόγων. [* Οὕτως δὲ καὶ οἱ τοὺς λιμένας καὶ τοὺς περίπλους καλουμένους πραγματευθέντες ἀτελῆ τὴν ἐπίσκεψιν ποιοῦνται, μὴ προστιθέντες ὅσα

1.

Omnino autem hunc commentarium communem oportet esse, et civilibus hominibus commodum, et in publicum utilem, quemadmodum et scriptionem historiæ. Atque hic civilem vocamus, non qui prorsus sit ineruditus, sed qui disciplina circulari et liberalibus ac philosophantibus usitata sit institutus. Nam qui nullum virtuti ac prudentiæ, atque iis quibus ista comparantur doctrinis studium impendit, is neque vituperare quicquam recte, neque laudare, neque judicare potest, quænam facta sint digna memoria. (Sic ii qui portus et circumnavigationes quas vocant descripsere, imperfectam tractationem reliquerunt, non adjunctis quæ

ἐκ τῶν μαθημάτων καὶ ἐκ τῶν οὐρανίων ἃ συνάπτειν προσῆκε.] Διόπερ ἡμεῖς πεποιηκότες ὑπομνήματα ἱστορικὰ χρήσιμα, ὡς ὑπολαμβάνομεν, εἰς τὴν ἠθικὴν καὶ πολιτικὴν φιλοσοφίαν, ἔγνωμεν προσθεῖναι καὶ τήνδε τὴν σύνταξιν· ὁμοειδὴς γὰρ καὶ αὐτή, καὶ πρὸς τοὺς αὐτοὺς ἄνδρας, καὶ μάλιστα τοὺς ἐν ταῖς ὑπεροχαῖς. Ἔτι δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐκεῖ τὰ περὶ τοὺς ἐπιφανεῖς ἄνδρας καὶ βίους τυγχάνει μνήμης, τὰ δὲ μικρὰ καὶ ἄδοξα παραλείπεται, κἀνταῦθα δεῖ τὰ μικρὰ καὶ τὰ ἀφανῆ παραπέμπειν, ἐν δὲ τοῖς ἐνδόξοις καὶ μεγάλοις καὶ ἐν οἷς τὸ πραγματικὸν καὶ εὐμνημόνευτον καὶ ἡδὺ διατρίβειν.

2.

Idem II, p. 70 : Ἅπαντες μὲν τοίνυν οἱ περὶ τῆς Ἰνδικῆς γράψαντες ὡς ἐπὶ τὸ πολὺ ψευδολόγοι γεγόνασι, καθ' ὑπερβολὴν δὲ Δηΐμαχος· τὰ δὲ δεύτερα λέγει Μεγασθένης· Ὀνησίκριτος δὲ καὶ Νέαρχος καὶ ἄλλοι τοιοῦτοι παραψελλίζοντες ἤδη· καὶ ἡμῖν δ' ὑπῆρξεν ἐπιπλέον κατιδεῖν ταῦτα ὑπομνηματιζομένοις τὰς Ἀλεξάνδρου πράξεις.

ΥΠΟΜΝΗΜΑΤΑ ΙΣΤΟΡΙΚΑ.

1.

Josephus C. Apion. II, 7, de Antiocho Epiphane templum Judæorum expilante (Ol. 153, 1. 168 – 167 a. C.). Vide Nicolai Dam. fr. 50.

2.

LIBER SEXTUS.

(Τῶν μετὰ Πολύβιον βίβλος δευτέρα.)

Strabo XI, p. 515 : Εἰρηκότες δὲ πολλὰ περὶ τῶν Παρθικῶν νομίμων ἐν τῇ ἕκτῃ τῶν Ἱστορικῶν ὑπομνημάτων βίβλῳ, δευτέρᾳ δὲ τῶν μετὰ Πολύβιον, παραλείψομεν ἐνταῦθα, μὴ ταυτολογεῖν δόξωμεν· τοσοῦτον εἰπόντες μόνον, ὅτι τῶν Παρθυαίων συνέδριόν φησι Ποσειδώνιος εἶναι διττόν· τὸ μέν, συγγενῶν, τὸ δὲ σοφῶν καὶ μάγων, ἐξ ὧν ἀμφοῖν τοὺς βασιλεῖς καθίστησιν. Vide not. ad Posidonii fr. 9.

3.

Josephus Ant. Jud. XIII, 10, 4, p. 506 : Κλεοπάτρα ἡ βασίλισσα πρὸς τὸν υἱὸν στασιάζουσα Πτολεμαῖον τὸν Λάθουρον ἐπιλεγόμενον κατέστησεν ἡγεμόνας Χελκίαν καὶ Ἀνανίαν, υἱοὺς ὄντας Ὀνίου τοῦ οἰκοδομήσαντος τὸν ναὸν τὸν ἐν Ἡλιοπολίτῃ νομῷ πρὸς τὸν ἐν Ἱεροσολύμοις, ὡς καὶ ἐν ἄλλοις δεδηλώκαμεν. Παραδοῦσα δὲ τούτοις ἡ Κλεοπάτρα τὴν στρατιάν, οὐδὲν δίχα τῆς τούτων γνώμης ἔπραττεν, ὡς μαρτυρεῖ καὶ Στράβων ἡμῖν ὁ Καππάδοξ, λέγων οὕτως· « Οἱ γὰρ πλείους οἵ τε συνελθόντες ἡμῖν καὶ οἱ ὕστερον ἐπιπεμπόμενοι παρὰ τῆς Κλεοπάτρας εἰς Κύπρον, μετεβάλλοντο παραχρῆμα πρὸς τὸν Πτολεμαῖον· μόνοι δὲ οἱ ἐκ τῆς Ὀνίου λεγόμενοι συνέμενον Ἰουδαῖοι, διὰ τὸ τοὺς πολίτας αὐτῶν εὐδοκιμεῖν μάλιστα παρὰ τῇ βασιλίσσῃ Χελκίαν τε καὶ Ἀνανίαν. » Ταῦτα μὲν οὖν ὁ Στράβων φησίν.

Ptolemæus Lathurus in Cyprum abiit an. 107 a. C. Quo referendum sit illud ἡμῖν, nescio.

4.

Tertullianus De anima c. 46 : *Seleuco regnum Asiæ Laodice mater nondum eum enixa prodidit, [ut] Euphorion pervulgavit. Mithridatem quoque ex somnio Ponti potitum e Strabone cognosco.*

---

e mathematum ac cœlestium orbium doctrina erant annectenda.) [*Hæc in fine ponenda videntur.*] Quamobrem nos, postquam historicos composuimus commentarios, utiles, ut quidem arbitramur, ad moralem ac civilem philosophiam, hoc quoque opus addere statuimus : est enim ejusdem formæ, et ad eosdem pertinet viros, maxime qui in aliquo sunt fastigio collocati. Tum quo modo ibi ea sola commemorantur, quæ sunt illustrium virorum ac vitarum, exiguis ac ingloriis omissis : eodem hîc quoque parva et obscura prætereunda sunt; in claris autem et magnis, et in quibus ad actiones faciens aliquid et memoriæ oblectationi aptum inest, immorandum.

2.

Omnes sane qui de India scripserunt, utplurimum mendacia proferunt, præ ceteris vero Deimachus; secundo loco ponendi sunt Megasthenes; Onesicritus denique et Nearchus aliique tales jam vel balbutiunt. Quod nobis plenius perspicere contigit, quum res Alexandri commentariis prosequeremur.

COMMENTARII HISTORICI.

2.

Quum multa de legibus et institutis Parthorum dixerimus in sexto Historicorum commentariorum libro, qui secundus est eorum, quibus Postpolybiana continentur, nunc ea prætermittemus, ne bis eadem dicere videamur. Id unum dicamus, Posidonio teste duplex esse concilium Parthorum, unum cognatorum, alterum sapientium et magorum : reges ex utroque deligi.

3.

Cleopatra regina a filio suo Ptolemæo, cognomine Lathuro, dissidens, duces constituit Chelciam et Ananiam, Oniæ filios, ejus qui templum in Heliopolitana præfectura Hierosolymitani simile construxerat, prout alibi jam narravimus. Quum autem istis exercitum tradidisset Cleopatra, nihil absque eorum sententia faciebat, sicuti Strabo quoque Cappadox testatur ita dicens : « Plerique enim et qui nobiscum se contulerunt in Cyprum, et qui postea a Cleopatra eo missi sunt, confestim deficiebant ad Ptolemæum : soli vero ex Oniæ factione Judæi permanebant, eo quod cives eorum Chelcias et Ananias maxima essent in gratia apud reginam. » Et hæc quidem Strabo dicit.

Cf. Appian. Mithrid. c. 9 : Καὶ ὁ Ἀντίγονος ἐνύπνιον ἔδοξε πεδίον σπεῖραι χρυσίῳ, καὶ τὸ χρυσίον ἐκθερίσαντα Μιθριδάτην (cui postea τοῦ Κτίστου cognomen) ἐς τὸν Πόντον οἴχεσθαι. Fusius hæc narrat Plutarch. Demetr. c. 4. Sicuti Appianus, eodem modo Strabo de bello Mithridatico expositurus, de initiis regni Pontici et progressu pauca præmisisse videtur.

5.

Josephus A. J. XIV, 7, 2, de divitiis in templum Hierosol. congestis : Οὐκ ἔστι δὲ ἀμάρτυρον τὸ μέγεθος τῶν προειρημένων χρημάτων, οὐδὲ ὑπὸ ἀλαζονείας ἡμετέρας καὶ περιττολογίας ἐπὶ τοσοῦτον ἐξαίρεται πλῆθος, ἀλλὰ πολλοί τε ἄλλοι τῶν συγγραφέων ἡμῖν μαρτυροῦσι καὶ Στράβων ὁ Καππάδοξ οὕτω λέγων· « Πέμψας δὲ Μιτριδάτης εἰς Κῶ ἔλαβε τὰ χρήματα (an. 86 a. C.), ἅπερ ἔθετο ἐκεῖ Κλεοπάτρα ἡ βασίλισσα, καὶ τὰ τῶν Ἰουδαίων ὀκτακόσια τάλαντα. » Ἡμῖν δὲ δημόσια χρήματα οὐκ ἔστιν ἢ τὰ τοῦ θεοῦ μόνα. Cf. Appian. Mithridat. c. 23.

6.

Josephus Ant. J. XIV, 7, 2 : Μαρτυρεῖ δὲ καὶ ἐν ἑτέρῳ τόπῳ αὐτὸς ὁ Στράβων, ὅτι καθ' ὃν καιρὸν διέβη Σύλλας εἰς τὴν Ἑλλάδα πολεμήσων Μιθριδάτην, καὶ Λεύκουλλον πέμψαι ἐπὶ τὴν ἐν Κυρήνῃ στάσιν τοῦ ἔθνους ἡμῶν, ὧν ἡ οἰκουμένη πεπλήρωται, λέγων οὕτως· « Τέτταρες ἦσαν ἐν τῇ πόλει τῶν Κυρηναίων, ἥ τε τῶν πολιτῶν καὶ ἡ τῶν γεωργῶν, τρίτη δ' ἡ τῶν μετοίκων, καὶ τετάρτη ἡ τῶν Ἰουδαίων. Αὕτη δ' εἰς πᾶσαν πόλιν ἤδη παρεληλύθει, καὶ τόπον οὐκ ἔστι ῥᾳδίως εὑρεῖν τῆς οἰκουμένης, ὃς οὐ παραδέδεκται τοῦτο τὸ φῦλον, μηδ' ἐπικρατεῖται ὑπ' αὐτοῦ. Τήν τε Αἴγυπτον καὶ τὴν Κυρηναίαν, ἅτε τῶν αὐτῶν ἡγεμόνων τυχοῦσαν, τῶν τε ἄλλων συχνὰ ζηλῶσαι συνέβη, καὶ δὴ τὰ συντάγματα τῶν Ἰουδαίων θρέψαι διαφερόντως καὶ συναυξῆσαι χρώμενα τοῖς πατρίοις τῶν Ἰουδαίων νόμοις. Ἐν γοῦν Αἰγύπτῳ κατοικία τῶν Ἰουδαίων ἐστὶν ἀποδεδειγμένη, χωρὶς καὶ τῆς τῶν Ἀλεξανδρέων πόλεως ἀφώριστο μέγα μέρος τῷ ἔθνει τούτῳ· καθίσταται δὲ καὶ ἐθνάρχης αὐτῶν, ὃς διοικεῖ τε τὸ ἔθνος καὶ διαιτᾷ κρίσεις, καὶ συμβολαίων ἐπιμελεῖται καὶ προσταγμάτων, ὡς ἂν πολιτείας ἄρχων αὐτοτελοῦς. Ἐν Αἰγύπτῳ μὲν οὖν ἴσχυσε τὸ ἔθνος, διὰ τὸ Αἰγυπτίους εἶναι ἐξ ἀρχῆς Ἰουδαίους καὶ διὰ τὸ πλησίον ἔσεσθαι τὴν κατοικίαν τοὺς ἀπελθόντας ἐκεῖθεν, εἰς δὲ τὴν Κυρηναίαν μετέβη, διὰ τὸ ταύτην ὅμορον εἶναι τῇ τῶν Αἰγυπτίων ἀρχῇ, καθάπερ τὴν Ἰουδαίαν, μᾶλλον δὲ τῆς ἀρχῆς ἐκείνης πρότερον. » Στράβων δὴ οὖν ταῦτα λέγει. Cf. Plutarch. Lucull. c. 2.

7.

Plutarch. Sulla c. 26 : Σύλλᾳ δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὅ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. Διαπλεύσας οὖν εἰς Αἴδηψον ἐχρῆτο τοῖς θερμοῖς ὕδασι, κτλ.

8.

Plutarch. Lucull. c. 28, de prœlio ad Tigranocerta, quo Lucullus Tigranem devicit : Λέγεται δὲ τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δὲ ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν. Ῥωμαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. Ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῷ Περὶ θεῶν γραφῇ μνησθεὶς, οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ' ἕτερος φιλόσοφος ἐν τοῖς Ἱστο-

---

5.

Nec testibus caret magnitudo opum, quam memoravimus, neque ex ostentatione nostra aut rem verbis exaggerandi studio in immensum adeo extollitur, sed tum alii multi ex scriptoribus testimonium nobis perhibent, tum Strabo Cappadox hisce : « Mithridates vero, ait, in Côn misit, qui sibi inde pecuniam attulerunt, quam Cleopatra regina ibi deposuerat, ut et Judæorum talenta octingenta. » Nobis autem nulla est publica pecunia nisi quæ Deo sacra.

6.

Strabo alio in loco testatur Sullam, quo tempore in Græciam trajecit, bellum gesturus contra Mithridatem, Lucullum misisse ad compescendam in Cyrene seditionem gentis nostræ, quæ orbem terrarum repleverat, ita dicens : « In urbe autem Cyrenæorum quattuor erant *classes*, una civium, altera agricolarum, tertia inquilinorum, et quarta Judæorum. Hæc autem jam in urbes universas invaserat, haudque facile est locum in toto orbe invenire, quin hoc genus hominum exceperit, et ab eo teneatur. Nam factum est ut et Ægyptus et Cyrenæa, utpote iisdem solitæ parere dominis, aliæque multæ regiones horum mores imitentur, magnumque Judæorum numerum peculiariter foveant et cum iis opibus crescant, patriis Judæorum utentes institutis. Etenim in Ægypto concessum est Judæis habitare, et magna pars urbis Alexandrinæ seorsum huic genti assignata est : quin et suus illis ethnarcha est, qui gentis res administrat et judicia exercet, curatque contractus et mandata, quasi esset reipublicæ suis legibus utentis princeps. Et in Ægypto quidem plurimum pollet hæc gens, quum Judæi ex Ægyptiis originem habeant, et quod ab iis digressi sedibus vicini sint : transgressa est autem in Cyrenæam, quod hæc finitima est Ægyptiorum ditioni, quemadmodum etiam Judæa, vel potius pars olim fuit regni Ægyptiaci. » Strabo igitur hæc dicit.

7.

Syllæ Athenis commoranti dolor cum torpore et gravitate pedes invasit, quem Strabo podagræ balbutiem vocat.

8.

Ferunt supra centum millia peditum ea clade absumpta, equitum perpaucos admodum evasisse. Ex Romanis vulnerati sunt centum, amissi quinque. Antiochus philosophus

ρικοῖς ὑπομνήμασιν αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων.

9.

Josephus Ant. Jud. XIII, 11, 3, p. 510, de Aristobulo Hyrcani filio : Φύσει δ' ἐπιεικεῖ ἐκέχρητο, καὶ σφόδρα ἦν αἰδοῦς ἥττων, ὡς μαρτυρεῖ τοῦτο καὶ Στράβων ἐκ τοῦ Τιμαγένους ὀνόματος οὕτως· « Ἐπιεικής τε ἐγένετο οὗτος ὁ ἀνὴρ καὶ πολλὰ τοῖς Ἰουδαίοις χρήσιμος· χώραν τε γὰρ αὐτοῖς προσεκτήσατο καὶ τὸ μέρος τοῦ τῶν Ἰτουραίων ἔθνους ᾠκειώσατο, δεσμῷ συνάψας τῇ τῶν αἰδοίων περιτομῇ. »

10.

Idem ib. XIII, 12, 6, de prœlio quod Ptolemæus Lathurus cum Alexandro Hyrcani filio commisit. Vide Nicolai Dam. fr. 60.

11.

Idem ib. XIV, 3, 1 : Μετ' οὐ πολὺ δὲ Πομπηΐου εἰς Δαμασκὸν ἀφικομένου καὶ Κοίλην Συρίαν ἐπιόντος, ἧκον παρ' αὐτὸν πρέσβεις ἐξ ὅλης Συρίας καὶ Αἰγύπτου καὶ ἐκ τῆς Ἰουδαίας. Ἔπεμψε γὰρ αὐτῷ μέγα δῶρον Ἀριστόβουλος, ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. Μέμνηται δὲ τοῦ δώρου καὶ Στράβων ὁ Καππάδοξ λέγων οὕτως· « Ἦλθε δὲ καὶ ἐξ Αἰγύπτου πρεσβεία καὶ στέφανος ἐκ χρυσῶν τετρακισχιλίων, καὶ ἀπὸ τῆς Ἰουδαίας εἴτε ἄμπελος εἴτε κῆπος· τερπώλην ὠνόμαζον τὸ δημιούργημα. »

12.

Idem ib. XIV, 4, 3, de Pompeio Hierosolyma obsidente. Vide Nicolai fr. 62.

Idem ib. XIV, 6, 4, de Pompeii et Gabinii in Judæos expeditione. Vide Nicolai fr. 63.

13.

Idem XIV, 8, 3 : Λέγεται δὲ ὑπὸ πολλῶν Ὑρκανὸν ταύτης κοινωνῆσαι τῆς στρατείας (Cæsaris in Ægyptum), καὶ ἐλθεῖν εἰς Αἴγυπτον· μαρτυρεῖ δέ μου τῷ λόγῳ Στράβων ὁ Καππάδοξ λέγων ἐξ Ἀσινίου ὀνόματος οὕτως· « Μετὰ δὲ τὸ τὸν Μιθριδάτην εἰσβαλεῖν εἰς τὴν Αἴγυπτον καὶ Ὑρκανὸν τὸν τῶν Ἰουδαίων ἀρχιερέα. » Ὁ δ' αὐτὸς οὗτος Στράβων καὶ ἐν ἑτέρῳ πάλιν ἐξ Ὑψικράτους ὀνόματος λέγει οὕτως· Τὸν μὲν Μιθριδάτην ἐξελθεῖν μόνον, κληθέντα δ' εἰς Ἀσκάλωνα Ἀντίπατρον ὑπ' αὐτοῦ, τὸν τῆς Ἰουδαίας ἐπιμελητήν, τρισχιλίους αὐτῷ στρατιώτας συμπαρασκευάσαι, καὶ τοὺς ἄλλους δυνάστας προτρέψαι, κοινωνῆσαι δὲ τῆς στρατείας καὶ Ὑρκανὸν τὸν ἀρχιερέα. Ταῦτα μὲν Στράβων φησίν.

Hypsicratem, Strabone paullo antiquiorem, Historias scripsisse ex hoc loco colligitur. De eo ita Lucianus Macrob. c. 22, p. 643 ed. Didot. : Ὑψικράτης ὁ Ἀμισηνός, συγγραφεὺς διὰ πολλῶν μαθημάτων γενόμενος, ἔτη δύο καὶ ἐνενήκοντα (βεβίωκεν). Ad historias vel geographias referenda etiam hæc : Strabo VII, p. 311, de Nomadibus Chersonesi Tauricæ : Οὐκ ἀπευτακτοῦσι δ' οἱ δυνάμει πεποιθότες, ὥστε ἢ ἀμύνασθαι ῥᾳδίως ἐπιόντας ἢ κωλῦσαι τὴν ἔφοδον. Καθάπερ Ἄσανδρον ποιῆσαί φησιν Ὑψικράτης, ἀποτειχίσαντα τὸν Ἰσθμὸν τῆς Χερρονήσου, τὸν πρὸς τῇ Μαιώτιδι, τριακοσίων ὄντα σταδίων, ἐπιστήσαντα πύργους καθ' ἕκαστον στάδιον δέκα (καθ' ἕκαστα στάδια δέκα conj. Coray., καθ' ἕκαστον στάδιον ἕνα Groskurd.).

Idem XI, p. 504 : Ὁ Σκήψιος Μητρόδωρος καὶ Ὑψικράτης, οὐδὲ αὐτοὶ ἄπειροι τῶν τόπων γεγονότες, Γαργαρεῦσιν ὁμόρους αὐτὰς (τὰς Ἀμαζόνας) φασὶν οἰκεῖν ἐν ταῖς ὑπωρείαις ταῖς πρὸς ἄρκτον τῶν Καυκασίων ὀρῶν, ἃ καλεῖται Κεραύνια. Τὸν μὲν ἄλλον χρόνον καθ' αὑτὰς αὐτουργούσας ἕκαστα, τά τε πρὸς ἄροτον καὶ φυτουργίαν καὶ τὰ πρὸς νομάς, καὶ μάλιστα τῶν ἵππων, τὰς δ' ἀλκιμωτάτας [τῶν ἵππων] κυνη-

---

in volumine De diis pugnæ hujus mentionem faciens, nullam hujus similem a sole conspectam fuisse affirmat. Strabo, et ipse philosophus, in Historicis commentariis ait Romanis sui tum puduisse, seque ipsos derisisse, qui armis contra talia mancipia opus habuissent.

9.

Natura Aristobulus æquus erat et admodum verecundus, attestante etiam Strabone ex Timagene hisce verbis : « Æquum sese ostendebat hic vir ac valde Judæis utilem, quippe qui ditionem eorum ampliasset, et partem gentis Ityræorum circumcisionis fœdere devinctam illis adjunxisset. »

11.

Non multo post, quum Pompeius Damascum venisset et Cœlen Syriam obiret, venerunt ad eum legati ex tota Syria et Ægypto et Judæa. Misitque ei ingens donum Aristobulus, vitem auream ex quingentis talentis. Meminit ejus muneris etiam Strabo Cappadox his verbis : « Venit etiam ex Ægypto legatio cum corona aureorum quattuor millium, et ex Judæa vitis sive hortus : quod opus τερπώλην (*delectationem*) nominabant. »

13.

Multi referunt Hyrcanum expeditionis (in Alexandrinos susceptæ) socium (J. Cæsari) fuisse, atque verbis meis testimonium perhibet Strabo Cappadox ex auctoritate Asinii ita dicens : « Postquam Mithridates (sc. Pergamenus; cf. Appian. Mithrid. c. 121) Ægyptum invasit, et cum eo Hyrcanus Judæorum pontifex. » Idemque ille Strabo alibi ex auctoritate Hypsicratis in hæc verba loquitur : « Mithridatem quidem solum profectum esse, Antipatrum vero Judææ procuratorem ab ipso Ascalonem accitum, cum tribus militum millibus auxilium ei tulisse, et ceteros dynastas partibus admovisse, atque expeditioni etiam Hyrcanum pontificem interfuisse. » Et hæc quidem Strabo narrat.

γεσίαις πλεονάζειν καὶ τὰ πολέμια ἀσκεῖν· ἁπάσας δ' ἐπικεκαῦσθαι τὸν δεξιὸν μαστὸν ἐκ νηπίων, ὥστε εὐπετῶς χρῆσθαι τῷ βραχίονι πρὸς ἑκάστην χρείαν, ἐν δὲ τοῖς πρώτοις πρὸς ἀκοντισμόν. Χρῆσθαι δὲ καὶ τόξῳ καὶ σαγάρι καὶ πέλτῃ, δορὰς δὲ θηρίων ποιεῖσθαι περίκρανά τε καὶ σκεπάσματα καὶ διαζώματα· δύο δὲ μῆνας ἐξαιρέτους ἔχειν τοῦ ἔαρος καθ' οὓς ἀναβαίνουσιν εἰς τὸ πλησίον ὄρος τὸ διορίζον αὐτάς τε καὶ τοὺς Γαργαρέας.

Strabo XVII, p. 827 : Ἐνταῦθα δὲ (sc. ἐν τῇ τῶν ἑσπερίων καλουμένων Αἰθιόπων χώρᾳ) καὶ καμηλοπαρδάλεις φησὶν Ἰφικράτης (scr. Ὑψικράτης) γεννᾶσθαι καὶ ἐλέφαντας καὶ τοὺς καλουμένους Ῥίζεις, οἳ ταυροειδεῖς μέν εἰσι τὴν μορφήν, κατὰ δὲ τὴν δίαιταν καὶ τὸ μέγεθος καὶ τὴν ἀλκὴν τὴν πρὸς μάχην ἐλέφασιν ἐοίκασι· δράκοντάς τε λέγει μεγάλους, ὥστε καὶ πόαν ἐπιπεφυκέναι· τούς τε λέοντας τοῖς πώλοις τῶν ἐλεφάντων ἐπιτίθεσθαι· αἱμάξαντας δὲ φεύγειν, ἐπιουσῶν τῶν μητέρων· τὰς δ', ἐπειδὰν ἴδωσιν ᾑμαγμένους, κτείνειν· ἐπανιόντας δὲ τοὺς λέοντας ἐπὶ τὰ πτώματα, νεκροφαγεῖν. Βόγον δὲ, τὸν βασιλέα τῶν Μαυρουσίων, ἀναβάντα ἐπὶ τοὺς ἑσπερίους Αἰθίοπας, καταπέμψαι τῇ γυναικὶ δῶρα, καλάμους τοῖς Ἰνδικοῖς ὁμοίους, ὧν ἕκαστον γόνυ χοίνικας χωροῦν ὀκτώ· καὶ ἀσπαράγων δ' ἐμφερῆ μεγέθη.

Stephan. Byz. v. Αἰθίοψ : « Αἰθίοπες, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν » (Odyss. I, 23). Οὐ γὰρ ἀληθὴς ὁ Ὑψικράτους λόγος, ὡς οὐδὲν εἰς οψ λήγει παρ' Ὁμήρῳ εἰ μὴ τὸ καλαῦροψ (Il. XXIII, 845).

De ætate Homeri Hypsicrates laudatur in Vit. Hom. Iriart. p. 233 : Ὑψικράτης ἡλικιώτην (Ἡσιόδου Ὅμηρον γεγονέναι φησίν). — Præterea Diogenes Laertius VII, 188, inter eos qui Περὶ πινάκων scripserint, præter Polemonem et Antigonum recenset *Hypsicratem*, sive nostrum διὰ πολλῶν μαθημάτων γενόμενον, sive alium. — Hypsicrates quidam, qui lingua Phœnicia scripsisse perhibetur Phœnicum historiam, quam Lætus græce verterit, commemoratur apud Tatianum Adv. Gr. c. 37 (v. fragm. Læti). *Hypsicratem quempiam grammaticum, cujus libri sane nobiles super his quae a Græcis accepta sunt,* de inepta etymologia vocis *fœnerator,* laudat Cloatius Verus apud Gellium N. A. XVI, 12, 5. Cf. Varro L. L. V, 88, p. 34 ed. Müller. (*Cohortem in villa Hypsicrates dicit esse græce* χόρτον *apud poetas dictam*). Paulus De signif. verb. p. 8 ed. Müller (ubi vulgo laudatur *Hippocrates*).

14.

Plutarch. Cæsar. c. 63, de ostentis mortem Cæsaris portendentibus : Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν, ὡς δὲ ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον· αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου καὶ δεινὸν εἶναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῷον ἀκάρδιον.

15.

Josephus Ant. Jud. XV, 1, 2, postquam de Hierosolymis a Sosio Antonii duce expugnatis (a. 38) exposuit, pergit : Ἀντώνιος δὲ λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν. Ἐπεὶ δ' ἤκουσε νεωτερίζειν τὸ ἔθνος, κἀκ τοῦ πρὸς Ἡρώδην μίσους εὔνουν Ἀντιγόνῳ διαμένον, ἔγνω τοῦτον ἐν Ἀντιοχείᾳ πελεκίσαι· σχεδὸν γὰρ οὐδαμῶς ἠρεμεῖν ἠδύναντο Ἰουδαῖοι. Μαρτυρεῖ δέ μου τῷ λόγῳ Στράβων ὁ Καππάδοξ λέγων οὕτως· « Ἀντώνιος μὲν Ἀντίγονον τὸν Ἰουδαῖον ἀχθέντα εἰς Ἀντιόχειαν πελεκίζει· καὶ ἔδοξε μὲν οὗτος πρῶτος Ῥωμαίων βασιλέα πελεκίσαι, οὐχ οἰηθεὶς ἕτερον τρόπον μεταθεῖναι ἂν τὰς γνώμας τῶν Ἰουδαίων, ὥστε δέξασθαι τὸν ἀντ' ἐκείνου καθεσταμένον Ἡρώδην· οὐδὲ γὰρ βασανιζόμενοι βασιλέα αὐτὸν ἀναγορεύειν ὑπέμειναν, οὕτω μέγα τι ἐφρόνουν περὶ τοῦ πρώτου βασιλέως. Τὴν οὖν ἀτιμίαν ἐνόμισε μειώσειν τῆς πρὸς αὐτὸν μνήμης, μειώσειν δὲ καὶ τὸ πρὸς Ἡρώδην μῖσος. » Ταῦτα μὲν ὁ Στράβων.

14.

Strabo philosophus narrat, multos homines ignitos per aerem deferri visos, calonem quendam ex manu multum flammæ effudisse visumque ardere, sed flammis cessantibus nihil habuisse mali. Ipso Cæsare immolante, hostiam corde carere visam, idque pro gravi ostento habitum, quod natura non ferat uti ullum animal sine corde sit.

15.

Antonius quum cepisset Antigonum (Judæorum regem), decreverat usque ad triumphum servare vinctum. Sed quum audiret rebus novis studere gentem, et præ Herodis odio benevolentiam erga Antigonum retinere, statuit eum Antiochiæ securi feriendum : alioquin quiescere Judæi minime poterant. Verbis autem meis testimonium perhibet Strabo Cappadox, ita dicens : « Antonius Antigonum Judæum Antiochiam perductum securi ferit : et hic quidem Romanorum primus visus est regem securi percussisse, ratus non posse alia via flecti Judæorum animos, ut Herodem in illius locum suffectum agnoscerent : nam ne tormentis quidem adigi poterant ut eum regem appellarent; adeo magna illis opinio erat de priore rege. Fore igitur existimavit ut memoria ejus ignominia minueretur, et odium illorum in Herodem mitigaretur. » Sic igitur Strabo narrat.

CHÆREMON ALEXANDRINUS.

Suidas : Διονύσιος Ἀλεξανδρεὺς, ὁ Γλαύκου υἱὸς, γραμματικὸς, ὅστις ἀπὸ Νέρωνος συνῆν καὶ τοῖς μέχρι Τραϊανοῦ καὶ τῶν βιβλιοθηκῶν προὔστη κτλ... Ἦν δὲ καὶ διδάσκαλος Παρθενίου τοῦ γραμματικοῦ, μαθητὴς δὲ Χαιρήμονος τοῦ φιλοσόφου, ὃν καὶ διεδέξατο ἐν Ἀλεξανδρείᾳ.

Idem : Ἀλέξανδρος Αἰγαῖος, φιλόσοφος περιπατητικὸς, διδάσκαλος Νέρωνος τοῦ βασιλέως ἅμα Χαιρήμονι τῷ φιλοσόφῳ.

Idem : Χαιρήμων τραγικός... Καὶ ἕτερος Χαιρήμων, γράψας Ἱερογλυφικά.

Strabo XVII, p. 806 : Ἐν δὲ τῇ Ἡλιουπόλει καὶ οἴκους εἴδομεν μεγάλους, ἐν οἷς διέτριβον οἱ ἱερεῖς· μάλιστα γὰρ δὴ ταύτην κατοικίαν ἱερέων γεγονέναι φασὶ τοπαλαιὸν, φιλοσόφων ἀνδρῶν καὶ ἀστρονομικῶν· ἐκλέλοιπε δὲ καὶ τοῦτο νυνὶ τὸ σύστημα καὶ ἡ ἄσκησις. Ἐκεῖ μὲν οὖν οὐδεὶς ἡμῖν ἐδείκνυτο τῆς τοιαύτης ἀσκήσεως προεστὼς, ἀλλ' οἱ ἱεροποιοὶ μόνον, καὶ ἐξηγηταὶ τοῖς ξένοις τῶν περὶ τὰ ἱερά. Παρηκολούθει δέ τις ἐξ Ἀλεξανδρείας ἀναπλέοντι εἰς τὴν Αἴγυπτον Αἰλίῳ Γάλλῳ τῷ ἡγεμόνι Χαιρήμων τοὔνομα, προσποιούμενος τοιαύτην τινὰ ἐπιστήμην· γελώμενος δὲ τοπλέον, ὡς ἀλαζὼν καὶ ἰδιώτης.

Vulgo statuunt Chæremonem philosophum Stoicum (fr. 4 init. et fr. 8), Neronis præceptorem, qui Dionysium scholæ successorem reliquit, eundem esse cum Chæremone, qui τῶν περὶ τὰ ἱερὰ ἐξηγητὴς Ælium Gallum in superiora Ægypti adscendentem comitatus est (*). Dubius hæret Bunsenius (*Ægypt.* tom. I, p. 130). Etenim Galli comes tanquam vir stupidus vanusque perstringitur; Chæremon vero philosophus, ex quo vitam sacerdotum (**) describit Porphyrius De abstin. IV, 6 (fr. 4), esse dicitur ἀνὴρ φιλαλήθης καὶ ἀκριβὴς ἔν τε τοῖς στωικοῖς πραγματικώτατα φιλοσοφήσας. Ac sane quæ Porphyrius l. l. affert, accuratum et veracem scriptorem coarguunt. Præterea etiam chronologicæ rationes me adducunt, ut duos Chæremones distingui velim. Nimirum Chæremonem Neronis præceptorem jure nostro statuimus vitam deduxisse ad an. 50 post Chr. (qui Neronis pueri annus decimus tertius) et ultro. Contra natales ejus qui Gallum comitatus est (an. 23 ante Chr. vel paullo post) ad annum 50 a. Chr., quod minimum est, referendæ sunt. Igitur si de eodem homine Strabo et Suidas loqui censentur, Chæremon per centum minimum annos vixisse debet. Id vero haud probabile est. Quare duos esse Chæremones distinguendos censeo. Fortasse uterque de rebus Ægyptiis scripsit, facileque fieri potest ut non ad eundem omnia, quæ e Chæremone afferuntur, pertineant. Certe notandum est Porphyrium in libris De abstin. l. l. laudare philosophum Stoicum, contra in Epist. ad Anebonem (fr. 3) de theologia Ægyptiaca ex planetarum et zodiaci rationibus derivata excitare Chæremonem τὸν ἱερογραμματέα. Utrumque eundem esse censet Bunsenius, neque ego nego, quamvis minus etiam asseverare ausim.

(*) De *Chæremone poeta tragico* vide Wagner. Fragm. poet. tragg. p. 121 sqq. Alius *Chæremon* (sic cod. Bamberg.; vulgo *Circammon*), *spado Nectanebi* I, qui in labyrintho quædam refecit, laudatur apud Plinium H. N. XXXVI, c. 13 (vide Bunsen. *Ægypt.* tom. III, p. 89).

(**) Alius scriptor, qui de sacerdotibus scripsisse dicitur neque aliunde notus est, apud Suidam memoratur : Χάρων (Χείρωνος *Eudocia*; Χαιρήμων?) ὁ Ναυκρατίτης. Ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ τὰ ἐφ' ἑκάστου πραχθέντα, κτλ.

ΑΙΓΥΠΤΙΑΚΑ.

1.

Josephus C. Apion. I, 32 : Μετὰ τοῦτον ἐξετάσαι βούλομαι Χαιρήμονα. Καὶ γὰρ οὗτος Αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν, καὶ προσθεὶς ταὐτὸ ὄνομα τοῦ βασιλέως, ὅπερ ὁ Μανεθὼς, Ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ Ῥαμέσσην, φησὶν ὅτι « κατὰ τοὺς ὕπνους ἡ Ἶσις ἐφάνη τῷ Ἀμενώφει, μεμφομένη αὐτὸν ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ κατέσκαπται. Φριτιφάντην δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν Αἴγυπτον, παύσασθαι τῆς πτοίας αὐτόν. Ἐπιλέξαντα δὲ τῶν ἐπισινῶν μυριάδας εἴκοσι πέντε ἐκβαλεῖν. Ἡγεῖσθαι δ' αὐτῶν γραμματέας Μωϋσῆν τε καὶ Ἰώσηπον, καὶ τοῦτον ἱερογραμματέα· Αἰγύπτια δ' αὐτοῖς ὀνόματα εἶναι, τῷ μὲν

DE REBUS ÆGYPTI.

1.

Post hunc volo in Chæremonem inquirere. Hic enim Ægyptiacam se scribere historiam professus, afferensque idem nomen regis quod Manethon, Amenophin, et filium ejus Ramessen, ait « Isidem in somnis Amenophi apparuisse, de eo querentem, quod templum ipsius per bellum dirutum esset. Phritiphantén vero sacrum scribam dixisse, si de pollutis hominibus Ægyptum purgare vellet, fore ut liberetur a nocturnis terroribus. Atque ita morbidorum millia CCL collegisse et e finibus ejecisse. Duces vero eorum fuisse scribas Moysen et Josephum, atque hunc sacrorum scribam : Ægyptia vero eis nomina esse, Moysi quidem Tisithen, Josepho vero Peteseph. Hos Pelusium venisse, ibique offendisse CCCLXXX millia ab Amenophi relicta, quæ in Ægyptum transferre noluerit. Cum his icto fœdere contra

Μωϋσεῖ Τισιθὲν, τῷ δὲ Ἰωσήπῳ Πετεσήφ. Τούτους δ' εἰς Πηλούσιον ἐλθεῖν καὶ ἐπιτυχεῖν μυριάσι τριάκοντα ὀκτὼ καταλελειμμέναις ὑπὸ τοῦ Ἀμενώφιος, ἃς οὐ θέλειν εἰς τὴν Αἴγυπτον διακομίζειν. Οἷς φιλίαν συνθεμένους ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι. Τὸν δὲ Ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν εἰς Αἰθιοπίαν φυγεῖν καταλιπόντα τὴν γυναῖκα ἔγκυον· ἣν κρυπτομένην ἔν τισι σπηλαίοις τεκεῖν παῖδα, ὄνομα Μεσσήνην, ὃν ἀνδρωθέντα ἐκδιῶξαι τοὺς Ἰουδαίους εἰς τὴν Συρίαν, ὄντας περὶ εἴκοσι μυριάδας, καὶ τὸν πατέρα Ἀμένωφιν ἐκ τῆς Αἰθιοπίας καταδέξασθαι. »

Quæ sequuntur num ad idem opus pertineant, an singularibus scriptis tractata fuerint, non liquet.

2.

Porphyrius ap. Euseb. P. E. III, 4, p. 92, B : Χαιρήμων μὲν γὰρ καὶ οἱ ἄλλοι οὐδ' ἄλλο τι πρὸ τῶν δρωμένων κόσμων ἡγοῦνται, ἐν ἀρχῆς λόγῳ τιθέμενοι τοὺς Αἰγυπτίων, οὐδ' ἄλλους θεοὺς πλὴν τῶν πλανητῶν λεγομένων, καὶ τῶν συμπληρούντων τὸν ζῳδιακὸν, καὶ ὅσοι τούτοις παρανατέλλουσι· τάς τε εἰς τοὺς δεκανοὺς τομὰς καὶ τοὺς ὡροσκόπους καὶ τοὺς λεγομένους κραταιοὺς ἡγεμόνας, ὧν καὶ τὰ ὀνόματα ἐν τοῖς ἀλμενιχιακοῖς φέρεται, καὶ θεραπεῖαι παθῶν καὶ ἀνατολαὶ καὶ δύσεις καὶ μελλόντων σημειώσεις. Ἑώρα γὰρ τοὺς τὸν ἥλιον δημιουργὸν φαμένους καὶ τὰ περὶ τὸν Ὄσιριν καὶ τὴν Ἶσιν, καὶ πάντας τοὺς ἱερατικοὺς μύθους ἢ εἰς τοὺς ἀστέρας καὶ τὰς τούτων φάνσεις καὶ κρύψεις καὶ ἐπιτολὰς ἑλιττομένους, ἢ εἰς τὰς τῆς σελήνης αὐξήσεις καὶ μειώσεις, ἢ εἰς τὴν τοῦ ἡλίου πορείαν, ἤ τό γε νυκτερινὸν ἡμισφαίριον ἢ τὸ ἡμερινὸν ἢ τόν γε ποταμόν· καὶ ὅλως πάντα εἰς τὰ φυσικὰ, καὶ οὐδὲν εἰς ἀσωμάτους καὶ ζώσας οὐσίας ἑρμηνεύοντας. Ὧν οἱ πλείους καὶ τὸ ἐφ' ἡμῖν ἐκ τῆς τῶν ἀστέρων ἀνῆψαν κινήσεως, οὐκ οἶδ' ὅπως δεσμοῖς ἀλύτοις ἀνάγκῃ, ἣν εἱμαρμένην λέγουσι, πάντα καταδήσαντες, καὶ πάντα τούτοις ἀνάψαντες τοῖς θεοῖς. Οὕτω λυτῆρας τῆς εἱμαρμένης μόνους ἔν τε ἱεροῖς καὶ ξοάνοις καὶ τοῖς ἄλλοις θεραπεύουσι. Eadem denuo tangit Euseb. p. 118, D.

3.

Porphyrius ap. Eusebius P. E. V, 10, p. 197, D : Πάνυ δέ με θράττει, πῶς ὡς κρείττους παρακαλούμενοι ἐπιτάττονται ὡς χείρους· καὶ δίκαιον εἶναι ἀξιοῦντες τὸν θεράποντα, τὰ ἄδικα αὐτοὶ κελευσθέντες δρᾷν ὑπομένουσι· καὶ καθαρῷ μὲν μὴ ὄντι ἐξ ἀφροδισίων οὐκ ἂν καλοῦντι ὑπακούσαιεν, αὐτοὶ δὲ ἄγειν εἰς παράνομα ἀφροδίσια τοὺς τυχόντας οὐκ ὀκνοῦσι. Καὶ ἀπὸ ἐμψύχων μὲν ἀποχῆς κελεύουσι δεῖν εἶναι τοὺς προφήτας, ἵνα μὴ τοῖς ὑπὸ τῶν σωμάτων ἀτμοῖς χραίνωνται, αὐτοὶ δὲ ἀτμοῖς τοῖς ἀπὸ θυσιῶν μάλιστα δελεάζονται, καὶ νεκροῦ μὲν ἀθιγῆ δεῖν εἶναι τὸν ἐπόπτην, διὰ νεκρῶν δὲ τὰ πολλὰ ζῴων αἱ θεαγωγίαι ἐκτελοῦνται. Πολλῷ δὲ τούτων ἀλογώτερον, τὸ μὴ δαίμονι, εἰ τύχοι, ἢ ψυχῇ τεθνηκότος, αὐτῷ δὲ τῷ βασιλεῖ ἡλίῳ, ἢ σελήνῃ ἤ τινὶ τῶν κατ' οὐρανὸν, ἄνθρωπον τῷ τυχόντι ὑποχείριον ἀπειλὰς προσφέροντα ἐκφοβεῖν, ψευδόμενον, ἵν' ἐκεῖνοι ἀληθεύσωσι. Τὸ γὰρ λέγειν, ὅτι τὸν οὐρανὸν προσαράξει, καὶ τὰ κρυπτὰ τῆς Ἴσιδος ἐκφανεῖ, καὶ τὸ ἐν Ἀβύδῳ ἀπόρρητον δείξει, καὶ τὴν βᾶριν στήσει, καὶ τὰ

Ægyptum expeditionem factam. Amenophin autem, impetum illorum non sustinentem, in Æthiopiam fugisse, relicta uxore gravida : quam, in speluncas quasdam abditam, puerum enixam esse, nomine Messenen, eumque adultum expulisse Judæos in Syriam, numero circiter ducenta millia; et patrem Amenophin ex Æthiopia recepisse.

2.

Chæremon ac ceteri nec aliud quidquam ante mundos illos, qui sub adspectum cadunt, fuisse arbitrantur, quum eos, qui ab Ægyptiis inducuntur, ipso disputationum suarum initio ponant; nec alios agnoscunt deos, quam quæ vulgo errantia sidera vocantur, quæque zodiacum implent, adeoque quotquot in eorum vicinia oriuntur. Quibus adjiciunt suas illas in decanos sectiones, horoscopos, quique fortes ac robusti duces nuncupantur, quorum non modo nomina, sed etiam morborum et calamitatum curationes, ortusque simul et occasus, futurorumque significationes in almenichiacis continentur. Quippe videbat enim, qui solem universi architectum dicerent, ab illis non ea tantum quæ ad Osiridem Isidemque pertinent, sed etiam quidquid sacrarum fabularum erat, partim in stellas et earum adspectus, occultationes ortusque devolvi, partim in lunæ modo crescentis, modo senescentis varietatem, partim in solis cursum, ac vel in diurnum vel in nocturnum hemisphærium, vel in Nilum ipsum fluvium, cuncta denique in res naturales, nihil in corporea mole carentes viventesque naturas, ipsarum interpretatione conferri. Atque istorum etiam plerique, quod in nostra voluntate est ac potestate situm, ex siderum motu voluerunt suspensum esse, cuncta necessitate, quod ipsi fatum appellant, sic tanquam inexplicabilibus quibusdam vinculis nescio quo pacto constringentes, eademque rursus ad deorum istorum vim ac numen alligantes. Itaque non alios sive in templis sive in simulacris sive in aliis ejusmodi, quam qui fati leges solvunt, venerantur.

3.

Me quidem tum vehementer angi sentio, ubi mecum ipse reputo, quî fieri possit, ut quorum veluti augustiorum ac diviniorum opem imploremus, ii tamen perinde ut humiliores et deteriores obediant : quique clientes ipsi suos æquitatem colere velint, eosdem injustis imperiis obsequi non pudeat : adeoque quum eorum vota precesque repudient, qui ad sese minus abs re venerea puri accesserint, obvios quosque tamen nefandam in venerem agere non erubescant. Porro vates illi quidem interpretesque suos rebus animatis abstinere jubent, ne corporeis exhalationibus inficiantur : sacrificiorum tamen, quæ ex animantibus fieri solent, vaporibus maxime capiuntur; ac mortuum quidem ab sacrorum suorum inspectoribus tangi nefas esse statuunt, cæsis tamen victimis deorum evocationes partem maximam peraguntur. Quodque omnium absurdissimum est, non jam vulgari cuipiam dæmoni, aut defuncti animæ, sed ipsimet

μέλη τοῦ Ὀσίριδος διασκεδάσει τῷ Τυφῶνι, τίνα οὐχ ὑπερβολὴν ἐμπληξίας μὲν τῷ ἀπειλοῦντι, ἃ μήτε οἶδε μήτε δύναται, καταλείπει, ταπεινότητος δὲ τοῖς δεδοικόσιν οὕτω κενὸν φόβον καὶ πλάσματα, ὡς κομιδῇ παῖδες ἀνόητοι; Καίτοι καὶ Χαιρήμων ὁ ἱερογραμματεὺς ἀναγράφει ταῦτα, ὡς καὶ παρ' Αἰγυπτίοις θρυλλούμενα, καὶ ταῦτά φασιν εἶναι καὶ τὰ τοιαῦτα βιαστικώτατα. Reliqua exscribere non vacat, quanquam nullus dubito quin ad ea quæ Chæremon narraverat, sint referenda. Ceterum eundem locum habes ap. Theodoretum Ther. p. 48, nec non ap. Iamblich. De mysteriis.

4.

Porphyrius De abstin. IV, 6 : Τὰ γοῦν κατὰ τοὺς Αἰγυπτίους ἱερέας Χαιρήμων ὁ στωικὸς ἀφηγούμενος, οὓς καὶ φιλοσόφους ὑπειλῆφθαί φησι παρ' Αἰγυπτίοις, ἐξηγεῖται ὡς τόπον μὲν ἐλέξαντο ἐμφιλοσοφῆσαι τὰ ἱερά. Πρός τε γὰρ τὴν ὅλην ὄρεξιν τῆς θεωρίας συγγενὲς ἦν παρὰ τοῖς ἐκείνων ἀφιδρύμασι διαιτᾶσθαι· παρεῖχέν τε αὐτοῖς ἀσφάλειαν μὲν ἐκ τοῦ θείου σεβασμοῦ, καθάπερ τινὰ ἱερὰ ζῷα, πάντων τιμώντων τοὺς φιλοσόφους· ἠρεμαίους δὲ εἶναι, ἅτε τῆς ἐπιμιξίας κατὰ τὰς πανηγύρεις καὶ τὰς ἑορτὰς συντελουμένης μόνον, τὸ δὲ λοιπὸν σχεδὸν ἀβάτων ὄντων τοῖς ἄλλοις τῶν ἱερῶν· ἁγνεύσαντας γὰρ ἔδει προσιέναι καὶ πολλῶν ἀποσχομένους, καὶ τοῦτο ὥσπερ κοινὸς τῶν κατ' Αἴγυπτον ἱερῶν θεσμός ἐστιν. Ἀπειπάμενοι δὲ πᾶσαν τὴν ἄλλην ἐργασίαν καὶ πόρους ἀνθρωπίνους, ἀπέδοσαν ὅλον τὸν βίον τῇ τῶν θείων θεωρίᾳ καὶ θεάσει· διὰ μὲν ταύτης τό τε τίμιον καὶ ἀσφαλὲς καὶ εὐσεβὲς ποριζόμενοι, διὰ δὲ τῆς θεωρίας τὴν ἐπιστήμην, δι' ἀμφοῖν δὲ ἄσκησιν ἠθῶν κεκρυμμένην τινὰ καὶ ἀρχαιοπρεπῆ. Τὸ γὰρ ἀεὶ συνεῖναι τῇ θείᾳ γνώσει καὶ ἐπιπνοίᾳ, πάσης μὲν ἔξω τίθησι πλεονεξίας, καταστέλλει δὲ τὰ πάθη, διεγείρει δὲ πρὸς σύνεσιν τὸν βίον. Λιτότητα δὲ ἐπετήδευσαν καὶ καταστολήν, ἐγκράτειάν τε καὶ καρτερίαν, τό τε ἐν παντὶ δίκαιον καὶ ἀπλεονέκτητον. Σεμνοὺς δὲ αὐτοὺς παρεῖχε καὶ τὸ δυσεπίμικτον· οἵγε παρὰ μὲν αὐτὸν τῶν λεγομένων ἁγνειῶν τὸν καιρὸν οὐδὲ τοῖς συγγενεστάτοις καὶ ὁμοφύλοις ἐπεμίγνυντο σχεδὸν, οὐδὲ ἄλλως θεωρούμενοι ὅτι μὴ πρὸς τὰς ἀναγκαίας συναγνεύουσι χρείας ἢ ἁγνευτήρια τοῖς μὴ καθαρεύουσιν ἄδυτα καὶ πρὸς ἱερουργίας ἅγια κατανεμόμενοι. Τὸν δὲ ἄλλον χρόνον ἁπλούστερον μὲν τοῖς ὁμοίοις ἐπεμίγνυντο, τῶν δὲ ἐξωτικῶν τῆς θρησκείας οὐδενὶ συνεβίουν. Ἐφαίνοντο δὲ ἀεὶ θεῶν ἢ ἀγαλμάτων ἐγγύς, ἤτοι φέροντες ἢ προηγούμενοι καὶ τάσσοντες μετὰ κόσμου τε καὶ σεμνότητος· ὧν ἕκαστον οὐ τῦφος ἦν, ἀλλά τινος ἔνδειξις φυσικοῦ λόγου. Τὸ δὲ σεμνὸν κἀκ τοῦ καταστήματος ἑωρᾶτο. Πορεία τε γὰρ ἦν εὔτακτος καὶ βλέμμα καθεστηκὸς ἐπετηδεύετο, ὡς ὅτε βουληθεῖεν μὴ σκαρδαμύττειν· γέλως δὲ σπάνιος, εἰ δέ που γένοιτο, μέχρι μειδιάσεως·

---

soli, siderum principi, lunæ reliquisque iis cœlestibus homo quivis e populi fæce obnoxius minas intentat, atque ut eos ad vera dicenda compellat, falsum vanumque terrorem ostendit. Nam futurum denuntiare, uti vel cœlum ipsum quatiat, vel Isidis arcana patefaciat, vel quod Abydi occultum latet dictuque nefas est, in lucem proferat, vel Ægyptiacæ navis cursum inhibeat, vel in Typhonis gratiam Osiridis membra disjiciat : quidnam, obsecro, vel summum ad stuporem atque vecordiam ista quæ neque novit neque efficere potest comminanti, vel numinibus, quæ fictitius iste et inanis terror leviculorum pusionum more percellat, summam ad humilitatem reliquum fecit? Et tamen hæc omnia Chæremon, sacer ille scriba, tanquam Ægyptiorum omnium pridem ore jactata conscripsit, quæ quidem uti ejusdem quoque generis cetera, ad vim diis afferendam potentissima esse dictitant.

4.

De sacerdotibus Ægyptiis scribens Chæremon Stoicus, quos apud eos existimari etiam philosophos inquit, templa sibi ipsos refert elegisse, in quibus degerent ac philosopharentur. Quippe et ad universam contemplationis deorum appetitionem cognatum esse videbatur, ut ad simulacra eorum assiderent; et id tum securos ipsos reddebat ex divina veneratione, quum omnes quasi sacra quædam animalia philosophos honore prosequerentur : tum quietem ipsis afferebat, quum in celebritatibus tantummodo versandum cum aliquibus ipsis esset : reliquo vero fere tempore templorum aditus aliis non pateret : eo quod ad ea accedere aliter non possent, nisi caste se gessissent a multisque aliis abstinuissent. Hæc siquidem quasi communis quædam templorum Ægypti lex est. Omnibus autem hi opificiis laboribusque humanis repudiatis, totam vitam suam deorum et contemplationi et inspectioni dedicarunt : ex inspectione enim honorem, tutelam et timorem : ex contemplatione scientiam, ex utrisque abditam quandam et quæ priscam dignitatem deceret, morum exercitationem sibi comparabant. Nam semper in divina cognitione et affectione versari, ab omni avaritia et insolentia excludit, affectus reprimit, mentemque ad intelligentiam excitat. Parcimoniam item victusque tenuitatem et continentiam et tolerantiam exercebant, justitiamque in omnibus et æquitatem. Venerabiles autem ex eo etiam reddebantur, quod parum admodum cum aliis versarentur. Nam in ipso castimoniæ et purificationis tempore ne cum maxime quidem sibi cognatis et consortibus consuescebant; neque alias conspiciebantur nisi quum necessarii simul abstinentium usus requirerent : quippe quum penetralia impuris et non purgatis hominibus inaccessa, et ad sacrificandum sancta incolerent. Reliquo omni tempore liberius una cum similibus sui degebant; cum ceteris vero religionis expertibus commercium nullum habebant. Semper autem prope deos deorumque statuas vel ferre aliquid vel præsidere vel constituere cum modestia et gravitate spectabantur. Idque non fastus alicujus, sed naturalis rationis indicium erat. Nam gravitatem venerabilem etiam ex habitu ipso præ se ferebant. Incessus enim erat moderatus, adspectus sedatus, ut quandocumque voluissent, oculis minime nictarentur : risus admodum rarus atque ejusmodi, ut non ultra vultus

ἀεὶ δὲ ἐντὸς τοῦ σχήματος χεῖρες. Καὶ σύμβολόν γε ἦν ἑκάστῳ τῆς τάξεως ἐμφαντικὸν, ἣν ἔλαχεν ἐν τοῖς ἱεροῖς· πλείους γὰρ ἦσαν αἱ τάξεις. Δίαιτα δὲ λιτὴ καὶ ἀφελής· οἴνου μὲν γὰρ οἱ μὲν οὐδ' ὅλως, οἱ δὲ ὀλίγιστα ἐγεύοντο, νεύρων αἰτιώμενοι βλάβας καὶ πλήρωσιν κεφαλῆς, ἐμπόδιον εἰς εὕρεσιν· ἀφροδισίων τε ἔφασαν αὐτὸν ὀρέξεις ἐπιφέρειν. Ταύτῃ δὲ καὶ τῶν ἄλλων εὐλαβῶς εἶχον. Ἄρτοις μὲν οὐδὲ ὅλως ἐν ταῖς ἁγνείαις χρώμενοι, εἰ δέ ποτε μὴ ἁγνεύοιεν, σὺν ὑσσώπῳ κόπτοντες ἤσθιον. Τὸ πολὺ γὰρ αὐτοῦ τῆς δυνάμεως καθαιρεῖν ἔφασαν τὸν ὕσσωπον. Ἐλαίου δ' ἀπείχοντο μὲν ὡς τὸ πολὺ, οἱ πλεῖστοι δὲ καὶ παντελῶς, εἰ δέ που μετὰ λαχάνων χρήσαιντο, παντελῶς ὀλίγῳ, καὶ ὅσον παρηγορῆσαι τὴν αἴσθησιν.

Cap. 7. Τῶν μὲν οὖν ἐκτὸς Αἰγύπτου γιγνομένων βρωμάτων τε καὶ ποτῶν οὐ θέμις ἦν ἅπτεσθαι. Πολύς τις οὕτω τρυφῆς ἀπεκέκλειστο τόπος. Τῶν δὲ κατ' αὐτὴν τὴν Αἴγυπτον ἰχθύων ἀπείχοντο πάντων, καὶ τετραπόδων ὅσα μώνυχα ἢ πολυσχιδῆ ἢ μὴ κερασφόρα, πτηνῶν δὲ ὅσα σαρκοφάγα· πολλοὶ δὲ καθάπαξ τῶν ἐμψύχων· καὶ ἔν γε ταῖς ἁγνείαις ἅπαντες, ὁπότε μηδ' ᾠὸν προσίεντο. Καὶ μέντοι καὶ τῶν ἄλλων οὐκ ἀσυκοφάντητον ἐποιοῦντο παραίτησιν· οἷον τῶν βοῶν τὰς θηλείας παρῃτοῦντο, τῶν δ' ἀρρένων ὅσα δίδυμα ἢ κατάσπιλα ἢ ἑτερόχροα ἢ παραλλάσσοντα τῇ μορφῇ ἢ δεδαμασμένα, ὡς ἤδη καθωσιωμένα τοῖς πόνοις, καὶ τιμωμένοις ἐμφερῆ, ἢ καθ' ὁντινοῦν οἷον ἀπεικασμὸν ἐξείῃ (ἐξίῃ Reisk.), ἢ ἑτερόφθαλμα ἢ πρὸς ἀνθρωπείαν ἐμφέρειαν νεύοντα. Μυρίαι δ' ἄλλαι παρατηρήσεις καὶ τῆς περὶ αὐτὰ τέχνης τῶν καλουμένων μοσχοσφραγιστῶν, ἄχρι συντάξεων προάγουσαι βιβλιακῶν. Περιεργότερον δ' ἔτι περὶ τὰ πτηνὰ, οἷον τρυγόνα μὴ ἐσθίειν· ἱέραξ γὰρ, ἔφασαν, πολλαχῇ τὸ ζῷον συλλαβὼν ἀφίησιν, μισθὸν ἀποδιδοὺς μίξεως σωτηρίαν· ὡς οὖν μὴ λάθοιεν τοιούτῳ περιπεσόντες, ἅπαν αὐτῶν περιίσταντο τὸ γένος. Κοιναὶ μὲν δὴ θρησκεῖαί τινες αὗται, κατὰ γένη δὲ τῶν ἱερέων διάφοροι, καὶ οἰκεῖαι καθ' ἕκαστον θεόν. Αἱ δὲ ἁγνεῖαι πάντων ἐκαθάρευον. Ὁ δὲ χρόνος οὗτος, ὁπότε συντελεῖν τι τῶν περὶ τὴν ἱερὰν μέλλοιεν θρησκείαν, προλαμβάνων ἡμερῶν ἀριθμὸν, οἱ μὲν δυοῖν καὶ τετταράκοντα, οἱ δὲ τούτων πλείους, οἱ δὲ ἐλάσσους, οὐδέποτε μέντοι τῶν ἑπτὰ λειπομένας, παντὸς μὲν ἐμψύχου ἀπείχοντο, παντὸς δὲ λαχάνου τε καὶ ὀσπρίου, πρὸ δὲ πάντων ἀφροδισίων ὁμιλίας γυναικείας· ἄρρενος μὲν γὰρ οὐδὲ τὸν ἄλλον χρόνον μετεῖχον. Τρὶς δὲ τῆς ἡμέρας ἀπελούοντο ψυχρῷ, ἀπό τε κοίτης καὶ πρὸ ἀρίστου καὶ πρὸς ὕπνον. Εἰ δέ πετε συμβαίη καὶ ὀνειρώττειν, παραχρῆμα ἀπεκάθαιρον λουτρῷ τὸ σῶμα. Ψυχρῷ μὲν οὖν καὶ κατὰ τὸν ἄλλον ἐχρῶντο βίον, οὐ μὴν οὑτωσὶ πλεονάζον. Κοίτη δὲ αὐτοῖς ἐκ τῶν σπαδίκων τοῦ φοίνικος, ἃς καλοῦσι βάϊς, ἐπέπλεκτο. Ξύλινον δὲ ἡμικυλίνδριον εὖ λελεασμένον ὑπόθημα τῆς κεφαλῆς· ἤσκουν δὲ δίψαν καὶ πεῖναν, καὶ ὀλιγοσιτίαν παρὰ πάντα τὸν βίον.

---

hilaritatem progrederetur : semper autem intra indumentum manus continebantur. Quin nota etiam erat singulis, quæ ordinem ac statum cujusque (plures enim erant) significaret, quem in templis sortitus unusquisque fuerat. Victu tenui ac simplici utebantur. Vini enim alii nihil omnino, alii paucissimum adhibebant, ob nervorum læsionem quam inferret, capitisque repletionem, quæ contemplationi esset impedimento : tum quia venereorum appetitiones incitaret. Unde etiam in ceteris assumendis caute admodum se gerebant : panem enim in castimoniis nunquam gustabant; quando vero abstinentiæ tempus non erat, cum hyssopo contusum edere consueverant : hyssopum enim vim ejus majori ex parte obtundere aiebant. Oleo plerumque omnes, plerique autem semper abstinebant : quodsi quispiam cum oleribus eo aliquando utebatur, id admodum paucum adhibebat, quantum tantummodo sensum mitigare aliquantulum posset.

Cap. 7. Ea porro quæ extra Ægyptum nascebantur esculenta et potulenta, attingere ipsis fas non erat : atque ita multum luxui locum exclusum habebant. Ab omnibus vero qui in Ægypto erant pisces, abstinebant, ab omnibus item quadrupedibus, quæ solipeda aut multifida aut non cornuta essent : a volucribus etiam, quæ carnibus vescerentur. Multi ab omnibus quoque prorsus animalibus, et in purificationibus omnes abstinebant; quippe quum ne ova quidem tunc ulla sibi esse edenda censerent. Quin etiam aliorum quoque multa ac sycophantica fere apud ipsos observatio erat. Feminas enim ex bobus in esu repudiabant : mares quoque si erant gemelli, si maculosi, si diversi coloris, si varii forma, si domiti jam essent, utpote qui consecrati jam essent laboribus, similesque iis quæ honorarentur : si quæcumque alia effigie quipiam repræsentarent, si uno tantum oculo essent præditi, si ad humanam similitudinem tenderent. Innumerabiles aliæ observationes sunt, quæ ad eorum artem spectant, qui μοσχοσφραγισταί, id est vitularii seu vitulorum obsignatores, appellantur : quæ ad librorum usque compositiones processerunt. Id quod curiosius etiam circa volucres faciunt. Nam turturem, ut verbi causa hoc referam, sibi non esse comedendam putant. Accipitrem enim aiunt sæpe, ubi eam avem comprehendit, incolumem dimittere, pro mercede concubitus salute condonata. Ne igitur in ejusmodi aliquam ex ipsis incidant, sibi toto earum genere interdicendum consueverunt. Ac hi quidem communes omnibus cultus erant : alii pro sacerdotum genere diversi et singulis diis accommodati. Castimoniæ autem et purificationes in omnibus observabantur. Tempus earum erat, quum aliquid in sacro cultu erant operaturi, numero dierum præfinitum, quandoque duorum et quadraginta, quandoque plurium aut pauciorum : ita tamen ut nunquam a septenario deficeret. Tunc ab omnibus animatis abstinebant; ab omni olere et legumine, in primis vero a congressu venereo mulieris : nam maris consuetudinem alio etiam omni tempore evitabant. Ter in die lavabantur frigida, quum cubitu surrexerant, quum pransuri erant, quum cubitum ibant. Si forte autem contigisset, ut seminis fusione in somniis polluerentur, confestim lavacro corpus expiabant. Frigido sane lavacro in reliqua vita etiam, non ita tamen frequenter utebantur. Cubile ipsis ex palmarum virgultis, quas appelant *bais*, intextum erat. Ligneus autem semicylindrus apte lævigatus capiti subjiciebatur. Sitim et famem et parcum victum toto vitæ tempore exercebant.

Cap. 8 : Μαρτυρία δ' αὐτῶν τῆς ἐγκρατείας, ὅτι μήτε περιπάτοις ἢ αἰώραις χρώμενοι διῆγον ἄνοσοι, καὶ πρὸς μετρίαν ἰσχὺν εὔτονοι. Πολλὰ γοῦν κατὰ τὰς ἱερουργίας ἐνεδέχοντο βάρη, καὶ ὑπηρετήματα τῆς κοινῆς ἰσχύος μείζω. Διῄρουν δὲ νύκτα μὲν εἰς ἐπιτήρησιν οὐρανίων, ἐνίοτε δὲ καὶ ἁγιστείαν, ἡμέραν δὲ εἰς θεραπείαν τῶν θεῶν, καθ' ἣν ἢ τρὶς ἢ τετράκις, κατὰ τὴν ἕω καὶ τὴν ἑσπέραν μεσουρανοῦντά τε τὸν ἥλιον καὶ πρὸς δύσιν καταφερόμενον, τούτους ὑμνοῦντες· τὸν δὲ ἄλλον χρόνον πρὸς θεωρήμασιν ἦσαν ἀριθμητικοῖς τε καὶ γεωμετρικοῖς, ἐκπονοῦντες ἀεί τι, καὶ προσεξευρίσκοντες, συνόλως τε περὶ τὴν ἐμπειρίαν καταγιγνόμενοι. Τὸ δ' αὐτὸ καὶ ἐν ταῖς χειμερίοις ἐπετήδευον νυξὶ, φιλολογίᾳ προσαγρυπνοῦντες, ἅτε μήτε πορισμοῦ ποιούμενοι φροντίδα, δεσπότου τε κακοῦ τῆς πολυτελείας ἐλευθεριάζοντες. Ὁ μὲν δὴ πόνος ὁ ἄτρυτός τε καὶ διηνεκὴς καρτερίαν ἀπομαρτυρεῖ τοῖς ἀνδράσι, τὸ δὲ ἀνεπιθύμητον, ἐγκράτειαν. Οἵ γε ἐν τοῖς ἀσεβεστάτοις ἐτίθεντο πλεῖν ἀπ' Αἰγύπτου, διευλαβούμενοι ξενικὰς τρυφὰς καὶ ἐπιτηδεύματα· μόνοις γὰρ ὅσιον ἐδόκει τοῖς κατὰ τὰς βασιλικὰς χρείας ἀπηναγκασμένοις. Πολὺς δὲ καὶ τούτοις ἦν λόγος ἐμμεῖναι τοῖς πατρίοις. Μικρὰ δ' εἰ καταγνωσθεῖεν παραβαίνοντες, ἀπηλαύνοντο. Καὶ τὸ μὲν κατ' ἀλήθειαν φιλοσοφοῦν ἔν τε τοῖς προφήταις ἦν καὶ ἱεροστολισταῖς καὶ ἱερογραμματεῦσιν, ἔτι δὲ ὡρολόγοις. Τὸ δὲ λοιπὸν τῶν ἱερέων τε καὶ παστοφόρων καὶ νεωκόρων πλῆθος καὶ ὑπουργῶν θεοῖς, καθαρεύει μὲν ὁμοίως, οὔτι γε μὴν μετ' ἀκριβείας καὶ ἐγκρατείας τοσῆσδε. Τοιαῦτα μὲν τὰ κατ' Αἰγυπτίους ὑπ' ἀνδρὸς φιλαλήθους τε καὶ ἀκριβοῦς ἔν τε τοῖς στωικοῖς πραγματικώτατα φιλοσοφήσαντος μεμαρτυρημένα.

Eadem tradit Hieronymus Adv. Jovin. II, 13. « Philonem Judæum illa quæ de Therapeutis disputat, sumpsisse a Chæremone, mutatis quibusdam, e fragmine hoc colligebat *Jablonski*. Vide *La Crozii* Thes. Ep. I, p. 180. » Rhoer.

ΠΕΡΙ ΤΩΝ ΙΕΡΩΝ ΓΡΑΜΜΑΤΩΝ.

Tzetzes Hist. V, 403 : Ὡς δ' ὁ Αἰγύπτιος ἱερογραμματεὺς Χαιρήμων ἔδειξεν ἐν διδάγμασι τῶν ἱερῶν γραμμάτων, ὁ φοῖνιξ ἓξ τοῖς ἔτεσι καὶ ἑπτακισχιλίοις θνήσκει παραγενόμενος ἐν τόποις τοῖς Αἰγύπτου.

Cf. Fragm. Chronolog. p. 191.

ΠΕΡΙ ΤΩΝ ΚΟΜΗΤΩΝ.

Origenes C. Celsum I, 51 : Ἀνέγνωμεν δ' ἐν τῷ Περὶ κομητῶν Χαιρήμονος τοῦ στωικοῦ συγγράμματι τίνα τρόπον ἔσθ' ὅτε καὶ ἐπὶ χρηστοῖς ἐσομένοις κομῆται ἀνέτειλαν, καὶ ἐκτίθεται τὴν περὶ τούτων ἱστορίαν. Seneca Qu. N. VII, 5 : *Charimander* (*Chæremon?*) *quoque in eo libro quem De cometis composuit, ait Anaxagoræ visum grande insolitumque cælo lumen magnitudine trabis, et id per multos dies fulsisse.*

E SCRIPTO GRAMMATICO.

Apollon. Alexand. Περὶ συνδέσμων, ap. Bekk. An. p. 315, 13 : Τινές φασιν οὐ δεόντως αὐτοὺς (sc. τοὺς παραπληρωματικοὺς) συνδέσμους εἰρῆσθαι, εἴγε συνδέσεως λόγων οὐκ εἰσὶν αἴτιοι. Καί φησι Χαιρήμων ὁ στωικὸς, ὡς κατά τι εἴησαν ἂν σύνδεσμοι· σύνδεσμον γάρ φησι καλεῖσθαι καὶ αὐτὴν φωνὴν [καὶ τὸ ἐξ αὐ]τῆς δηλούμενον, ᾧ λόγῳ καὶ τὰ ἡμέτερα σχήματα, κτλ.

Cap. 8. Continentiæ siquidem eorum illud est, quod licet nullis neque deambulationibus neque gestationibus uterentur, non solum absque morbis vitam traducerent, verum etiam ita valide, ut moderatæ etiam ad labores vires suppeterent : quippe quum onera in sacrorum operationibus sustinerent, atque ministeria obirent, quæ majora esse viderentur, quam ut communibus viribus convenirent. Noctem in cœlestium observationem et quandoque in sanctificationem dividebant. Diem in deorum cultum distribuebant, in quo ter vel quater, mane et vesperi, et quum medium cœlum sol percurreret et quum ad occasum ferretur, hymnos in honorem eorum decantabant. Reliquo tempore contemplationibus arithmeticis et geometricis vacantes semper aliquid elaborabant atque excogitabant, in universumque in experientia versabantur. Eadem exercitatione uti in hiemalibus etiam noctibus consueverant studio literarum invigilantes, utpote qui neque proventus alicujus curam ullam haberent, et a servitute molestæ dominæ luxuriæ liberi essent. Labor sane indefatigabilis et assiduus tolerantiam, cupiditatum omnium vacuitas continentiam hominum manifestat; quippe qui quum peregrinos mores et luxus evitarent, discedere ab Ægypto impium maxime esse censerent. Solis enim iis id licere videbatur, qui negotia regia tractare essent coacti : quibus tamen ipsis patriorum institutorum tanta erat cura, ut si violare ea vel paullulum fuissent deprehensi, ejicerentur. Ac vera quidem philosophandi ratio apud prophetas et sacrificos et scribas, nec non etiam horologos servabatur. Cetera vero sacerdotum et ædituorum et ministrorum multitudo pure etiam ipsa et abstinenter vivebat, non ita exacta tamen diligentia ut illi. Atque hæc sunt quæ de Ægyptiis a viro veritatis studioso et accurato, qui inter Stoicos non inaniter sed solide admodum philosophatus est, prodita memoriæ sunt.

DE SACRIS LITERIS.

Ut Ægyptius sacrorum scriba Chæremon monstravit in præceptis de literis sacris, Phœnix post sex annos et septies mille moritur in Ægypti veniens loca.

DE COMETIS.

Legimus in Chæremonis stoici De cometis scripto, quomodo interdum etiam fausta cometæ præsignaverint, idque declarat exemplis ex historia petitis.

SELEUCUS ALEXANDRINUS.

Σέλευκος, Ἀλεξανδρεὺς, γραμματικὸς, ὃς ἐπεκλήθη Ὁμηρικὸς, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. Ἔγραψε ἐξηγητικὰ εἰς πάντα ὡς εἰπεῖν ποιητήν. Περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς. Περὶ τῶν ψευδῶς πεπιστευμένων. Περὶ τῶν παρ' Ἀλεξανδρεῦσι παροιμιῶν. Περὶ θεῶν βιβλία ρ', καὶ ἄλλα Σύμμικτα. Hæc Suidas.

Hic Seleucus, opinor, is est, cujus Suetonius meminit in Tiberio c. 36 : *Quum soleret* (Tiberius) *ex lectione quotidiana quæstiones super cœnam proponere, comperissetque Seleucum grammaticum a ministris suis perquirere, quos quoque tempore tractaret auctores, atque ita præparatum venire : primum a contubernio removit, deinde etiam ad mortem compulit.* Certe Seleucus ille, quem sæpissime laudat Athenæus, quemque celebrem istum Suidæ grammaticum esse dubium vix est, non ante Augusti tempora floruisse, patet ex Athenæo p. 21, D : Τῆς δὲ κατὰ τοῦτον (Μέμφιν) ὀρχήσεως τῆς τραγικῆς καλουμένης πρῶτος εἰσηγητὴς γέγονε Βάθυλλος Ἀλεξανδρεὺς, ὅν φησι νομίμως ὀρχήσασθαι Σέλευκος. Bathyllum Augusti æqualem fuisse constat.

Ceterum nos Seleuci mentionem facimus propterea, quod Βίους scripsisse dicitur.

ΒΙΟΙ.

Harpocratio : Ὁμηρίδαι. Σέλευκος ἐν β' Περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς Ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ. Ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν. De re v. Welcker. Cycl. p. 161. 181.

Etiam philosophorum Vitas in Βίοις tractatas esse probabile. Certe Περὶ φιλοσοφίας librum citat Diog. L. III, 109 : Γέγονε καὶ ἄλλος Πλάτων φιλόσοφος, Ῥόδιος, μαθητὴς Παναιτίου, καθά φησι Σέλευκος ὁ γραμματικὸς ἐν πρώτῳ Περὶ φιλοσοφίας.

ΠΕΡΙ ΤΩΝ ΣΟΛΩΝΟΣ ΑΞΟΝΩΝ.

Photius v. Ὀργεῶνες : Σέλευκος δ' ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος ἀξόνων ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συνόδους (συλλόγους Suid.) ἔχοντας περί τινας ἥρωας ἢ θεούς. Ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτως καλοῦσιν· ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λυδῇ [γ' · « Ἔνθα] Καβάρνους θῆκεν ἀγακλέας ὀργείωνας. » Καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων· « Ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών, Εὐχαῖς δὲ σώζοις δεσπότας Παιωνίαις. « Περὶ δὲ τῶν ὀργεώνων γέγραφε καὶ Φιλόχορος. Eadem Suidas. Cf. Philoch. fr. 94.

ΣΥΜΜΙΚΤΑ.

Schol. Apoll. Rhod. II, 1055 : Στυμφαλίδες δὲ λέγονται αἱ περὶ αὐτὴν (τὴν Στυμφαλίδα λίμνην) ὄρνιθες, ἃς πλωΐδας εἶπεν Ἀπολλώνιος. Οὕτω δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος ἐν Συμμίκτοις, καὶ Χάρων, αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος ἐν τῷ Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου.

Ex Συμμίκτοις fluxerint etiam hæc ap. Athenæum IV, p. 155, D : Σέλευκος δὲ Θρακῶν φησι τινὰς ἐν τοῖς συμποσίοις ἀγχόνην παίζειν, βρόχον ἀρτήσαντας ἔκ τινος ὕψους στρογγύλον, πρὸς ὃν κατὰ κάθετον προστίθεσθαι λίθον εὐπερίτρεπτον τοῖς ἐπιβαίνουσι. Διαλαγχάνειν οὖν αὐτοὺς, καὶ τὸν λαχόντα, ἔχοντα δρεπάνιον, ἐπιβαίνειν τῷ λίθῳ καὶ τὸν τράχηλον εἰς τὸν βρόχον ἐντιθέναι· παρερχόμενον δ' ἄλλον ἐγείρειν τὸν λίθον· καὶ ὁ κρεμάμενος, ὑποτρέχοντος τοῦ λίθου, ἐὰν μὴ ταχὺ φθάσας ἀποτέμῃ τῷ δρεπάνῳ, τέθνηκε, καὶ οἱ ἄλλοι γελῶσι, παιδιὰν ἔχοντες τὸν ἐκείνου θάνατον (*).

(*) Opus Περὶ θεῶν respicit Porphyr. De abstin. II, 55 (Euseb. P. E. IV, 16, p. 155). Hinc fortasse etiam sua sumpsit Athenæus IV, p. 172, D : Πεμμάτων δὲ πρῶτόν φησι μνημονεῦσαι Πανύασιν Σέλευκος, ἐν οἷς περὶ τῆς παρ' Αἰγυπτίοις ἀνθρωποθυσίας διηγεῖται, πολλὰ μὲν ἐπιθεῖναι λέγων πέμματα, πολλὰς δὲ νοσσάδας ὄρνεις, προτέρου Στησιχόρου ἢ Ἰβύκου ἐν Ἄθλοις ἐπιγραφομένοις εἰρηκότος. — Opus Περὶ τῶν παρ' Ἀλεξανδρεῦσι παροιμιῶν excerpsisse videtur Pseudo-Plutarchus, cujus superstes est Proverbiorum collectio, in qua ea maxime proverbia attulisse se dicit, quibus Alexandrini usi essent (ἐχρῶντο). V. Schneidewin. Parœm. præf. p. XXXV. — Præterea Seleucus scripsit Γλώσσας, quas laudat Athenæus p. 50 A, 52 E, 76 F, 77 D, 114 D, 487 A, 645 D, 678 A, C; Steph. Byz. v. Βρεντήσιον. — Περὶ Ἑλληνισμοῦ Athen. p. 367 A, et 398 A (lib. ε'). Ex iisdem libris, partimque ex commentariis in Homerum hausit Athen. p. 40 C, 114 D, 188 F, 267 C, 495 C, 500 B, 658 D, 678 C, 699 E. — *Homerica* dabunt Schol. Od. α, 215. β, 190; Il. α, 211. 340. 381. γ, 57. ι, 33. π, 272. 807. ω, 476; Eustath. in Il. p. 225. 1024. 1179. 1271. Od. p. 1441. 1483. 1963. *Hesiodea* (cf. Mützell. De em. Theog. III, 2) schol. Hes. Opp. 94. 547. Scut. 415. Theog. 114. 160. 270. — Ap. schol. Aristophan. Thesm. 1175 : Σέλ. ἐν τῷ πρὸς Ζήνωνα προτατικῷ. Thesm. 840 · Προβάλλει ὁ Ὁμηρικὸς ἐν τῷ πρὸς Πολύβιον προτατικῷ τίς ἡ Ὑπερβόλου μήτηρ. His adde Hesych. v. βούδιος, διάσχεσις, χάρβανοι, στήριον, τιάλλακτον. Photius v. σησάμην. Eudoc. p. 386. Bekk. An. p. 224, 13. 608, 17.

THRASYLLUS MENDESIUS.

Thrasyllus *Mendesius* apud Pseudo-Plutarchum in libro De fluviis tanquam auctor Θρᾳκικῶν et Αἰγυπτιακῶν operisque Περὶ λίθων laudatur. Quæri potest num opera illa omnino fuerint historica, an in solis fabulis ad magicas superstitiones pertinentibus se continuerint. Quid? quod scripta hæc nec non auctores, quos e solo isto De fluviis libello novimus, commentis ævi infimi deberi a multis censentur. Sed hoc quidem non satis mihi probari sæpius jam monui. Et quod Thrasyllum Mendesium attinet, quum dubium vix sit quin Plutarchus intellexerit Thrasyllum mathematicum illum, astrologum et philosophum Platonicum, qui Tiberii æqualis ac familiaris (*), artisque magicæ magister, anno 36 p. C. diem obiit, nihil video cur infitieris eum et peculiaria opera quæ ad magica spectant conscripsisse, et in aliis operibus sæpius ad superstitiones istas attendisse. Dein vero Ægyptiacam historiam a Thrasyllo, sicuti a Ptolemæo Men-

(*) Schol. Juvenal. Sat. VI, 575 : *Thrasyllus multarum artium scientiam professus postremo se dedit Platonicæ sectæ, ac deinde mathesi, quæ præcipue viguit apud Tiberium, cum quo sub honore ejusdem artis familiarissime vixit : quem postea Tiberius in insula Rhodo* (a. 2 a. C.) *præcipitare voluit in pelagum quasi conscium promissæ dominationis. Quem dolum quum præsensisset, fugit.*

Tacitus Annal. VI, 20 : *Non omiserim præsagium Tiberii de Ser. Galba, tum consule : quem accitum et diversis sermonibus pertentatum, postremo Græcis verbis in hanc sententiam allocutus « Et tu, Galba; quandoque degustabis imperium, » seram ac brevem potentiam significans, scientia Chaldæorum artis, cujus adipiscendæ otium apud Rhodum, magistrum Thrasyllum habuit, peritiam ejus hoc modo expertus. Quoties super tali negotio consultaret, edita domus parte ac liberti unius conscientia utebatur. Is literarum ignarus, corpore valido per avia ac derupta (nam saxis domus imminet) præibat eum, cujus artem experiri Tiberius statuisset, et regredientem, si vanitatis aut fraudum suspicio incesserat, in subjectum mare præcipitabat, ne index arcani exsisteret. Igitur Thrasyllus iisdem rupibus inductus, postquam percunctantem commoverat, imperium ipsi et futura sollerter patefaciens, interrogatus, an suam quoque genitalem horam comperisset; quem tum annum, qualem diem haberet? Ille, positus siderum ac spatia dimensus, hærere primo, dein pavescere, et quantum introspiceret, magis ac magis trepidus admirationis et metus, postremo exclamat, ambiguum sibi ac prope ultimum discrimen instare. Tum complexus eum Tiberius, præscium periculorum et incolumem fore gratatur, quæque dixerat oraculi vice accipiens, inter intimos amicorum tenet.*

Dio Cass. LV, 11 : Θράσυλλον ἄνδρα πάσης ἀστρολογίας διαπεφυκότα ἔχων Τιβέριος πάντα καὶ τὰ ἑαυτῷ καὶ ἐκείνοις (Caio et Lucio) πεπρωμένα ἀκριβῶς ἠπίστατο. Καὶ λόγος ἔχει ὅτι μελλήσας ποτὲ ἐν τῇ Ῥόδῳ τὸν Θράσυλλον ἀπὸ τοῦ τείχους ὤσειν, ἐπειδὴ μόνος αὐτῷ πάνθ' ὅσα ἐνενόει συνῄδει, ὡς εἶδεν αὐτὸν σκυθρωπάσαντα, ἤρετο διὰ τί συννένοφεν; εἰπόντος δὲ κίνδυνόν τινα ὑποπτεύειν, θαυμάσας οὐκέτ' αὐτὸ ἐποίησεν. Οὕτω γάρ που πάντα ἐκεῖνος σαφῶς ᾔδει, ὥστε καὶ τὸ πλοῖον τὸ τὴν ἀγγελίαν τῷ Τιβερίῳ τῆς ἐς Ῥώμην ἀνακομιδῆς... φέρον πόρρωθεν κατιδὼν προσπλέον, προειπεῖν αὐτῷ ἃ ἀγγέλλειν ἔμελλε.

Sueton. Tiber. c. 14 : *Thrasyllum mathematicum, quem ut sapientiæ professorem contubernio admoverat, tunc maxime expertus est, affirmantem nave prævisa gaudium afferri, quum quidem illum durius et contra prædicta cadentibus rebus, ut falsum et secretorum temere conscium, eo ipso momento dum spatiatur una, præcipitare in mare destinasset.*

Suetonius August. c. 98 (a. 14 p. C.) : *Ex dilectis unum, Masgabam nomine, quasi conditorem insulæ* (Caprearum), κτίστην *vocare consueverat* (Augustus) : *hujus Masgabæ, ante annum defuncti, tumulum quum ex triclinio animadvertisset magna turba multisque luminibus frequentari, versum compositum ex tempore clare pronuntiavit :*

Κτίστου δὲ τύμβον εἰσορῶ πυρούμενον.

Conversusque ad Thrasyllum, Tiberii comitem, contra accubantem et ignarum rei interrogavit, cujusnam poetæ putaret esse : quo hæsitante subjecit alium :

Ὁρᾷς φάεσσι Μασγάβαν τιμώμενον;

ac de hoc quoque consuluit. Quum ille nihil aliud responderet, quam, cujuscunque essent, optimos esse, cachinnum sustulit, atque in jocos effusus est.

Idem Tiber. c. 62 : *Quod nisi eum* (Tiberium) *et mors prævenisset, et Thrasyllus consulto, ut aiunt, differre quædam spe longioris vitæ compulisset : plures aliquanto necaturus, ac ne reliquis quidem nepotibus parsurus creditur.*

Dio Cass. LVII, 15 (an. 16 p. C.) de Tiberio : Τῷ τε Θρασύλλῳ ἀεὶ συνὼν καὶ μαντείᾳ τινὶ καθ' ἑκάστην ἡμέραν χρώμενος.

Idem LVIII, 27 : Τότε μὲν γὰρ (Papirio et Plautio coss. an. 36 p. C.) ὁ Θράσυλλος, τῷ δ' ἐπιόντι ἦρι ἐκεῖνος (Tiberius)... ἐτελεύτησεν.

Tacitus Annal. VI, 22 : *A filio ejusdem Thrasylli prædictum Neronis imperium in tempore memorabitur.*

Cf. præterea Porphyr. Vit. Plotin. c. 20; Cramer. Anecd. Parisin. II, p. 277; Themist. Orat. XII, p. 62. 108. 145. Sevin. *Recherches sur la vie et les ouvrages de Thrasylle*, in *Mém. de l'Acad. des Inscr.* tom. X; Fabricius Bibl. Gr. tom. II, p. 518; IV, p. 2. Quæ ad mathematica et musica scripta pertinent de industria omittimus. V. Porphyr. in Ptolem. Mus. p. 266 (Θρ. ἐν τῷ Περὶ τῶν ἑπτὰ τόνων); Theon Smyrnæus p. 74 (Θρ. Περὶ τῆς ἐν ὀργάνῳ λέγων ἁρμονίας), 133. 137. 145; Nicomachus Gerasenus Enchirid. harmon. lib. I, p. 25; Achilles Tatius ad Arat. c. 16. 19. De nominis scriptura in codd. varia (Θράσυλλος, Θρασύλος, Θρασύλαος) v. C. Keil. Specim. onomatolog. p. 68 (Lips. 1840) et Mullach. in Democriti operum fragmentis (Berolin. 1843) p. 96.

desio, scriptam esse nescio an recte collegerim ex loco Clementis (v. fr. 3). Quæ præterea Thrasyllus de scriptis Platonis et Democriti, quæ in tetralogias divisit, et de mathematicis et musicis rebus composuit, a nobis aliena sunt.

ΠΕΡΙ ΛΙΘΩΝ. [ΘΡᾼΚΙΚΑ.]

1.

Plutarchus De fluv. 11 : Παράκεινται δ' αὐτῷ (τῷ Στρυμῶνι) ὄρη Ῥοδόπη καὶ Αἷμος. Οὗτοι ἀδελφοὶ τυγχάνοντες, καὶ εἰς ἐπιθυμίαν ἀλλήλων ἐμπεσόντες, ὁ μὲν αὐτὴν Ἥραν προσηγόρευσεν, ἡ δὲ τὸν ἀγαπώμενον Δία, μισοπονήρως. Οἱ δ' ἀτιμούμενοι θεοὶ τὴν πρᾶξιν βαρέως ἐνεγκόντες, εἰς ὁμώνυμα ὄρη μετέβαλον ἀμφοτέρους. Γεννῶνται δ' ἐν αὐτοῖς λίθω, Φιλάδελφοι λεγόμενοι, κόρακος τὴν χρόαν, ἀνθρωπόμιμοι· οὗτοι τεθέντες χωρὶς ἀλλήλων, καὶ ὀνομασθέντες, διαλύονται παραχρῆμα καὶ ἰδίᾳ· καθὼς ἱστορεῖ Θράσυλλος Μενδήσιος ἐν γ' Περὶ λίθων· μέμνηται δὲ τούτων ἀκριβέστερον ἐν τοῖς Θρᾳκικοῖς.

Postrema καὶ ὀνομασθέντες κτλ. aperte corrupta sunt : fortasse ὁμόσε ἴασι (vel εἰς ἓν συνίασι) καὶ ἑνωθέντες διαλύονται παραχρῆμα, καὶ ἰδίᾳ τίθενται. Natalis Comes ita vertit, quasi post ἀκριβέστερον excidisset Ἰάσων ὁ Βυζάντιος, cujus Θρᾳκικὰ in antecedentibus a Plut. citantur. Idque non caret veri specie.

Ad aliud Thrasylli scriptum de remediis magicis pertinent ea quæ habet Plinius H. N. XXXII, 5, 19 : *Decem vero cancris cum ocimi manipulo alligatis, omnes qui ibi sint scorpiones ad eum locum coituros magi dicunt : et cum ocimo ipsos cineremve eorum percussis imponunt. Minus in his omnibus marini prosunt, ut Thrasyllus auctor est.* Nominatur præterea Thrasyllus in indice auctt. ad lib. II. IX. XXXI.

ΑΙΓΥΠΤΙΑΚΑ.

2.

Idem ib. c. 16 : Νεῖλος ποταμός ἐστι τῆς Αἰγύπτου, κατὰ πόλιν Ἀλεξάνδρειαν. Ἐκαλεῖτο δὲ πρότερον Μέλας ἀπὸ Μέλανος τοῦ Ποσειδῶνος· ὕστερον δ' Αἴγυπτος ἐπεκλήθη δι' αἰτίαν τοιαύτην· Αἴγυπτος, Ἡφαίστου καὶ Λευκίππης παῖς, βασιλεὺς ὑπῆρχε τῶν τόπων· δι' ἐμφύλιον δὲ πόλεμον μὴ ἀναβαίνοντος τοῦ Νείλου, καὶ λιμῷ συνεχομένων τῶν ἐγχωρίων, ἔχρησεν ὁ Πύθιος τὴν εὐφορίαν, ἐὰν ὁ βασιλεὺς ἀποτρόπαιον θεοῖς τὴν θυγατέρα θύσῃ. Θλιβόμενος δὲ ὑπὸ τῶν κακῶν ὁ τύραννος, τοῖς βωμοῖς Ἀγανίππην προσήγαγε. Τῆς δὲ διασπασθείσης, ὁ Αἴγυπτος δι' ὑπερβολὴν τῆς λύπης ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Μέλανα, ὃς ἀπ' αὐτοῦ Αἴγυπτος μετωνομάσθη. Προσηγορεύθη δὲ Νεῖλος δι' αἰτίαν τοιαύτην· Γαρμαθώνη, τῶν κατ' Αἴγυπτον βασίλισσα τόπων, ἀποβάλλουσα τὸν υἱὸν αὐτῆς, Χρυσοχόαν, ἀκμῇ ἔφηβον, μετὰ τῶν οἰκετῶν ἐθρήνει συμπαθῶς τὸν προειρημένον. Ἴσιδος δ' αἰφνιδίως ἐπιφανείσης, τὴν λύπην πρὸς καιρὸν ὑπερέθετο, καὶ προσποιητὴν χάριν σχηψαμένη, τὴν θεὸν ὑπεδέξατο φιλανθρώπως. Ἡ δὲ τὴν διάθεσιν τούτων ἀμείψασθαι βουλομένη τῆς εὐσεβείας, Ὄσιριν παρεκέλευσεν, ὅπως ἀγάγῃ τὸν υἱὸν αὐτῆς ἐκ τῶν καταχθονίων τόπων. Τούτου δὲ ταῖς δεήσεσι τῆς γυναικὸς συμπεριενεχθέντος, Κέρβερος, ὃν ἔνιοι καλοῦσι Φοβερὸν, ὑλάκτησε· Νεῖλος δὲ, τῆς Γαρμαθώνης ἀνὴρ, αἰφνιδίως ἔνθεος γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν καλούμενον Αἴγυπτον· ὃς ἀπ' αὐτοῦ Νεῖλος μετωνομάσθη. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, κυάμῳ παρόμοιος, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι· ποιεῖ δὲ πρὸς τοὺς δαιμονιζομένους· ἅμα γὰρ προστεθῆναι ταῖς ῥισὶν, ἀπέρχεται τὸ δαιμόνιον. Γεννῶνται δὲ καὶ ἄλλοι

DE LAPIDIBUS.

Adjacent Strymoni montes Rhodope et Hæmus, qui quum fratres essent, et invicem diligerent se, hic sororem suam Junonem ausus est dicere, illa vero amasium suum, Jovem, non sine impietate. Quam quum non pati possent dii, in cognomines montes utrumque transformarunt, in quibus nascuntur lapides *Philadelphi*, id est, fratres amantes, dicti, coracino colore, humani generis imitatores, qui separatim positi illico conjunguntur, et conjuncti statim separantur, ut narrat Thrasyllus Mendesius in tertio De lapidibus, et diligentius (*Iason?*) in Thracicis.

DE REBUS ÆGYPTIIS.

2.

Nilus Ægypti fluvius est juxta Alexandriam, qui dicebatur antea Melas a Melane, Neptuni filio, tandem vero vocatus est Ægyptus hanc ob causam. Ægyptus, Vulcani et Leucippes filius, Ægypti imperium tenuit; quum autem ob civile bellum non retrocederet Nilus, et fame premerentur indigenæ, respondit Pythius, fertilitatem tunc demum futuram, quum rex averruncatricem diis natam sacrificasset. Aganippen igitur hic ad altaria duxit, miseriis et calamitatibus oppressus. Sed ea immolata, tantum animo Ægyptus dolorem concepit, ut se ipsum in fluvium Melanem præcipitem dederit, qui ab eo vocatus est Ægyptus. Sumpsit vero postea nomen Nili ea de causa. Garmathone, Ægypti regina, amisso Chrysochoa filio, nondum pubertatis annum ingresso, eum cum domesticis vehementer lugebat; quum, Iside ei subito apparente, mœrorem ad tempus remittere coacta fuerit. Deam igitur humanissime excepit, simulans præsentiam ejus sibi gratissimam esse; quæ quum debitas ejus pietati gratias reddere vellet, Osiridi præcepit, ut filium ex infernalibus locis reduceret. Eo autem ad mulieris preces se conformante, Cerberus, quem aliqui Phoberum (*Tremendum*) vocant, allatravit; unde Nilus repentino percitus furore in Ægyptum fluvium incidit, qui ab eo deinceps Nilus est vocatus. Producitur in ipso lapis, fabæ speciem referens, quem statim ac canes viderint, non allatrant. Juvat a dæmone possessos; ubi enim admotus est naribus, expellitur subito dæmonium. Reperiunturque

λίθοι, Κόλλωτες καλούμενοι· τούτους κατὰ τὴν ἀσέβειαν τοῦ Νείλου συλλέγουσαι χελιδόνες κατασκευάζουσι τὸ προσαγορευόμενον Χελιδόνιον τεῖχος· ὅπερ ἐπέχει τοῦ ὕδατος τὸν ῥοῖζον, καὶ οὐκ ἐᾷ κατακλυσμῷ φθείρεσθαι τὴν χώραν· καθὼς ἱστορεῖ Θράσυλλος ἐν τοῖς Αἰγυπτιακοῖς.

Cf. Stobæus Florileg. C, 16, qui pauca ex his excerpsit citato Thrasyllo. Ni fallor, postrema tantum ex Thrasyllo hausta sunt, de quibus cf. Plinius H. N. X, 33, 49: *In Ægypti Heracleotico ostio molem continuatione nidorum evaganti Nilo inexpugnabilem opponunt* (hirundines) *stadii fere unius spatio; quod humano opere perfici non posset. In eadem juxta oppidum Copton insula est sacra Isidi, quam ne laceret amnis idem, muniunt opere, incipientibus vernis diebus, palea et stramentis rostrum ejus firmantes, continuatis per triduum noctibus tanto labore, ut multas in opere emori constet.*

3.

Clemens Strom. I, p. 145 Sylb. (p. 335 Pott.): Γίνεται ἡ ἔξοδος (sc. τῶν Ἰουδαίων) κατὰ Ἴναχον πρὸ τῆς Σωθιακῆς περιόδου ἐξελθόντος ἀπ' Αἰγύπτου Μωυσέως ἔτεσι πρότερον τριακοσίοις τεσσαράκοντα ε'.

Ἀπὸ δὲ τῆς Μωυσέως στρατηγίας καὶ Ἰνάχου ἐπὶ τὸν Δευκαλίωνος κατακλυσμὸν, τὴν δευτέραν λέγω ἐπομβρίαν, καὶ ἐπὶ τὸν Φαέθοντος ἐμπρησμὸν, ἃ δὴ συμβαίνει κατὰ Κρότωπον, γενεαὶ τέσσαρες ἀριθμοῦνται· εἰς μέντοι τὰ ἑκατὸν ἔτη τρεῖς ἐγκαταλέγονται γενεαί.

Ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐπὶ τὸν Ἴδης ἐμπρησμὸν καὶ τὴν εὕρησιν τοῦ σιδήρου καὶ Ἰδαίους Δακτύλους, ἔτη ἑβδομήκοντα τρία, ὥς φησι Θράσυλλος.

Καὶ ἀπὸ Ἴδης ἐμπρησμοῦ ἐπὶ Γανυμήδους ἁρπαγὴν, ἔτη ἑξήκοντα πέντε.

Ἐντεῦθεν δὲ ἐπὶ τὴν Περσέως στρατείαν ὅτε καὶ Γλαῦκος ἐπὶ Μελικέρτῃ τὰ Ἴσθμια ἔθηκεν, ἔτη πεντεκαίδεκα.

Ἀπὸ δὲ Περσέως στρατείας ἐπὶ Ἰλίου κτίσιν, ἔτη τριάκοντα τέσσαρα.

Ἐντεῦθεν ἐπὶ τὸν εἴσπλουν τῆς Ἀργοῦς, ἔτη ἑξήκοντα τέσσαρα.

Ἐκ τούτου ἐπὶ Θησέα καὶ Μινώταυρον, ἔτη τριάκοντα δύο.

Εἶτα ἐπὶ τοὺς ἑπτὰ ἐπὶ Θήβαις, ἔτη δέκα.

Ἐπὶ δὲ τὸν Ὀλυμπίασιν ἀγῶνα ὃν Ἡρακλῆς ἔθηκεν ἐπὶ Πέλοπι, ἔτη τρία.

Εἴς τε τὴν Ἀμαζόνων εἰς Ἀθήνας στρατείαν καὶ τὴν Ἑλένης ὑπὸ Θησέως ἁρπαγὴν, ἔτη ἐννέα.

Ἐντεῦθεν ἐπὶ τὴν Ἡρακλέους ἀποθέωσιν, ἔτη ἕνδεκα.

Εἶτα ἐπὶ τὴν Ἑλένης ὑπὸ Ἀλεξάνδρου ἁρπαγὴν, ἔτη τέσσαρα.

[Εἶτα ἐπὶ τὴν Τροίας ἅλωσιν, ἔτη εἴκοσι.]

Ἀπὸ δὲ Τροίας ἁλώσεως ἐπὶ τὴν Αἰνείου κάθοδον καὶ κτίσιν Λαουινίου, ἔτη δέκα.

Ἐπί τε τὴν Ἀσκανίου ἀρχὴν, ἔτη ὀκτώ.

Καὶ ἐπὶ τὴν Ἡρακλειδῶν κάθοδον, ἔτη ἑξήκοντα ἕν· ἐπί τε τὴν Ἰφίτου ὀλυμπιάδα, ἔτη τριακόσια τριάκοντα ὀκτώ.

Pro γενεαὶ τέσσαρες ἀριθμοῦνται vgo legitur γ. τεσσαράκοντα ἀρ., errore manifesto. Deinde ante verba ἀπὸ τῆς Τροίας ἁλώσεως patet lacunam esse. Quot anni supplendi sint, e reliquis numeris intelligitur. Ceterum ex hoc loco collegerunt Thrasyllum Chronica rerum Græcarum scripsisse ad exemplum Eratosthenis et Apollodori. Quod non pernego. Est tamen cur addubitaverim. Etenim annus, quo Judæos Ægypto exiisse Clemens statuit, non ab ipso Clemente, puto, computatus est, sed ex Ægyptiæ historiæ scriptore fluxit. Nam ratio qua annus ille ab periodi Sothiacæ initio computatur, uti ab

---

etiam alii lapides, *Collotes* dicti, quos hirundines adversus Nili alluvionem colligunt, ut ex iis murum quem Chelidonium vocant, ædificent, ad cohibendos aquarum impetus et ut regio perpetuo diluvio non corrumpatur aut devastetur, ut tradit Thrasyllus in Ægyptiacis.

3.

Exitus Judæorum fit Inachi temporibus, exeunte Mose ex Ægypto annis 345 ante periodum Sothiacam (i. e. ante annum 1322 a. C.). . . . . A. C. 1667

A Mose Judæorum duce et ab Inacho usque ad Deucalionis diluvium, quod est secundum, et ad Phaethontis conflagrationem, quæ accidit Crotopi (regis Argivorum) temporibus, quattuor numerantur generationes, ita ut ternæ efficiant seculum (*igitur 4 generationes* = 133 ⅓ *anni.*). 1533

A diluvio ad Idæ incendium et ferri inventionem et Idæos Dactylos anni 73, ut Thrasyllus ait, . . . 1460

Et ab Idæ incendio ad raptum Ganymedis, anni 65. 1395

Hinc ad Persei expeditionem, quando etiam Glaucus Isthmia instituit propter Melicertem, anni 15. . . 1380

A Persei autem expeditione ad Trojam conditam anni 34. 1346

Hinc ad navis quæ Argo dicta est navigationem anni 64. 1282

Libri I—VIII quum prorsus interierint, loca vett. scriptorum, quæ ad Heracleam urbem ejusque historiam antiquiorem spectant, paucis indicare liceat. Collegit et exscripsit Orellius. Omissis, quæ leguntur in fragmentis Herodori, Nymphidis, Promathidæ, Callistrati, reliqua hæc sunt : 1, *De situ urbis :* Ptolemæus ap. Hudson. Geogr. min. tom. III, p. 29; Xenoph. Exp. Cyr. VI, 6, 2; Arrian. Peripl. Ponti Eux. 13, 3, p. 259 ed. Didot.; Scylax Peripl. p. 82 Gronov. — *Regionis descriptio :* Plin. H. N. VI, 1; Pomp. Mela I, 19, 50; Solin. Polyh. 45. — *Memorabilia naturæ : aconitum*, Antigon. Caryst. Mir. 131; Dionys. Perieg. 788 sqq., ibique Eustath.; Plin. H. N. XXVII, 2; Schol. Nicand. Alex. v. 13; *laurus Alexandrina*, Plin. H. N. XV, 30 (29); *quercus Herculis*, Plin. l. l. XVI, 89; *pisces*, Idem l. l. IX, 83; *mel*, Id. XXI, 54; Dioscorides De materia med. II, 103. — *Urbis descriptio et historiæ summa :* Strabo XII, 3, 6. — *Urbis primordia :* Menander Rhet. Encom. II, 3, p. 92 Heeren.; Scymn. Ch. v. 981; Pausan. V, 26, 6; Justin. XVI, 3; Strabo XII, 3, 4; Schol. Apoll. Rh. II, 746. — *Coloniæ :* Anonym. in Peripl. Ponti ap. Gronov. Geogr. p. 146 et 158; Scym. Ch. 928. Cf. Spanhem. De usu et pr. numm. I, p. 576. — *Urbis fata ante Clearchi tyrannidem :* Justin. XVI, 3; Xenoph. Anab. V, 10, 1; Polyæn. Strateg. VI, 9, 3 sq.; Aristot. Polit. V, 6, 5; Æneas Poliorc. c. 9 et 12.

I, 1. De Clearcho. cf. Diodor. XV, 81, 4, XVI, 36, 3; Justin. XVI, 4 et 5 (ex Theopompo?); Polyæn. Strateg. II, 30; Plutarch. Ad princip. inerudit. c. 4, p. 781, D; Id. De fortun. Alex. c. 4, p. 338, B; Athenæus III, p. 85, A (Theopomp. fr. 200); Suidas v. Κλέαρχος; adde Epistolas, quæ sub Chionis nomine circumferuntur (edidit Orellius una cum fragm. Memnonis p. 130 sqq.). Ἰσοκράτους] V. Epist. VII Isocrat. ad Timotheum Clearchi f. — ἐπὶ τὸ φοβερόν] sc. Jovem imitans. Vid. Justin. l. l.

μναῖον οἷς ἂν ἐπιβάλοι, οὐ κατὰ τῶν ὁμοφύλων μόνον, ἀλλὰ καὶ εἴ τι ἐν ἀλλοφύλοις ἐφρόνει πολέμιον. Βιβλιοθήκην μέντοι κατασκευάσαι πρὸ τῶν ἄλλων, οὓς ἡ τυραννὶς ἀπέδειξεν ὀνομάζεσθαι. (3) Τοῦτον δὲ ἐπιβουλὰς μὲν πολλὰς πολλάκις διὰ τὸ μιαιφόνον καὶ μισάνθρωπον καὶ ὑβριστικὸν κατ' αὐτοῦ συστάσας διαφυγεῖν, ὀψὲ δὲ καὶ μόλις ὑπὸ Χίωνος τοῦ Μάτριος, ἀνδρὸς μεγαλόφρονος καὶ κοινωνίαν πρὸς αὐτὸν τὴν ἐξ αἵματος ἔχοντος, καὶ Λέοντος καὶ Εὐξένωνος καὶ ἑτέρων οὐκ ὀλίγων συσκευασθῆναι πληγὴν καιρίαν ἐνεγκεῖν, καὶ τελευτῆσαι πικρῶς ἀπὸ τοῦ τραύματος. (4) Ἔθυεν μὲν γὰρ δημοτελῆ θυσίαν ὁ τύραννος· οἱ δὲ περὶ τὸν Χίωνα, ἐπιτήδειον εἶναι τὸν καιρὸν τῇ πράξει νομίσαντες, τῇ τοῦ Χίωνος χειρὶ τὸ ξίφος διὰ τῶν τοῦ κοινοῦ πολεμίου λαγόνων ἐλαύνουσιν. Ὁ δὲ, πολλῶν αὐτὸν καὶ πικρῶν ἀλγηδόνων κατατεινόντων, καὶ τοσούτων φασμάτων ἐκδειματούντων (εἴδωλα δὲ τὰ φάσματα ἦν ὧν ἐκεῖνος μιαιφόνως ἀνῃρήκει), οὕτω δευτεραῖος τὸν βίον κατέστρεψε, ζήσας μὲν ἔτη η' καὶ ν', τούτων δὲ τυραννήσας δυοκαίδεκα. (5) Εἶχεν δὲ τὴν Περσῶν ἀρχὴν Ἀρταξέρξης τότε, εἶτα καὶ Ὦχος ὁ ταύτην ἐκ πατρὸς ἐκδεξάμενος· πρὸς οὓς καὶ πολλάκις ἔτι ζῶν ὁ Κλέαρχος διεπρεσβεύσατο. Οἱ μέντοιγε ἀνῃρηκότες τὸν τύραννον, μικροῦ πάντες οἱ μὲν ὑπὸ τῶν σωματοφυλάκων κατ' αὐτὸν τὸν τῆς ἐπιθέσεως καιρὸν, οὐκ ἀγεννῶς ἀνδρισάμενοι, κατεκόπησαν, οἱ δὲ καὶ ὕστερον συλληφθέντες καὶ πικραῖς τιμωρίαις ἐγκαρτερήσαντες ἀνῃρέθησαν.

II. Σάτυρος δὲ ὁ τοῦ τυράννου ἀδελφὸς, οἷα δὴ ἐπίτροπος καταλειφθεὶς τῶν παίδων Τιμοθέου καὶ Διονυσίου, τὴν ἀρχὴν ὑποδέχεται· ὃς ὠμότητι μὲν οὐ Κλέαρχον, ἀλλὰ καὶ πάντας τυράννους ὑπερέβαλεν. Οὐ μόνον γὰρ τοὺς ἐπιβεβουλευκότας τῷ ἀδελφῷ ἐτιμωρήσατο, ἀλλὰ καὶ τῶν τέκνων ἃ μηδὲν συνῄδει τοῖς γεγεννηκόσιν, οὐδὲν ἀνεκτότερον ἐδηλήσατο, καὶ πολλοὺς ἀναιτίους κακούργων δίκας ἀπῄτησε. (2) Τοῦτον δὲ καὶ μαθημάτων τῶν τε κατὰ φιλοσοφίαν καὶ τῶν παντὸς ἐλευθερίου ἄλλου παντελῶς ὑπάρξαι ἀπαράδεκτον, καὶ νοῦν δὲ πρὸς τὰς μιαιφονίας μόνον ὀξύρροπον ἔχοντα φιλάνθρωπον μηδὲν μηδὲ ἥμερον μήτε μαθεῖν ἐθελῆσαι μήτε φῦναι ἐπιτήδειον. Ἀλλὰ πάντα μὲν ἦν οὗτος κάκιστος, εἰ καὶ χρόνος αὐτῷ κόρον λαβεῖν τῶν ἐμφυλίων αἱμάτων καὶ τῆς μιαιφονίας ὑπεξέλυεν· ἐπὶ δὲ τῇ φιλαδελφίᾳ τὸ πρῶτον ἠνέγκατο. (3) Τὴν γὰρ ἀρχὴν τοῖς τοῦ ἀδελφοῦ παισὶν ἀνεπηρέαστον συντηρῶν ἐπὶ τοσοῦτον τῆς αὐτῶν κηδεμονίας λόγον ἐτίθετο, ὡς καὶ γυναικὶ συνὼν, καὶ τότε λίαν στεργομένῃ, μὴ ἀνασχέσθαι παιδοποιῆσαι, ἀλλὰ μηχανῇ πάσῃ γονῆς στέ-

Natura industrius ad cædes eorum quos impeteret, non tantum si quid hostile meditaretur contra populares, sed etiam in exteros. Bibliothecam tamen comparavit, cujus laude antegreditur alios quos tyrannis famosos reddidit. (3) Hic insidias crebro multas propter cædes, immanitatem et injurias sibi structas effugit: sed vix tandem a Chione Matris filio (vir erat magnanimus et necessitudine sanguinis tyranno devinctus) et Leone et Euxenone ceterisque non paucis, conjuratione inita, vulnus letale accepit: cujus dolore acerbissimo est exstinctus. (4) Commune enim populi sacrum agebat tyrannus. Opportunam igitur occasionem se adeptos rati qui cum Chione conspiraverant, manu Chionis ensem trans ilia communis patriæ hostis adigunt. Qui inter multos et sævissimos cruciatus magis magisque ingravescentes, et pavores a spectris incussos (erant autem simulacra eorum, quos crudelem in modum necaverat), altero die post vitam cum morte commutavit: quum vitæ annos exegisset quinquaginta octo, et tyrannidem occupasset per annos duodecim. (5) Apud Persas tunc regno præerat Artaxerxes, et exinde Ochus, patris in imperio successor; ad quos sæpenumero Clearchus, dum in vivis erat, legatos misit. Qui vero necis auctores tyranno fuerant, prope omnes, partim a satellitibus in ipso aggressionis articulo, ubi strenuos se viros gerebant, concisi, partim aliquanto post capti et atrocibus suppliciis, quæ fortiter tolerarunt, affecti occubuere.

II. Satyrus autem tyranni germanus et tutor puerorum Timothei et Dionysii relictus imperium suscipit: qui non Clearchum solummodo, verum cunctos etiam tyrannos crudelitate superavit. Non enim de insidiatoribus fratris tantum vindictam sumpsit, sed etiam in liberos eorum, quum rei perpetratæ conscii non essent, non minus sæviit, atque ita a multis insontibus maleficorum pœnas exegit. (2) Fuit hic omnis doctrinæ philosophicæ et artium ingenuarum omnino expers, ingenio ad sævitiam tantum propenso. Nec voluntas ei erat humanum aliquid et moderatum discendi, nec a natura indita facultas: sed per omnia erat pessimus, etiamsi tempus ipsum infringebat hominem, ut civilis tandem sanguinis et cædis eum satietas caperet. Amoris tandem fraterni primas tulit. (3) Nam ut dominatum nepotibus ex fratre integrum ab injuriis conservaret, adeo illorum rationem habuit, ut, licet conjugali uxoris, quam unice amabat, consuetudine uteretur, liberos tamen ex ea procreare nollet, sed omni arte hanc orbitatis

— 2. ἐπιβάλοι] H. Stephan.; libri ἐπιβάλοιεν. — εἴ τι ἀλλοφ.] num εἴ τινι ἐν ἀ.? *Orelli*. εἴ τισιν ἀ.? — 3. καὶ ἑτέρων] ut Leonidæ et Antithei, quos Suidas et Justin. l. l. afferunt. — 4. δημοτελῆ θυσίαν] sc. Διονυσίων ὄντων, Diodor. XVI, 36. Cf. Chionis epist. ultim. — δυοκαίδεκα] Sic etiam Diodorus obitum tyranni memorans ad Ol. 106, 4 ($\frac{353}{352}$ a C.), occupatam tyrannidem ad Ol. 106, 1 ($\frac{364}{363}$).

II, 1. Σάτυρος] Ejus nulla mentio ap. Diodorum l. l., qui tutoris administrationem in annis regni Timothei comprehendit. V. Wesseling. — 2. ἐλευθ. ἄλλου] ἐλ. ἄλλον ἄλλου vulgata, ex dittographia (ἄλλου et ἄλλων), ni fallor, explicanda. Præstabit fort. scrib. ἄλλων. — αὐτῷ κόρον λαβεῖν.] Hæc corrupta. Orelli conj. αὐτόν. Possis αὐτῷ κ. ἐνέβαλλε vel ἐμβαλών. — 3. κηδ. λόγον] τὸν λόγον vulg.

ρησιν ἑαυτῷ δικάσαι, ὡς ἂν μηδ' ὅλως ὑπολίποι τινὰ ἐφεδρεύοντα τοῖς τοῦ ἀδελφοῦ παισίν. (4) Οὗτος ἔτι ζῶν καὶ γήρᾳ βαρυνόμενος Τιμοθέῳ τῷ πρεσβυτέρῳ τῶν παίδων τοῦ ἀδελφοῦ ἐγχειρίζει τὴν ἀρχήν, καὶ μετὰ χρόνον οὐ πολὺν ἀνιάτῳ πάθει καὶ χαλεπωτάτῳ συσχεθεὶς *. Καρκίνωμα γὰρ μεταξὺ βουβῶνός τε καὶ ὀσχέου ὑποφυὲν τὴν νομὴν πρὸς τὰ ἔνδον ἐπεδίδου πικρότερον· ἐς οὗ ἰχῶρες ἀναστομωθείσης τῆς σαρκὸς ἐξέρρεον βαρὺ καὶ δύσοιστον πνέουσαι, ὡς μηκέτι μήτε τὸ ὑπηρετούμενον μήτε τοὺς ἰατροὺς τὸ τῆς σηπεδόνος στέγειν δυσῶδες καὶ ἀνυπόστατον. Καὶ συνεχεῖς δὲ ὀδύναι καὶ δριμεῖαι ὅλον τὸ σῶμα κατέτεινον· ὑφ' ὧν ἀγρυπνίαις τε καὶ σπασμοῖς ἐξεδίδοτο, ἕως προκόψασα μέχρις αὐτῶν τῶν σπλάγχνων τοῦ πάθους ἡ νομὴ τοῦ βίου ἀπέρρηξεν. (5) Ἐδίδου μὲν καὶ οὗτος ὥσπερ καὶ Κλέαρχος τελευτῶν τοῖς ὁρῶσιν ἐννοεῖν, δίκας ἀπαιτεῖσθαι ὧν ὠμῶς τε καὶ παρανόμως τοὺς πολίτας διέθεσαν. Πολλάκις γὰρ αὐτὸν φασὶν ἐν τῇ νόσῳ τὸν θάνατον ἐπελθεῖν αὐτῷ κατευχόμενον μὴ τυχεῖν, ἀλλὰ συχναῖς ἡμέραις τῇ πικρᾷ καὶ βαρείᾳ καταδαπανώμενον νόσῳ, οὕτως ἀποτῖσαι τὸ χρεών, ἔτη μὲν βιώσαντα πέντε καὶ ἑξήκοντα, ὧν ἡ τυραννὶς εἶχεν ζ'. Ἀγησίλαος δὲ τηνικαῦτα Λακεδαιμονίων ἐβασίλευεν.

III. Ὁ δὲ Τιμόθεος παραλαβὼν τὴν ἀρχήν, οὕτω ταύτην ἐπὶ τὸ πρᾳότερον καὶ δημοκρατικώτερον μετερρύθμιζεν, ὡς μηκέτι τύραννον ἀλλ' εὐεργέτην αὐτόν, οἷς ἔπραττε, καὶ σωτῆρα ὀνομάζεσθαι. Τά τε γὰρ χρέα τοῖς δανεισταῖς παρ' ἑαυτοῦ διελύσατο, καὶ τοῖς χρήζουσι πρὸς τὰς ἐμπορίας καὶ τὸν ἄλλον βίον τόκων ἄνευ ἐπήρκεσε, καὶ τῶν δεσμωτηρίων οὐ τοὺς ἀνευθύνους μόνον ἀλλὰ καὶ τοὺς ἐν αἰτίαις διηφίει. Καὶ δικαστὴς ἀκριβὴς ἦν ὁμοῦ καὶ φιλάνθρωπος, καὶ τὰ ἄλλα χρηστός, καὶ τὰς ὑποθέσεις οὐκ ἀπιστούμενος. Ἐφ' οἷς καὶ τὸν ἀδελφὸν Διονύσιον τά τε ἄλλα πατρικῶς περιεῖπεν, καὶ κοινωνὸν μὲν εἶχεν αὐτίκα τῆς ἀρχῆς, ἐχομένως δὲ καὶ διάδοχον. (2) Οὐ μὴν ἀλλὰ γὰρ καὶ πρὸς τὰς πολεμικὰς τῶν πράξεων ἀνδρείως ἐφέρετο, μεγαλόφρων δὲ ἦν καὶ γενναῖος σῶμα καὶ ψυχήν, ἀλλὰ καὶ πρὸς τὰς τῆς μάχης διαλύσεις εὐγνώμων τε καὶ οὐκ ἄχαρις· πράγματα μὲν συνιδεῖν ἱκανός, ἐξικέσθαι δὲ πρὸς τὰ συνεωραμένα δραστήριος, οἰκτίρμων τε τὸ ἦθος καὶ χρηστός, καὶ τῇ μὲν εὐτολμίᾳ δεινῶς ἀπότομος, τῇ δὲ μετριότητι φιλάνθρωπός τε καὶ μειλίχιος. Διὸ σφόδρα μὲν περιὼν τοῖς πολεμίοις φοβερὸς ἦν, καὶ πάντες αὐτὸν κατωρρώδουν, ἐπειδὰν ἀπεχθάνοιτο, τοῖς δ' ἀρχομένοις γλυκύς τε καὶ ἥμερος. Ἔνθεν καὶ τελευτῶν πόθον αὐτοῦ κατέλιπε πολύν, καὶ πένθος ἤγειρε τῷ πόθῳ ἐνάμιλλον. (3) Ὁ δὲ τούτου ἀδελφὸς Διονύσιος καίει μὲν τὸ σῶμα πολυτελῶς, σπένδει δὲ αὐτῷ καὶ τὰ ἀπὸ βλεφάρων δάκρυα καὶ τὰς ἀπὸ τῶν σπλάγχνων οἰμωγάς, ἐπιτελεῖ δὲ καὶ ἀγῶνας ἱππικούς, οὐχ ἱππικοὺς δὲ μόνον,

et non gignendæ sobolis ceu pœnam sibi irrogaret: ne quem omnino insidiatorem nepotibus relinqueret. (4) Superstes adhuc, sed senio gravatus Timotheo, qui de pueris ætate præcessit, rerum summam tradit, nec multo tempore post difficillimo correptus morbo et immedicabili *vitam finivit.* Cancer enim inter inguen et scrotum enatus ad interiora pascendo subinde acerbius proserpebat: ex quo carne laxata, sanies gravissimos et intolerabiles exspirans odores profluebat, ut nec ministri nec medici virulentissimum putredinis fœtorem sustinerent ac perferrent. Continentes autem et acerrimi dolores totum ejus corpus excarnificabant; quorum vigiliis et convulsionibus eousque mali contagio adaugescebat, donec ad ipsa viscera se insinuans vitam tyranno abrupit. (5) Quare hic non minus quam Clearchus animadvertentibus considerandum exhibuit, pœnas tandem exigi illorum quæ contra divina et humana jura immaniter in cives admisissent. Sæpe enim inter morbi torturas precatus dicitur, ut quamprimum se mors obrueret; voti tamen compos non ante factus, quam diuturni morbi vi et acerbitate consumptus eo modo fatis debitum exsolvit, postquam sexaginta quinque in vita, in tyrannide septem annos compleverat. Tempestate illa regnum apud Lacedæmonios Agesilaus administrabat.

III. Timotheus igitur imperium adeptus ita ad moderationem magisque popularem statum illud reduxit, ut non ultra tyrannus, sed beneficus servator ob præclare merita nuncuparetur. Nam de suo nomina creditoribus expedivit et inopia laborantibus sine fœnore ad negotiationes et alios vitæ usus pecunias suppeditavit; nec modo insontes, sed etiam criminibus obnoxios carceribus exsolvit. Judex accuratus erat simulque humanus, atque cetera vir bonus, consiliis suis nemini suspectus. Tali præditus animo fratrem Dionysium quum in aliis paterno amore et studio complexus est, tum statim imperii consortem adscivit, et successorem sibi destinavit. (2) Sed enimvero ad res bellicas quoque alacri et qui virum decet animo ferebatur. Magno enim spiritu et generoso corporis et animi robore erat præditus. Verum etiam ad controversias bellorum dirimendas et componendas æquum bonumque se præbebat nec difficilem. Ad perspiciendum res idoneus et ad exsequendum bene consideratas strenuus; ingenio et moribus clemens, misericors et beneficus; in periculis quidem adeundis ferox, at in cetera vita perquam humanus et comis. Ideo, quamdiu salva ei vita mansit, hostibus quammaxime formidabilem (ut omnes, quibuscum inimicitias susceperat, eum expavescerent), sed civibus suavem et mitem sese præstitit. Hinc accidit ut ad vitæ exitum vocatus ingens sui desiderium faceret reliquum, et parem desiderio luctum excitaret. (3) Germanus autem ejus Dionysius magnificis cadaver sumptibus rogo tradit, et e suis fratri palpebris lacrimas ceu libans effundit, eque visceribus ei gemitus impendit. Ludos etiam eque-

— 4. συσχεθεὶς] excidisse videtur v. θνήσκει. — στέγειν] Bekker. pro vulg. στέργειν ex Vat.; conjecerat Stephanus.
III, 1. δημοκρατικώτερον] Stephan.; libri δημοκρατικώτατον. — ἐφ' οἷς] cod. A.; ἐν οἷς vulg. — 2. τελευτῶν] Ἤρ / ἔτη πεντεκαίδεκα, Diodor. XVI, 36, 3; 88, 5. Moritur Ol. 110, 3 sive 338 a. C.

ἀλλὰ καὶ σκηνικοὺς καὶ θυμελικοὺς καὶ γυμνικούς· τοὺς μὲν αὐτίκα, τοὺς δὲ λαμπροτέρους καὶ ὕστερον.

Ἀλλὰ ταῦτα μὲν ἡ θ' καὶ ι' τοῦ Μέμνονος, ὡς ἐν ἐπιδρομῇ φάναι, διαγράφει ἱστορία.

ΕΚ ΤΟΥ ΙΑ' ΚΑΙ ΙΒ' ΒΙΒΛΙΟΥ.

IV. Τὴν δὲ ἀρχὴν διαδεξάμενος Διονύσιος ηὔξησε ταύτην, Πέρσας ἐπὶ Γρανικῷ τοῦ Ἀλεξάνδρου μάχῃ καταγωνισαμένου καὶ παρασχόντος ἄδειαν τοῖς βουλομένοις αὔξειν τὰ ἑαυτῶν, τῆς τέως ἐμποδὼν πᾶσιν ἱσταμένης Περσικῆς ἰσχύος ὑποστελλομένης. Ὕστερον δὲ ποικίλας ὑπέστη περιστάσεις, μάλιστά γε τῶν τῆς Ἡρακλείας φυγάδων πρὸς Ἀλέξανδρον περιφανῶς ἤδη τῆς Ἀσίας κρατοῦντα διαπρεσβευομένων καὶ κάθοδον καὶ τὴν τῆς πόλεως πάτριον δημοκρατίαν ἐξαιτουμένων. Δι' ἅπερ ἐγγὺς μὲν κατέστη τοῦ ἐκπεσεῖν τῆς ἀρχῆς· καὶ ἐξέπεσεν ἄν, εἰ μὴ συνέσει πολλῇ καὶ ἀγχινοίᾳ καὶ τῇ τῶν ὑπηκόων εὐνοίᾳ καὶ θεραπείᾳ Κλεοπάτρας τοὺς ἀπειληθέντας αὐτῷ πολέμους διέφυγε, τὰ μὲν ὑπείκων καὶ τὴν ὀργὴν ἐκλύων καὶ μεθοδεύων ταῖς ἀναβολαῖς, τὰ δὲ ἀντιπαρασκευαζόμενος. (2) Ἐπεὶ δὲ ἢ θανάτῳ ἢ νόσῳ κατὰ Βαβυλῶνα γεγονὼς Ἀλέξανδρος τὸν βίον διέδραμεν, Εὐθυμίας μὲν ὁ Διονύσιος ἄγαλμα τὴν ἀγγελίαν ἀκούσας ἱδρύσατο, παθὼν τῇ πρώτῃ προσβολῇ τῆς φήμης ὑπὸ τῆς πολλῆς χαρᾶς, ὅσα ἂν ἡ σφόδρα λύπη δράσειε· μικροῦ γὰρ περιτραπεὶς εἰς τὸ πεσεῖν ὑπήχθη, καὶ ἄνους ὤφθη γενόμενος. (3) Περδίκκα δὲ τῶν ὅλων ἐπιστάντος, οἱ μὲν τῆς Ἡρακλείας φυγάδες πρὸς τὰ αὐτὰ καὶ τοῦτον παρώξυνον. Διονύσιος δὲ ταῖς ὁμοίαις μεθόδοις χρώμενος ἐπὶ ξυροῦ ἀκμῆς πολλοὺς κινδύνους κατ' αὐτοῦ συστάντας πάντας διέδρασεν. Ἀλλ' ὁ μὲν Περδίκκας ὑπὸ τῶν ἀρχομένων μοχθηρὸς γεγονὼς ἀνῄρηται, καὶ αἱ τῶν φυγάδων ἐλπίδες ἐσβέννυντο· Διονυσίῳ δὲ πανταχόθεν τὰ πράγματα πρὸς τὸ εὐδαιμονέστερον μετεβάλοντο. (4) Ἡ δὲ πλείστη ῥοπὴ τῆς εὐδαιμονίας ὁ δεύτερος αὐτῷ κατέστη γάμος. Ἠγάγετο μὲν γὰρ Ἄμαστριν· αὕτη δὲ ἦν Ὀξάθρου θυγάτηρ· ἀδελφὸς δὲ ἦν οὗτος Δαρείου, ὃν καθελὼν Ἀλέξανδρος Στάτειραν τὴν αὐτοῦ θυγατέρα γυναῖκα ἠγάγετο, ὡς εἶναι τὰς γυναῖκας ἀλλήλαις ἀνεψιάς, ἔχειν δέ τι πρὸς ἑαυτὰς καὶ φίλτρον ἐξαίρετον, ὃ τὸ συντρόφους ὑπάρξαι ταύταις ἐνέφυσεν. (5) Ἀλλὰ ταύτην τὴν Ἄμαστριν Κρατέρῳ (τῶν φιλουμένων ἦν οὗτος ὡς μάλιστα) συναρμόζει· Ἀλεξάνδρου δὲ ἐξ ἀνθρώπων ἀποπτάντος καὶ Κρατέρου πρὸς Φίλαν τὴν Ἀντιπάτρου ἀποκλίναντος, γνώμῃ τοῦ λιπόντος Διονυσίῳ ἡ Ἄμαστρις συνοικίζεται. (6) Ἐξ οὗ ἐπὶ μέγα ἡ ἀρχὴ αὐτῷ διήρθη πλούτου τε περιβολῇ τῇ διὰ τῆς ἐπιγαμίας προστεθείσῃ καὶ ἰδίᾳ φιλοκαλίᾳ. Καὶ γὰρ καὶ τὴν τοῦ Διονυσίου πᾶσαν ἐπισκευὴν τοῦ Σικελίας τυραννήσαντος αὐτὸν ἐπῆλθε ἐξω-

stres, et præter hos gymnicos et thymelicos et scenicos : alios statim, alios eosque magnificentiores peregit postea.

Hæc nono et decimo libro (quatenus cursim ista perstringimus) Historia Memnonis describit.

E LIBRIS XI ET XII.

IV. Dionysius deinceps imperium suscepit idemque etiam auxit. Alexander enim, Persis ad Granicum profligatis, securam amplificandi ditiones suas occasionem patefecerat his qui vellent, quum quæ hactenus impedimento fuerat, Persarum potentia jam corrueret. Sed varias postea fortunæ vices expertus est, maxime quum Heracleæ exules, missitandis ad Alexandrum legatis, aperte jam Asia potitum, de reditu et patria reipublicæ administratione sollicitarent. Quare non multum abfuit quin excidisset imperio; et excidisset sane, nisi prudentia et sagacitate mentis et benevolentia civium et suis erga Cleopatram obsequiis bella cum minis sibi denunciata effugisset : dum qua cedit, iramque mitigat, et dilationibus coercet, qua etiam se munit, et contra præparat. (2) At posteaquam Alexander, dum Babylone agit, vitæ cursum absolvit vel nece *violenta* vel morbo exstinctus, ubi nuncium Dionysius accepit, Lætitiæ statuam consecravit : et ad primum famæ adventum eo affectus est modo præ exuberanti gaudio, quo summa hominem consternatio affecerit. Nam prope erat ut vertigine correptus prolaberetur et a sana mente conspiceretur alienus. (3) Hinc ubi Perdiccas summi imperii negotia procurabat, Heracleæ exules ad petita ab Alexandro etiam hunc instigarunt. Dionysius vero, eadem fere qua prius utens agendi ratione, quamvis in acie novaculæ prope consisteret, pericula tamen, quæ plurima contra eum consurgebant, omnia effugit. Ac quum Perdiccas, quod improbe se gereret, ab iis quibus præerat, interimeretur, simul etiam spes exulum exstinguebantur. Proinde res Dionysio ab omni parte in statum feliciorem convertuntur. (4) Ad felicitatem vero plurimum ei attulit momenti secundum matrimonium. Amastrin enim duxit filiam Oxathræ. Frater is erat Darii, quem Alexander imperio exuit, ejusque filiam Statiram uxorem sibi adjunxit. Patrueles igitur erant hæ feminæ, amore inter se eximio devinctæ : qui a communi educatione et convictu in animis ipsarum radices egerat. (5) Amastrin hanc Alexander, quum Statiram fecisset uxorem, Cratero (qui inter carissimos ei fuit) nuptum dederat. At quum, Alexandro rebus mortalium propere exempto, Craterus ad Philam, Antipatro natam, animum adjiceret, Amastris, desertore non invito, domum a Dionysio ducitur. (6) Ex quo ad magnum ei augmentum dominatus sese extulit, tum opum e nuptiis accessione, tum ipsius etiam principis studio et magnificentia. Inter alia Dionysii, qui Siciliæ tyrannum egerat, omnem supellectilem

IV, 2. θανάτῳ] φαρμάκῳ conj. Orelli., βιαίῳ θανάτῳ Schæfer. — 3. ἐπιστάντος] ἐπιστατοῦντος mavult Scaliger. — 4. Ὀξάθρου] ὀξάνθου vel ὀξάρθου e cod. A notat Bekker. Ὀξάθρης nomen etiam exhibet vulgata in Scymno Chio v. 973, ubi novissimi editores e Strabone XII, p. 544 (addere possis Tzetzem XIII, 473) scripserunt : Ὀξυάθρου. — πρὸς ἑαυτὰς] cod. A. corr.; vulg. πρ. ἑαυτόν. — 5. Κρατέρῳ.. συναρμόζει] V. Arrian. Exp. Alex. VII, 4. — ἀποπτάντος] ἀποστάντος?

νήσασθαι, τῆς ἀρχῆς ἐκείνου διαφθαρείσης. (7) Οὐ ταῦτα δὲ μόνον αὐτῷ τὴν ἀρχὴν ἐπεκράτυνεν, ἀλλὰ καὶ εὐπραγία καὶ εὔνοια τῶν ὑπηκόων, καὶ πολλῶν ὧν οὐκ ἐκράτει πρότερον ἡ κυριότης. Καὶ Ἀντιγόνῳ δὲ τὴν Ἀσίαν κατέχοντι λαμπρῶς συμμαχήσας, ὁπότε τὴν Κύπρον ἐπολιόρκει, τὸν ἀδελφιδοῦν Πτολεμαῖον (στρατηγὸς δὲ οὗτος ἦν τῶν περὶ τὸν Ἑλλήσποντον) φιλοτιμίας ἀμοιβὴν εὕρατο παρ' Ἀντιγόνῳ γαμβρὸν λαβεῖν ἐπὶ θυγατρί· ἡ δὲ παῖς ἐκ προτέρων ἦν αὐτῷ γεγενημένη γάμων. Οὕτω γοῦν εἰς μέγα δόξης ἀνελθὼν, καὶ τὸν τύραννον ἀπαξιώσας, τὸ βασιλέως ἀντέλαβεν ὄνομα. (8) Φόβων δὲ καὶ φροντίδων ἐλευθεριάσας, καὶ ταῖς καθημεριναῖς τρυφαῖς ἐνδιαιτηθεὶς, ἐξωγκώθη τε τὸ σῶμα καὶ τοῦ κατὰ φύσιν πολὺ πλέον ἐλιπάνθη. Ὑφ' ὧν οὐ μόνον περὶ τὴν ἀρχὴν ῥαθύμως εἶχεν, ἀλλὰ καὶ ἐπειδὰν ἀφυπνώσειε, βελόναις μακραῖς τὸ σῶμα διαπειρόμενος (τοῦτο γὰρ ἄκος μόνον τοῦ κάρου καὶ τῆς ἀναισθησίας ὑπελείπετο) μόλις τῆς κατὰ τὸν ὕπνον καταφορᾶς ἐξανίστατο. (9) Τεκνωσάμενος δὲ γ' παῖδας ἐκ τῆς Ἀμάστριος, Κλέαρχον, Ὀξάθρην καὶ θυγατέρα ὁμώνυμον τῇ μητρὶ, μέλλων τελευτᾶν ταύτην τε τῶν ὅλων δέσποιναν καταλιμπάνει καὶ τῶν παίδων κομιδῇ νηπίων ὄντων σύν τισιν ἑτέροις ἐπίτροπον, βιοὺς μὲν ἔτη ε' καὶ ν', ὧν ἐπὶ ἀρχῆς λ' ἐγνωρίζετο, πρᾳότατος ἐν αὐτῇ, ὡς εἴρηται, γεγονὼς καὶ τὸ Χρηστὸς ἐπίκλησιν ἐκ τῶν ἠθῶν ἐνεγκάμενος, καὶ πολὺν πόθον τοῖς ὑπὸ χεῖρα καὶ πένθος λιπών. (10) Οὐδὲν δὲ ἧττον καὶ μετὰ τὴν ἐκείνου ἐξ ἀνθρώπων ἀναχώρησιν τὰ τῆς πόλεως πρὸς εὐδαιμονίαν ἐφέρετο, Ἀντιγόνου τῶν τε παίδων Διονυσίου καὶ τῶν πολιτῶν οὐ παρέργως προνοουμένου. Ἐκείνου δὲ πρὸς ἕτερα τὰς φροντίδας τρεψαμένου, Λυσίμαχος πάλιν τῶν περὶ Ἡράκλειαν καὶ τῶν παίδων ἐπεμελεῖτο, ὃς καὶ Ἄμαστριν ποιεῖται γυναῖκα, καὶ κατ' ἀρχὰς μὲν λίαν ἔστερξε, πραγμάτων δὲ αὐτῷ προσπεσόντων, αὐτὴν μὲν ἐν Ἡρακλείᾳ λείπει, αὐτὸς δ' εἴχετο τῶν ἐπειγόντων. Εἰς Σάρδεις δὲ μετ' οὐ πολὺν χρόνον, τῶν πολλῶν πόνων ῥαΐσας, μετεπέμψατο ταύτην, καὶ ἔστεργεν ὁμοίως. Ὕστερον δὲ πρὸς τὴν θυγατέρα Πτολεμαίου τοῦ Φιλαδέλφου (Ἀρσινόη δὲ ἦν τὸ ὄνομα) τὸν ἔρωτα μεταθεὶς, διαζυγῆναι τὴν Ἄμαστριν αὐτοῦ παρέσχεν αἰτίαν, καὶ καταλιποῦσαν τοῦτον καταλαβεῖν τὴν Ἡράκλειαν. Ἐγείρει δὲ αὕτη παραγενομένη καὶ συνοικίζει πόλιν Ἄμαστριν.

emere in mentem venit, quando de imperio illius actum fuit. (7) Nec vero his tantum roborabatur ei potestas, sed etiam eo, quod prospero successu et favore civium utebatur, et imperium usurpabat in multos antea non subjectos. Porro Antigono Asiam tenenti præclare auxiliatus quando Cyprum ille oppugnavit: Ptolemæum illius fratre natum (cui Hellesponti satrapiam commiserat) quasi præmium studii sui apud Antigonum invenit, ut generum illum haberet, filia, quæ ex priore fuerat suscepta conjugio, in matrimonium ei elocata. Itaque ad magnam elatus gloriam, tyranni nomen dedignatur et regis assumit. (8) Jamque metu et curis liberatus, quum in quotidianis vitam deliciis ageret, in crassam corporis molem excrevit, pinguedine supra naturæ modum adauctus. Unde evenit ut non modo negligenter regnum administraret, sed etiam somno oppressus aciculis oblongis in corpore fixis (id enim solum veterni et stuporis supererat remedium) vix tamen a soporis gravedine excitaretur. (9) Tribus autem ex Amastri liberis sibi procreatis, Clearcho, Oxathre et filia ejusdem cum matre nominis, jam morti propinquus uxori administrationem cunctam, et liberorum, qui adhuc teneræ admodum ætatis erant, tutelam (adjunctis quibusdam aliis) reliquit: quum vixisset annos quinquaginta quinque, in imperio autem conspicuus fuisset triginta. In quo se mitissimum (ut dixi) gessit, ita ut cognomen Benigni ex moribus referret, magnumque civibus desiderium et luctum post se relinqueret. (10) Nihilo tamen minus etiam post ejus a mortalibus discessum res civitatis in secundo fortunæ cursu permanebant, Antigono filiorum Dionysii et civium non obiter curam gerente. Qui ubi ad alia studium avertit, Lysimachus in accurationem Heracliensium et puerorum successit, qui etiam Amastrin uxorem sibi adscivit, et initio mirifice amavit: sed gliscentibus negotiis, illam Heracleæ relinquit, ipseque rebus urgentibus occupatur. Nec longo intervallo post, quum a laborum distractione quietem ageret, Sardes illam accersitam pari amore complectitur: postquam vero ad Ptolemæi Philadelphi natam (*imo: sororem*), cui nomen Arsinoe, amorem transtulisset, causam Amastri præbuit disjunctionis, utque deserto illo Heracleam occuparet. Quo reversa Amastrin urbem (*in Paphlagonia*) erexit, et colonis frequentavit.

— 8. ἐξωγκώθη] cf. Nymphidis fr. 16. — 9. ἐπὶ ἀρχῆς λ' ἐγνωρ.] triginta duos sec. Diodor. XVI, 88, 5 et XX, 77, 1, quod rectius esse censet Wesselingius; Nymphis l. l. annos numerat triginta tres; hoc verum habeo. Ceterum n. l. error est, ut videtur, Photii vel librariorum, non vero Memnonis, qui cap. 9 ab anno 281 a. C. usque ad initium tyrannidis (364) annos numerat 84, quod quadrat cum calculis Diodori. — 10. Amastris sive Amestris (cf. Bæhr. ad Her. VII, 61) et Lysimachi connubium etiam Diodorus XX, 109, 7 memorat. — θυγατέρα Πτολ. τ. Φιλαδελφ.] « Immo legendum ἀδελφὴν pro θυγατέρα: duo enim Ptolemæi, frater et filius, hic confunduntur. Nam Arsinoe Ptolemæo Lagi filio fuit nata, fratremque germanum habuit Philadelphum, ut ex Plutarcho in Demetrio notum est. Nec tamen arbitror Memnonem hujus peccati esse auctorem. Id credere vetant sequentia, quibus sæpe Arsinoes fratrem Ptolemæum Ceraunum (quem patre Lagida procreatum haud obscure indicat c. 12) commemorat. Malim eapropter culpam in alium, sive is Photius sive amanuensis fuerit, conferre. » *Wesseling. Observ. Var.* I, 26, *p.* 106. — πόλιν Ἄμαστριν] Cf. Steph. Byz. s. h. v. Strabo XII, p. 544; Scymnus Chius 973; Tzetz. Hist. XIII, v. 470. Ab Amazone Amastri nomen urbis derivat Demosthenes Bithynus ap. St. Byz., alii sec. Tzetz. ab Amastri Xanthi filia.

V. Κλέαρχος δὲ ἀνδρωθεὶς ἤδη τῆς τε πόλεως ἦρχε, καὶ πολέμοις οὐκ ὀλίγοις, τὰ μὲν συμμαχῶν ἄλλοις, τὰ δὲ καὶ τοῖς ἐπιφερομένοις αὐτῷ, ἐξητάζετο· ἐν οἷς καὶ κατὰ Γετῶν Λυσιμάχῳ συστρατευόμενος ἑάλω τε σὺν αὐτῷ, καὶ ἀνεθέντος τῆς αἰχμαλωσίας ἐκείνου, καὶ αὐτὸς ὕστερον τῇ Λυσιμάχου προνοίᾳ ἀφίετο. (2) Οὗτος ὁ Κλέαρχος ἅμα τῷ ἀδελφῷ τῆς ἀρχῆς καταστάντες διάδοχοι, πρὸς μὲν ἡμερότητα καὶ χρηστότητα πολὺ τοῦ πατρὸς ἐλάττους τοῖς ὑπηκόοις ἀπέβησαν, εἰς ἔκθεσμον δὲ καὶ μιαρώτατον ἔργον ἐξέπεσον· τὴν γὰρ μητέρα, μηδὲν περὶ αὐτοὺς μέγα πλημμελήσασαν, μηχανῇ δεινῇ καὶ κακουργίᾳ ἐπιβᾶσαν νηὸς θαλάσσῃ ἀποπνιγῆναι κατειργάσαντο.

VI. Δι' ἣν αἰτίαν καὶ Λυσίμαχος ὁ πολλάκις ῥηθεὶς (Μακεδονίας δὲ ἐβασίλευεν), εἰ καὶ τὴν Ἄμαστριν διὰ τὴν συνάφειαν Ἀρσινόης λιπεῖν αὐτὸν παρεσκευάσατο, ἀλλ' οὖν τοῦ τε προτέρου πόθου φέρων ἐν ἑαυτῷ τὸ ἐμπύρευμα, καὶ τὸ μυσαρὸν καὶ ὠμὸν τῆς πράξεως οὐκ ἀνασχετὸν ποιούμενος, στεγανώτατα μὲν τὴν αὐτοῦ κατεῖχεν ἔνδον γνώμην, τὴν ἀρχαίαν δὲ φιλίαν πρὸς τοὺς περὶ Κλέαρχον τῷ σχήματι ἐπιδεικνὺς, διὰ πολλῶν τε μηχανῶν καὶ τῶν τοῦ λανθάνειν στρατηγημάτων (κρύψαι γὰρ τὸ βουλόμενον δεινότατος ἀνθρώπων γεγονέναι λέγεται) ἐν Ἡρακλείᾳ μὲν ὡς ἐπὶ τῷ τῶν δεχομένων συνοίσοντι παραγίνεται, πατρὸς δὲ στοργὴν τῷ προσωπείῳ τοῖς περὶ Κλέαρχον προβαλλόμενος, ἀναιρεῖ μὲν τοὺς μητροκτόνους, πρῶτον μὲν Κλέαρχον, εἶτα καὶ Ὀξάθρην, μητρικῆς ἀπαιτήσας μιαιφονίας δίκας· καὶ τὴν πόλιν ποιησάμενος ὑπὸ τὴν πρόνοιαν τὴν αὐτοῦ, καὶ τὰ πολλὰ δὲ λαφυραγωγήσας ὧν ἡ τυραννὶς ἠθροίκει χρημάτων, ἄδειάν τε δοὺς δημοκρατεῖσθαι τοὺς πολίτας, οὗ ἐφίεντο, πρὸς τὴν ἰδίαν βασιλείαν ἐστέλλετο.

VII. Λυσίμαχος δὲ τὴν ἰδίαν ἀρχὴν καταλαβὼν, δι' ἐπαίνων μὲν τὴν Ἄμαστριν εἶχεν, ἐθαύμαζε δὲ αὐτῆς τούς τε τρόπους καὶ τὴν ἀρχὴν, πρὸς ὄγκον καὶ μέγεθος καὶ ἰσχὺν ὡς ἐκρατύνατο, ἐξαίρων μὲν τὴν Ἡράκλειαν, μέρος δὲ τῶν ἐπαίνων καὶ τὴν Τῖον καὶ τὴν Ἄμαστριν, ἣν ἐπώνυμον ἤγειρεν ἐκείνη, ποιούμενος. (2) Καὶ ταῦτα λέγων τὴν Ἀρσινόην ἠρέθιζε δεσπότιν τῶν ἐπαινουμένων γενέσθαι· ἡ δὲ ἐδεῖτο τυχεῖν ὧν ἐπόθει. Καὶ ὁ Λυσίμαχος σεμνύνων τὸ δῶρον, κατ' ἀρχὰς μὲν οὐ προσίετο· ἐκλιπαρηθεὶς δὲ χρόνῳ παρέσχεν. Ἦν γὰρ δεινὴ περιελθεῖν ἡ Ἀρσινόη, καὶ τὸ γῆρας ἤδη Λυσίμαχον παρεῖχεν εὐεπιχείρητον. (3) Δεξαμένη δ' οὖν ἡ Ἀρσινόη τῆς Ἡρακλείας τὴν ἀρχὴν, πέμπει τὸν Κυμαῖον Ἡρακλείδην, ἄνδρα μὲν εὔνουν αὐτῇ, ἀπότομον δὲ ἄλλως καὶ δεινὸν ἐν βουλευμάτων ἐντρεχείᾳ καὶ

V. Clearchus autem, ad virilem tunc ætatem progressus, et civitati Heracleæ præfuit, et in bellis non paucis, modo socia cum aliis arma jungens, modo aggredientes ipsum propulsans, vires tentavit. Inter quæ dum Lysimacho contra Getas belligeranti operam navat, captus est cum rege, eoque ex captivitate soluto, ipse etiam prudentia Lysimachi postea est dimissus. (2) Verum Clearchus hic et frater regno paterno successores, lenitate et beneficentia erga subditos patre longe inferiores evaserunt. Quid quod ad nefarium et exsecrabile facinus sunt delapsi. Matrem enim, quæ nihil in eos grande peccaverat, quum navi se commisisset, insigni commento et flagitio mari suffocandam curarunt.

VI. Quam ob causam Lysimachus, sæpius ille jam memoratus (in Macedonia autem tunc rerum potiebatur), etsi propter Arsinoes consuetudinem Amastrin a se abalienarat, quum tamen pristini amoris ceu igniculum ferret, et immane ac detestabile hoc scelus non tolerandum duceret : animi quidem apud se decreta quam arctissime continuit, antiquæ interim necessitudinis studium Clearcho ostentans : sed tamen arte multa et strategematis ad fallendum compositis (occultare enim quæ vellet, mortalium ingeniosissimus perhibetur), Heracleam, ceu publico recipientium commodo id fiat, ingreditur : et dum intimam patris affectionem larva quadam Clearcho eique addictis præ se ferret, parricidas illos e medio tollit, primo Clearchum, deinde etiam Oxathren : et sic justas maternæ cædis pœnas exigit. Hinc, ubi, redacta in clientelam suam civitate, opes tyrannorum dominatu collectas in prædam suam vertisset, et (quod diu exspectaverant) liberam civibus rempublicam restituisset, in proprium se regnum recepit.

VII. Reversus igitur ad sua, Amastrin laudibus extollere, ejusque mores et imperium demirari, ut hoc ad id magnitudinis, potentiæ et majestatis elatum corroborasset; uniceque prædicare Heracleam, sed ut in partem laudis venirent etiam Tius et Amastris, quam nomine suo celebrem illa condidisset. (2) Hæc crebro habens in ore, Arsinoen exstimulavit, ut urbium tantopere celebratarum dominium affectaret, quæque affectabat, sibi donari peteret. At is gravitatem muneris prætendens initio preces non admittebat, sed tamen progressu temporis exoratus concessit. Ingeniosa enim ad circumveniendum fuit Arsinoe, et jam senectus ipsa mansuefactum dederat Lysimachum. (3) Potita igitur Heracleæ dominatu Arsinoe Heraclidem eo Cymæum mittit, virum illius observantem et studiosum, sed alioqui præfractum et in consiliis dandis et exsequendis industrium

V. 1. συμμαχῶν ἄλλοις] cod. A.; σ. ἀλλήλοις vulg. — συστρατευόμενος] Scaliger., στρατευόμενος libri. De bello hoc Lysimachi v. Diodor. XXI, 11 sqq.; Pausan. I, 9. Droysen. *Hellenism.* tom. I, p. 588 sqq.

VI. τὸ βουλόμενον] τὸ βουλευόμενον A. Tuemur vulgatam, collato Thucyd. I, 90. VI, 24.

VII, 1. τὴν Τῖον] urbs hæc Heracleotis subjecta ab Amastri distat stadiis viginti, ut discimus e Menippi Periplo Paphlagoniæ ap. Steph. B. v. Τῖος. De Amastri cf. Droysen. *Hell.* I, p. 343. 462. 556. 609. II, 241. — 2. ἐπαινουμένων] A. ἐπαίνων vulg. — 3. Ἡρακλείδην] sic scripsi pro vulg. Ἡράκλειτον; paullo infra c. 11, ubi idem recurrit, omnes libri Heraclidem exhibent. Num hic est Heraclides Cumanus historiæ Persarum auctor?

ὀξύτητι· ὁ δὲ τῆς Ἡρακλείας ἐπιβὰς, τά τε ἄλλα σφόδρα ἐπιστρόφως τῶν πραγμάτων ἐξηγεῖτο, καὶ πολλοὺς αἰτίαις ὑποβάλλων τῶν πολιτῶν οὐκ ἐλάττους ἐτιμωρεῖτο, ὡς πάλιν ἀποβαλεῖν αὐτοὺς τὴν μόλις ἐπιφανεῖσαν εὐδαιμονίαν.

VIII. Ὁ μέντοι Λυσίμαχος περιδρομῇ Ἀρσινόης τὸν ἄριστον τῶν παίδων καὶ πρεσβύτερον Ἀγαθοκλέα (ἐκ προτέρων δὲ φὺς ἦν αὐτῷ γάμων) κατ' ἀρχὰς μὲν λανθάνοντι φαρμάκῳ, ἐκείνου δὲ κατὰ πρόνοιαν ἐξεμεθέντος, ἀναιδεστάτῃ διαχειρίζεται γνώμῃ· δεσμωτηρίῳ ἐμβαλὼν κελεύει κατακοπῆναι, ἐπιβουλὴν αὐτῷ καταψευσάμενος. Ὁ δὲ Πτολεμαῖος, ὃς αὐτόχειρ τοῦ μιάσματος ἐγεγόνει, ἀδελφὸς ἦν Ἀρσινόης, καὶ ἐπώνυμον διὰ τὴν σκαιότητα καὶ ἀπόνοιαν τὸν κεραυνὸν ἔφερεν. (2) Ὁ τοίνυν Λυσίμαχος διὰ τὴν παιδοκτονίαν μῖσός τε δίκαιον παρὰ τῶν ὑπηκόων ἐλάμβανε, καὶ Σέλευκος ταῦτα πυθόμενος, καὶ ὡς εὐχερὲς εἴη τοῦτον παραλῦσαι τῆς ἀρχῆς τῶν πόλεων ἀφεσταμένων αὐτοῦ, μάχην συνάπτει πρὸς αὐτόν. Καὶ πίπτει ἐν τῷ πολέμῳ Λυσίμαχος παλτῷ βληθείς· ὁ δὲ βαλὼν ἀνὴρ Ἡρακλεώτης ἦν, ὄνομα Μαλάκων, ὑπὸ Σελεύκῳ ταττόμενος. Πεσόντος δὲ, ἡ τούτου ἀρχὴ προσχωρήσασα τῇ τοῦ Σελεύκου μέρος κατέστη. Ἀλλ' ἐνταῦθα μὲν καὶ τὸ ιβ' τῆς Μέμνονος ἱστορίας λήγει.

ΕΚ ΤΟΥ ΙΓ' ΚΑΙ ΙΔ' ΒΙΒΛΙΟΥ.

IX. Ἐν δὲ τῷ ιγ' τοὺς Ἡρακλεώτας λέγει πυθομένους τὴν ἀναίρεσιν τοῦ Λυσιμάχου καὶ ὡς εἴη ὁ τοῦτον ἀπεκτονὼς Ἡρακλεώτης, τάς τε γνώμας ἀναρρώννυσθαι καὶ πρὸς τὸν τῆς ἐλευθερίας ἀνδραγαθίζεσθαι πόθον, ἣν δ' καὶ π' ἔτεσιν ὑπό τε τῶν ἐμφυλίων τυράννων καὶ μετ' ἐκείνους ὑπὸ Λυσιμάχου ἀφῄρηντο. (2) Προσῆλθον οὖν πρότερον Ἡρακλείδῃ, πείθοντες αὐτὸν μὲν ἐκχωρεῖν τῆς πόλεως, οὐκ ἀπαθῆ κακῶν μόνον ἀλλὰ καὶ λαμπροῖς δώροις ἐφοδιαζόμενον, ἐφ' ᾧ τὴν ἐλευθερίαν ἐκείνους ἀναλαβεῖν. (3) Ὡς δὲ οὐ μόνον οὐκ ἔπειθον, ἀλλὰ καὶ εἰς ὀργὴν ἐκπεσόντα εἶδον καί τινας αὐτῶν καὶ τιμωρίαις ὑπάγοντα, συνθήκας θέμενοι πρὸς τοὺς φρουράρχους οἱ πολῖται, αἵ τήν τε ἰσοπολιτείαν αὐτοῖς ἔνεμον καὶ τοὺς μισθοὺς λαβεῖν ὧν ἐστέρηντο, συλλαμβάνουσι τὸν Ἡρακλείδην καὶ φυλαττόμενον εἶχον ἐπὶ χρόνον. Ἐκεῖθεν λαμπρᾶς ἀδείας λαβόντες τῆς τε ἀκροπόλεως μέχρις ἐδάφους τὰ τείχη κατέβαλον, καὶ πρὸς Σέλευκον διεπρεσβεύοντο, τῆς πόλεως ἐπιμελητὴν προστησάμενοι Φώκριτον.

X. Ζιποίτης δὲ ὁ Βιθυνῶν ἐπάρχων, ἐχθρῶς ἔχων Ἡρακλεώταις πρότερον μὲν διὰ Λυσίμαχον, τότε δὲ διὰ Σέλευκον (διάφορος γὰρ ἦν ἑκατέρῳ), τὴν κατ' αὐ-

et acrem. Hic quum pedem intulisset Heracleæ, quum cetera nimis rigide administravit, tum multos civium criminibus oneravit, nec pauciores supplicio affecit; adeo ut felicitatem vixdum exortam cives denuo amitterent.

VIII. Ceterum Lysimachus fraude Arsinoes circumventus natu maximum et optimum filiorum Agathoclem, e priore sibi conjuge natum, primo quidem veneno clanculario, sed postea, hoc per vomitum rejecto, quum providisset ille insidias, sententia impudentissima damnatum necat. In carcerem enim compactum trucidari jubet, insidias sibi structas falso criminatus. Ptolemæus autem, qui sua manu scelus id perpetravit, frater erat Arsinoes, et Ceranni (*Fulminis*) cognomentum ab importunitate morum et vecordia retulit. (2) Lysimachus igitur propter filii cædem in odio erat subditorum. Et Seleucus, his cognitis, et quod facile sit regno hominem excutere, civitatibus ab eo deficientibus, prælium cum eo (*ad Curopedium*) conserit, in quo Lysimachus pilo trajectus occumbit: trajecit autem vir Heracliensis, nomine Malacon, Seleuco militans. Interempto Lysimacho, regnum ad Seleuci ditionem accessit. Ibi duodecimus Memnonis liber Historiarum desinit.

LIBRI XIII ET XIV.

IX. Libro decimo tertio narrat hæc : Heraclienses, ait, audito Lysimachi interitu, et quod a populari suo nex illi illata esset, animos confirmant, et pro libertatis recuperandæ desiderio fortes se viros declarant : quam per annos octoginta quattuor tyranni domestici, et post eos Lysimachus ereptam tenuerant. (2) Primum igitur Heraclidem conveniunt, et ut non tantum salvus et incolumis, sed etiam splendido munerum viatico instructus excedat, pristinam modo libertatem obtineant, suadent. At quum non modo non persuaderent, sed ira etiam tyrannum inflammari, et nonnullos de suis ad supplicia rapi ab eo viderent, pacto cum præsidii præfectis inito, ut æquali in republica jure uterentur, et quibus fraudati essent stipendia reciperent, Heraclidem in vincula conjectum ad tempus custodiunt. Omni dehinc metu soluti, mœnia arcis ad fundamenta usque diruunt, et missa ad Seleucum legatione, Phocritum civitatis principem et curatorem faciunt.

X. At Zipœtes, Bithyniæ regulus, Heracliensibus infensus jam antea Lysimachi, tunc vero Seleuci causa (nam cum utroque simultates habebat), excursionibus factis detri-

VIII, 1. Ἀγαθοκλέα] Cf. Strabo XIII, p. 623; Pausan. I, 10; Appian. Syr. 64; Justin. XVII, 1. Droysen. I. l. I, 638 sqq.

IX, 3. λαμπρὰς] olim λαμπρᾶς; quare λαβόντες in μεταλαβόντες mutari voluit Jacobs. ad Achill. Tat. p. 880.

X. Ζιποίτης] De hoc vide infra c. 20, Diodor. XIX, 60, 3 ibique Wesseling.; Plutarch. Qu. Gr. c. 49; p. 302, E; Pausan V, 12; Tzetz. Hist. III, 950. Cf. Gronov. ad Liv. XXXVIII, 16; Clinton. F. H. tom. III, p. 411.

τῶν ἐπιδρομὴν, ἔργα κακώσεως ἀποδεικνὺς, ἐποιεῖτο. Οὐ μὴν οὐδὲ τὸ αὐτοῦ στράτευμα κακῶν ἀπαθεῖς ἔπραττον ἅπερ ἔπραττον, ἔπασχον δὲ καὶ αὐτοὶ ὧν ἔδρων οὐ κατὰ πολὺ ἀνεκτότερα.

XI. Ἐν τούτῳ δὲ Σέλευκος Ἀφροδίσιον πέμπει διοικητὴν εἴς τε τὰς ἐν Φρυγίᾳ πόλεις καὶ τὰς ὑπερκειμένας τοῦ Πόντου. Ὁ δὲ, διαπραξάμενος ἃ ἐβούλετο καὶ ἐπανιὼν, τῶν μὲν ἄλλων πόλεων ἐν ἐπαίνοις ἦν, Ἡρακλεωτῶν δὲ κατηγόρει μὴ εὐνοϊκῶς ἔχειν τοῖς τοῦ Σελεύκου πράγμασιν. Ὑφ' οὗ Σέλευκος παροξυνθεὶς, τούς τε πρὸς αὐτὸν ἀφικομένους πρέσβεις ἀπειλητικοῖς ἐξεφαύλιζε λόγοις καὶ κατέπληττεν, ἑνὸς τοῦ Χαμαιλέοντος οὐδὲν ὀρρωδήσαντος τὰς ἀπειλὰς, ἀλλὰ φαμένου « Ἡρακλῆς κάρρων, Σέλευκε » (κάρρων δὲ ὁ ἰσχυρότερος παρὰ Δωριεῦσιν). Ὁ δ' οὖν Σέλευκος τὸ μὲν ῥηθὲν οὐ συνῆκεν, ὀργῆς δ' ὡς εἶχε, καὶ ἀπετρέπετο. Τοῖς δὲ οὔτε τὸ ἀναχωρεῖν οἴκαδε οὔτε τὸ προσμένειν λυσιτελὲς ἐδόκει. (2) Ταῦτα δὲ Ἡρακλεῶται πυθόμενοι τά τε ἄλλα παρεσκευάζοντο καὶ συμμάχους ἤθροιζον, πρός τε Μιθριδάτην τὸν Πόντου βασιλέα διαπρεσβευόμενοι καὶ πρὸς Βυζαντίους καὶ Χαλκηδονίους. (3) Οἱ δὲ περιλειπόμενοι τῶν ἀπὸ Ἡρακλείας φυγάδων, Νύμφιδος, καὶ αὐτοῦ ἑνὸς ὑπάρχοντος τούτων, κάθοδον βουλεύσαντος αὐτοῖς, καὶ ῥᾳδίαν εἶναι ταύτην ἐπιδεικνύντος, εἰ μηδὲν ὧν οἱ πρόγονοι ἀπεστέρηντο αὐτοὶ φανεῖεν διοχλοῦντες ἀναλήψεσθαι, ἔπεισέν τε σὺν τῷ ῥᾴστῳ, καὶ τῆς καθόδου ὃν ἐβούλευσε τρόπον γεγενημένης, οἵ τε καταχθέντες καὶ ἡ δεξαμένη πόλις ἐν ὁμοίαις ἡδοναῖς καὶ εὐφροσύναις ἀνεστρέφοντο, φιλοφρόνως τῶν ἐν τῇ πόλει τούτους δεξιωσαμένων, καὶ μηδὲν τῶν εἰς αὐτάρκειαν αὐτοῖς συντελούντων παραλελοιπότων. Καὶ οἱ Ἡρακλεῶται τὸν εἰρημένον τρόπον τῆς παλαιᾶς εὐγενείας τε καὶ πολιτείας ἐπελαμβάνοντο.

XII. Σέλευκος δὲ τοῖς κατωρθωμένοις κατὰ Λυσιμάχου ἐπαρθεὶς, εἰς τὴν Μακεδονίαν διαβαίνειν ὥρμητο, πόθον ἔχων τῆς πατρίδος, ἐξ ἧς σὺν Ἀλεξάνδρῳ ἐστρατεύετο, κἀκεῖ τοῦ βίου τὸ λεῖπον διανῦσαι, γηραιὸς ἤδη ὢν, διανοούμενος, τὴν δὲ Ἀσίαν Ἀντιόχῳ παραθέσθαι τῷ παιδί. (2) Πτολεμαῖος δὲ ὁ Κεραυνὸς, τῶν Λυσιμάχου πραγμάτων ὑπὸ Σελεύκῳ γεγενημένων, καὶ αὐτὸς ὑπ' αὐτὸν ἐτέλει, οὐχ ὡς αἰχμάλωτος παρορώμενος, ἀλλ' οἷα δὴ παῖς βασιλέως τιμῆς τε καὶ προνοίας ἀξιούμενος, οὐ μὴν ἀλλὰ καὶ ὑποσχέσεσι λαμπρυνόμενος, ἃς αὐτῷ Σέλευκος προὔτεινεν, εἰ τελευτήσειεν ὁ γεινάμενος, [αὐτὸν εἰς] τὴν Αἴγυπτον, πατρῴαν οὖσαν ἀρχὴν, καταγαγεῖν. (3) Ἀλλ' ὁ μὲν τοιαύτης κηδεμονίας ἠξίωτο· κακὸν δὲ ἄρα αἱ εὐεργε-

menta iis intulit. Exercitus tamen ejus, dum huic negotio incumbit, cladium non expers est, sed non multo mitiores, quam infert, recipit.

XI. Sub hæc Seleucus Aphrodisium procuratorem in oppida Phrygiæ et quæ adjacent Ponti mittit. Hic, rebus, quarum causa venerat, confectis, post reditum in aliarum quidem civitatum laude prolixus erat, Heraclienses autem criminabatur ut Seleuco parum addictos. Seleucus ergo, hoc irritatus, legatos ad se profectos fastidit, et minis increpitans terret. Quorum tamen unus, Chamæleon, nihil his perculsus, ita regem compellat : Hercules κάρρων, Seleuce (κάρρων autem Doriensibus eum significat, qui est fortior). Quam vocem quum rex non intelligeret, concepta in ira persistens, se avertit. Legatis igitur neque domum redire neque illic manere operæ pretium videbatur. (2) Quæ quum Heracliensibus renunciarentur, tum ceteris se muniunt, tum sociorum copias colligunt, legatis missis ad Mithridatem, Ponti regem, et Byzantios et Chalcedonios. (3) Porro exules ab Heraclea qui supererant, Nymphis quidam ex eorum numero, reditum eis suadens nec difficilem hunc esse demonstrans, si nihil eorum quæ majores amisissent moleste viderentur et turbulente reposcere, quam minimo negotio persuasit. Quare quum eo quo consuluerat modo felicem inveniret successum reditus, tum reducti, tum quæ recepit illos patria, in communi et æqua versabantur lætitia et voluptate. Nam et humanissime eos cives tractabant, et nihil eorum, quæ ad mediocrem vitæ sustentationem conducunt, deesse patiebantur. Hoc itaque modo Heraclienses in antiquum nobilitatis et gubernationis decus sese vindicarunt.

XII. At Seleucus, successu contra Lysimachum elatus, transitum in Macedoniam instituit, (impulit enim amor patriæ, ex qua cum Alexandro militatum iverat,) ibique reliquum vitæ tempus conficere destinans (nam senio confectus erat), Asiam filio Antiocho commendavit. (2) Ptolemæus autem Ceraunus, Lysimachi regno sub arbitrium Seleuci redacto, et ipse ei subjectus erat : nec tamen, ceu captivi loco, neglectim, sed, ut regia soboles, in honore et accuratione habitus; immo magnificis etiam promissis ornatus a Seleuco, fore ut defuncto parente (*Ptolemæo Lagi*) in paternum Ægypti regnum deduceretur. (3) Ita sane liberaliter et honorifice ille tractabatur : at hominem

XI, 1. κάρρων] H. Stephanus; καρῶν libri. Sophron ap. Apollon. Dysc. De pron. p. 355 Bekk. : Ἡρακλῆς τεοῦς κάρρων ἦν. Proverbium in superbos. Plura v. in H. Stephan. Thesaur. v. κρατύς. — ὀργῆς δ' ὡς εἶχε] « Est Herodotea phrasis, qua, ut tot aliis Herodoti, utitur Pausan. I, 42. V. Valckenar. ad Herodot. p. 412. » *Schæfer*. — 3. Νυμφιδος] v. fr. Nymphid. introduct. — εἰ μηδὲν] A.; μηδὲ vulg.

XII, 1. κατὰ Λυσ.] em. Rhodomannus; libri μετὰ. — Ἀντιόχῳ] em. Palmer.; libri Ἀντιγόνῳ. — 2. [αὐτὸν εἰς] supplevit Scaliger. — 3. ἐδελτίουν] A., ἐπετέλουν cett — Interfectus Seleucus anno vitæ 75mo, regni 32mo (Syncell. p. 266) initio anni 280 a. C. Vide Clinton. ad h. an.

σίαι οὐκ ἐβελτίουν. Ἐπιβουλὴν γὰρ συστήσας, προσπεσὼν τὸν εὐεργέτην ἀναιρεῖ, καὶ ἵππου ἐπιβὰς πρὸς Λυσιμαχίαν φεύγει, ἐν ᾗ διάδημα περιθέμενος μετὰ λαμπρᾶς δορυφορίας κατέβαινεν εἰς τὸ στράτευμα, δεχομένων αὐτὸν ὑπὸ τῆς ἀνάγκης, καὶ βασιλέα καλούντων, οἳ πρότερον Σελεύκῳ ὑπήκουον.

XIII. Ἀντίγονος δὲ ὁ Δημητρίου τὰ συνενεχθέντα μαθὼν ἐπὶ Μακεδονίαν διαβαίνειν ἐπεχείρει πεζῷ καὶ νηΐτῃ στρατεύματι, προφθάσαι σπεύδων τὸν Πτολεμαῖον. Ὁ δὲ Πτολεμαῖος τὰς Λυσιμάχου νῆας ἔχων ἀπήντα καὶ ἀντιπαρετάττετο. (2) Ἦσαν δ' ἐν αὐταῖς ἄλλαι τε καὶ τῆς Ἡρακλείας αἱ μετάπεμπτοι, ἑξήρεις τε καὶ πεντήρεις καὶ ἄφρακτοι, καὶ ὀκτήρης μία ἡ λεοντοφόρος καλουμένη, μεγέθους ἕνεκα καὶ κάλλους ἥκουσα εἰς θαῦμα· ἐν ταύτῃ γὰρ ἑκατὸν μὲν ἄνδρες ἕκαστον στοῖχον ἤρεττον, ὡς ὀκτακοσίους ἐκ θατέρου μέρους γενέσθαι, ἐξ ἑκατέρων δὲ χιλίους καὶ ἑξακοσίους, οἱ δὲ ἀπὸ τῶν καταστρωμάτων μαχησόμενοι χίλιοι καὶ διακόσιοι, καὶ κυβερνῆται δύο. (3) Τῆς οὖν συμβολῆς γενομένης, κρατεῖ Πτολεμαῖος τὸ ναυτικὸν τρεψάμενος τοῦ Ἀντιγόνου, ἀνδρειότερον τῶν ἄλλων ἀγωνισαμένων αἳ ἦσαν ἐξ Ἡρακλεώτιδος· αὐτῶν δὲ τῶν Ἡρακλεωτίδων τὸ ἐξαίρετον ἔφερεν ἡ λεοντοφόρος ὀκτήρης. Οὕτω κακῶς Ἀντίγονος τῷ στόλῳ πράξας, εἰς τὴν Βοιωτίαν ἀνεχώρησε. Πτολεμαῖος δὲ ἐπὶ Μακεδονίαν διέβη, καὶ βεβαίως ἔσχε τὴν ἀρχήν.

XIV. Αὐτίκα γοῦν τὴν οἰκείαν μᾶλλον ἐκφαίνων σκαιότητα, Ἀρσινόην μέν, ὡς πάτριον τοῦτο τοῖς Αἰγυπτίοις, τὴν ἀδελφὴν γαμεῖ, τοὺς ἐκ Λυσιμάχου δὲ παῖδας αὐτῇ γεγεννημένους ἀναιρεῖ. Μεθ' οὓς κἀκείνην τῆς βασιλείας ἐξεκήρυξε. Καὶ πολλὰ καὶ παράνομα ἐν δυσὶ διαπραξάμενος ἔτεσι, Γαλατικοῦ μέρους τῆς πατρίδος μεταναστάντος διὰ λιμόν, καὶ Μακεδονίαν καταλαβόντων καὶ εἰς μάχην αὐτῷ συναψάντων, ἀξίως τῆς ὠμότητος καταστρέφει τὸν βίον, διασπαραχθεὶς ὑπὸ τῶν Γαλατῶν· ζῶν γὰρ ἐλήφθη, τοῦ ἐλέφαντος, ἐν ᾧ ὠχεῖτο, τρωθέντος καὶ καταβαλόντος αὐτόν. Ἀντίγονος δὲ ὁ Δημητρίου, [ὁ] ἡττηθεὶς τῷ ναυτικῷ, Πτολεμαίου ἀνῃρημένου, τὴν Μακεδόνων λαμβάνει ἀρχήν.

XV. Ὁ δὲ Σελεύκου Ἀντίοχος πολλοῖς πολέμοις, εἰ καὶ μόλις καὶ οὐδὲ πᾶσαν, ὅμως ἀνασωσάμενος τὴν πατρῴαν ἀρχήν, πέμπει στρατηγὸν Πατροκλέα σὺν ἐκστρατεύματι εἰς τὴν ἐπιτάδε τοῦ Ταύρου. Ὁ δὲ Ἑρμογένην προσαιρεῖται τὸ γένος Ἀσπένδιον, ὃς ἐπί τε πόλεις ἄλλας καὶ ἐπὶ τὴν Ἡράκλειαν ὥρμητο εἰσβαλεῖν. Τῶν δὲ Ἡρακλεωτῶν πρὸς αὐτὸν διαπρεσβευσαμένων, τῆς χώρας ἀναχωρεῖ καὶ φιλίαν συντίθεται ἐπὶ τὴν Βιθυνίαν διὰ τῆς Φρυγίας τραπόμενος. Ἐνεδρευθεὶς δὲ ὑπὸ τῶν Βιθυνῶν, διεφθάρη τε αὐτὸς καὶ ἡ σὺν

improbum bene merita nihilo meliorem fecere. Nam benefactorem insidiis oppressum trucidat, et conscenso equo Lysimachiam profugit: ubi imposito sibi diademate, cum satellitum manu speciosissima ad exercitum tendit. Ibi necessitate compulsi eum recipiunt, et regem salutant, qui paullo ante Seleuco parebant.

XIII. Antigonus autem Demetrii filius, hoc intellecto casu, expeditionem suscepit in Macedoniam pedestribus et nauticis copiis, Ptolemæum antevenire properans. At Ptolemæus expeditas habens Lysimachi naves, instructa acie occurrit: (2) inter quas erant quum aliæ, tum ab Heraclea accersitæ hexeres et penteres, et apertæ: et una octeris, cui nomen Leonigeræ (*a leonis imagine in aplustri posita*), magnitudine et elegantia in admirationem veniens: in hac enim centum homines unumquemque remorum versum remigabant, adeo ut in unoquoque latere octingenti forent, in ambobus vero mille et sexcenti; milites in tabulatis mille ducenti; præterea duo erant gubernatores. (3) Postquam in aciem descensum est, superior evadit Ptolemæus, in fugam versa Antigoni classe. Ubi fortius ceteris pugnarunt naves ex Heracleotide et palmam inter has tulit octoremis leonifera. Sinistram itaque fortunam classis expertus Antigonus in Bœotiam se contulit, Ptolemæus, transitu in Macedoniam facto, jam firmiter regnum tenebat.

XIV. Statim igitur, ut improbitas ejus eo magis in oculos hominum incurrat, Arsinoen sororem, quod patrium hoc sit Ægyptiis prætendens, matrimonii fœdere sibi adstringit, et natos ei ex Lysimacho trucidat: quin mox etiam ipsam non citra contumeliam regno expellit. Quumque plurima contra deûm hominumque leges intra biennium perpetrasset, accidit ut pars quædam Gallorum, fame ex patria migrare coacta, Macedoniam invaderet: a quibus, conserto prœlio, rex vivus capitur, elephanto, quo vehebatur, sauciato excussus, et ab hostibus discerptus, dignum crudelitate sua exitum invenit. Antigonus autem Demetrii, qui pugna navali succubuerat, jam hoste sublato, Macedoniæ regnum occupat.

XV. Antiochus interim Seleuci filius, quum vix tandem multis bellis nec universum tamen patris regnum recuperasset, expeditam manum in citeriora Tauri mittit, Patrocle duce, qui Hermogenem, Aspendium genere, legatum sibi adoptat. Hic quum alias urbes tum Heracleam quoque infestare constituerat: verum Heracliensium legatione placatus, e finibus eorum excedit, et percusso amicitiæ fœdere, per Phrygiæ agros in Bithyniam se convertit. Exceptus vero Bithynorum insidiis, una cum exercitu

XIII 2. ἕκαστον στοῖχον] em. Palmer.; ἑκατὸν στ. A, ἑκατόστοιχον cett.
XIV. extr. ἡττηθεὶς] A; ἡττήθη vulg.; addidi articulum. De rebus hoc cap narratis v. Justin. XXIV, 2 *sqq* et quos ibi laudant interpp.
XV. Vide Droysen. *Hellenism.* tom. II, p. 249.

αὐτῷ στρατιᾷ, ἀνδρὸς ἔργα τὸ καθ' ἑαυτὸν εἰς πολεμίους ἀποδειξάμενος.

XVI. Διὰ ταῦτα δὴ ἐπιστρατεύειν ἐγνωκότος Ἀντιόχου κατὰ Βιθυνῶν, ὁ τούτων βασιλεὺς Νικομήδης διαπρεσβεύεται πρὸς Ἡράκλειαν συμμαχίαν αἰτῶν, καὶ τυγχάνει τῆς σπουδῆς, ἐν ὁμοίοις καιροῖς καὶ χρείαις τὴν ἀμοιβὴν ὑποσχόμενος. Ἐν τούτῳ δὲ Ἡρακλεῶται τήν τε Κίερον καὶ τὴν Τῖον ἀνεσώσαντο καὶ τὴν Θυνίδα γῆν, πολλὰ τῶν χρημάτων δαπανήσαντες· τὴν δὲ Ἄμαστριν (ἦν γὰρ καὶ αὐτὴ μετὰ τῶν ἄλλων ἀφῃρημένη) καὶ πολέμῳ καὶ χρήμασι βουληθέντες τέως ἀναλαβεῖν αὐτὴν οὐ κατώρθωσαν, τοῦ κατέχοντος αὐτὴν Εὐμένους Ἀριοβαρζάνῃ τῷ Μιθριδάτου παιδὶ προῖκα μᾶλλον παραδοῦναι ταύτην ἢ παρέχουσι χρήματα τοῖς Ἡρακλεώταις διὰ τὸ τῆς ὀργῆς ὑπαχθέντος ἀλόγιστον.

XVII. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐκδέχεται τοὺς Ἡρακλεώτας ὁ πρὸς Ζιποίτην τὸν Βιθυνὸν πόλεμος, ὃς τῆς Θυνιακῆς ἐπῆρχεν Θρᾴκης. Ἐν ᾧ πολέμῳ πολλοὶ τῶν Ἡρακλεωτῶν γενναίως ἀνδρισάμενοι κατεκόπησαν. Καὶ νικᾷ μὲν κατὰ κράτος ὁ Ζιποίτης, συμμαχίδος δὲ δυνάμεως τοῖς Ἡρακλεώταις ἐπελθούσης, φυγῇ τὴν νίκην καταισχύνει· οἱ δὲ ἡττημένοι τοὺς σφετέρους νεκροὺς ἀδεῶς ἀναλαβόντες καὶ καύσαντες, εἶτα καὶ πάντων κύριοι, περὶ ὧν ἦν ὁ πόλεμος, καταστάντες, καὶ τὰ ὀστᾶ τῶν ἀνῃρημένων ἀνακομίσαντες εἰς τὴν πόλιν, ἐπιφανῶς ἐν τῷ τῶν ἀριστέων ἔθαψαν μνήματι.

XVIII. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Ἀντιόχῳ τῷ Σελεύκου καὶ Ἀντιγόνῳ τῷ Δημητρίου, μεγάλων ἑκατέρωθεν στρατευμάτων ἀντιπαραταττομένων, κινεῖται ὁ πόλεμος καὶ χρόνον συχνὸν κατέτριψε· συνεμάχει δὲ τῷ μὲν ὁ τῆς Βιθυνίας βασιλεὺς Νικομήδης, Ἀντιόχῳ δὲ πολλοὶ ἕτεροι. Οὔπω δὲ συρραγεὶς Ἀντίοχος Ἀντιγόνῳ, τὸν πρὸς Νικομήδην χειρίζεται πόλεμον· ὁ δὲ Νικομήδης ἀλλαχόθεν τε δυνάμεις ἀθροίζει, καὶ συμμαχεῖν πρὸς Ἡρακλεώτας διαπρεσβευσάμενος, τριήρεις τρισκαίδεκα συμμάχους λαμβάνει, καὶ λοιπὸν ἀντικαθίσταται τῷ τοῦ Ἀντιόχου στόλῳ. Ἐπὶ χρόνον δέ τινα ἀντικαταστάντες ἀλλήλοις, οὐδέτεροι μάχης ἦρξαν, ἀλλ' ἄπρακτοι διελύθησαν.

XIX. Ἐπεὶ δὲ Γαλάται πρὸς τὸ Βυζάντιον ἧκον καὶ τὴν πλείστην αὐτῆς ἐδῄωσαν, τῷ πολέμῳ ταπεινωθέντες οἱ ἐν Βυζαντίῳ πέμπουσι πρὸς τοὺς συμμάχους δεόμενοι ὠφελείας. Καὶ παρέσχον μὲν πάντες ὡς εἶχον ἰσχύος, παρέσχον δὲ καὶ οἱ τῆς Ἡρακλείας (τοσοῦτον γὰρ ἡ πρεσβεία ᾔτει) χρυσοῦς τετρακισχιλίους. (2) Μετ' οὐ πολὺ δὲ Νικομήδης τοὺς Γαλάτας, οἷς ἡ καταδρομὴ τῶν Βυζαντίων ἐγεγένητο, πολλάκις μὲν ἐπιχειρήσαντας εἰς] τὴν Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δὲ ἀποτυχόν-

internecione cæditur, quum strenui viri facinora, suo loco, in hostes edidisset.

XVI. Hac de causa Antiocho in Bithynos expeditionem instituente, rex horum Nicomedes per legatos subsidium ab Heracliensibus petit et obtinet, impetrati gratiam se relaturum, ubi in simili necessitate tempus flagitet, pollicitus. Hac occasione Cierum et Tium et Thynidem terram multis expensis ad se reduxerunt. Amastrin interea (quæ et ipsa cum reliquis adempta fuerat) tam bello quam pretio recuperare dum percupiunt, successu carent felice: propterea quod qui illam tenebat Eumenes Ariobarzani, Mithridatis filio, gratis eam tradere quam pecunia revendere Heracliensibus mallet, vesania iræ subactus.

XVII. Sub tempus illud bellum adversus Zipœten Bithynum, qui Thyniacam cum imperio Thraciam obtinebat, Heraclienses excepit. Quo in bello Heracleotarum bona pars fortiter dimicando cæsa fuit. Et victoria quidem summa vi potitur Zipœtes: sed ubi sociorum auxilia supervenerant Heracliensibus, fuga illam dehonestat. Ergo qui modo succubuerant, cadavera suorum asserunt et cremant secure: et exinde sub arbitrium suum redigunt de quibus bello disceptabatur; et ossa interfectorum in urbem relata magnifice in præclare meritorum de patria monumento condunt.

XVIII. Circa hæc tempora inter Antiochum Seleuci et Antigonum Demetrii movetur bellum: et dum magnos utrinque apparatus faciunt in copias militares, tempus satis longum consumitur. Alteri Nicomedes Bithyniæ rex operam navabat, Antiocho complures alii. Necdum eruptionem fecerat in Antigonum Antiochus, quum bellum adversus Nicomedem instituit. Hic igitur et aliunde auxilia colligit, et de belli societate Heracleam missis legatis tredecim in subsidium triremes accipit, et tum demum classem suam Antiochi classi opponit. Etsi autem adversas aliquamdiu tenebant acies, neutri tamen pugnæ initium faciunt; sed absque effectu tandem divelluntur.

XXXIX. Πολέμου δὲ ναυτικοῦ κατὰ Καλχηδόνα πόλιν Ῥωμαίοις τε καὶ Ποντικοῖς συστάντος, καὶ πεζῆς δὲ δυνάμεως τῆς τε βασιλικῆς καὶ τῆς Ῥωμαϊκῆς εἰς μάχην ἀλλήλαις συρραγείσης (ἐστρατήγει δὲ τῆς μὲν Κόττας, τῆς δὲ Μιθριδάτης), τρέπουσιν οἱ Βαστέρναι κατὰ τὸ πεζὸν τοὺς Ἰταλοὺς, καὶ πολὺν αὐτῶν φόνον εἰργάσαντο. (2) Τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ναῦς ἐγένετο, καὶ ὑπὸ μίαν ἡμέραν γῆ τε καὶ θαλάσση

quantur, tandem prœliandi tædium hostibus alacritatem animi deminuit. Ideo ad interiora circa Phasin et Caucasum se convertit Mithridates, Murena vero copias in Asiam traducit, et sua tum quisque administrat.

XXXVII. Nec longe post Sylla Romæ e vivis migrat, et senatus in Bithyniam mittit Aurelium Cottam, in Asiam vero L. Lucullum, cum mandatis ut bellum Mithridati facessant. At Mithridates, quum alium in procinctu habens exercitum frequentissimum, tum triremes quadringentas, naviumque minorum, quas penteconteres et cercuros vocitant, non exiguum numerum, Diophantum Mitharæ filium cum valida manu in Cappadociam dimittit, ut præsidia in urbibus collocaret et, si Lucullus Pontum ingrediatur, occurrat, et progressum ejus intercludat. (2) Ipse vero centum et quinquaginta millia peditum sub vexillis apud se retinet, et duodecim millia equitum, quos falcati sequuntur currus centum viginti, nec ulla machinarum omnis generis copia abest. Concitato igitur itinere per Timonitidem Cappadociam in Galatiam pergens, ad diem nonum Bithyniam attingit. Lucullus interim Cottam in Chalcedoniorum portu stationem habere jubet cum omni classe.

XXXVIII. Mithridatis autem classis Heracleam præterlegens ab ea non recipitur, forum tamen venale rogantibus præbent : tum commerciis, ut fieri solet, initis, Archelaus, copiarum navalium ductor, Silenum et Satyrum, nobiles ex Heraclea viros, comprehendit, nec prius dimisit, quam persuasisset, ut quinque triremibus ipsum in hoc cum Romanis bello adjuvarent. (2) Hoc facto (quod ipsum Archelaus veteratorie molitus erat) Romanorum inimicitiam populus Heracliensis sibi conciliavit. Quum igitur locationes publicorum redituum Romani in aliis civitatibus instituerent, Heracleam quoque propter causam ante dictam, his exposuerunt. (3) Publicani igitur urbem ingressi, quum contra reipublicæ morem argentum exigerent, in mœrorem cives conjecerunt, qui servitutis initium hoc esse existimabant. Quare quum per legationem ad senatum Romanum locationem vectigalium deprecari res postularet, ipsi a quodam in urbe audacissimo persuasi, publicanos e medio tollunt, tam secreto, ut de nece illorum nemini quidquam constaret.

XXXIX. Prœlio dehinc navali ad Chalcedonem inter Romanos et Ponticos commisso, dum regis et Romanorum pedestres inter se confligunt acies (quarum huic Cotta, illi Mithridates præerat), Basternæ Italorum pedites in fugam vertunt, et magnam edunt stragem. (2) Eadem fortuna etiam classis usa est : unoque die mare et terra cadaveribus

XXXVII. 1. πεντηκοντέρων] Bekker.; πεντηκοντήρων libri. — Μιθάρου] Libri Μιθάρῳ; legendum Μιθάρου vel Μιθάρεω. *Scaliger*. Diophantum ducem non novit Appianus. — πεζὸν δὲ στρατὸν, etc.] 150,000 pedites, 16,000 equites, sec. Appian. c. 69.

* τοῖς Ῥωμαίων διελελύμαστο σώμασι, διαφθαρέντων ἐν μὲν τῇ ναυμαχίᾳ ὀκτακισχιλίων, τετρακισχιλίων δὲ καὶ πεντακοσίων ἑαλωκότων· τοῦ δὲ πεζοῦ στρατεύματος Ἰταλοὶ μὲν τριακόσιοι καὶ πεντακισχίλιοι, τῶν δὲ Μιθριδατείων Βαστέρναι μὲν περὶ τριάκοντα, τοῦ δὲ λοιποῦ πλήθους ἑπτακόσιοι. (3) Οὕτως ἀρθέντα τὰ Μιθριδάτεια πάντων τὸ φρόνημα κατεδούλου. Λεύκολλος δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ στρατοπεδεύων, καὶ μαθὼν τὸ πάθος, λόγοις ἀνελάμβανεν ἀθυμήσαντας τοὺς στρατιώτας.

XL. Τρεπομένου δὲ ἐπὶ Κύζικον σὺν μεγάλῳ φρονήματι Μιθριδάτου, καὶ πολιορκεῖν τὴν πόλιν βουλομένου, Λεύκολλος ἐπακολουθήσας καὶ συμβαλὼν πολέμῳ νικᾷ τοὺς Ποντικοὺς ἀνὰ κράτος, βραχεῖ μὲν πλείους μυριάδος ἀνελών, τρισχιλίους δὲ καὶ μυρίους λαβὼν αἰχμαλώτους. Τὸ δὲ Φιμβριανῶν στράτευμα ὑπόπτως ἔχον, ὡς διὰ τὸ περὶ Φλάκκον τόλμημα οὐκ ἂν αὐτοὺς ἔτι νομίσειαν οἱ ἡγεμόνες εὔνους, ἔπεμπον κρύφα πρὸς Μιθριδάτην αὐτομολίαν ὑπισχνούμενοι. (2) Ὁ δὲ ἕρμαιον τὴν πρόσκλισιν ἡγησάμενος, ὡς νὺξ ἐπέλαβεν, Ἀρχέλαον πέμπει βεβαιῶσαί τε τὰς ὁμολογίας καὶ τοὺς προσχωρήσαντας ἄγειν. Οἱ δὲ Φιμβριανοί, ἐπεὶ τούτοις Ἀρχέλαος παρεγένετο, αὐτὸν μὲν συνέλαβον, τοὺς δὲ σὺν αὐτῷ διεχειρίσαντο. (3) Ἐπὶ τούτῳ τῷ τοῦ βασιλέως ἀτυχήματι καὶ λιμὸς ἐπιπίπτει αὐτοῦ τῇ στρατιᾷ, καὶ πολλοὺς ἀπώλλυε. Πλὴν οὕτω πολλοῖς παθήμασι κάμνων, Κυζίκου τῆς πολιορκίας τέως οὐκ ἀφίστατο· μετ' ὀλίγον δὲ πολλὰ καὶ παθὼν καὶ πράξας, ὅμως ἀνάλωτον λιπὼν τὴν πόλιν ἀνεχώρησε, τοῦ μὲν πεζοῦ Ἑρμαῖον καὶ Μάριον ἡγεῖσθαι καταστησάμενος, στρατὸν ὑπὲρ τρισμυρίους ἄγοντας, αὐτὸς δὲ διὰ θαλάσσης ποιούμενος τὴν ἀνάζευξιν. (4) Ἐπιβαίνοντος δὲ αὐτοῦ τῶν τριήρων, πολλαὶ παθῶν ἰδέαι συνέπιπτον· οἱ γὰρ ἐμβαίνειν μέλλοντες εἰς αὐτάς, τὰς μὲν ἤδη πεπληρωμένας τὰς δὲ καὶ μελλούσας κατεῖχον ἐξαρτώμενοι· καὶ παρὰ τὸ πλῆθος τῶν τοῦτο δρώντων αἱ μὲν κατεδύοντο αἱ δὲ περιετρέποντο. (5) Τοῦτο Κυζικηνοὶ θεασάμενοι ὥρμησαν ἐπὶ τὰ τῶν Ποντικῶν στρατόπεδα, καὶ τοὺς ὑπολειφθέντας καματηροὺς διαφθείροντες, εἴ τι παρῆν ὑπολελειμμένον τῷ στρατοπέδῳ, διήρπαζον. Λεύκολλος δὲ διώξας ἐπὶ τὸν Αἴσηπον ποταμὸν τὸ πεζὸν ἀπροσδόκητος καταλαμβάνει, καὶ φόνον πολὺν τῶν πολεμίων ποιεῖται. Μιθριδάτης δὲ ἀναλαβὼν ἑαυτὸν ὡς ἠδύνατο, Πείρινθον ἐπολιόρκει, ταύτης δὲ διαμαρτών, ἐπὶ Βιθυνίαν διαπεραιοῦται.

Romanis fœde oppletur, octo millibus in conflictu navali occisis, quattuor millibus et quingentis captis: de pedestri exercitu Italorum quinque millia et trecenti; a parte autem Mithridatis Basternæ circiter triginta, septingenti ex reliqua multitudine ceciderunt. (3) Hoc Mithridatis successu omnium animi servilem in modum concidere. Sed Lucullus ad Sangarium flumen castra habens, cognita ea clade, perculsos militum animos verbis erexit.

XL. Ubi vero magno se spiritu ad Cyzicum Mithridates convertit, copias urbi admovere cupiens, incumbit a tergo Lucullus, et infesta signa inferens, summa vi Ponticos profligat. Aliquanto enim plures decem millibus in acie cædit, et tredecim millia capit. Fimbrianus autem miles suspectos habens duces, quasi propter audacissimum in Flaccum facinus non amplius fidem ipsis habeant, tacite ad Mithridatem missitando, transitionem pollicentur. (2) Qui in lucro ponens hanc ad se inclinationem, nocte oborta, Archelaum amandat, qui pacta confirmet, et ad partes regis se adjungentes adducat. At Fimbriani Archelaum ad ipsos profectum in vincula compingunt, et quæ cum eo venerat, manum conficiunt. (3) Post hoc regis infortunium etiam fames opprimit exercitum, et multis interitum affert. Tot tamen adversis ictus casibus, a Cyzici obsidione non absistit: sed brevi, licet multa perpessus esset et egisset, urbe non expugnata, recessit: et pedestri quidem agmini Hermæum et Marium præficit, qui triginta hominum millia ducebat; ipse autem per mare reditum instituit. (4) Ingressoque triremes multæ variæque malorum formæ ei simul ingruerunt. Nam dum milites soluturi naves, quarum aliæ jam repletæ, aliæ mox replendæ essent, confertim occupant, et undique illis adhærent, factum est ut præ multitudine imminentium pars navium deprimeretur, pars etiam subverteretur. (5) Quod conspicati Cyziceni, impetu in castra Ponticorum facto, ægros ibi relictos trucidant, et si quid supererat, diripiunt. At Lucullus, peditum agmen a tergo premens, apud Æsepum flumen assequitur de improviso, magnamque hostium cædem peragit. Mithridates interim, collectis prouti licuit in Ponto viribus, Perinthum circumsidet et oppugnat, eaque non potitus in Bithyniam transmittit.

XXXIX. 2. γῇ τε καὶ θαλάσσῃ] « Aut post θαλάσσῃ excidit πάντα, aut legendum γῇ τε καὶ θάλασσα etc. » *Orelli*. — τετρακισχιλίων δὲ] A. καὶ τετρ. vulg.

XL. 1. Λεύκολλος] cf. Appian. c. 72 sqq., Plutarch. Lucull. c. 7. — βραχεῖ] codd.; βραχύ vulg. — 2. πρόσκλισιν] Stephanus; libri πρόσκλησιν vel κλῆσιν. — ἐπέλαβεν] Schæfer.; libri ἐπέβαλεν. — 3. Ἑρμαῖον] Eundem, ut videtur, Appianus c. 76 dicit Hermocratem. — Μάριον] « Marii hujus, minime confundendi cum celeberimis illis Mariis, patre et filio, meminit Plutarchus in Lucullo c. 8 et Paul. Orosius Hist. VI, 2 (p. 373 ed. Havercamp.) : *Horum* (Fannii et Magii) *hortatu Mithridates cum Sertorio, per legatos in Hispaniam missos, fædus pepigit : Sertorius ad eum M. Marium firmandi fœderis causa misit. Quem rex apud se retentum brevi ducem fecit in locum Archelai, qui se ad Syllam cum uxore liberisque contulerat. Marius et Eumachus duces a Mithridate adversus Lucullum missi, magno exercitu brevi congregato, cum P. Rutilio apud Chalcedona congressi sunt, eumque cum plurima exer-*

XLI. Ἐπεὶ δὲ καὶ Βάρβας συχνοὺς Ἰταλῶν ἐπάγων ἧκεν, καὶ μὴν καὶ Τριάριος ὁ Ῥωμαίων ἡγεμὼν ἀνασκευασάμενος τῇ Ἀπαμείᾳ πολιορκεῖν ἐπέστη, οἱ Ἀπαμεῖς ἀντισχόντες ὅσα ἠδύναντο, τέλος ἀνοίξαντες τὰς πύλας τούτους εἰσεδέξαντο. Εἷλον δὲ καὶ Προῦσαν τὴν πόλιν ἡ Ῥωμαίων δύναμις· ὑπὸ δὲ τὸν Ἀσιανὸν Ὄλυμπον διέκειτο αὕτη. (2) Ἐκεῖθεν ὁ Τριάριος ἐπὶ Προυσιάδα τὴν ἐπιθαλάσσιον μετὰ τῆς δυνάμεως παραγίνεται. Αὕτη δὲ Κίερος τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ καὶ ἡ τῆς Ἀργοῦς ἄφιξις λέγεται καὶ ὁ τοῦ Ὕλα ἀφανισμὸς καὶ ἡ τοῦ Ἡρακλέους ἐπὶ τὴν τούτου ἀναζήτησιν πλάνη καὶ πολλὰ τοιαῦτα ἕτερα. Παραγεγονότα δὲ ῥᾳδίως οἱ Προυσαεῖς ἐδέξαντο, τοὺς Ποντικοὺς διωσάμενοι. (3) Ἐκεῖθεν ἐπὶ Νίκαιαν φρουρουμένην Μιθριδατείῳ φρουρᾷ παραγίνεται. Οἱ δὲ Ποντικοὶ τὸν νοῦν τῶν ἐν Νικαίᾳ συνιδόντες ἐπὶ Ῥωμαίους ἀποκλίνοντα, διὰ νυκτὸς πρὸς Μιθριδάτην εἰς Νικομήδειαν ἀνεχώρησαν, καὶ Ῥωμαῖοι ἀταλαιπώρως κρατοῦσι τῆς πόλεως. (4) Αὕτη δὲ ἡ πόλις ἡ Νίκαια τὴν μὲν κλῆσιν ἄγει ἀπὸ ναΐδος νύμφης, ὄνομα λαχούσης τὴν Νίκαιαν, ἔργον δὲ γέγονε Νικαέων τῶν μετὰ Ἀλεξάνδρου μὲν συστρατευσάντων, μετὰ δὲ τὸν ἐκείνου θάνατον κατὰ ζήτησιν πατρίδος ταύτην τε κτισάντων καὶ συνοικισαμένων. Ἡ μὲν οὖν ναῒς ἡ Νίκαια λέγεται φῦναι Σαγγαρίου τοῦ κατὰ τὴν χώραν δυνάστου καὶ Κυβέλης· παρθενίαν δὲ μᾶλλον ἢ τὴν πρὸς ἄνδρα ποθοῦσα ὁμιλίαν, ἐν ὄρεσι καὶ θήραις τὸν βίον ἔσχε. (5) Ταύτην δὲ Διόνυσος μὲν ἤρα, ἐρῶν δὲ οὐκ ἐτύγχανε. Μὴ τυγχάνων δὲ μηχαναῖς τὸ λεῖπον τῇ γνώμῃ ἀναπληροῦν ἐπεχείρει. Πληροῖ τοίνυν τὴν κρήνην, ἀφ᾽ ἧς εἴωθεν ἡ Νίκαια πίνειν, ἐπειδὰν ἀπὸ τῆς θήρας κοπωθείη, ἀντὶ τοῦ ὕδατος οἴνου. Ἡ δὲ μηδὲν συνειδυῖα καὶ τὸ εἰωθὸς ποιοῦσα ἐμφορεῖταί τε τοῦ ἐπιβούλου νάματος, καὶ ὑπηρετεῖ καὶ ἄκουσα τῷ βουλήματι τοῦ ἐραστοῦ. Μέθης γὰρ αὐτὴν καὶ ὕπνου λαβόντων, ὅ τε Διόνυσος αὐτῇ ἐπιμίγνυται καὶ παῖδας ἐξ αὐτῆς φύει Σάτυρόν τε καὶ ἑτέρους. (6) Οἱ δὲ Νικαεῖς, οἱ τὴν πόλιν ἤγειραν καὶ συνῴκισαν, Νίκαιαν εἶχον πατρίδα Φωκίδος γείτονα· πρὸς ἣν καὶ πολλάκις στασιάσαντες ὑπ᾽ αὐτῆς ἐκείνης ὕστερον τὴν πατρίδα ἀφῃρέθησαν, καταστροφὴν ταύτης καὶ ἀφανισμὸν τῶν ἐν τῇ Φωκίδι πολλῇ σπουδῇ καταπραξαμένων. Ἀλλ᾽ ἡ μὲν Νίκαια οὕτω τε τὴν κλῆσιν καὶ

XLI. Postquam vero Barba validam Italorum manum adducens venisset, et Triarius insuper Romanorum dux motis castris Apameam obsideret, cives, quum aliquandiu pro viribus suis hostes sustinuissent, apertis tandem portis eos intromisere. Prusam etiam urbem Romanus exercitus capit. Jacet hæc ad Olympum Asiæ montem. (2) Hinc Prusiadem mari impositam cum exercitu petit: Cierum (*Cium*) olim nominabant. Quo etiam Argonautas appulisse et ibidem evanuisse Hylam, et Herculem, dum requirit eum, circumvagatum, multaque id genus alia contigisse fama est. Ut urbi appropinquavit, facile Prusienses eum receperunt, Ponticis ejectis. (3) Inde Nicæam, quam præsidium Mithridatis tenebat, proficiscitur. Pontici autem, intellecto, Nicæenses animis ad Romanos propendere, noctu se ad Mithridatem Nicomediam subducunt. Romani igitur sine molestia urbem potestati suæ subjiciunt. (4) Hæc urbs nomen deducit a Naide quadam nympha, cui Nicææ nomen, et opus est Nicæensium, qui in Alexandri exercitu fuerunt, et post ejus interitum, dum patriam quærunt, hac urbe a se condita et frequentata, in civitatem coaluerunt. Nais autem illa Nicæa Sangario loci regulo et Cybele nata fertur. Quæ quum majore virginitatis desiderio, quam consuetudinis cum viro, teneretur, in montibus et venatibus vitam egit. (5) Bacchus quidem amat puellam; sed hæc amorem frustratur. Quando igitur voti compos alia ratione fieri nequit, fallaciis explere animi desiderium instituit. Nam fontem, ex quo Nicæa a venatione defessa bibere solebat, vino pro aqua replet. Eaque nihil suspicata, dum pro more suo bibit, fallacem intra se haurit liquorem, et sic quamlibet invita amantis cupiditati subservit. Mero enim et somno correptam Liber comprimit, et Satyrum ex ea liberosque alios suscipit. (6) Nicæenses autem, a quibus excitata est urbs et sedibus frequentata, primum patriam habuerant Nicæam Phocidi vicinam; sed, quod subinde rebellarent, Phocenses tandem patria eos expulerunt, et ut urbs eorum eversa deleretur, magno perfecerunt studio. Nicæa ergo hoc modo appellata

---

citus ipsius parte ceciderunt. Et fortassis Εὐμάχου nomen ab excerptore Memnonis vel potius librario corruptum fuit in Ἑρμαῖος. » ORELLI. — 5. διήρπαζον] A. διέφθειρον cett — ἀπροσδόκητος] codd.; ἀπροσδοκήτως vulg.

XLI. 1. διέκειτο] Legend. ἔκειτο. *Schæfer*. — 2. Κίερος] debebat scribere Κίος; nam ad Cium pertinet Hylæ historia. Cf. Müller Min. p. 293. « Sed eo, Palmerius ait, quod Κίος et Κίερος duæ urbes unum aliud nomen acceperunt (cf. c. 27), et utraque Prusias postea dicta est, sæpissime erratum est in his vocibus. Memnonis errorem notat etiam Wesselingius ad Itinerar. Vet. p. 694. » Ceterum postea urbs vetus nomen recuperasse videtur; seculo duodecimo audit *Cibotos*. V. Hammer. *Gesch. der Osman*. I, p. 109. Cf. Clinton F. H. III, p. 415. — Προυσαεῖς] « Imo Προυσιεῖς, quod est patronymicum Prusiæ, quæ et Cius, de qua hic sermo. Προυσαεῖς autem Prusæ ad Olympum. Cf. Strabo et Stephanus. » *Valesius Emendat*. II, 2, p. 50. Ceterum ejusmodi grammaticorum distinctionibus haud multum tribuendum est. — 3. διὰ νυκτός] codd.; διὰ τῆς νυκτός vulg. — 4. γέγονε] ex conject. Stephani; γεγονὸς libri plurimi, γεγονὼς codex Stephani. — ναῒς ἡ Νίκαια] Eandem fabulam exponit Nonnus Dionys. lib. XV et XVI. — βίον ἔσχε] A.; βίον κατέσχε vulg. — 5. εἴωθεν] Malim εἰώθει *Schæfer*. — ποιοῦσα] ed. Stephani et codd.; πιοῦσα vulg. — Σάτυρον καὶ ἑτέρους] Τελετὴν puellam ex Nicæa Bacchum procreasse dicit Nonnus XVI extr. — 6. Νίκαιαν... Φωκίδι γείτονα] V. Steph. Byz. v. Νίκαια.

τὴν οἰκοδομὴν ἔσχε, καὶ οὕτω προσεχώρησε Ῥωμαίοις.

XLII. Μιθριδάτης δὲ ἐν τῇ Νικομηδείᾳ διέτριβε. Κόττας δὲ βουλόμενός τι τῶν προδιημαρτημένων ἀναλαβεῖν, ἧκεν ἀπὸ Χαλκηδόνος, ἐν ᾧ ἥττητο, πρὸς τὴν Νικομήδειαν, καὶ στρατοπεδεύει ν' καὶ ρ' σταδίων τῆς πόλεως ἄποθεν, τὴν συμβολὴν τῆς μάχης ὑπευλαβούμενος. Καταλαμβάνει δὲ Κότταν σπουδῇ πολλῇ αὐτόκλητος ὁ Τριάριος, καὶ Μιθριδάτου ὑποχωρήσαντος εἰς τὴν πόλιν, ἑκατέρωθεν ταύτην πολιορκεῖν τὸ Ῥωμαϊκὸν παρεσκευάζετο στράτευμα. (2) Ἐπεὶ δὲ ὁ βασιλεὺς ἐπυνθάνετο δυσὶ ναυμαχίαις, τῇ μὲν περὶ Τένεδον τῇ δὲ κατὰ τὸν Αἰγαῖον, Λευκόλλου πολεμοῦντος, τοὺς Ποντικοὺς νενικῆσθαι, καὶ οὐχ ἀξιόμαχον αὐτὸν πρὸς τὴν παροῦσαν δύναμιν Ῥωμαίων ἡγεῖτο (τὴν ἐπίβασιν), τῷ στόλῳ εἰς τὸν Πόντον ἀνέπλει, καὶ σφοδρῷ χειμῶνι περιπεσών, τινὰς μὲν τῶν τριήρων ἀποβάλλει, αὐτὸς δὲ μετὰ τῶν πλειόνων εἰς τὸν Ὕπιον ποταμὸν κατηνέχθη. (3) Ἐκεῖ δὲ διὰ τὸν χειμῶνα διατρίβων, Λάμαχον τὸν Ἡρακλεώτην, φιλίαν ἔχων πρὸς αὐτὸν παλαιάν, μαθὼν ἄρχειν τῆς πολιτείας, πολλαῖς ὑποσχέσεσιν εἷλκεν ὥστε παρασκευάσαι αὐτὸν ἐν τῇ πόλει παραδεχθῆναι· ἔπεμπε δὲ καὶ χρήματα. (4) Ὁ δὲ ἀντεδίδου τὴν αἴτησιν, καὶ δημοθοινίαν ἔξω τῆς πόλεως λαμπροτάτην παρασκευασάμενος τοῖς πολίταις, καὶ ταύτῃ μηδὲ τὰς πύλας ἔχειν παρεγγυησάμενος κεκλεισμένας, μεθύσας τε τὸν δῆμον, ἐκ συνθήματος κατὰ τὴν αὐτὴν ἡμέραν ἐφεστάναι λάθρα προπαρασκευάζει τὸν Μιθριδάτην. Καὶ οὕτως ἡ πόλις, μηδὲ τὴν ἄφιξιν αἰσθομένων τῶν Ἡρακλεωτῶν, ὑπὸ χεῖρα Μιθριδάτῃ γίνεται. (5) Τῇ ἐπαύριον δὲ συγκαλέσας τὸ πλῆθος ὁ βασιλεὺς, καὶ φιλίοις δεξιωσάμενος λόγοις, καὶ τὴν εὔνοιαν πρὸς αὐτὸν παραινέσας σώζειν, τετρακισχιλίους δὲ φρουροὺς ἐγκαταστήσας καὶ φρούραρχον Κοννακόριχα, προφάσει τοῦ, εἰ Ῥωμαῖοι βουληθεῖεν ἐπιβουλεύειν, τῆς πόλεως ἐκείνους ὑπερμαχεῖν καὶ σωτῆρας εἶναι τῶν ἐνοικούντων· εἶτα δὲ καὶ χρήματα διανείμας τοῖς ἐν αὐτῇ, μάλιστα δὲ τοῖς ἐν τέλει, ἐπὶ τῆς Σινώπης ἐξέπλευσεν.

XLIII. Λεύκολλος δὲ καὶ Κόττας καὶ ὁ Τριάριος, οἱ Ῥωμαίων αὐτοκράτορες στρατηγοὶ, ἐπὶ τῆς Νικομηδείας καθ' ἓν γενόμενοι, ὥρμηντο εἰς τὸν Πόντον ἐμβαλεῖν· ἐπεὶ δὲ αὐτοῖς ἡ τῆς Ἡρακλείας κατάληψις ἠγγέλθη, ἡ δὲ προδοσία οὐκ ἐγνώσθη, ἀλλὰ τῆς πόλεως ὅλης ἡ ἀπόστασις ἐνομίσθη, Λεύκολλον μὲν ἐδόκει μετὰ τῆς πλείστης δυνάμεως εἰς τὴν Καππαδοκίαν διὰ τῆς μεσογείου χωρεῖν ἐπί τε Μιθριδάτην καὶ τὴν πᾶσαν βασιλείαν, Κότταν δὲ ἐπὶ Ἡρακλείας, τὸν Τριάριον

et condita fuit : atque ita in Romanorum potestatem devenit.

XLII. Ceterum Mithridates Nicomediæ subsistebat. Cotta autem, superiora damna resarcire volens, a Chalcedone, ubi succubuerat, Nicomediam copias transfert, et centum et quinquaginta stadia ab urbe castra metans, a dimicatione cavet. Ibi, magna adhibita festinatione, citatis itineribus Cottam sponte sua Triarius assequitur, et Mithridates in urbem se recepit. Tum uterque Romanus exercitus ad oppugnationem ejus se parat. (2) At rex, cognito gemino conflictu navali, qua circa Tenedum, qua in mari Ægæo, Ponticos a Lucullo victos, nec parem se ad occurrendum præsentibus Romanorum copiis esse, classem in Pontum retro movet; et gravi correptus tempestate, aliquot triremes amittit : ipse tamen cum plurimis in Hypium flumen defertur. (3) Hîc quum tempestas eum moratur, audito, Lamachum Heracliensem, quem antiquo amicitiæ fœdere obstrictum haberet, ad reipublicæ gubernaculum sedere, multis hominem promissis attraxit, ut sibi in urbem recipiendo operam daret. Pecunias etiam miserat hoc nomine. (4) Hic, quæ rogaverat, illi præstat. Publico enim extra urbem epulo civibus splendidissime apparato, sub quod clausas se non habiturum portas fidem dederat, mero populum inescat, utque eo ipso die ex compacto Mithridates superveniat illis dat operam. Itaque, nemine Heracliensium Mithridatis adventum sentiente, urbs in ejus arbitrium venit. (5) Postridie plebem rex convocatam amicis hortatur verbis, utque fidem erga ipsum tueatur, hortatus, Connacorigi cum præsidio quattuor millium urbem custodiendam tradit. Prætextus erat, defensurum se cives, si Romani quid contra moliantur, et conservaturum. Hinc distributis in cives, et maxime in magistratus, pecuniis, versus Sinopen navigationis cursum dirigit.

XLIII. Tum Lucullus et Cotta et Triarius Romanorum duces ad Nicomediam agminibus conjunctis in Pontum irruptionem facere destinarunt. At renuntiata Heracleæ oppugnatione, quum de proditione necdum constaret, sed totius simul civitatis voluntate defectionem contigisse arbitrarentur, Luculli consilium erat, ut ipse cum robore exercitus per mediterranea et Cappadociam moveret in regem et totum ejus regnum; Heracleam oppugnaret Cotta; Tria-

XLII. 1. τι τῶν προδιημαρτ.] ed. Stephani et codd.; τε τῶν διημαρτ. vulg. — Χαλκηδονός] corr. Stephan.; Καρχηδόνος libri. — 2. τὴν ἐπίβασιν] accusativus male adjectus; quare emendandum censuit Stephanus ita, ut in antecedentibus αὐτὸν mutaretur in αὐτοῦ. Bekkerus post ἡγεῖτο interpungens conjecit ἐπὶ Φᾶσιν. — Πόντον] emend. Palmer.; ποταμὸν libri. — 3. φιλίαν... μαθὼν] A.; καὶ φιλ... καὶ μαθ. vulg. — 4. καὶ ταύτῃ] Melius καὶ ἐν aut κἂν. *Stephanus.* — προπαρασκευάζει) ed. Stephani et codd.; παρασκευάζει vulg. — 5. Κοννακόριχα] Ita Stephanus; Κοννακόρηκα cett. « Gallum hunc natione fuisse (ut bene observat de Brosses ad Sallust. Hist. III, not. 48, p. 338 Schlüter.) indicat terminatio ιξ, qua insigniti fuere ap. Gallos viri principes et optimates. Sic Orgetorix, Dumnorix, etc. » *Orelli.*

XLIII. ὁ Τριάριος] Ὀτριάριος tum hic tum aliis locis longe plurimis Hœschel. et Bekker. — ἐπὶ.. Ἰβηρίαν] sc. ad Ser•

δὲ τὸ ναυτικὸν ἀναλαβόντα περὶ τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα τὰς ἐπὶ Κρήτην καὶ Ἰβηρίαν ἀπεσταλμένας Μιθριδατείους ναῦς ὑποστρεφούσας λοχᾶν. (2) Μιθριδάτης δὲ ταῦτα ἀκούων παρεσκευάζετο καὶ διεπρεσβεύετο πρός τε τοὺς Σκυθῶν βασιλεῖς καὶ πρὸς τὸν Πάρθον καὶ πρὸς τὸν γαμβρὸν αὐτοῦ Τιγράνην τὸν Ἀρμένιον. Ἀλλ' οἱ μὲν ἀπεῖπον, Τιγράνης δὲ ὑπὸ τῆς Μιθριδάτου θυγατρὸς πολλάκις ἐνοχληθεὶς καὶ ἀναβαλλόμενος ὅμως ὑπέστη τὴν συμμαχίαν. Καὶ Μιθριδάτης διαφόρους πέμπων κατὰ Λευκόλλου στρατηγούς, καὶ τῆς συμπλοκῆς ἐπιγενομένης, πολύτροποι μὲν συνέβαινον αἱ μεταβολαί, ἐν τοῖς πλείστοις δὲ τὰ Ῥωμαίων ὅμως κατώρθου. (3) Ἠθύμει μὲν ὁ βασιλεύς· ἀθροίσας δ' οὖν πεζῶν μὲν τέσσαρας μυριάδας, ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξέπεμψε Διόφαντον καὶ Ταξίλλην ἐπὶ τοῖς προεσταλμένοις. Τῶν δὲ τοῖς προλαβοῦσι συναφθέντων, κατ' ἀρχὰς μὲν ἀκροβολισμοῖς ἀλλήλων οἱ πολέμιοι καθ' ἑκάστην σχεδὸν ἀπεπειρῶντο· εἶτα ἱππομαχίαι συνέστησαν δύο, ὧν τὴν μὲν ἐνίκων οἱ Ῥωμαῖοι, τὴν δευτέραν δὲ οἱ Ποντικοί. (4) Τριβομένου δὲ τοῦ πολέμου, Λεύκολλος ἀγορὰν ἄξοντας εἰς Καππαδοκίαν ἐκπέμπει, καὶ μαθὼν Ταξίλλης καὶ Διόφαντος πεζοὺς ἐκπέμπουσι τετρακισχιλίους καὶ ἱππεῖς δισχιλίους, ἐφ' ᾧ ἐπιθέμενοι ἀφαιρήσονται τοὺς ἀποκομίζοντας τὰς ἀγοράς. Καὶ συμβαλόντων ἀλλήλοις ἐπικρατέστεροι γεγόνασιν οἱ Ῥωμαῖοι. Πέμψαντος δὲ Λευκόλλου βοήθειαν τοῖς οἰκείοις, τροπὴ γίνεται βαρβάρων περιφανής. (5) Καὶ τῇ φυγῇ τούτων ἡ Ῥωμαίων δύναμις ὁδηγουμένη ἐπὶ τὸ στρατόπεδον τὸ περὶ Διόφαντον καὶ Ταξίλλην ἧκον, καὶ καρτερᾶς πρὸς αὐτοὺς τῆς μάχης γενομένης, ἐπ' ὀλίγον μὲν ἀντέσχον οἱ Ποντικοί, εἶτα τῶν στρατηγῶν πρῶτον ἀποχωρούντων, πάντες ἐνέκλιναν, καὶ Μιθριδάτῃ τοῦ πταίσματος οἱ στρατηγοὶ αὐτάγγελοι παρεγένοντο, καὶ πολὺ πλῆθος τότε τῶν βαρβάρων ἀπώλετο.

XLIV. Οὕτω Μιθριδάτῃ τῶν πραγμάτων περιφανῶς ἀποκεκλιμένων, τῶν τε βασιλίδων γυναικῶν ἡ ἀναίρεσις ἐπεποίητο, καὶ φεύγειν ἐκ τῶν Καβείρων αὐτῷ, ἐν οἷς διέτριβε, λάθρα τῶν ἄλλων ὑπηκόων ὁρμὴ γέγονε. Καὶ ἥλω ἂν ἐν τῇ φυγῇ, τῶν Γαλατῶν ἐπιδιωκόντων, καίπερ τὸν φεύγοντα ἀγνοούντων, εἰ μὴ περιτυχόντες ἡμιόνῳ χρυσὸν καὶ ἄργυρον τῶν Μιθριδατείων χρημάτων φερούσῃ, περὶ τὴν ἁρπαγὴν τούτων ἐσχόλασαν. Καὶ αὐτὸς εἰς Ἀρμενίαν διασώζεται.

XLV. Λεύκολλος δὲ ἐπὶ μὲν τὸν Μιθριδάτην Μάρκον Πομπήιον ἡγεμόνα ἐξέπεμψεν, αὐτὸς δὲ ἐπὶ Καβείρων μεθ' ὅλης ἠπείγετο τῆς δυνάμεως, καὶ τὴν πόλιν περικαθισάμενος σφᾶς αὐτοὺς παραδεδωκότας τοὺς βαρβάρους ὑποσπόνδους ἔσχε καὶ τῶν τειχῶν ἐκυρίευσεν. (2) Ἐκεῖθεν δὲ πρὸς τὴν Ἀμισὸν παραγεγονώς, καὶ

rius autem, assumpta classe, missas in Cretam et Hispaniam Mithridatis naves in reditu circa Hellespontum et Propontidem interciperet. (2) Quibus Mithridates auditis in novos belli apparatus incumbit, et Scytharum reges Parthumque et generum suum Tigranem Armenium sollicitat. Ceteri quidem denegant : at Tigranes, licet diu cunctaretur, sæpius tamen a filia Mithridatis non sine molestia interpellatus, auxilia tandem promisit. Interim diversos contra Lucullum Mithridates præfectos dimittit, et commissis prœliis variæ acciderunt fortunæ vices : in plerisque tamen prospera fortuna Romani usi sunt. Tum Mithridates, qui animum jam despondere cœpit, contractis quadraginta peditum et octo equitum millibus, Diophantum et Taxilen, ultra missos ante, dimittit. Qui quum ad antecessores accessissent, principio velitationibus fere assiduis hostiles exercitus inter se vires explorabant. Postea ad duas pugnas equestres deventum est, quarum altera Romani, altera Pontici victores abiere. (4) Dumque ita bellum ducitur, Lucullus in Cappadociam, qui commeatum inde adferrent, misit. Quo observato, Taxiles et Diophantus quattuor peditum et duo millia equitum contra mittunt, ut, insidiis in medio positis, impedimenta revertentibus adimerent. Ubi ad manus ventum, superant Romani, et subsidiis a Lucullo missis, fuga barbarorum insignis committitur. (5) Quorum vestigiis insistentes Romani, ad ipsa Diophanti et Taxilis castra provehuntur. Ubi valido certamine inito, ad breve tempus obsistere Pontici; mox ubi primi abscesserunt duces, tota inclinata est acies : et ipsi copiarum ductores nuntii cladis venerunt Mithridati. Occubuit tunc ingens barbarorum turba.

XLIV. Hunc ad modum fortuna Mithridatis in pejus devergente, et regiæ uxores necatæ, et ex Cabiris, ubi aliquandiu se continuerat, clam suis rex fugam arripuit : in qua etiam captus esset, insectantibus Gallis, qui tamen regem ignorabant, nisi mula obviam facta, (quæ Mithridatis opibus, argento auroque onusta erat) diripiendo moram nexuissent. Itaque rex in Armeniam elabitur.

XLV. Lucullus autem adversus Mithridatem M. Pompeium mittit ducem, ipseque cum universis copiis in Cabiros movet, urbeque circumsessa, dum barbari certo se pacto ei permittunt, et ipsos in fidem accipit, et castello potitur. (2) Hinc Amisum profectus, et ad deditionem cives cohortium. Vide Plutarch. Lucull. c. 8. — 2 ἀναβαλλόμενος] « Rectius, opinor, ἀναβαλόμενος. » *Schæfer*. — πολύτροποι] ἐπεὶ πολ. voluit Stephanus. — τὰ Ῥωμαίων] τὰ τῶν Ῥ. alii libri. — 4. συμβαλόντων] συμβαλλόντων alii. — 5. ὁδηγουμένη] A; βοηθουμένη vulg. — γενομένης] ed. Stephani et codd.; γεγενημένης vulg.

XLIV. γυναικῶν ἡ ἀναίρεσις] Vide Appian. c. 82; Plutarch. Lucull. c. 18. — Καβείρων αὐτῷ] correx. Hœschel.; Καβήρων αὐτὸς libri.

λόγοις παραινῶν τοὺς ἐν αὐτῇ Ῥωμαίοις προσχωρεῖν, ἐπεὶ οὐκ ἔπειθε, ταύτην λιπὼν εἰς τὴν Εὐπατορίαν μεθίστη τὴν πολιορκίαν. Καὶ ῥαθύμως καταγωνίζεσθαι ταύτης προσεποιεῖτο, ὡς ἂν καὶ τοὺς πολεμίους εἰς ὅμοιον ῥαθυμίας ζῆλον ἐκκαλεσάμενος ἐξ αἰφνιδίου μεταβολῆς κατορθώσῃ τὸ μελετώμενον. (3) Ὃ καὶ γέγονε, καὶ τὴν πόλιν οὕτως εἷλε τῷ στρατηγήματι· ἄφνω γὰρ κλίμακας ἁρπάσαι κελεύσας τοὺς στρατιώτας, τῶν φυλάκων οὐδὲν τοιοῦτον προσδεδοκηκότων ἀλλ' ἐν ὀλιγωρίᾳ διακειμένων, διὰ τῶν κλιμάκων τὸ τεῖχος ὑπερβαίνειν τοὺς στρατιώτας ἐπέτρεψε, καὶ οὕτως ἥλω Εὐπατορία, καὶ αὐτίκα κατέσκαπτο. Μετ' ὀλίγον δὲ καὶ Ἀμισὸς ἑάλω, διὰ τῶν κλιμάκων καὶ αὐτῆς ὁμοίως τῶν πολεμίων ἐπιβάντων τοῖς τείχεσι. Καὶ κατ' ἀρχὰς μὲν φόνος τῶν πολιτῶν οὐκ ὀλίγος γέγονεν, ὕστερον δὲ τὸν ὄλεθρον Λεύκολλος ἐπέσχε, καὶ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῖς διασωθεῖσιν ἀπεκατέστησε, καὶ οἰκειότερον ἐχρῆτο.

XLVI. Μιθριδάτης δὲ πρὸς τὸν γαμβρὸν παραγεγονώς, καὶ συνουσίας τυχεῖν ἀξιῶν, ταύτης μὲν οὐ τυγχάνει, φρουρὰν δὲ τοῦ σώματος παρ' αὐτοῦ λαμβάνει, καὶ τῆς ἄλλης δεξιώσεως μετεῖχεν. (2) Ἔπεμψε δὲ καὶ Λεύκολλος πρὸς Τιγράνην πρεσβευτὴν Ἄπιον Κλώδιον, Μιθριδάτην ἐξαιτῶν· ὁ δὲ οὐκ ἔδωκε, φήσας τὴν ὑπὸ πάντων ἀνθρώπων, εἰ τῆς γαμετῆς πατέρα προδοίη, διευλαβεῖσθαι μομφήν· ἀλλὰ μοχθηρὸς μὲν ὡς εἴη Μιθριδάτης καὶ αὐτὸν εἰδέναι, δυσωπεῖσθαι δὲ τὴν ἐπικηδείαν. (3) Γράφει δὲ καὶ ἐπιστολὴν πρὸς Λεύκολλον τοὺς εἰρημένους λόγους ἔχουσαν, ἥτις παρώξυνε τὸν δεξάμενον· οὐ γὰρ ἐνέγραψεν αὐτὸν αὐτοκράτορα, ἐγκαλῶν ὅτι μηδὲ αὐτὸς ἐκεῖνον κατὰ τὰς ἐπιστολὰς βασιλέα βασιλέων προσηγόρευσεν. Ἐνταῦθα μὲν καὶ ἡ πεντεκαιδεκάτη καταλήγει Ἱστορία.

tatus, ubi non persuadet, omissa illa, ad Eupatoriam obsidionem transfert: et negligenter se illam oppugnare simulat, ut ad similem negligentiam provocatis hostibus, subita mutatione apud animum cogitata prospere conficeret. (3) Et eventus respondit, eoque strategemate urbs capta. Dum enim custodes nihil tale opinantur, sed secure agunt, ille jussis arripere scalas militibus mœnia conscendendi copiam facit. Et sic capta Eupatoria extemplo diruitur. Nec multo post capitur etiam Amisus, scalarum admotione etiam hic superatis ab hoste mœnibus. Et initio cædes non mediocris in cives peragitur; sed postea Lucullus, cæde inhibita, et urbem et regionem superstitibus reddit, et majore in eos clementia utitur.

XLVI. At Mithridates ad generum delatus, expetitum quidem colloquium non impetrat, sed corporis sui custodiam ab eo accipit, et ceteris hospitalitatis officiis afficitur. (2) Misit etiam Lucullus ad Tigranem legatum Appium Clodium, qui Mithridatem exposceret. Is vero non tradit, universorum se criminationem hominum revereri confirmans, si uxoris parentem hosti prodat. Scire se quidem improbum esse Mithridatem; sed tamen affinitatis habere rationem. (3) Epistolam etiam ad Lucullum in hæc verba rescribit; quæ ad iram ipsum provocavit eo quod rex in inscriptione imperatoris nomen omisisset, Lucullum quoque regis regum appellationem sibi non tribuisse cavillatus. Hic decimus quintus historiæ liber exit.

ΕΚ ΤΟΥ ΙϚ' ΒΙΒΛΙΟΥ.

XLVII. Ἱστορία δὲ ἡ ἐφεξῆς τάδε ἀφηγεῖται. Ἀναλαβὼν Κόττας τὰ Ῥωμαϊκὰ στρατεύματα κατὰ τῆς Ἡρακλείας ἐχώρει. Ἀλλὰ πρῶτος μὲν ἐπὶ Προυσιάδος ἦγεν (ἡ δὲ Προυσιὰς πρὶν μὲν ἀπὸ τοῦ παραρρέοντος αὐτὴν ποταμοῦ Κίερος ἐκαλεῖτο, ὁ δὲ τῆς Βιθυνίας βασιλεὺς τῶν Ἡρακλεωτῶν ταύτην ἀφελόμενος ἐξ ἑαυτοῦ μετωνόμασεν), ἐντεῦθεν δὲ ἐπὶ τὴν Ποντικὴν κατῆλθε θάλασσαν, καὶ παρελθὼν τὴν παραλίαν τοῖς κατὰ κορυφὴν τείχεσι τὸ στράτευμα περιέστησεν. (2) Ἐθάρρουν μὲν τῇ τοῦ χωρίου οἱ Ἡρακλεῶται ὀχυρότητι, καὶ καρτερῶς τοῦ Κόττα πολιορκοῦντος, σὺν τοῖς φρουροῖς ἀντεμάχοντο καὶ φόνος ἦν τοῦ Ῥωμαϊκοῦ πλήθους πλέον, τραύματα δὲ πολλὰ τῶν Ἡρακλεωτῶν ἐκ τῶν βελῶν. Κόττας οὖν ἀνακαλεῖται τῆς τειχομαχίας τὸ στράτευμα, καὶ μικρὸν στρατοπε-

E LIBRO XVI.

XLVII. Sequens autem historia hæc commemorat. Motis Romanorum castris adversus Heracleam Cotta contendit. Primo tamen in Prusiadem ducit. (Hæc ab amne præterfluente Cieri appellationem tulerat; sed ademptam Heracliensibus rex Bithyniæ de se denominavit.) Inde ad mare Ponticum descendit et maritimam prætergressus oram, mœnibus in vertice positis castra applicavit. (2) Loci autem firmitati Heraclienses fidebant et Cottæ oppugnationem fortiter urgenti cum præsidio repugnabant; et plures e multitudine Romana cadebant, crebra tamen etiam Heracliensium vulnera erant a telis. Quapropter ab oppugnatione receptui Cotta suis canit, et remotius aliquanto castra

XLV. 3. διασωθεῖσιν ἀπεκατέστησε] διαθεῖσιν ἀποκατέστησε alii.
XLVI. 2. προδοίη] A.; δοίη vulg.
XLVII. 1. πρῶτος] Stephan. et codd.; πρῶτον vulg.

δεύων ἄποθεν, ὅλον ἔτρεπε τὸν σκοπὸν εἰς τὸ τὰς ἐπὶ ταῖς χρείαις ἐξόδους εἴργειν τῶν πολιορκουμένων. Σπανιζόντων δὲ τῇ πόλει τῶν ἐπιτηδείων, πρεσβεία πρὸς τοὺς ἀποίκους ἐξεπέμπετο, τροφῆς δι' ὠνῆς αἰτοῦσα χορηγίαν· οἱ δὲ τῇ πρεσβείᾳ ἠσμένιζον.

LXVIII. Πρὸ βραχέος δὲ ὁ Τριάριος τὸν Ῥωμαϊκὸν στόλον ἔχων, ὥρμησεν ἀπὸ Νικομηδείας ἐπὶ τὰς Ποντικὰς τριήρεις, ἃς προεῖπεν ὁ λόγος περί τε Κρήτην καὶ Ἰβηρίαν ἐξαποσταλῆναι. Μαθὼν δὲ τὰς ὑπολοίπους εἰς τὸν Πόντον ἀνακεχωρηκέναι (πολλαὶ γὰρ αὐτῶν καὶ χειμῶνι καὶ ταῖς κατὰ μέρος ναυμαχίαις εἰς διαφθορὰν ἔδυσαν), καταλαμβάνει δὲ ταύτας, καὶ τὴν μάχην περὶ τὴν Τένεδον συγκροτεῖ, ἑβδομήκοντα μὲν ἔχων τριήρεις αὐτὸς, τῶν δὲ Ποντικῶν ἀγόντων βραχὺ δεούσας τῶν ὀγδοήκοντα. (2) Ἐπεὶ δὲ συνέστη ὁ πόλεμος, κατ' ἀρχὰς μὲν ἀντεῖχον οἱ τοῦ βασιλέως, ὕστερον δὲ τροπῆς αὐτῶν λαμπρᾶς γενομένης, τὸ Ῥωμαίων ἀνὰ κράτος ἐνίκησε στράτευμα, καὶ οὕτως ἅπας ὁ Μιθριδάτειος στόλος, ὅσος ἐπὶ τὴν Ἀσίαν αὐτῷ συνεξέπλευσεν, ἑάλω.

XLIX. Κόττας δὲ παρὰ τὴν Ἡράκλειαν στρατοπεδεύων ὅλῳ μὲν οὐ προσέβαλε τῇ πολιορκίᾳ τέως τῷ στρατῷ, κατὰ μέρος δὲ προσῆγεν, ἐνίους μὲν τῶν Ῥωμαίων, πολλοὺς δὲ προβαλλόμενος τῶν Βιθυνῶν. Πολλῶν δὲ καὶ τιτρωσκομένων καὶ ἀναιρουμένων, μηχανὰς ἐπενόει, ὧν ἐδόκει τοῖς πολιορκουμένοις ἡ χελώνη φοβερωτέρα. (2) Ἐπάγει γοῦν ταύτην ὅλην τὴν δύναμιν συγκινήσας πύργῳ τινὶ ὑπόπτως ἔχοντι πρὸς τὸ παθεῖν. Ὡς δὲ ἅπαξ καὶ δεύτερον πληγεὶς οὐ μόνον παρὰ δόξαν διεκαρτέρει, ἀλλὰ καὶ ὁ κριὸς τῆς ἄλλης ἐμβολῆς προαπεκλάσθη, εὐθυμίαν μὲν τοῖς Ἡρακλεώταις, ἀγωνίαν δὲ παρέσχε Κόττᾳ διαταράττουσαν αὐτὸν, ὡς οὐκ ἂν ἡ πόλις αἱρεθείη ποτέ. (3) Τῇ ὑστεραίᾳ δ' οὖν πάλιν ἐπαγαγὼν τὴν μηχανὴν καὶ μηδὲν ἀνύσας, κατακαίει μὲν τὸ μηχάνημα, ἀποτέμνει δὲ καὶ τὰς τῶν μηχανοποιῶν κεφαλάς· καὶ φρουρὰν τοῖς τείχεσι καταλιπὼν, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὸ καλούμενον πεδίον Λύκαιον διέτριβεν, ἀφθονίαν ἔχοντος τῶν ἐπιτηδείων τοῦ χωρίου· κἀκεῖθεν τὴν περὶ τὴν Ἡράκλειαν χώραν ἅπασαν ἐδῄου, εἰς πολλὴν ἀμηχανίαν τοὺς πολίτας συνελαύνων. (4) Διεπρεσβεύετο γοῦν πάλιν πρός τε τοὺς ἐν Σκυθίᾳ Χερροννησίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ τὸν Βόσπορον δυνάστας ὑπὲρ συμμαχίας· καὶ ἡ πρεσβεία ἀνέστρεφεν ἔμπρακτος. Τῶν δὲ πολεμίων ἐπικειμένων τῇ πόλει, οὐ πολὺ ἔλαττον αὐτῇ τὰ λυποῦντα ἔνδον ἐπετίθετο· οὐ γὰρ ἤρκοῦντο οἱ φρουροὶ οἷς διέζη τὸ δημοτικὸν, τύπτοντες δὲ τοὺς πολίτας χορηγεῖν ἃ μὴ ῥᾶον ἦν αὐτοῖς ἐξ ἀνάγκης ἐκέλευον. Καὶ τῶν φρουρῶν ἔτι μᾶλλον ἦν χαλεπώτερος ὁ ἐφεστηκὼς αὐτῶν Κονναχόριξ, οὐκ ἀπείργων ἀλλ' ἐπιτρέπων τοῖς ὑπὸ χεῖρα τὴν βίαν. (5) Τεμὼν δὲ τὴν χώραν ὁ Κόττας, πάλιν προσβάλλει τοῖς τείχεσιν· ἀθύμους δὲ

metatus, totus in hoc est intentus, ut exitum ad res necessarias intercludat obsessis. Annonæ igitur caritate oborta, dimissis ad colonias legatis, alimenta sibi venundari petunt. Et gratissima illis fuit hæc legatio.

XLVIII. At brevi ante Triarius Romana classe instructus a Nicomedia impetum fecerat in Ponticas triremes, quas supra dictum est versus Cretam et Hispaniam emissas. At quum reliquas in Pontum retro abire rescivisset (multæ enim de his et procella et pugnis, suo quæque loco, navalibus interierant), assecutus illas ad Tenedum, manus conserit; septuaginta ipsi triremes erant, Pontici autem haud multum infra octoginta agebant. (2) Commisso prœlio, regii vim hostium initio sustinent: postea universis in fugam effusis splendidam Romanus victoriam consequitur. Atque ita classis Mithridatis tota, quanta in Asiam exiverat, subacta est.

XLIX. Cotta vero ad Heracleam castra habens, nondum toto oppugnationem exercitu aggressus erat: sed aliquos de Romanis particulatim admovebat, multos Bithyni nominis statuens in fronte. Dumque complures vulnerantur et oppetunt, operibus et machinis animum adjicit: quarum testudo præ aliis formidinem incussit obsessis. (2) Totam igitur hanc vim admovet turri cuidam, ruinæ spem præferenti. Verum ubi semel atque iterum percussa non modo contra opinionem persisteret, sed etiam caput arietis a reliqua trabe distractum avelleretur, animus Heracliensium crescere et perturbatus mœrore Cotta timere cœpit, ne nunquam urbs caperetur. (3) Postero etiam die, quum machina iterum impacta nihil proficeret, instrumentum illud concremat, et fabris capita præcidit; relictoque ad mœnia præsidio, cum cetera militum turba in campo, quod Lycæum vocant, stativa delegit: quo in loco larga erat victus copia: atque inde omni circa Heracleam regione devastata, in magnam cives difficultatem cogit. (4) Quare denuo ad Scythas Chersonesi incolas et Theodosianos et circa Bosporum dynastas de societate legationem mittunt, quæ non absque effectu revertitur. Dumque hostes urbi incumbunt, non multo minus ab internis vexatur molestiis. Præsidiariis enim militibus id non satis erat, quo plebs urbana victitabat. Verberibus igitur mulctatos cives suppeditare, quæ in promptu non erant, per vim jubent. Quid? quod præsidiariis longe importunior erat præfectus Connacorix, non modo non prohibens vim suorum, sed etiam libere permittens. (5) Tum agros populatus Cotta muros iterum adoritur. At quum segnes ad oppugna-

XLIX. 2. τὸ παθεῖν] τὸ πεσεῖν conj. Orelli. — 3. Λύκαιον] Ita Stephanus; λύκειον libri. — 4. ῥᾶον] « Immo ῥᾴδιον. » *Bekker*. — τοῖς ὑπὸ χεῖρα] A.; τῶν ὑπὸ χ. vulg. — τεμὼν] τεμόμενων var. lect.

τοὺς στρατιώτας πρὸς πολιορκίαν ὁρῶν, ἀπάγει τῆς τειχομαχίας, καὶ πέμπει καλῶν τὸν Τριάριον τάχος ταῖς τριήρεσιν ἀφικνεῖσθαι καὶ κωλύειν τὸν διὰ τῆς θαλάσσης ἐπισιτισμὸν τῇ πόλει.

L. Λαβὼν οὖν ἃς εἶχεν ὁ Τριάριος, καὶ Ῥοδίους εἴκοσι ναῦς, ὧν σύμπαν τὸ πλῆθος εἰς τρεῖς καὶ τεσσαράκοντα ἐτέλει, εἰς τὸν Πόντον διαβαίνει, καὶ μηνύει Κόττᾳ καὶ τὸν καιρὸν καὶ τὴν ἄφιξιν. Ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν Κόττας τε τοῖς τείχεσι τὸν στρατὸν προσῆγε, καὶ ὁ κατάπλους τῶν Τριαρίου νεῶν ἐπεφαίνετο. Συνταραχθέντες οὖν οἱ Ἡρακλεῶται πρὸς τὸ αἰφνίδιον τῆς τῶν νεῶν ἐφόδου, ναῦς μὲν ἐπὶ τὴν θάλασσαν τριάκοντα καθεῖλκον, οὐδὲ ταύτας ἀκριβῶς πληροῦντες, τὸ δὲ λοιπὸν πρὸς τὴν πολιορκίαν ἐτρέποντο. (2) Ἀνήγετο μὲν ὁ Ἡρακλεωτικὸς στόλος πρὸς τὰς ἐπιπλεούσας τῶν πολεμίων. Πρῶτοι γοῦν Ῥόδιοι (καὶ γὰρ ἐδόκουν ἐμπειρίᾳ τε καὶ ἀνδρείᾳ τῶν ἄλλων προέχειν) ἐνερράγησαν ταῖς ἐξ Ἡρακλείας, καὶ παραχρῆμα μὲν κατέδυσαν Ῥοδίων μὲν τρεῖς, Ἡρακλεώτιδες δὲ πέντε· ἐπιγενόμενοι δὲ τῇ ναυμαχίᾳ καὶ Ῥωμαῖοι, καὶ πολλὰ παθόντες καὶ ποιήσαντες τοῖς πολεμίοις, πλέον δὲ ὅμως κακώσαντες, ἐτρέψαντο τὰς ἐξ Ἡρακλείας καὶ φεύγειν ἠνάγκασαν πρὸς τὴν πόλιν, τέσσαρας ἀποβαλούσας καὶ δέκα· αἱ τρεψάμεναι δὲ πρὸς τὸν μέγαν ἐνωρμίζοντο λιμένα. (3) Ἀνίστη δ' οὖν καὶ τὸ πεζὸν τῆς πολιορκίας ὁ Κόττας. Οἱ δὲ περὶ τὸν Τριάριον ἀναγόμενοι καθ' ἑκάστην ἀπὸ τοῦ λιμένος, τοὺς σιτηγεῖν ὡρμημένους τοῖς πολιορκουμένοις ἀπεκώλυον· καὶ σπάνις χαλεπὴ τὴν πόλιν κατεῖχεν, ὡς ὀγδοήκοντα Ἀττικῶν τὴν λεγομένην χοίνικα τοῦ σίτου προκόψαι. (4) Ἐπὶ δὲ τοῖς ἄλλοις κακοῖς καὶ λοιμὸς αὐτοῖς ἐπιπεσὼν (εἴτε ἐκ τροπῆς ἀέρων, εἴτε ἐκ τῆς ἀσυνήθους διαίτης) ποικίλην ἐπὶ ποικίλαις παθημάτων ἰδέαις τὴν φθορὰν ἀπειργάζετο, ἐν οἷς καὶ Λάμαχος πικροτέρῳ καὶ μακροτέρῳ τῶν ἄλλων ὀλέθρῳ διέφθαρτο. Ἥψατο δὲ μάλιστα καὶ τῶν φρουρῶν ἡ νόσος, ὡς ἀπὸ τρισχιλίων χιλίους ἀποθανεῖν. Τοὺς Ῥωμαίους δὲ τὸ πάθος οὐκ ἐλάνθανεν.

LI. Καὶ ὁ Κοννακόριξ κακοπαθῶν ταῖς συμφοραῖς ἔγνω τοῖς Ῥωμαίοις προδιδόναι τὴν πόλιν καὶ τῇ τῶν Ἡρακλεωτῶν ἀπωλείᾳ τὴν ἰδίαν σωτηρίαν ἀλλάξασθαι. Συνελαμβάνετο δὲ αὐτῷ καὶ Ἡρακλεώτης ἀνὴρ, ζηλωτὴς τῆς Λαμάχου προαιρέσεως, Δαμωφέλης ὄνομα, φρούραρχος καὶ αὐτὸς τῇ πόλει μετὰ τὴν Λαμάχου φθορὰν καταστάς. Ὁ τοίνυν Κοννακόριξ τὸν Κότταν μὲν, ὡς βαρὺν τὸ ἦθος καὶ ἄπιστον, ἐφυλάττετο, πρὸς τὸν Τριάριον δὲ συνετίθετο. Συνέτρεχε δὲ τούτοις καὶ Δαμωφέλης οὐκ ἐνδεέστερον. Καὶ λαβόντες συνθήκας, αἷς εὐδαιμονήσειν αὐτοὶ ἤλπιζον, πρὸς τὴν προδοσίαν

tionem remissisque animis videt milites, a conatu desistens, vocatum mittit Triarium, ut cum triremibus quamprimum advolet, et commeatus in mari facultatem oppidanis intercipiat.

L. Assumptis ergo Triarius quas habebat navibus et viginti Rhodiis, quarum summa quadraginta tres conficiebat, in Pontum trajicit, et adventus tempore Cottæ significato, eodem die exercitum ad mœnia appellit Cotta, et imminens Triarii classis apparet. Tum repentino navium adventu Heraclienses turbati, triginta naves in mare deducunt; sed eas non satis complent. Reliqua multitudo ad propugnationem se convertit. (2) Dumque classis Heracliensium contra accedentes hostium naves in altum tendit, primi Rhodii, peritia et fortitudine aliis præcellere existimati, in Heracleoticas impressionem faciunt, et statim tres Rhodiorum et quinque Heracliensium deprimuntur. Deinde pugnæ supervenientes Romani, multis acceptis damnis, pluribus tamen illatis, classem Heracliensium fundunt, et ad urbem fugere compellunt, quattuordecim navibus deperditis. Victrices autem in magnum subiere portum. (3) Peditatum etiam ab oppugnatione revocat Cotta. Triariani autem in dies singulos e portu subvecti, eos qui frumenta circumsessis importare conarentur, impediverunt. Ingens igitur annonæ caritas urbem tenuit, ut tritici chœnix quæ dicitur ad octoginta Atticos procederet. (4) Et super alias ærumnas etiam pestis homines invasit, vel ex aeris mutatione vel inconsueta victus ratione exsistens, et per varias calamitatum formas varios hominum interitus efficiebat. Inter quos etiam Lamachus longe acerbiore, quam alii, et lentiore mortis cruciatu exstinguitur. Lues hæc maxime præsidiarios corripiebat, ut de tribus millibus mille interirent. Nec Romanos latuit Heracliensium calamitas.

LI. Atqui Connacorix hac afflictionum mole fatiscens, urbem Romanis prodere, et Heracliensium exitio suam permutare salutem statuit. Operam huc conferebat etiam Heracliensis quidam, consiliorum Lamachi æmulator, cui nomen Damopheli, præsidio urbis et ipse a Lamachi interitu præfectus. At Connacorix a Cotta sane, ut homine moribus importunis et dubia fide, sibi cavet, cum Triario autem rem communicat : nec segnius in eodem cum his studio Damopheles decurrit, et acceptis pactorum conditionibus, quibus se beatos fore sperabant, ad proditionem se accin-

L. 2. Ῥοδίων μὲν τρεῖς] Ῥωμαίων μ. τρ. cod. Margun. — τοῖς πολεμίοις] « Malim πολεμίους. » *Hæschel.* — 3. ἀνίστη... Κόττας] « Sensus verborum hic esse videtur, Cottam copias suas ab urbe oppugnanda revocasse atque in arctius contraxisse, veritum ne Heraclienses fusi fugatique ac in urbem repulsi a Triario deque salute sua desperantes collectis viribus in ipsas impetum facerent, mari diremptas a Triarianis. *Orelli.* — 4. λοιμός] λιμός v. l. — ἐλάνθανεν] ἐλάμβανεν v. l.

LI. 1. ἀλλάξασθαι] alii ἐξαλλάξασθαι et ἀπαλλάξασθαι. — Δαμωφέλης] ita Bekkerus h. loco et paullo infra; δαμοφελής A,

παρεσκευάζοντο. (2) Ἐξ ἐπιπολῆς οὖν τὰ πραττόμενα τοῖς προδόταις διέπιπτεν εἰς τὸν δῆμον. Εἰς ἐκκλησίαν οὖν ἡ πόλις συνέδραμον καὶ τὸν φρούραρχον ἐκάλουν. Βριθαγόρας δὲ τῶν ἐν δήμῳ ἀνὴρ ἐπιφανὴς πρὸς Κοννακόριγα παραγεγονὼς τά τε κατέχοντα τὴν Ἡράκλειαν διεξῄει, καὶ εἰ κἀκείνῳ δοκεῖ, ἐπὶ κοινῇ πάντων σωτηρίᾳ διελάμβανεν Τριαρίῳ διαλέξασθαι. Ταῦτα Βριθαγόρου μετὰ πολλῆς οἰκτισαμένου δεήσεως, διαναστὰς ὁ Κοννακόριξ τοιαύτην μὲν συνθήκην ἀπεῖπε πράττεσθαι, ἔχεσθαι δὲ τῆς ἐλευθερίας καὶ τῶν κρειττόνων ὑπεκρίνατο ἐλπίδων· καὶ γὰρ καὶ τὸν βασιλέα μαθεῖν διὰ γραμμάτων ὑπὸ Τιγράνους τε τοῦ γαμβροῦ φιλοφρόνως δεδέχθαι, καὶ οὐκ εἰς μακρὰν ἐκεῖθεν προσδοκᾶν τὴν ἀποχρῶσαν βοήθειαν. (3) Ἀλλ' ἐκείνοις μὲν ταῦτα ὁ Κοννακόριξ ἐσκηνικεύετο· οἱ δὲ Ἡρακλεῶται τούτοις τοῖς λόγοις ἐξηπατημένοι (ἀεὶ γὰρ αἱρετὸν τὸ ἐράσμιον) ὡς ἀληθέσι τοῖς τερατευθεῖσιν ἐπίστευον. Ὁ δὲ Κοννακόριξ, ὡς ἠπατημένους ἔγνω, κατὰ μέσας νύκτας ἐπιβιβάσας ἡσύχως ταῖς τριήρεσι τὸ στράτευμα (αἱ γὰρ πρὸς τὸν Τριάριον συνθῆκαι κακῶν ἀπαθεῖς ἀπιέναι, καὶ εἴ τι κεκερδαγκότες εἴησαν, μεθ' ἑαυτῶν ἄγειν ἐπέτρεπον), καὶ αὐτὸς τούτοις συνεξέπλευσε. Δαμωφέλης δὲ τὰς πύλας ἀνοίξας εἰσχεόμενον τὸν Ῥωμαϊκὸν στρατὸν καὶ τὸν Τριάριον εἰσεδέχετο, τοὺς μὲν διὰ τῆς πύλης, ἐνίους δὲ καὶ τὴν στεφάνην ὑπερβαίνοντας. (4) Καὶ τότε τῆς προδοσίας οἱ Ἡρακλεῶται ἐπῄσθοντο· καὶ οἱ μὲν σφᾶς αὐτοὺς παρεδίδοσαν, οἱ δὲ ἐκτείνοντο, τά τε κειμήλια καὶ τὰ ἔπιπλα διηρπάζετο, καὶ πολλὴ τοὺς πολίτας ὠμότης ἐλάμβανε, μεμνημένων Ῥωμαίων, ὅσα τε παρὰ τὴν ναυμαχίαν πάθοιεν, καὶ ὅσα τεταλαιπωρηκότες ἐπὶ τῇ πολιορκίᾳ ὑπέστησαν. Οὐκ ἀπείχοντο γοῦν οὐδὲ τῶν ἐπὶ τοῖς ἱεροῖς πεφευγότων, ἀλλὰ παρά τε τοῖς βωμοῖς καὶ τοῖς ἀγάλμασιν αὐτοὺς ἔσφαττον. (5) Διὸ πολλοὶ διαπίπτοντες ἐκ τῶν τειχῶν φόβῳ τοῦ ἀφύκτου θανάτου κατὰ πᾶσαν ἐσκεδάννυντο χώραν· οἱ δὲ αὐτομολεῖν πρὸς τὸν Κότταν ἠναγκάζοντο, ἐξ ὧν ἐκεῖνος τήν τε ἅλωσιν καὶ τὸν φθόρον τῶν ἀνθρώπων καὶ τὴν διαρπαγὴν τῶν χρημάτων πυθόμενος ὀργῆς ἀνεπίμπλατο, καὶ διὰ ταχέων πρὸς τὴν πόλιν ἠπείγετο. Συνεχαλέπαινε δὲ καὶ τὸ στράτευμα, ὡς μὴ μόνον τὴν ἐπὶ τοῖς κατωρθωμένοις εὐδοξίαν ἀφῃρημένον, ἀλλὰ καὶ τῶν λυσιτελειῶν ἁπάσας παρὰ τῶν αὐτῶν διηρπασμένοι. Καὶ εἰς μάχην ἂν τοῖς ὁμοφύλοις κατέστησαν ἄσπονδον καὶ κατεκόπησαν ἂν ὑπ' ἀλλήλων, εἰ μὴ ὁ Τριάριος ἐπιγνοὺς τὴν ὁρμὴν αὐτῶν, πολλοῖς ἐκμειλίξας λόγοις τόν τε Κότταν καὶ τὸν στρατόν, καὶ εἰς τὸ κοινὸν τὰ κέρδη καταθεῖναι βεβαιωσάμενος, τὸν ἐμφύλιον ἀνεχαίτισε πόλεμον.

LII. Ἐπεὶ δὲ ἐπυνθάνοντο τὸν Κοννακόριγα κατειληφότα τὴν Τῖον καὶ τὴν Ἄμαστριν, αὐτίκα Κόττας τὸν Τριάριον ἐκπέμπει ἀφαιρησόμενον αὐτὸν τὰς πό-

gunt. (2) Obiter autem quæ a proditoribus agebantur, in vulgus emanant. In concionem igitur urbs concurrit, præsidiique præfectus advocatur. Tum Britagoras, vir inter populares præcipuæ auctoritatis, Connacorige convento, quo loco sit Heraclea, edisserit, et si ille comprobet, de communi omnium salute cum Triario conferendum esse censet. Hæc quum miserabiliter, multis intermixtis precibus, perorasset Britagoras, surgens Connacorix pacificationem eam suscipiendam esse negat, sed ut libertatis et melioris fortunæ spei inhærerent, per simulationem suasit: etenim per literas se cognovisse, regem a Tigrane genero benigne susceptum, nec longum post intervallum sufficiens inde exspectare auxilium. (3) Hanc tum larvam scenicam illis prætendebat Connacorix. Quare his verbis decepti Heracliensès (semper enim, quod adlubet, appetitur) astute confictis, ut veris, fidem adhibuere. Connacorix, ut in fraudem deductos videt, nocte intempesta, exercitu navibus imposito (per fœdus enim cum Triario initum salvis abire, et si quid lucri fecissent, secum asportare licebat), ipse cum militibus discedit. Damopheles autem, solutis portis, introfusum Romanorum exercitum et Triarium recepit: quorum alii per portam irrumpunt, nonnulli etiam muri pinnacula transcendunt. (4) Tum demum proditos se Heraclienses sentiunt; parsque horum se dedit, pars trucidatur. Res in abdito repositæ et supellectilia diripiuntur, et magna crudelitate in cives desævitur. Nam recurrit animo Romanis, quanta navali conflictu detrimenta accepissent, et quantas sustinuissent ærumnas in oppugnatione. Ideoque neque ab his, qui ad deûm sacra confugerant, temperatum; sed juxta aras deorumque imagines supplices mactati. (5) Quocirca multi trans muros elapsi, mortis inevitabilis metu, per totam disperguntur regionem, nonnullis etiam ad Cottam transfugere coactis. A quibus ille de expugnatione urbis et hominum strage et direptione bonorum certior factus, ira totus exardescit, et quam celerrime ad urbem festinat. Moleste etiam simul tulit exercitus, quod non modo gloria rerum fortiter gestarum spoliati, sed etiam commodis universis fraudati essent ab iisdem. Ideo implacabili cum gentilibus certamine conserti mutuis se cædibus hausissent, nisi Triarius, concitatione illorum intellecta, multis placasset verbis Cottam, et in commune se lucra exhibiturum sancte promisso, bellum intestinum prohibuisset.

LII. Ubi vero audivit, Connacorigem Tium et Amastrin occupasse, sine mora Triarium Cotta dimisit, ut has illi urbes adimeret. Ipse interim, acceptis deditititiis et captivis,

---

δαμοφιλής cett. — βαρὺν] A.; βάρβαρον cett. — 2. κἀκείνῳ] Steph. et codd.; κἀκεῖνο vulg. — δεδέχθαι] δέχεσθαι A. — 3. κεκερδαγκότες] κεκερδακότες A. cf. Buttmann. Gramm. gr. II. p. 164. — 5. πυθόμενος] al. πειθόμενος. — ἀφῃρημένον] emend. Scaliger., ἀφῃρημένοι Hœschel., ἀφῃρημένων libri.

λεις· αὐτὸς δὲ τούς τε προσκεχωρηκότας ἄνδρας λαβὼν καὶ τοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνθρώπους, τὰ λοιπὰ μετὰ πάσης διεῖπεν ὠμότητος. Χρήματα γοῦν διερευνώμενος οὐδὲ τῶν ἐν ἱεροῖς ἐφείδετο, ἀλλὰ τούς τε ἀνδριάντας καὶ τὰ ἀγάλματα ἐκίνει, πολλὰ καὶ καλὰ ὄντα· καὶ δὴ καὶ τὸν Ἡρακλέα τὸν ἐκ τῆς ἀγορᾶς ἀνῄρει, καὶ σκευὴν αὐτοῦ τὴν ἀπὸ τῆς πυραμίδος, πολυτελείας καὶ μεγέθους καὶ δὴ καὶ ῥυθμοῦ καὶ χάριτος καὶ τέχνης οὐδενὸς τῶν ἐπαινουμένων ἀπολειπομένην. (2) Ἦν δὲ ῥόπαλον σφυρήλατον ἀπέφθου χρυσοῦ πεποιημένον· κατὰ δὲ αὐτοῦ λεοντῆ μεγάλη ἐκέχυτο, καὶ γωρυτὸς τῆς αὐτῆς μὲν ὕλης, βελῶν δὲ γέμων καὶ τόξου. Πολλὰ δὲ καὶ ἄλλα καλὰ καὶ θαυμαστὰ ἀναθήματα ἔκ τε τῶν ἱερῶν καὶ τῆς πόλεως ἀφελὼν, ταῖς ναυσὶν ἐγκατέθετο· καὶ τὸ τελευταῖον πῦρ ἐνεῖναι τοῖς στρατιώταις κελεύσας τῇ πόλει, κατὰ πολλὰ ταύτην ἐνέπρησε μέρη. Ἑάλω δὲ ἡ πόλις ἐπὶ δύο ἔτη τῇ πολιορκίᾳ ἀντισχοῦσα. (3) Ὁ δὲ Τριάριος παραγεγονὼς ἐν αἷς ἐπέσταλτο πόλεσι, Κοννακόριχι (οὗτος γὰρ τὴν τῆς Ἡρακλείας προδοσίαν ἑτέρων κατασχέσει συγκαλύπτειν διενοεῖτο) δοὺς ἄδειαν τῆς ἀναχωρήσεως, καθ' ὁμολογίαν λαμβάνει τὰς πόλεις. Ὁ δὲ Κόττας ἅπερ εἴρηται διαπραξάμενος, τὸ μὲν πεζὸν καὶ τοὺς ἱππεῖς ἐκπέμπει Λευκόλλῳ, καὶ τοὺς συμμάχους ἀφῆκεν ἐπὶ τῶν πατρίδων· αὐτὸς δ' ἀνήγετο τῷ στόλῳ. Τῶν δὲ νεῶν, αἳ τὰ τῆς πόλεως λάφυρα ἦγον, αἱ μὲν κατάφορτοι γενόμεναι μικρὸν ἄποθεν τῆς γῆς διελύθησαν· αἱ δὲ, Ἀπαρκτίου πνεύσαντος, ἐξεβράσθησαν εἰς τὰ τενάγη, καὶ πολλὰ τῶν ἀγωγίμων ἀπεβάλοντο.

LIII. Λεόνιππος δὲ ὁ σὺν Κλεοχάρει παρὰ Μιθριδάτου τὴν Σινώπην ἐπιτραπεὶς, ἀπεγνωκὼς τῶν πραγμάτων, πέμπει περὶ προδοσίας πρὸς Λεύκολλον. Ὁ δὲ Κλεοχάρης ἅμα Σελεύκῳ (καὶ γὰρ οὗτος τῶν Μιθριδάτου στρατηγὸς ἰσοστάσιος τῶν εἰρημένων ἦν) τὴν Λεονίππου μαθόντες προδοσίαν, ἐκκλησίαν ἀθροίσαντες κατηγόρουν αὐτοῦ. Οἱ δὲ οὐ προσίεντο· ἐδόκει γὰρ αὐτοῖς εἶναι χρηστός. (2) Καὶ οἱ περὶ Κλεοχάρην δείσαντες τοῦ πλήθους τὴν εὔνοιαν, ἐξ ἐνέδρας νυκτὸς ἀποσφάττουσι τὸν ἄνδρα. Καὶ τὸ μὲν δημοτικὸν ἤχθετο τῷ πάθει, οἱ δὲ περὶ Κλεοχάρην τῶν πραγμάτων κύριοι καταστάντες τυραννικῶς ἦρχον, ταύτῃ νομίζοντες διαφυγεῖν τῆς ἐπὶ Λεονίππῳ μιαιφονίας τὴν δίκην. (3) Ἐν τούτῳ Κηνσωρῖνος ναύαρχος Ῥωμαίων, τριήρεις ἄγων πεντεκαίδεκα σῖτον ἀπὸ Βοσπόρου τῷ Ῥωμαίων κομιζούσας στρατοπέδῳ, πλησίον Σινώπης κατῆρε· καὶ οἱ περὶ Κλεοχάρην καὶ Σέλευκον ἀνταναχθέντες Σινωπικαῖς τριήρεσιν, ἡγουμένου Σελεύκου, καθίστανται εἰς

cetera per omnem sævitiam administravit. Nam dum opes passim scrutatur, ne sacris quidem parcit. Statuas enim et imagines tam pulchras quam multas loco movit: quin etiam Herculem e foro, et ornatum ejus a pyramide, sumptu, magnitudine nec non opificio et arte nullo laudatissimorum operum inferiorem, sustulit. (2) Erat autem clava malleo cusa ex auro purissimo, et leonina ipsi circumfusa, corytusque ex eadem materia, arcu et sagittis refertus. Multa etiam alia æque miranda atque pulchra, e fanis et urbe sublata, navibus infersit. Ad ultimum jussis ignem immittere militibus, multis urbem partibus succendit. Ita capta et subacta est civitas, quum duos oppugnationem annos sustinuisset. (3) Sub hæc Triarius ad urbes sibi demandatas profectus, Connacorigi (is enim proditionem Heracleæ aliarum occupatione dissimulare animo præsumpserat) securitate abeundi facta, civitates sub conditionibus certis recipit. Cotta autem, rebus, quo dictum est, modo confectis, pedestres copias una cum equitatu Lucullo tradit, et sociorum auxilia in suam quæque patriam dimittit; ipse vero cum classe avehitur. Ibi navium, quæ urbis spolia vectabant, pars supra modum onerata haud procul a litore solvitur, pars, Aparctia vento contra flante, in vada procellis ejectæ, pleraque asportandorum excussere.

LIII. Tum Leonippus, cui cum Cleochare Sinopes cura et tutatio commendata fuerat a Mithridate, re desperata, de proditione ad Lucullum mittit. At Cleochares cum Seleuco (nam hic quoque Mithridatis erat legatus, officii auctoritate cum ceteris æquatus) Leonippi proditionem odorati, advocata concione, hominem accusant: cives vero criminis hujus actionem non admittunt, quod probum esse existimabant. (2) Ideo Cleocharis factio, gratiam ejus apud plebem metuens, noctu ex insidiis hominem trucidant. Populus quidem hunc casum ægre ferre; sed Cleochares cum suis rerum potiri et tyrannice res administrare, hac via parricidii in Leonippum pœnas subterfugituros se existimantes. (3) Interim Censorinus, Romanæ classis prætor, triremes agens quindecim, commeatum a Bosporo Romanorum castris advehentes, prope Sinopen appellit. Contra quem Cleocharis et Seleuci triremes Sinopicæ, ductu Se-

LII. 1. αὐτὸν τὰς πόλεις] Scaliger; αὐτῶν τ. π. libri. — τὴν ἀπὸ πυραμίδος] « Mirifice placet conjectura Jos. Scaligeri, τὴν ἐπὶ τῆς πυρ. Videtur scilicet ista Herculis statua reclinata fuisse pyramidi æneæ, cujus apici adcusa videbatur clava cum leonina ex auro purissimo. Sensum bene expressit Gedoynus in versione sua Gallica: *Il y avait dans le marché un Hercule adossé contre une pyramide.* » *Orelli.* — 2. ἐνέπρησε] al. ὑπέπρησε. — 3. ἐξεβράσθησαν] ed. Stephani et codd.; ἐξεβιάσθησαν vulgo.

LIII. 1. Κλεοχάρει] Strabo XII, p. 545 pro Cleochare nominat Βακχίδην. — 3. τῷ Ῥωμαίων στρ.] A.; τῶν Ῥ. στρ. cett. — κατῆρε] A.; κατῆγε cett.

ναυμαχίαν· καὶ νικῶσι τοὺς Ἰταλοὺς καὶ τὰς φορτηγοὺς ἐπὶ τῷ σφῶν ἀφαιροῦνται κέρδει. (4) Ἐπήρθησαν οὖν οἱ περὶ Κλεοχάρην τῷ κατορθώματι, καὶ τυραννικώτερον ἔτι τῆς πόλεως ἦρχον, φόνους τε ἀκρίτους τῶν πολιτῶν ποιοῦντες καὶ τὰ ἄλλα τῇ ὠμότητι ἀποχρώμενοι. (5) Ἐγένετο δὲ καὶ στάσις πρὸς ἀλλήλους Κλεοχάρει καὶ Σελεύκῳ· τῷ μὲν γὰρ ἤρεσκε διακαρτερεῖν τῷ πολέμῳ, Σελεύκῳ δὲ πάντας Σινωπεῖς ἀναιρεῖν, καὶ Ῥωμαίοις ἐπὶ δωρεαῖς μεγάλαις παρασχεῖν τὴν πόλιν. Πλὴν οὐδεμία τῶν γνωμῶν κρίσιν ἔσχε, τὰ δὲ ὑπάρχοντα λαθραίως ναυσὶ στρογγύλαις ἐνθέμενοι πρὸς Μαχάρην τὸν Μιθριδάτου υἱόν, ὃς κατ' ἐκεῖνο καιροῦ ἦν, περὶ τὴν Κολχίδα ἐξέπεμπον.

LIV. Ἐν τούτῳ δὲ Λεύκολλος ὁ τῶν Ῥωμαίων αὐτοκράτωρ παραγίνεται τῇ πόλει καὶ κραταιῶς ἐπολιόρκει. Ἐπρεσβεύετο δὲ καὶ Μαχάρης ὁ τοῦ Μιθριδάτου πρὸς Λεύκολλον περὶ φιλίας τε καὶ συμμαχίας. Ὁ δὲ ἀσμένως ἐδέχετο, εἰπὼν βεβαίους νομιεῖν τὰς συμβάσεις, εἰ μὴ καὶ τοῖς Σινωπεῦσιν ἀγορὰν διαπέμποι. Ὁ δὲ οὐ μόνον τὸ κελευόμενον ἔπραττεν, ἀλλὰ καὶ ἃ παρεσκεύαστο πέμπειν τοῖς Μιθριδατείοις, ἐξαπέστειλε Λευκόλλῳ. (2) Ταῦτα οἱ περὶ Κλεοχάρην θεασάμενοι, καὶ τέλεον ἀπογνόντες, πλοῦτον πολὺν ταῖς ναυσὶν ἐνθέμενοι, καὶ τὴν πόλιν διαρπάσαι τοῖς στρατιώταις ἐφέντες (ὑπὸ νύκτα δὲ ταῦτα ἐπράττετο) διὰ τῶν πλοίων ἔφευγον εἰς τὰ ἐσώτερα τοῦ Πόντου (Σάνηγας δὲ καὶ Λαζοὺς ἐποίκους εἶχον τὰ χωρία), ταῖς ὑπολειφθείσαις τῶν νεῶν πῦρ ἐνέντες. (3) Αἱρομένης δὲ τῆς φλογός, ᾔσθετο Λεύκολλος τοῦ ἔργου, καὶ κλίμακας κελεύει προσάγειν τῷ τείχει. Οἱ δὲ ὑπερέβαινον· καὶ φθόρος ἦν κατ' ἀρχὰς οὐκ ὀλίγος· ἀλλὰ τὸ πάθος Λεύκολλος οἰκτείρας, τὴν σφαγὴν ἐπέσχεν. Οὕτω μὲν οὖν ἥλω καὶ ἡ Σινώπη· ἔτι δὲ ἡ Ἀμάσεια ἀντεῖχεν, ἀλλὰ μετ' οὐ πολὺ καὶ αὐτὴ προσεχώρησε Ῥωμαίοις.

LV. Μιθριδάτης δὲ ἐνιαυτὸν καὶ μῆνας ὀκτὼ ἐν τοῖς μέρεσι τῆς Ἀρμενίας διατρίβων, οὔπω εἰς ὄψιν κατέστη Τιγράνου. Ἐπεὶ δὲ Τιγράνης ἐδυσωπήθη εἰς θέαν αὐτὸν καταστῆσαι, μετὰ λαμπρᾶς τε τῆς πομπῆς ἀπήντα καὶ βασιλικῶς ἐδεξιοῦτο. Ἐπὶ δὲ τρεῖς ἡμέρας ἀπορρήτως αὐτῷ ὁμιλήσας, ἔπειτα λαμπροτάταις ἑστιάσεσι φιλοφρονησάμενος μυρίους δίδωσιν ἱππεῖς, καὶ ἐπὶ τὸν Πόντον ἐκπέμπει.

LVI. Λεύκολλος δὲ εἰς τὴν Καππαδοκίαν ἐληλυθὼς καὶ φίλον ἔχων τὸν ἐπάρχοντα ταύτης Ἀριοβαρζάνην,

leuci egressæ, navali prœlio decernunt : et victis Italis naves onerarias in suum duces lucrum auferunt. (4) Elatus igitur hoc successu Cleochares cum collega plus quam antea tyrannico urbem imperio premit. Nam causis legitimo judicio non disceptatis, ad neces oppidanos rapiunt, et ad multa alia crudelitate sua abutuntur. (5) Accidit autem, ut in contraria scinderentur studia Cleochares et Seleucus. Ille enim persistendum in bello, hic, trucidatis Sinopensibus omnibus, urbem Romanis, magnifico remunerationis pacto, tradendam censebat. Atqui neutra sententia effectum habuit, sed quicquid possidebant, navibus onerariis furtim ingestum ad Macharem, filium Mithridatis, tum temporis in Colchide agentem, dimittunt.

LIV. Sub idem tempus Lucullus Romanorum imperator, ad urbem accedens, valido eam nixu oppugnat : cum quo Machares etiam amicitiæ et societatis fœdus per legationem petit. Is igitur, petitione benigne admissa, fœdus pro firmo se habiturum respondit, si nullo Sinopenses commeatu juvet. Tum is non solum imperata facit, sed etiam destinata Mithridaticis ad Lucullum deferenda curavit. (2) Hæc ubi Cleocharis factio videt, spem omnem abjiciunt, magnisque in naves opibus congestis, et urbe ad direptionem militibus concessa (sub noctem ista fiebant), navigiis ad interiora Ponti, quæ a Sanegibus et Lazis incoluntur, aufugiunt, quum reliquam classem incendissent. (3) Excitata igitur flamma, quid actum sit, Lucullus animadvertit, scalasque ad mœnia adhibere jussi milites transcendunt. Fit primum cædes non exigua; sed misertus calamitatum Lucullus, ne sæviatur ulterius, interdicit. Ad hunc igitur modum etiam Sinope in Romanorum arbitrium venit. Repugnabat etiamnum Amasea, sed non multum intercessit spatii, quum etiam ipsa in Romanorum fidem concessit.

LV. Porro Mithridates annum et octo menses in partibus Armeniæ demoratus nondum in generi conspectum admissus erat. Hic tamen exoratus tandem, ut coram se sistendi potestatem ei faceret, splendida cum pompa occurrit, et regali socerum magnificentia excipit. Ac triduum secreto cum eo transegit; lautissimis inde conviviorum apparatibus benevolentiam ei suam quum ostentasset, decies mille instructum militibus in Pontum remittit.

LVI. Inter hæc Lucullus in Cappadociam ingreditur, et Ariobarzane terræ regulo utens amico, inopinate Euphra-

LIV. 1. Μαχάρης] Cf. Appian. c. 83; Plutarch. Lucull. c. 24. — καὶ τοῖς Σινωπεῦσιν] ex emend. Bekkeri ; καί τισι Σ. libri. — Λευκόλλῳ] ex emend. Rhodomanni; Σελεύκῳ libri. — 2. ἐφέντες] al. ἀφέντες. — 3. ἐσώτερα] ἑώτερα ed. Stephanus. — Σάνηγας] Sanegas Palmerius eosdem cum Zanis Ammiano Marcellino memoratis (XXV, 1) esse putabat. Contra quem Orellius affert testimonium Arriani in Periplo Pont. Eux. c. 11, 1, ubi hæc : ἔθνη δὲ παρεμείψαμεν τάδε.... οὓς Ξενοφῶν μὲν Δρίλλας ὀνομάζει, ἐμοὶ δὲ δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι... et deinde : Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵναπερ καὶ ἡ Σεβαστόπολις ᾤκισται. — Λαζούς] De his Procopius de Bello Goth. lib. IV cum alia tum hæc scribit : Τῶν Λαζῶν οἱ πλεῖστοι ἀνήκεστα πρὸς τῶν Ῥωμαίων στρατιωτῶν δεινὰ πάσχοντες, καὶ διαφερόντως τοῖς ἄρχουσι τοῦ στρατοῦ ἀχθόμενοι, ἐμήδιζον ἐκ τοῦ ἐπιπλεῖστον· οὐ τὰ Περσῶν ἀσπαζόμενοι, ἀλλ' αὐτοὺς ἀπαλλαξείοντες τῆς Ῥωμαίων ἀρχῆς καὶ τῶν δυσχερῶν, τὰ τέως μὴ παρόντα αἱρούμενοι. *Hæschel.* — 3. ἀλλὰ μετ' οὐ πολὺ] libri ἀλλ' οὐ μετ' οὐ πολύ.

LV. μέρεσι] Perplacet Orellii conjectura pro μέρεσι scribendum putantis ἕλεσι; nam ita Plutarchus Lucull. c. 22 : ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν (Tigranes Mithridatem) τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς. — κατέστη] leg. videtur καθειστήκει. *Stephan.* — αὐτὸν καταστῆσαι] al. αὐτὸν κ.

διέβη τε παρὰ δόξαν πεζῇ τὸν Εὐφράτην, καὶ προσῆγε τὸν στρατὸν τῇ πόλει, ἐν ᾗ τάς τε Τιγράνου παλλακίδας φυλάττεσθαι μεμαθήκει, καὶ πολλὰ τῶν σφόδρα τιμίων. Καταλελοίπει δὲ καὶ τοὺς Τιγρανόκερτα πολιορκήσοντας, καὶ στράτευμα ἄλλο ἐπὶ τῶν πολισμάτων τὰ σπουδαιότερα. (2) Οὕτω δὲ τῆς Ἀρμενίας κατὰ πολλὰ μέρη πολιορκουμένης, ἔπεμπε Τιγράνης ἀνακαλῶν Μιθριδάτην, καὶ στρατὸν δὲ περὶ τὴν πόλιν, ἐν ᾗ τὰς παλλακίδας ἔθετο, διέπεμπεν· οἳ καὶ παραγεγονότες, καὶ τοξείᾳ τοῦ Ῥωμαίων στρατοπέδου τὰς ἐξόδους διακλείσαντες, τάς τε παλλακίδας καὶ τὰ τιμιώτατα τῶν κειμηλίων διὰ νυκτὸς προεξέπεμψαν. (3) Ἡμέρας δὲ ἀνασχούσης, καὶ τῶν Ῥωμαίων ἅμα [καὶ] τῶν Θρᾳκῶν ἀνδρείως ἀγωνιζομένων, φόνος τε πολὺς τῶν Ἀρμενίων γίνεται, καὶ ζωγρίᾳ τῶν ἀνῃρημένων ἑάλωσαν οὐκ ἐλάττους· τὰ μέντοι γε προαποσταλέντα διεσώζετο πρὸς Τιγράνην.

LVII. Δύναμιν δὲ οὗτος ἀθροίσας ὀκτὼ μυριάδας κατέβαινε, τήν τε Τιγρανοκέρταν ἐξαιρησόμενος τῶν συνεχόντων καὶ ἀμυνούμενος τοὺς πολεμίους. Φθάσας δὲ καὶ ἰδὼν τὸ Ῥωμαίων ὀλίγον στρατόπεδον, ὑπεροπτικοὺς ἠφίει λόγους, ὡς, εἰ μὲν πρεσβευταὶ παρεῖεν, πολλοὶ, φάμενος, συνῆλθον· εἰ δὲ πολέμιοι, παντελῶς ὀλίγοι· καὶ ταῦτα εἰπὼν ἐστρατοπεδεύετο. (2) Λεύκολλος δὲ τέχνῃ καὶ μελέτῃ πρὸς τὴν μάχην παραταξάμενος, καὶ θαρρύνας τοὺς ὑπ' αὐτὸν, τρέπει τε τὸ δεξιὸν εὐθὺς κέρας, εἶτα τούτῳ συναπέκλινε τὸ πλησίον, ἑξῆς δὲ σύμπαντες. Καὶ δεινή τις καὶ ἀνεπίσχετος τοὺς Ἀρμενίους ἐπέσχε τροπή· καὶ κατὰ λόγον ἡ τῶν ἀνθρώπων εἵπετο φθορά. (3) Τιγράνης δὲ τὸ διάδημα καὶ τὰ παράσημα τῆς ἀρχῆς ἐπιθεὶς τῷ παιδὶ, πρός τι τῶν ἐρυμάτων διαφεύγει. Ὁ δὲ Λεύκολλος πρὸς τὰ Τιγρανόκερτα ἀναστρέψας, προθυμότερον ἐπολιόρκει. Οἱ δὲ κατὰ τὴν πόλιν Μιθριδάτου στρατηγοὶ, τῶν ὅλων ἀπεγνωκότες, ἐπὶ τῇ σφετέρᾳ σωτηρίᾳ Λευκόλλῳ παρέδοσαν τὴν πόλιν.

LVIII. Ὁ μέντοι Μιθριδάτης πρὸς Τιγράνην παραγεγονὼς ἀνελάμβανέ τε αὐτὸν, καὶ βασιλικὴν ἐσθῆτα περιετίθει τῆς συνήθους οὐκ ἐλαττουμένην, καὶ λαὸν ἀθροίζειν συνεβούλευεν, ἔχων καὶ αὐτὸς δύναμιν οὐκ ὀλίγην, ὡς πάλιν ἀναμαχούμενον τὴν νίκην. Ὁ δὲ πάντα τῷ Μιθριδάτῃ ἐπέτρεπεν, ἔν τε τῷ γενναίῳ καὶ συνετῷ τὸ πλέον νέμων αὐτῷ, καὶ [ὡς] μᾶλλον ἀντέχειν εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον δυναμένῳ. (2) Αὐτὸς δὲ πρὸς τὸν Πάρθον Φραδάτην διεπρεσβεύετο παραχωρεῖν αὐτῷ τὴν Μεσοποταμίαν καὶ τὴν Ἀδιαβηνὴν καὶ

tem cum equitatu transit, et agmen ad urbem adducit, ubi Tigranis pellices, et de rebus pretiosis ac caris non pauca asservari didicerat. Copias etiam, quæ Tigranocerta oppugnent, et alias, quæ præcipua illic oppida tentent, relinquit. (2) Dum hoc modo Armenia multis oppugnatur partibus, mittit Tigranes, qui Mithridatem revocent. Exercitum etiam ad tutandam urbem, in qua pellices erant dispositæ, ire jubet. Qui quum eo venissent, interclusis sagittarum grandine exitibus e Romanorum castris, et concubinas, et gazas periculo exemptas noctu præmittunt. (3) Ubi illuxit, Romani et Thraces certamine cum Armeniis fortiter inito, prolixam horum faciunt stragem, nec pauciores vivos capiunt, quam cædunt. Præmissa tamen ad Tigranem tuta manent et salva.

LVII. Hic, octoginta millibus contractis, ut Tigranocertam ab urgentibus malis eripiat, propulsetque hostes, descendit. Confestim vero, ut Romanorum exilitatem vidit castrorum, superba per contemptum de iis verba jacit: « Si legati sunt, inquit, multi simul venerunt: sin hostes, perpauci. » Quibus dictis, castris locum deligit. (2) At Lucullus, singulari arte et studio instructa acie, suisque fiducia per cohortationem injecta, dextrum cornu statim in fugam agit: mox inclinatio fit in proximo; dehinc terga vertunt omnes. Grandem itaque et præcipitem Armenii fugam capessunt, et pro hominum numero cædes sequitur. (3) Tigranes igitur, diademate et regni insignibus filio impositis, ad castellum quoddam fugam arripit. Lucullus vero, signis retro Tigranocerta versus motis, majore conatu in obsidionem incumbit. Tum Mithridatis in urbe legati, desperata rerum summa, Lucullo se dedidere, salutem pacti.

LVIII. Mithridates autem ad Tigranem reversus, fiduciam ei addit et ornatum regium, adsueto non viliorem, circumdat. Exercitus etiam colligendi proponit consilium (quum et ipse manum non contemnendam haberet), ut victoriæ damna bello recuperaturo. Verum hic, dum plus virtutis et prudentiæ illi tribuit, et magis Romanorum bellis idoneum arbitratur, omnia Mithridati permittit. (2) Ipse interim, legatione ad Phradatem Parthum missa, Mesopotamiam et Adiabenen et magnas quas nominant

---

LVI. 1. Ἀριοβαρζάνην] Ita Stephanus; Hœschel., Schottus et Bekker. Ἀριοβαζάνην. — προσῆγε τὸν] emend. Schæfer.; προσήγετο vulg. — 3. [καὶ] τῶν Θρᾳκῶν] καὶ supplevi, monente Schæfero. — ζωγρίᾳ] Schæfer.; ζωγρίαι libri.

LVII. 1. ὀκτὼ μυριάδας] copiarum numeros longe majores ponit Plutarch. Lucull. 26. — ἐξαιρησόμενος.. ἀμυνούμενος] A.; ἐξαιρησάμενος.. ἀμυνόμενος vulg. — τήν τε Τιγρανοκέρταν] cap. 56, 1, et paullo infra urbs dicitur τὰ Τιγρανόκερτα, ut ap. Strabonem et Steph. Byz. Quid Memnoni placuerit, dubium. — 2. τοὺς Ἀρμενίους] ed. Stephan.; τοῖς Ἀρμενίοις vulg. — κατὰ λόγον ...φθορά] Accuratiora v. ap. Plutarch. Lucull. c. 28 sq.; cf. Appian. c. 85 sq.

LVIII. 1. ἐπέτρεπεν] al. ὑπέτρεπεν. — καὶ ὡς μᾶλλον... δυναμένῳ] Jacobsius ad Achill. Tat. p. 644. Libri : καὶ μᾶλλον ἀνέχειν εἰς τὸν π. Ῥ. π. δυνάμενον. — Φραδάτην] al Φραάτην — Μεγάλους Αὐλῶνας] « Fortassis intelligendi aulones

τοὺς Μεγάλους Αὐλῶνας. Ἀφικομένων δὲ πρὸς τὸν Πάρθον καὶ παρὰ Λευκόλλου πρέσβεων, τοῖς μὲν Ῥωμαίοις ἰδίᾳ φίλος εἶναι ὑπεκρίνατο καὶ σύμμαχος, ἰδίᾳ δὲ τὰ αὐτὰ πρὸς τοὺς Ἀρμενίους διετίθετο.

LIX. Ὁ δὲ δὴ Κόττας ὡς εἰς τὴν Ῥώμην ἀφίκετο, τιμῆς παρὰ τῆς συγκλήτου τυγχάνει Ποντικὸς αὐτοκράτωρ καλεῖσθαι, ὅτι ἕλοι τὴν Ἡράκλειαν. Διαβολῆς δὲ εἰς τὴν Ῥώμην ἀφικνουμένης, ὡς οἰκείων κερδῶν ἕνεκα τηλικαύτην πόλιν ἐξαφανίσειε, μῖσός τε δημόσιον ἐλάμβανε, καὶ ὁ περὶ αὐτὸν τοσοῦτος πλοῦτος φθόνον ἀνεκίνει· διὸ καὶ πολλὰ τῶν λαφύρων εἰς τὸ τῶν Ῥωμαίων εἰσεκόμιζε ταμιεῖον, τὸν ἐπὶ τῷ πλούτῳ φθόνον ἐκκρούων, εἰ καὶ μηδὲν αὐτοὺς πρᾳοτέρους ἀπειργάζετο, ἀπὸ πολλῶν ὀλίγα νέμειν ὑπολαμβάνοντας. Ἐψηφίσαντο δὲ αὐτίκα καὶ τοὺς αἰχμαλώτους τῆς Ἡρακλείας ἀφίεσθαι. (2) Θρασυμήδης δὲ τῶν ἐξ Ἡρακλείας εἷς κατηγόρησεν ἐπ' ἐκκλησίας τοῦ Κόττα, τάς τε τῆς πόλεως εἰσηγούμενος πρὸς Ῥωμαίους εὐνοίας, καὶ εἴ τι ταύτης ἀποκλίνοιεν, οὐχὶ γνώμῃ τῆς πόλεως τοῦτο δρᾶν, ἀλλ' ἤ τινος τῶν ἐφεστηκότων τοῖς πράγμασιν ἐξαπάτῃ ἢ καὶ βίᾳ τῶν ἐπιτιθεμένων· ἀπῳκτίζετο δὲ τόν τε τῆς πόλεως ἐμπρησμὸν, καὶ ὅσα τὸ πῦρ ἀφανίσαι· ὅπως τε τὰ ἀγάλματα Κόττας καθῄρει καὶ λείαν ἐποιεῖτο, τούς τε ναοὺς κατέσπα, καὶ ὅσα ἄλλα δι' ὠμότητος ἐλθὼν ἐπεπράγει· τόν τε χρυσὸν καὶ τὸν ἄργυρον τῆς πόλεως ἀναγράφων ἀναρίθμητον, καὶ τὴν ἄλλην τῆς Ἡρακλείας ἣν ἐσφετερίσατο εὐδαιμονίαν. (3) Τοιαῦτα τοῦ Θρασυμήδους μετ' οἰμωγῆς καὶ δακρύων διεληλυθότος, καὶ τῶν ἡγεμόνων ἐπικλασθέντων τῷ πάθει (καὶ γὰρ παρῆλθε καὶ τὸ τῶν αἰχμαλώτων πλῆθος, ἄνδρες ὁμοῦ καὶ γυναῖκες μετὰ τέκνων, ἐν πενθίμοις ἐσθήσεσι, θαλλοὺς ἱκεσίους μετ' ὀλοφυρμῶν προτείνοντες), ἀντιπαρελθὼν ὁ Κόττας βραχέα τῇ πατρίῳ διελέχθη γλώττῃ, εἶτα ἐκαθέσθη. Καὶ Κάρβων ἀναστὰς, « Ἡμεῖς, ὦ Κόττα, » φησὶ, « πόλιν ἑλεῖν ἀλλ' οὐχὶ καθελεῖν ἐπετρέψαμεν. » Μετ' αὐτὸν δὲ καὶ ἄλλοι ὁμοίως Κότταν ᾐτιάσαντο. (4) Πολλοῖς μὲν οὖν ἄξιος ὁ Κόττας ἐδόκει φυγῆς· μετριάσαντες δ' ὅμως ἀπεψηφίσαντο τὴν πλατύσημον αὐτοῦ· Ἡρακλεώταις δὲ τὴν χώραν καὶ τὴν θάλασσαν καὶ τοὺς λιμένας ἀποκατέστησαν, καὶ μηδένα δουλεύειν ψῆφον ἔθεντο.

LX. Ταῦτα Θρασυμήδους διαπραξαμένου, ἐπὶ τὴν πατρίδα μὲν τοὺς πολλοὺς ἐξέπεμψεν· αὐτὸς δὲ μετὰ Βριθαγόρου τε καὶ Προπύλου (παῖς δ' ἦν ὁ Πρόπυλος Βριθαγόρου) κατὰ τοὺς ἑξῆς ἐπιμένων χρόνους, τὰ

valles ditioni suæ ut permittat, exposcit. Quum vero etiam Luculli ad Parthum legati venissent, Romanis seorsum amicum et socium se esse fingit, seorsum etiam eadem ad Armenium simulat.

LIX. Interea Romam Cotta reversus, honore a senatu afficitur, et Pontici cognomento, quod Heracleam cepisset, nobilitatur. At ubi sinistra ejus fama Romam pervenit, ut qui sui lucri causa tam eximiam urbem evertisset, in publicum incurrebat odium, invidiamque tantæ ei opes adaugebant. Cujus declinandi causa pleraque in ærarium spolia retulit, tametsi nihilo mitiores in se Romanos hoc efficeret, dum e plurimis eum pauca referre persuasum haberent. Captivos etiam Heracleæ statim dimittendos decreto publico sciverunt. (2) Thrasymedes insuper, Heracliensium unus, pro concione Cottam publice accusat et civitatis suæ erga Romanos benevolentiam commemorat : et si quid ab hac remiserint, non civitatis voluntate, sed magistratuum fraude et adversariorum vi factum esse. Miserabili etiam querela ob oculos ponit urbis inflammationem, quotque et quanta incendium evastarit : utque simulacra Cotta destructa prædam sibi fecerit, et ædes sacras diruerit, et sexcenta alia crudelissimum in modum peregerit; ad hæc auri et argenti infinitum prope numerum, ceteramque urbis felicitatem, quam in suum ille commodum averterit, recensebat. (3) His a Thrasymede cum lamentis et fletu commemoratis et optimatibus Romanorum ad commiserationem casus illius inflexis (accesserat enim captivorum quoque multitudo, viri et matronæ cum liberis, lugubribus vestimentis amicti, et supplices, cum ejulatu præ se tendentes olivæ ramos), progressus contra in medium Cotta, ubi pauca lingua patria disseruisset, resedit : et exsurgens Carbo : « Nos, inquit, Cotta, capiendam tibi, non exscindendam urbem demandavimus. » Et post eum alii consimili in Cottam criminatione sunt invecti. (4) Multis igitur exilio dignus videbatur : moderatione tamen adhibita, latum ei clavum abrogant; Heracliensibus vero agrum et mare et portus restituunt, rogatione perlata, ut nemo horum servituti sit addictus.

LX. His ergo Thrasymedes confectis, plebem remisit in patriam : ipse vero cum Brithagora et Propylo, Brithagoræ filio, ad tempus dehinc subsistens, quæ patriæ usus exigeret, administravit; peractisque aliquot annis, cum tribus

---

obvii transeuntibus Caspias portas, quorum meminit Isidorus Characenus in Mansionib. Parthic. in Geograph. Hœschelii p. 187 : Ἐντεῦθεν ὑπερβάντων τὰς Κασπίας πύλας ἐστὶν αὐλὼν καὶ ἡ Χοαρήνη σταθμὸς ἐν ᾗ Ἀπάμεια πόλις : vel etiam aulon ille inter Libanum et Antilibanum, de quo v. Polyb. V, et Hieronymum De nominib. locor. Hebraic. p. 149, tom. III ed. Vallæsi Venet. » *Orelli*. — ὑπεκρίνατο] al. ἀπεκρίνατο.

LIX. 1. Ποντικὸς αὐτοκράτωρ] Malim H. καὶ αὐτ. *Schæfer*. — ὑπολαμβάνοντας] Steph., codd.; ὑπολαμβάνοντες vulg. — 2. ἐπιτιθεμένων] al. ἐπιθεμένων. — ἀφανίσαι] em.; Schæfer.; ἀφανίσοι libri. — 3. πατρίῳ] al. πατρῴῳ. — γλώττῃ] al. φωνῇ. — διελέχθη] em. Schæfer.; διειλέχθη libri. — Κάρβων κ. τ. λ.] Cf. Dio Cass. XXXVI, 23. — ἐπετρέψαμεν] al. ἐπεστρέψαμεν.

λοιπὰ τῶν ἐπειγόντων καθίστατο· καί τινων ἐτῶν ἀνυσθέντων τρισὶν ἐπακτρίσιν εἰς τὴν Ἡράκλειαν ἐπανάγεται. Ἀφικόμενος δὲ πάντα τρόπον ἐπενόει ἀνοικίζεσθαι τὴν πόλιν, καθάπερ εἰς παλιγγενεσίαν ἀνακαλούμενος. (2) Ἀλλὰ πάντα πράττων μόλις εἰς ὀκτακισχιλίους, ἅμα τοῖς οἰκετικοῖς σώμασιν, συλλεγῆναι κατεπράξατο. Βριθαγόρας δὲ, ἤδη τῆς πόλεως αὐξομένης, ἐλπίδας ἐποιήσατο πρὸς ἐλευθερίαν τὸν δῆμον ἀνενεγκεῖν· καὶ διαγεγονότων μὲν πολλῶν ἐτῶν, ἤδη δὲ τῆς Ῥωμαίων ἡγεμονίας εἰς ἕνα περιισταμένης ἄνδρα, Γάϊον Ἰούλιον Καίσαρα, πρὸς τοῦτον ἠπείγετο. (3) Συνεπρέσβευον δὲ αὐτῷ ἄλλοι τέ τινες τῶν ἐπιφανῶν, καὶ ὁ υἱὸς Πρόπυλος. Γνωσθεὶς οὖν τῷ Καίσαρι Βριθαγόρας, καὶ διαπραξάμενος ἐγγυτέρω τῇ φιλίᾳ προσελθεῖν, δι' ὑποσχέσεως ἐγένετο· οὐ μὴν ἐξ ἐφόδου γε λαβεῖν τὴν ἐλευθερίαν ἠδυνήθη, ἅτε δὴ οὐκ ἐν τῇ Ῥώμῃ, ἀλλ' ἐφ' ἕτερα τοῦ Γαΐου περιτρέχοντος. Οὐκ ἀφίστατο μέντοι γε Βριθαγόρας, ἀλλὰ περὶ πᾶσαν τὴν οἰκουμένην αὐτός τε καὶ Πρόπυλος συμπεριαγόμενος τῷ Καίσαρι ἐβλέπετο παρ' αὐτοῦ, ὡς ἐπισημειούμενον τὸν αὐτοκράτορα τῆς λιπαρήσεως αὐτὸν ἀποδέχεσθαι. (4) Δωδεκαετίας δὲ τὴν παρεδρίαν διαμετρούσης, καὶ περὶ τῆς εἰς Ῥώμην ἐπανόδου τοῦ Καίσαρος διανοουμένου, ὑπό τε τοῦ γήρους καὶ τῶν συνεχῶν πόνων κατατρυχωθεὶς Βριθαγόρας τελευτᾷ, μέγα πένθος τῇ πατρίδι καταλιπών. Εἰς τοιοῦτον μὲν τέλος καὶ ὁ ις' λόγος τῆς Μέμνονος ἱστορίας τελευτᾷ.

5. Ἔστι δὲ ἡ συγγραφὴ νουνεχὴς μὲν καὶ τὸν ἰσχνὸν μεταδιώκουσα χαρακτῆρα, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀμελοῦσα, εὐλαβουμένη δὲ καὶ τὰς ἐκβολὰς, πλὴν εἰ μή πού τις ἀνάγκη συνυφαίνειν καὶ τὰ ἔξωθεν ἐγκελεύεται τῆς προθέσεως. Οὐδὲ πρὸς ταύτην δὲ ἐπὶ τὸ συχνὸν ἀποκλίνει, ἀλλὰ τὸ κατεπεῖγον ἐπιμνησθεῖσα ἔχεται πάλιν εὐεπιστρόφως τῆς προτεθείσης αὐτῇ κατ' ἀρχὰς γνώμης. (6) Καὶ λέξεσι δὲ, εἰ μή που σπανίως ἐξαλλαττούσαις, ταῖς συνήθεσι χρᾶται. Τὰς δὲ πρώτας η' ἱστορίας καὶ τὰς μετὰ τὴν ἕκτην καὶ δεκάτην οὔπω εἰπεῖν εἰς θέαν ἡμῶν ἀφιγμένας ἔχομεν.

onerariis navibus in patriam regressus, ceu ad alterum revocatam natalem, omni studio reparare contendit. (2) Verum, dum omnia molitur, vix, ut octo millia, vernis etiam annumeratis, colligerentur, effecit. Brithagoras autem, civitate jam augescente, populum in pristinam libertatem vindicandi spem facit: annisque elapsis haud paucis, Romanorum imperio jam ad unum C. Julium Cæsarem devoluto, ad eum contendit. (3) Legationem cum eo obibant quum alii ex nobilitate, tum Propylus filius. Ibi notior factus Cæsari Brithagoras, et propius in amicitiam admissus, promissionem quidem accipit; sed libertatem prima occasione recuperare nequit: quod non Romæ, sed alibi terrarum Julius in negotiorum distractione versabatur. Non tamen ab incepto destitit Brithagoras, sed per totum fere orbem cum Cæsare circumductus ipse et Propylus, in oculis ejus erat, ut non obscure imperator significaret, petitionem hominis se approbare. (4) Duodecim tandem annos in familiaritate Romanorum emensus, quum jam redire Cæsar instituisset Romam, senecta et laborum assiduitate exhaustus Brithagoras, vitam finivit, et grandem patriæ luctum a se reliquit. Hucusque perductus simul etiam liber decimus sextus Historiarum Memnonis finem habet.

5. Scriptio hæc auctorem prodit intelligentem, tenuique dicendi generi addictum, non ita tamen ut negligat perspicuitatem. A digressionibus abstinet, nisi forte necessitas quædam etiam quæ extra propositum sita sunt subtexere jubeat; neque vero ubi huc deflexerit, multum diuque moratur, sed, urgentis memor negotii, reverti scit propositumque initio consilium resumere. (6) Verbis utitur usitatis, etsi raris quibusdam locis etiam immutantia vulgarem dictionem occurrunt. De octo libris prioribus et de his qui excipiunt sextum et decimum, quod eos nondum videre contigerit, non habeo dicere.

LX. 1. ἐπανάγεται] A.; ἄγεται vulg. — ἀνοικίζεσθαι] A; ἐνοικίζ. vulg. — 3. ἐγένετο] al. ἐγίνετο. — 5. τοιοῦτον] al. τοῦτο. — 6. χρᾶται] al. χρῆται.

LIBER OCTAVUS.

A TRAJANO USQUE AD CONSTANTINUM MAGNUM.

98-306 p. C.

PHILO BYBLIUS.

Suidas : Φίλων Βύϐλιος, γραμματικός. Οὗτος γέγονεν ἐπὶ τῶν χρόνων ἐγγὺς Νέρωνος, καὶ παρέτεινεν εἰς μακρόν. Ὕπατον γοῦν Σεϐῆρον τὸν Ἑρέννιον χρηματίσαντα αὐτὸς εἶναί φησιν, ὅταν (εἰδέναι φ., ὅτε proponit Westerm.; legerim : χρημ. εἶναί φησιν, ὅταν αὐτὸς) ἦγεν οη′ ἔτος, ὀλυμπιάδι δὲ σκ′. Γέγραπται δ' αὐτῷ Περὶ κτήσεως καὶ ἐκλογῆς βιϐλίων βιϐλία ιϐ′, Περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιϐλία λ′, Περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων, καὶ ἄλλα. Cf. Eudoc. p. 424.

Ὕπατον... κτήσεως) Pro his Eudocia ἔγραψε ἐπιγράμματα, βιϐλία δ′, Περὶ κτήσεως κτλ. — σκ′] Clinton. ap. Gaisfordium ad h. l. scribendum conjicit σκδ′ : nam Ol. 224 $\frac{3}{4}$, 119 p. Chr. consul fuit (L. Catilius) Severus. Natus igitur foret 42 p. Chr. De Hadriano (117-138) scripserit vivente adhuc imperatore. — καὶ ἄλλα] γέγονε δὲ καὶ ὕπατος παρ' αὐτοῦ Eudoc.

Cf. Suidas : Ἕρμιππος Βηρύτιος ἀπὸ κώμης μεσογαίου, μαθητὴς Φίλωνος τοῦ Βυϐλίου, ὑφ' οὗ ᾠκειώθη Ἑρεννίῳ Σεϐήρῳ ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως. — Παῦλος Τύριος, ῥήτωρ, γεγονὼς κατὰ Φίλωνα τὸν Βύϐλιον· ὃς ἐπ' Ἀδριανοῦ τοῦ βασιλέως πρεσϐεύσας μητρόπολιν τὴν Τύρον ἐποίησε. — Ἡρωδιανὸς Ἀλεξανδρεύς, γραμματικός... γέγονε κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον, ὡς νεώτερον εἶναι καὶ Διονυσίου τοῦ τὴν Μουσικὴν ἱστορίαν γράψαντος καὶ Φίλωνος τοῦ Βυϐλίου (*).

SCRIPTA PHILONIS.

1. Περὶ τῆς βασιλείας Ἀδριανοῦ. Nihil superstes.

2. Φοινικικὴ ἱστορία s. Φοινικικά libr. VIII vel IX (fr. 1-8).

Περὶ Ἰουδαίων (fr. 5, 6). Pars Φοινικικῆς ἱστορ.

3. Περὶ στοιχείων Φοινικικῶν (fr. 9). Fortasse hæc quoque partem τῶν Φοινικικῶν constituerint.

Περὶ ἐθωθιῶν (?), quem librum de serpentum, ut videtur, religione ipse Philo memorat fr. 9, ubi v. not.

4. Παράδοξος ἱστορία, libr. III, ab ipso Philone laudata, fr. 1, § 6.

5. Περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιϐλία λ′ (fr. 11-18) (*).

6. Περὶ ἰατρῶν s. Ἰατρικά (fr. 19). Hæc nonnisi pars (liber IX) operis sequentis fuisse videtur.

7. Περὶ κτήσεως καὶ ἐκλογῆς βιϐλίων βιϐλία ιϐ′.

8. Περὶ χρηστομαθείας. Etym. M. v. γέρανος. « Fortasse pars prioris. » *Fabric.*

9. Περὶ Ῥωμαίων διαλέκτου. Etym. M. v ἀλτήρ (**).

10. Τὰ ῥηματικά. Etym. M. vv. ἀβολήτωρ, ἄϊστος, ἄτμητος (***).

11. Τὸ ῥητορικόν. Etym. M. v. δέμα. (Num corrupte pro τὸ ῥηματικόν?)

12. Ἐπιγράμματα, libris IV. Eudocia.

[Περὶ διαφορᾶς σχημάτων. Quod opus, infimi ævi fœtum, cum Ammonio edidit *Valckenarius*, quem vide.]

Φοινικικῆς ἱστορίας sive Φοινικικῶν libros octo (Porphyr. De abstin. II, 56) vel novem (Idem ap. Euseb. P. E. p. 31. Vide fr. 1, § 3), quibus Phœnicum doctrina theologica exponitur, ex scriptis Sanchoniathonis Phœnicis, qui Semiramidis æqualis fuerit, Philo in græcum sermonem se transtulisse dixit. Quod insigne esse men-

(*) Reliquos Philones recenset Fabricius Bibl. Gr. tom. IV, p. 750 sqq. ed. Harl. — Ad nos quodammodo pertinent, 1. *Philo Heracleota*, qui πρὸς Νύμφιν Περὶ θαυμασίων scripsit. Vide Vitam Nymphidis. — 2. *Philo Thebanus* ap. Plutarch. Alex. c. 46, et *Philo* Αἰθιοπικῶν auctor (Strabo II, p. 77; Antigon. Mirab. c. 160. Vide not. ad Onesicrit. fr. 5). — Adde *Philonem* quendam *sophistam*, cujus libellus exstat De septem mundi miraculis

(*) Hoc opus in compendium redigit SERENUS. Suidas : Σερῆνος, ὁ καὶ Αἴλιος χρηματίσας, Ἀθηναῖος, γραμματικός. Ἐπιτομὴν τῆς Φίλωνος πραγματείας Περὶ πόλεων, καὶ τίνες ἐφ' ἑκάστης ἔνδοξοι, βιϐλία γ′· Ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον α′. Philonei operis epitome laudatur in Etym. M. v. Ἀρσινόη et Βουκέρας. Serenum grammaticum, qui ἐν διαφόροις μέτροις δράματα διάφορα scripsit, memorat Photius cod. 280, p. 510 a. 10 ed. Bekk. Sereni Ἀπομνημονεύματα citat Stobæus in Florileg. IX, 15; V, 46, 47, 82; VI, 33, 36, 49; VII, 61; XIII, 28, 29, 42; XXIX, 96; XXXIX, 27; XLIV, 41; XLVII, 20; LXII, 48; LXXII, 15; LXXV, 11; LXXX, 5; LXXXII, 10.

(**) Ex eo libro fortasse fluxit locus Jo. Lyd. De magistr. p. 28 ed. Paris. : Τὸ δὲ Βάρρωνος ἐπώνυμον τὸν ἀνδρεῖον κατὰ τὴν τῶν Κελτῶν φωνήν, κατὰ δὲ Φοίνικας τὸν Ἰουδαῖον σημαίνει, ὡς Ἑρέννιος Φίλων.

(***) De rebus grammaticis, nescio ex quonam libro petitis, Philo laudatur ap. Eustath. ad Hom. p. 73 C; 855 A; 907 A; 909 A; 1540, 4; 1698, 28; 1871, 48. Nescio an huc vel ad antiquiorem aliquem Philonem pertineat schol. Apoll. Rhod. III, 118 : ἐψιόωντο, ἀντὶ τοῦ ἔπαιζον. Φίλων δὲ ἀντὶ τοῦ ὡμίλουν, παρὰ τὸ ἔπος. Adde Bekker. Anecd. p. 394.

dacium hodie nemo nescit (*), satisque constat auctorem nostrum veteres traditiones detorquendo ad sua quædam consilia accommodasse, diversa plane temere miscuisse, atque nomine Sanchoniathonis abusum esse, ut auctoritatem commentis suis conciliaret. Qua de re accuratius edoceri cupientem ad præclarum amandamus opus Moversii (*Phœn. Relig.* p. 88-147). Nos summa capita paucis tetigisse habebimus satis.

Scientiam rerum cœlestium, legumque quæ mundum gubernant, ab *El* sive *'Chon* deo profectam esse Phœnices sacerdotes statuebant. Quæ *El* primus docuerat, ea literis consignavit *Taautus*. Verum doctrina ista, quum perobscura esset, interpretibus egebat. Tales post multa sæcula exstiterunt dii *Surmubelus* et *Thuro*, qui commentariis suis Taauti scripta explicarunt similiter atque Annedotes apud Babylonios τὰ ἀπ' Ὠάννου κεφαλαιωδῶς ῥηθέντα ἀνὰ μέρος ἐξηγήσασθαι dicuntur. — Hæc ex parte quidem eum in finem excogitata esse patet, ut ταῖς ἱεραῖς γραφαῖς, quæ a sacerdotibus concinnatæ in templorum adytis asservabantur, divina vindicaretur origo. — Corpus horum scriptorum vocabatur *San-chon-iath*, סן כון יחת, i. e. *tota lex Chonis* (**). Collectionis nomen deinceps abiit in nomen collectoris (***), cujus ætatem in remotissima tempora relegabant. — Ex libris Sanchoniathoni seriore ætate adscriptis nonnullos recenset Suidas : Σαγχωνιάθων, Τύριος φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωϊκά. Περὶ τοῦ Ἑρμοῦ φυσιολογίας, ἥτις μετεφράσθη· Πάτρια Τυρίων τῇ Φοινίκων διαλέκτῳ· Αἰγυπτιακὴν θεολογίαν καὶ ἄλλα τινά. Quæ ne ex Philone hausta esse putemus, vel id impedire videtur, quod Sanchoniathon, non *Berytius*, uti Philo ait, sed *Tyrius* fuisse perhibetur. Atque *Tyrium* Athenæus quoque habere videtur, quippe cui civis est Ulpiani Tyrii. (Athen. III, p. 126, A : Ὁ Κύνουλκος ἔφη· ἐμπίπλασο Οὐλπιανὲ χεδροδλάψου πατρίου, ὃς παρ' οὐδενὶ τῶν παλαιῶν, μὰ τὴν Δήμητρα, γέγραπται, πλὴν εἰ μὴ ἄρα παρὰ τοῖς τὰ Φοινικικὰ συγγεγραφόσι Σουνιαίθωνι καὶ Μώχῳ τοῖς σοῖς πολίταις.) Contra *Sidonius* est ap. eundem Suidam p. 3241 ed. Gaisf., ubi glossa hæcce : Σαγχωνιάθης, Σιδώνιος (uti em. Creuzer. pro ἀϊδώνιος) σοφὸς, τοῖς χρόνοις κατὰ Σεμίραμιν, ἔγραψε τῇ Φοινίκων διαλέκτῳ φυσιολογίαν καὶ ἄλλα τινά. Ex qua sententiarum discrepantia complures civitates Sanchoniathonem sibi vindicasse conjicias. Utut est, quum φυσιολογίαν inter S. scripta recenseant, hoc certe constat, fabulas cosmogonicas et quæ huc pertinent in libris sacerdotalibus physiologice esse explicatas. Ejus vero doctrinæ acerrimus adversarius exstitit Philo, homo ἄθεος, qui Euemeri vestigia legens omnes, qui tum pro diis colerentur, mortales olim fuisse prædicabat. Ad quod probandum ut ἱερὰν ἀναγραφὴν Euemerus mentitus est, sic suum quendam Philo Sanchoniathonem excogitavit. Etenim scripta Taauti ita corrupta esse aiebat, ut veræ historiæ eorum, qui divinos honores adepti essent, in mysticas fabulas atque allegorias physiologicas abiissent. Primum horum falsariorum fuisse filium Thabionis, qui allegoricas suas ineptias tradidisset mysteriorum antistitibus, a quibus deinceps hæc doctrina summo studio exculta esset (fr. 1, § 5-27). Tandem vero Sanchoniathoni contigisse, ut genuinam vetustis Taauti scriptis formam restitueret. Hos igitur libros Sanchoniathonis, quum per longum tempus sacerdotum fraude occultati latuissent, Philo sese reperisse et in lucem protraxisse contendit.

Jam quod sapientiam Philoneam attinet, nihil ea differt ab illa, quam ex Euemero Diodori bene novimus. Scilicet ubicunque fieri potest, priscam fabularum adornationem retinet, nisi quod allegorice dicta in communis vitæ historias traducit. Alia inepta interpretatione ita immutat, ut ad systema suum accommodentur. Sic Casium et Libanum montes in homines celsissimos, qui montibus istis nomen dederint, transformat; deas vero, quarum in honorem hierodulæ copiam sui obviis facere solebant, olim meretrices fuisse statuit; et sic porro. Omnes denique pro diis post fatum culti sunt ob beneficia in homines collata, quorum varia genera ex deorum nominibus, attributis atque cultus ritibus facili negotio licebat effingere.

Præterea Philo, summa suæ gentis antiqui-

(*) Qui de Sanchoniathone scripserunt, recensentur ap. Fabric. Bibl. I, c. 28 ed. Harl.; Meusel. Bibl. Hist. V, 2, p. 1 sqq.; Orelli. Sanchon. fragm. p. XII sqq.; Creuzer. *Symbol.* I, p. 110 ed. tert.; Hoffmann. Lex. Bibl. tom. III, p. 529. Nuper de fragmentorum falsitate disputarunt Lobeck. *Aglaoph.* p. 1264 sqq.; Hengstenberg. *Beitræge zur Einleitg in d. a. Testam.* tom. II, p. 210 sqq. 1836. et præ ceteris Movers. *Ueber d. Unæchtheit*, etc., in *Jahrbücher. f. Theolog. u. christl. Philos.* 1836, Bd. I, p. 51-91. Idem in libro eruditissimo *Ueber die Religion d. Phœniz.* Bonn. 1841. Cf. etiam O. Müller. in *Gött. G. Anz.* 1837, Nr. 52, Benfey. in *Jahns Annal.* 1837, tom. III, p. 322. De fraude Wagenfeldiana tacere præstat.

(**) Movers. l. l. p. 99 : « Nicht wenig spricht für die Richtigkeit unserer Etymologie, dass sie erst die abgekürzten Wortformen Σουνιαίθων bey Athen. III, p. 176, und *Suniatos*, Name eines Carthaginiensers bei Justin (XX, 5) zu erklären weiss : denn in ihm ist der, regelrecht in die Mitte zwischen Nomen und dem dazu gehörigen Adjectiv gestellte Genitiv *Chon* ausgelassen, und nur סן יחת, *die ganze Sunna*, geblieben. » Deinde M. refellit nominis interpretationes ab aliis v. d. tentatas. Ceterum cf. Euseb. P. E. : Σαγχουνιάθων κατὰ τὴν Φοινίκων διάλεκτον φιλαλήθως τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν καὶ συγγράψας.

(***) Comparat Movers *Vyasa*, sive collectorem librorum quos *Veda* Indi vocant, aliaque similia.

tate superbior, aliorum populorum se ostendit contemptorem. Sic in Græcos invehitur, quippe qui sua mythologumena non sibi debeant, sed scriptis sacerdotum Phœnicum, quorum commenta novis accessionibus exaggeraverint (fr. 1, § 28). Idque peculiari opere Παράδοξος ἱστορία inscripto demonstrare studuit (vide fr. 1, § 6). His non dissimilia fuerint, quæ de Judæis scripsit. Impudentiam eorum perstringere voluit Judæum dicens Phœnicum dialecto vocari Βάρρωνα (בר אוז) i. e. *filium mendacii*. Porro quæ de Judæis Philo protulit, ea assensu suo comprobavit Porphyrius, acerrimus Judæorum Christianorumque adversarius. Nam Σαγχουνιάθων, Porphyrius ait, ἱστορεῖ τὰ περὶ Ἰουδαίων ἀληθέστατα, ὅτε καὶ τοῖς τόποις καὶ τοῖς ὀνόμασι συμφωνότατα (fr. 1, § 2 (*)). Quo argumento probabiliter ita usus est, ut eum, qui de locis et nominibus tam accurate doctum se ostenderet, etiam de *rebus* verissima tradere statueret, eaque Judæorum narrationibus opponeret. Denique Judaicos libros impugnandi consilium vel ex illo Philonis commento apparet, quo Sanchoniathonem suum tanquam virum optimis ad tractandam Judæorum historiam subsidiis instructum introducit. Namque commentariis usum esse dicit Hierombali (*Gideonis*), Jehovæ sacerdotis, qui non multum post Moysem vixerit. Ceterum hoc maxime Philo egerit, ut omnem Judæorum theologiam a Phœnicibus profectam esse ostenderet. Quo quidem negotio tanto commodius fungi potuit, si ea, quæ nos jam in fragmentis legimus, omnia pro vere Phœnicicis vindicavit; quum tamen luce clarius sit multa iis admixta esse Hebraica, Ægyptiaca, alia. Unde fit ut Philonis narratio summa rerum laboret confusione. Ac præ ceteris quidem patet magnam partem eorum quæ de fabulis cosmogonicis leguntur, petita esse ex Ægyptiorum libro Hermetico, sive ipse Philo primus eum adhibuerit, sive alii ante Philonem diversa hæc conglutinaverint.

Quæ quamvis ita sese habeant, nihilominus reliquias Philonis permagni faciendas esse jure merito censent quicunque explorandis veterum populorum religionibus operam navant (**). — De reliquis Philonis operibus non est, cur sermonem instituamus.

(*) Cf. Theodoret. De cur. Gr. aff. serm. 2 : Σαγχωνιάθων μὲν ὁ Βηρύτιος τὴν Φοινίκων θεολογίαν ξυνέγραψε · μετήνεγκε δὲ ταύτην εἰς τὴν Ἑλλάδα φωνὴν Φίλων, οὐχ ὁ Ἑβραῖος, ἀλλ' ὁ Βύβλιος · τὸν δὲ Σαγχωνιάθωνα λίαν τεθαύμακεν ὁ Πορφύριος.

(**) Movers l. l. p. 138 : « Trotz allen den Mængeln, die es (das Philonische Buch) zu einer nicht zuverlæssigen Quelle für die Phœnizische Religion machen, kommt selbst den durch die Bearbeitung oder durch einseitige Auffassung des Eusebius getrübten Gœttergeschichten ein bedeutender Werth zu; ja es dürfte für die Phœnizische und Asiatische Gœtterlehre und Mythologie der Verlust weniger Schriften so sehr zu beklagen sein, als Philos neun Bücher phœnizischer und asiatischer Gœttergeschichten, die er unter Sanchoniathons Namen herausgegeben hat. Sie umfassten ausser der Kosmogonie die Mythen der vorsemiramischen Zeit, der Phœnizier nicht nur, sondern auch der andern namhaften Vœlker, und so ohne Zweifel die syrische, babylonische, ægyptische Mythologie, die sich nicht weniger als die phœnizische zu einer euhemeristischen Behandlung eignet. Für den Hauptheil des Buches der phœnizischen Urgeschichte fand er insbesondere einen mannigfachen Stoff in den zahlreichen Mythen, wodurch die einzelnen phœnizischen Stædte ihr hohes Alter und ihre Gründung durch die Gœtter feierten, von denen Nonnus mehre aufbewahrt hat, und die schon in Strabons Zeit durch phœnizische Schriftsteller den Griechen bekannt geworden waren. Auserdem knüpften sich an die Gründung der alten Heiligthümer in Phœnizien und Syrien so viele Legenden, der ganze Kult und die Gœtterfeste waren mythisch gedeutet, kurz die ganze Gœtterlehre in Phœnizien local geworden, so dass ein Euhemerist wie Philo nur zu sammeln und zu deuten, nicht erst zu dichten brauchte, um eine dem rohen Character der phœnizischen Religion angemessene Gœttergeschichte zu Stande zu bringen. Er benutzte dazu auch überall die *einheimischen* und nicht *griechische* Berichte. Was er von seinem Sanchoniathon sagt, er habe die heiligen Schriften, Tempelarchive und die Annalen der einzelnen Stædte durchgeforscht, letztere ohne Zweifel um die localen Mythen, z. B. von der Gründung von Berytus, Byblus durch Saturn, von Tyrus durch Melcarth, zu bewahrheiten, muss von ihm selbst verstanden werden, wenigstens in so weit er überall die heiligen Sagen und die Literatur der Phœnizier in Anspruch genommen hat, etc. — p. 140 : Wenn wir aber bei unsern dürftigen Quellen der phœnizischen Religion selbst den wenigen Resten von Philos Buch einen bedeutenden Werth beilegen, so würden sie diesen schon ansprechen, weil schon die Kenntniss der ziemlich vollstændig mitgetheilten und sonst zum Theile unbekannten Gœtternamen von Wichtigkeit ist, die, bei besonnener etymologischer Forschung und unter Vergleichung anderer Quellenberichte und verwandter religiœser Ideen, schon zu ansehnlichen Aufschlüssen kommen lassen. Dann enthalten diese Fragmente manche Mythen und Aufklærungen über phœnizische Gottheiten, bei denen gar kein Zweck einer Dichtung absehbar, und die frei von aller euhemeristischen Entstellung sind, so dass eine Kritik, die ihre Schranken hælt und nicht in Willkühr ausartet, ihnen nichts anhaben kann. Ja überhaupt læsst sich nicht nachweisen, dass irgend eine Mythe oder Gœttergeschichte willkührlich von Philo erdichtet sei, und es bewæhrt sich bei genauerer Nachforschung, dass auch die grœssten Abgeschmacktheiten, die er den Gœttern nachsagt, einen Anknüpfungspunct in dem Namen oder in dem Character derselben finden. »

ΦΟΙΝΙΚΙΚΗ ΙΣΤΟΡΙΑ.

I.

E PROŒMIO LIBRI PRIMI.

Eusebius Pr. Ev. I, 9, p. 30, D (p. 66 Gsfd.) : Ἱστορεῖ δὲ ταῦτα (sc. τὰ Φοινικικὰ) Σαγχουνιάθων, ἀνὴρ παλαιότατος καὶ τῶν Τρωικῶν χρόνων, ὥς φασι, πρεσβύτερος, ὃν καὶ ἐπ' ἀκριβείᾳ καὶ ἀληθείᾳ τῆς Φοινικικῆς ἱστορίας ἀποδεχθῆναι μαρτυροῦσι. Φίλων δὲ τούτου πᾶσαν τὴν συγγραφὴν ὁ Βύβλιος, οὐχ ὁ Ἑβραῖος, μεταβαλὼν ἀπὸ τῆς Φοινίκων γλώσσης ἐπὶ τὴν Ἑλλάδα φωνὴν ἐξέδωκε. Μέμνηται τούτων ὁ καθ' ἡμᾶς τὴν καθ' ἡμῶν πεποιημένος συσκευὴν ἐν τετάρτῳ τῆς πρὸς ἡμᾶς ὑποθέσεως, ὧδε τῷ ἀνδρὶ μαρτυρῶν πρὸς λέξιν·

2. « Ἱστορεῖ δὲ (*) τὰ περὶ Ἰουδαίων ἀληθέστατα, ὅτι καὶ τοῖς τόποις καὶ τοῖς ὀνόμασιν αὐτῶν τὰ συμφωνότατα, Σαγχουνιάθων ὁ Βηρύτιος, εἰληφὼς τὰ ὑπομνήματα παρὰ Ἱερομβάλου τοῦ ἱερέως Θεοῦ τοῦ Ἰευὼ· ὃς Ἀβελβάλῳ (**) τῷ βασιλεῖ Βηρυτίων τὴν ἱστορίαν ἀναθεὶς, ὑπ' ἐκείνου καὶ τῶν κατ' αὐτὸν ἐξεταστῶν τῆς ἀληθείας παρεδέχθη. Οἱ δὲ τούτων χρόνοι καὶ πρὸ τῶν Τρωικῶν πίπτουσι χρόνων, καὶ σχεδὸν τοῖς Μωσέως πλησιάζουσιν, ὡς αἱ τῶν Φοινίκων βασιλέων μηνύουσι διαδοχαί. Σαγχουνιάθων δὲ κατὰ τὴν Φοινίκων διάλεκτον φιλαλήθως (*) τὴν παλαιὰν ἱστορίαν ἐκ τῶν κατὰ πόλιν ὑπομνημάτων καὶ τῶν ἐν τοῖς ἱεροῖς ἀναγραφῶν συναγαγὼν δὴ καὶ συγγράψας ἐπὶ Σεμιράμεως γέγονε τῆς Ἀσσυρίων βασιλίδος, ἣ πρὸ τῶν Ἰλιακῶν, ἢ κατ' αὐτούς γε τοὺς χρόνους γενέσθαι ἀναγέγραπται. Τὰ δὲ τοῦ Σαγχουνιάθωνος εἰς Ἑλλάδα γλῶσσαν ἡρμήνευσε Φίλων ὁ Βύβλιος. »

3. Ταῦτα μὲν ὁ δηλωθεὶς, ἀλήθειαν ὁμοῦ καὶ παλαιότητα τῷ δὴ θεολόγῳ μαρτυρήσας. Ὁ δὲ προϊὼν, οὐ τὸν ἐπὶ πάντων θεὸν, οὐδὲ μὴν θεοὺς τοὺς κατ' οὐρανὸν, θνητοὺς δὲ ἄνδρας καὶ γυναῖκας, οὐδὲ τὸν τρόπον ἀστείους, οἵους δι' ἀρετὴν ἄξιον εἶναι ἀποδέξασθαι ἢ ζηλῶσαι τῆς φιλοσοφίας, φαυλότητος δὲ καὶ μοχθηρίας ἁπάσης κακίαν περιβεβλημένους θεολογεῖ. Καὶ μαρτυρεῖ γε τούτους αὐτοὺς ἐκείνους εἶναι, τοὺς εἰσέτι καὶ νῦν θεοὺς παρὰ τοῖς πᾶσι νενομισμένους κατά τε τὰς πόλεις καὶ τὰς χώρας. Δέχου δὲ καὶ τούτων ἐκ τῶν ἐγγράφων τὰς ἀποδείξεις. Ὁ δὴ Φίλων, εἰς ἐννέα βίβλους τὴν πᾶσαν τοῦ Σαγχουνιάθωνος πραγματείαν διελὼν, κατὰ τὸ προοίμιον τοῦ πρώτου συγγράμματος αὐτοῖς ῥήμασι προλέγει περὶ τοῦ Σαγχουνιάθωνος ταῦτα·

4. « Τούτων οὕτως ἐχόντων ὁ Σαγχουνιάθων, ἀνὴρ πολυμαθὴς καὶ πολυπράγμων γενόμενος καὶ τὰ ἐξ ἀρχῆς, ἀφ' οὗ τὰ πάντα συνέστη, παρὰ πάντων εἰδέναι ποθῶν, πολὺ φροντιστικῶς ἐμάστευε τὰ Τααύτου, εἰδὼς ὅτι τῶν ὑφ' ἡλίῳ γεγονότων πρῶτός ἐστι Τάαυτος, ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινοήσας, καὶ τῆς

(*) Verba ἱστορεῖ δὲ... Ἀσσυρίων βασιλίδος iterum apponit Euseb. p. 485 B.

(**) Sic 5 codd.; p. 485, B, est Ἀβελβαλῷ; vulgo Ἀβιβάλῳ, quod Tyrii regis nomen affert etiam Josephus A. J. VIII, 5, 3. C. Ap. I, 17. 18.

(*) Theodoretus Ther. p. 28, qui hunc locum exscripsit, habet ὁ κατὰ τὴν Φ. δ. φιλαλήθης.

PHŒNICUM HISTORIA.

1.

Res autem istas Sanchuniatho quidam memoriæ prodidit, vir antiquissimus, quemque ante Trojana tempora floruisse, summaque cum diligentiæ tum veritatis laude Phœnicum historiam scripsisse testantur. Hujus scriptionem totam Philo, non Hebræus ille, sed Byblius ex Phœnicum idiomate Græcam in linguam conversam vulgavit. Ejusdem quoque meminit is, qui nostra memoria opus illud adversum nos mendaciis fraudibusque textum consarcinavit (*Porphyrius*), dum libro quarto ipsum hujus testimonii sui prædicatione commendat.

2. « Rerum, inquit, ad Judæos pertinentium historiam Sanchuniatho Berytius summa fide conscripsit, quippe quæ cum eorum locis atque nominibus apprime consentiat, quum commentarios de rebus Judæorum accepisset ab Hierombalo (*Gideone*) Jehovæ sacerdote, qui historiam suam dedicaverat Abelbalo (*s. Abibalo*), atque tum ab ipso rege, tum ab iis quorum apud ipsum erat de scripturæ veritate cognoscere, tanquam verus scriptor collaudatus est. Ætas vero horum virorum Trojanis temporibus antiquior proxime ad Mosen ipsum accedit, ut ex Phœniciæ regum serie quivis auferre potest. Sanchuniatho autem, qui Phœnicia lingua veterem historiam partim ex singularium urbium actis, partim ex templorum monumentis collectam et coagmentatam, singulari veritatis studio perscripsit, Semiramide, quam Iliacis temporibus vel antiquiorem vel æqualem fuisse memorant, apud Assyrios regnante, vixit. Ejusdem porro Sanchuniathonis opera Philo Byblius Græco sermone donavit. »

3. Hæc ille, quibus istius theologi cum in scribendo veritatem, tum etiam vetustatem nobis testatam reliquit. Verum in operis suscepti progressu non jam deum universi moderatorem, immo ne cœli quidem incolas, sed viros quosdam ac mulierculas morti obnoxios, eosque non ea morum honestate, ut propter virtutem suscipi ac probari mereantur, aut ea præditos sapientia, quæ nos ad ipsorum æmulationem invitet, sed omnibus flagitiis et sceleribus coopertos nobis pro diis obtrudit, ac simul eos ipsos esse confirmat, qui passim etiamnum omnibus in oppidis atque regionibus deorum loco celebrantur. Quarum tu rerum certas etiam ex illorum scriptis accipe probationes. Philo igitur, qui Sanchuniathonis opus universum novem in libros distribuit, ipso statim primi libri proœmio hæc ad verbum de eodem auctore præfatur :

4. « Hæc quum ita se haberent, Sanchuniatho, vir in primis eruditus, quum operam in rerum plurimarum studio posuisset, quumque gentium omnium historiam jam usque a prima universi molitione nosse vehementer optaret, præcipuam quandam in pervestigandis Taauti scriptis diligentiam adhibuit, bene gnarus, omnium qui lucem hanc

τῶν ὑπομνημάτων γραφῆς κατάρξας, καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπῖδα βαλόμενος τοῦ λόγου, ὃν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωύθ, Ἀλεξανδρεῖς δὲ Θώθ, Ἑρμῆν δὲ Ἕλληνες μετέφρασαν. »

Ταῦτα εἰπὼν ἐπιμέμφεται τοῖς νεωτέροις τοῖς μετὰ ταῦτα, ὡς ἂν βεβιασμένως καὶ οὐκ ἀληθῶς τοὺς περὶ θεῶν μύθους ἐπ' ἀλληγορίας καὶ φυσικὰς διηγήσεις τε καὶ θεωρίας ἀνάγουσι. Λέγει δ' οὖν προϊών·

5. « Ἀλλ' οἱ μὲν νεώτατοι τῶν ἱερολόγων τὰ μὲν γεγονότα πράγματα ἐξ ἀρχῆς ἀπεπέμψαντο, ἀλληγορίας δὲ καὶ μύθους ἐπινοήσαντες, καὶ τοῖς κοσμικοῖς παθήμασι συγγένειαν πλασάμενοι, μυστήρια κατέστησαν· καὶ πολὺν αὐτοῖς ἐπῆγον τῦφον, ὡς μὴ ῥᾳδίως τινὰ συνορᾷν τὰ κατ' ἀλήθειαν γενόμενα· ὁ δὲ συμβαλὼν τοῖς ἀπὸ τῶν ἀδύτων εὑρεθεῖσιν ἀποκρύφοις Ἀμμουνέων γράμμασι συγκειμένοις, ἃ δὴ οὐκ ἦν πᾶσι γνώριμα, τὴν μάθησιν ἁπάντων αὐτὸς ἤσκησε· καὶ τέλος ἐπιθεὶς τῇ πραγματείᾳ, τὸν κατ' ἀρχὰς μῦθον καὶ τὰς ἀλληγορίας ἐκποδὼν ποιησάμενος, ἐξηνύσατο τὴν πρόθεσιν· ἕως πάλιν οἱ ἐπιγενόμενοι ἱερεῖς χρόνοις ὕστερον ἠθέλησαν αὐτὴν ἀποκρύψαι, καὶ εἰς τὸ μυθῶδες ἀποκαταστῆσαι· ἐξ οὗ τὸ μυστικὸν ἀνέκυπτεν οὐδέπω φθάσαν εἰς Ἕλληνας. »

6. Τούτοις ἑξῆς φησίν· « Ταῦθ' ἡμῖν εὕρηται ἐπιμελῶς εἰδέναι τὰ Φοινίκων ποθοῦσι, καὶ πολλὴν ἐξερευνησαμένοις ὕλην, οὐχὶ τὴν παρ' Ἕλλησι· διάφωνος γὰρ αὕτη καὶ φιλονεικότερον ὑπ' ἐνίων μᾶλλον, ἢ πρὸς ἀλήθειαν συντεθεῖσα. »

Καὶ μεθ' ἕτερα· « Οὕτως δὲ ἔχειν πεπεῖσθαι ἡμῖν παρέστη, ὡς ἐκεῖνος γέγραφε, τὴν διαφωνίαν δρῶσι τὴν παρ' Ἕλλησι, περὶ ἧς μοι τρία πεφιλοτίμηται βιβλία τὴν ἐπιγραφὴν ἔχοντα παραδόξου ἱστορίας. »

7. Καὶ αὖθις μεθ' ἕτερα ἐπιλέγει· « Προδιαρθρῶσαι δὲ ἀναγκαῖον πρὸς τὴν αὖθις σαφήνειαν, καὶ τὴν τῶν κατὰ μέρος διάγνωσιν, ὅτι οἱ παλαίτατοι τῶν βαρβάρων, ἐξαιρέτως δὲ Φοίνικες καὶ Αἰγύπτιοι, παρ' ὧν καὶ οἱ λοιποὶ παρέλαβον ἄνθρωποι, θεοὺς ἐνόμιζον μεγίστους τοὺς τὰ πρὸς τὴν βιωτικὴν χρείαν εὑρόντας, ἢ καὶ κατά τι εὐποιήσαντας τὰ ἔθνη· εὐεργέτας τε τούτους, καὶ πολλῶν αἰτίους ἀγαθῶν ἡγούμενοι ὡς θεοὺς προσεκύνουν, καὶ εἰς τὸ χρεὼν μεταστάντας ναοὺς κατασκευασάμενοι στήλας τε καὶ ῥάβδους ἀφιέρουν ἐξ ὀνόματος αὐτῶν, καὶ ταῦτα μεγάλως σεβόμενοι, καὶ ἑορτὰς ἔνεμον αὐτοῖς τὰς μεγίστας Φοίνικες. (8) Ἐξαιρέτως δὲ καὶ ἀπὸ τῶν σφετέρων βασιλέων τοῖς κοσμικοῖς στοιχείοις καί τισι τῶν νομιζομένων θεῶν τὰς ὀνομασίας ἐπέθεσαν· φυσικοὺς δὲ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ θεοὺς μόνους ἐγίνωσκον, ὥστ' αὐτοῖς τοὺς μὲν θνητούς, τοὺς δὲ ἀθανάτους θεοὺς εἶναι. »

Ταῦτα κατὰ προοίμιον ὁ Φίλων διαστειλάμενος, ἑξῆς

---

adspexerant, Taautum literas principem invenisse ac scribendorum commentariorum auctorem fuisse : ab illo igitur quem ab Ægyptiis Thoyth, ab Alexandrinis Thoth nominatum, Græci Ἑρμῆν, hoc est Mercurium, reddidere, Sanchuniatho, quasi a fundamento, narrationis sumpsit exordium.

His commemoratis recentiores illos, qui postea emerserant, eo nomine reprehendit, quod quæ de diis vulgo ferebantur, ad allegorias nescio quas et physicas explicationes, vi facta veritati, traducerent. Is ergo in progressu ita loquitur :

5. « Sed enim qui novissime rerum sacrarum disputationem attigere, quum eorum quæ facta erant, ipso statim initio veritatem rejecissent, allegoriis quibusdam ac fabulis excogitatis, quumque rebus iis, quæ hujus universi naturam consequuntur, affinitate conficta, mysteria densis obducta tenebris instituerunt, ne quis eorum, quæ reapse gesta erant, veritatem intueri facile posset. Ille autem quum in arcanas quædam Ammonearum stelarum literas incidisset, quæ in interioribus templorum penetralibus repertæ paucis tantum notæ essent, omnium sententiam diligenti meditatione quæsivit, lætumque suscepti laboris exitum consequutus, quæ in ipso aditu occurrebant fabulis cum allegoriis omnibus de medio sublatis, institutum opus suum ad perfectionem maturitatemque perduxit : donec qui post illum exstitere sacerdotes, idem ipsum occultare denuo atque ad priscarum fabularum commenta revocare postea voluissent, unde mysticus ille sensus emersit, qui nunquam antea Græcorum animos occuparat. »

6. Quibus deinceps ista subjungit : « Hæc tandem a nobis reperta sunt, quum vehementi cognoscendæ Phœnicum historiæ desiderio teneremur, ac posteaquam ingentem librorum monumentorumque silvam cupide scrutati essemus, non eam tamen, quæ penes Græcos erat, quod ipsam magna cum dissensione animorum, et contentionis potius quam veritatis studio conflatam a nonnullis esse perviderem. » Tum quibusdam interjectis : « Ad fidem, inquit, illis scriptis adhibendam, eo maxime quod oculis intuemur, Græcorum scriptorum dissidio adducti sumus, de quo tria nobis volumina, quorum inscriptio est : *de incredibili historia*, studiose ac diligenter elaboravimus. »

7. Ac rursum post alia nonnulla subdit : « Jam vero, quo illustrior habeatur magisque distincta rerum sequentium intelligentia, hoc etiam ante omnia ponere nos oportet, Barbarorum antiquissimos, Phœnices inprimis et Ægyptios, a quibus ceteri deinceps populi morem illum accepere, in maximorum deorum loco eos omnes habuisse, qui res ad vitam agendam necessarias invenissent, quique beneficium aliquod in genus humanum contulissent. Eos nimirum, quos sibi plurimorum bonorum auctores esse persuaderent, ut deos adorarunt, fatoque defunctis exstruentes templa stelasque et virgas ipsorum nomine consecrarunt, eaque præcipuo religionis cultu prosecuti Phœnices, festos illis quoque dies longe celeberrimos dedicarunt. (8) In quo quidem eximium illud fuit, quod regum suorum nomina universi hujus elementis, ac quibusdam eorum, quibus divinitatem ipsi tribuebant, imponerent. Naturales porro deos, Solem, Lunam reliquasque stellas inerrantes, cum elementis ac ceteris cum iisdem affinitate conjunctis, solos ex omnibus agnoscebant, ut mortales quidem alios, alios autem immortales deos haberent. »

Quibus Philo breviter in procemio constitutis, ad Sanchu-

ἀπάρχεται τῆς τοῦ Σαγχουνιάθωνος ἑρμηνείας, ὧδέ πως τὴν Φοινικικὴν ἐκτιθέμενος θεολογίαν. (Postrema inde ab οἱ παλαίτατοι tanquam ex Clemente Alex. affert Cyrillus In Jul. VI, p. 205, E.)

2.

Idem ib., cap. 10: Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη, ἢ πνοὴν ἀέρος ζοφώδους, καὶ χάος θολερὸν, ἐρεβῶδες· ταῦτα δὲ εἶναι ἄπειρα, καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. « Ὅτε δὲ, φησὶν, ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν, καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη πόθος. Αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων. Αὐτὸ δὲ οὐκ ἐγίνωσκε τὴν αὐτοῦ κτίσιν· καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐγένετο Μώτ· τοῦτό τινές φασιν ἰλύν· οἱ δὲ ὑδατώδους μίξεως σῆψιν. Καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως, καὶ γένεσις τῶν ὅλων. (2) Ἦν δέ τινα ζῶα οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῶα νοερὰ, καὶ ἐκλήθη Ζωφασημὶν (Ζωφισημὰν cod. H.), τουτ' ἔστιν οὐρανοῦ κατόπται. Καὶ ἀνεπλάσθη ὁμοίως ὠοῦ σχήματι. Καὶ ἐξέλαμψε Μὼτ ἥλιός τε καὶ σελήνη ἀστέρες τε καὶ ἄστρα μεγάλα. »

Τοιαύτη μὲν αὐτῶν ἡ κοσμογονία, ἀντικρὺς ἀθεότητα εἰσάγουσα. Ἴδωμεν δὲ ἑξῆς, ὡς καὶ τὴν ζῳογονίαν ὑποστῆναι λέγει. Φησὶν οὖν·

3. « Καὶ τοῦ ἀέρος διαυγάσαντος, διὰ πύρωσιν καὶ τῆς θαλάττης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. Καὶ ἐπειδὴ διεκρίθη καὶ τοῦ ἰδίου τόπου διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν, καὶ πάντα συνήντησε πάλιν ἐν ἀέρι τάδε τοῖσδε, καὶ συνέρραξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαὶ, καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν τὰ προγεγραμμένα νοερὰ ζῶα ἐγρηγόρησεν, καὶ πρὸς τὸν ἦχον ἐπτύρη, καὶ ἐκινήθη ἔν τε γῇ καὶ θαλάττῃ ἄρρεν καὶ θῆλυ. »

4. Τοιαύτη αὐτοῖς καὶ ἡ ζῳογονία. Τούτοις ἑξῆς ὁ αὐτὸς συγγραφεὺς ἐπιφέρει λέγων· « Ταῦθ' ηὑρέθη ἐν τῇ κοσμογονίᾳ γεγραμμένα Taαύτου καὶ τοῖς ἐκείνου ὑπομνήμασιν, ἔκ τε στοχασμῶν καὶ τεκμηρίων ὧν ἑώρακεν αὐτοῦ ἡ διάνοια καὶ εὗρε καὶ ἡμῖν ἐφώτισεν. »

Ἑξῆς τούτοις ὀνόματα τῶν ἀνέμων εἰπὼν Νότου καὶ Βορέου καὶ τῶν λοιπῶν, ἐπιλέγει· « Ἀλλ' οὗτοί γε πρῶτοι ἀφιέρωσαν τὰ τῆς γῆς βλαστήματα καὶ θεοὺς ἐνόμισαν, καὶ προσεκύνουν ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγένοντο, καὶ οἱ ἑπόμενοι, καὶ οἱ πρὸ αὐτῶν πάντες, καὶ χοὰς καὶ ἐπιθύσεις ἐποίουν. »

5. Καὶ ἐπιλέγει· « Αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως ὅμοιαι τῶν αὐτῶν ἀσθενείᾳ καὶ ψυχῆς ἀτολμίᾳ. Εἶτά φησι γεγενῆσθαι ἐκ τοῦ Κολπία ἀνέμου, καὶ γυναικὸς Βάαυ, τοῦτο δὲ νύκτα ἑρμηνεύειν, Αἰῶνα καὶ Πρωτόγονον, θνητοὺς ἄνδρας, οὕτω καλουμένους· εὑρεῖν δὲ τὸν Αἰῶνα τὴν ἀπὸ τῶν δένδρων τροφήν. Ἐκ τούτων τοὺς γενομένους κληθῆναι Γένος καὶ Γενεὰν, καὶ οἰκῆσαι τὴν Φοινίκην· αὐχμῶν δὲ γενομένων τὰς χεῖρας εἰς οὐρανὸν ὀρέγειν πρὸς τὸν ἥλιον. Τοῦτον γὰρ,

---

niathonis interpretationem progreditur, his verbis Phœnicum theologiam edisserens.

2.

Principium universi Philo ponit aerem tenebrosum ac spiritu fœtum, seu mavis tenebrosi aeris flatum ac spiritum, chaosque turbidum altaque caligine circumfusum. Hæc porro infinita esse, nullumque nisi longo sæculorum intervallo terminum habere. « Verum ubi spiritus, inquit, amore principiorum suorum flagrare cœpisset, eumque simul esset mixtio consecuta, nexum hunc mutuum Cupidinem appellarunt. Is quidem rerum omnium procreationis principium fuit. Spiritus vero suam ipsius procreationem minime agnoscebat. Ex hac illius conjunctione prodiit Mot (*v. Mov. l. l.* p. 134); id quod limum nonnulli, alii aquosæ mixtionis putredinem esse volunt, ex qua secutæ productionis semina, ipsaque adeo rerum universarum generatio exstiterit. (2) Ceterum animantia quædam erant omni sensu carentia, quæ postmodum intelligentia præditos animantes procrearunt. Eos illi Zophasemin, hoc est cœli contemplatores, nominarunt, in ovi figuram conformatos. Illico autem Mot cum sole, luna, stellis, ac reliqua majorum astrorum multitudine emicuit. »

Hujusmodi a Phœnicibus mundi ortus ponitur qui omnem plane divinitatem exterminet. Jam qualis ab iisdem invehatur animalium generatio videamus. Sic ergo philosophatur:

3. « Quum igneum splendorem aer emisisset, ex ardenti maris et terrarum inflammatione, venti, nubes, magnoque ruentium impetu cœlestium imbrium ac nimborum effusiones exstitere: quum autem hæc omnia, quæ distincta paullo ante, ac propter vehementiorem solis æstum a propria sede disjuncta fuerant, in eodem rursus aere concurrerent, atque alia cum aliis committerentur; tonitrua simul ac fulgura peperere: quorum ad tonitruum fragorem, descripti antea intellectu præditi animantes velut a somno excitati, horrendoque sonitu exterriti, mares pariter ac feminæ tam in terra quam in mari moveri cœpere. »

4. Ejusmodi est, quæ ab istis somniatur, animalium generatio, quam hæc ejusdem auctoris verba excipiunt: « Hæc in Taauti de mundi ortu commentariis scripta reperta sunt, quæ quidem ipse cum argumentis (*v. Mov.* p. 136) et conjecturis, quas mentis acie perviderat, excogitavit; tum eorum quoque facem nobis lumenque prætulit. »

Mox Austri ac Boreæ ceterorumque ventorum nominibus appositis, ita prosequitur: « At illi omnium primi terræ germina consecrarunt, iisque deorum in loco habitis adorationis cultum tribuerunt, quibus vitam non ipsi modo, sed ipsorum etiam posteri, majoresque omnes tolerarunt, inferiasque ac libamina perfecerunt. »

5. « Atque hæ divini cultus cogitationes, inquit, cum illorum imbecillitate animique angustiis congruebant. Tum scribit, ex Colpia vento atque ejus uxore Baau, quam Græci νύκτα, h. e. noctem, interpretantur, Æonem ac Primogenitum, mortales ambo procreatos, Æonemque cibi ex arboribus petendi auctorem fuisse: qui ab illis geniti sint, eos Genus ac Progeniem appellatos, Phœnicen incoluisse,

φησὶ, θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον, Βεελσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι κύριος οὐρανοῦ, Ζεὺς δὲ παρ' Ἕλλησι. »

6. Μετὰ ταῦτα πλάνην Ἕλλησιν αἰτιᾶται λέγων· « Οὐ γὰρ ματαίως αὐτὰ πολλαχῶς διεστειλάμεθα, ἀλλὰ πρὸς τὰς αὖθις παρεκδοχὰς τῶν ἐν τοῖς πράγμασιν ὀνομάτων, ἅπερ οἱ Ἕλληνες ἀγνοήσαντες ἄλλως ἐξεδέξαντο, πλανηθέντες τῇ ἀμφιβολίᾳ τῆς μεταφράσεως. »

7. Ἑξῆς φησιν· ἀπὸ Γένους Αἰῶνος καὶ Πρωτογόνου γεννηθῆναι αὖθις παῖδας θνητοὺς, οἷς εἶναι ὀνόματα Φῶς καὶ Πῦρ καὶ Φλόξ. « Οὗτοι, φησὶν, ἐκ παρατριβῆς ξύλων εὗρον πῦρ, καὶ τὴν χρῆσιν ἐδίδαξαν. Υἱοὺς δὲ ἐγέννησαν οὗτοι μεγέθει τε καὶ ὑπεροχῇ κρείσσονας· ὧν τὰ ὀνόματα τοῖς ὄρεσιν ἐπετέθη, ὧν ἐκράτησαν· ὡς ἐξ αὐτῶν κληθῆναι τὸ Κάσσιον, καὶ τὸν Λίβανον καὶ τὸν Ἀντιλίβανον, καὶ τὸ Βραθύ. Ἐκ τούτων, φησὶν, ἐγεννήθησαν Μημροῦμος καὶ ὁ Ὑψουράνιος (*)· ἀπὸ μητέρων δὲ, φησὶν, ἐχρημάτιζον τῶν τότε γυναικῶν ἀνέδην μισγομένων οἷς ἂν ἐντύχοιεν. »

8. Εἶτά φησι τὸν Ὑψουράνιον οἰκῆσαι Τύρον, καλύβας τε ἐπινοῆσαι ἀπὸ καλάμων καὶ θρύων καὶ παπύρου· στασιάσαι δὲ πρὸς τὸν ἀδελφὸν Οὔσωον, ὃς σκέπην τῷ σώματι πρῶτος ἐκ δερμάτων ὧν ἴσχυσε συλλαβεῖν θηρίων εὗρε. Ῥαγδαίων δὲ γενομένων ὄμβρων καὶ πνευμάτων, παρατριβέντα τὰ ἐν τῇ Τύρῳ δένδρα πῦρ ἀνάψαι, καὶ τὴν αὐτόθι ὕλην καταφλέξαι· δένδρου δὲ λαβόμενον τὸν Οὔσωον καὶ ἀποκλαδεύσαντα πρῶτον τολμῆσαι εἰς θάλατταν ἐμβῆναι· ἀνιερῶσαι δὲ δύο στήλας πυρὶ καὶ πνεύματι, καὶ προσκυνῆσαι, αἷμά τε σπένδειν αὐταῖς ἐξ ὧν ἤγρευε θηρίων. Τούτων δὲ τελευτησάντων, τοὺς ἀπολειφθέντας φησὶ ῥάβδους αὐτοῖς ἀφιερῶσαι, καὶ τὰς στήλας προσκυνεῖν, καὶ τούτοις ἑορτὰς ἄγειν κατ' ἔτος. (9) Χρόνοις δὲ ὕστερον πολλοῖς ἀπὸ τῆς Ὑψουρανίου γενεᾶς γενέσθαι Ἀγρέα καὶ Ἁλιέα, τοὺς ἄγρας καὶ ἁλιείας εὑρετὰς, ἐξ ὧν κληθῆναι ἀγρευτὰς καὶ ἁλιεῖς· ἐξ ὧν γενέσθαι δύο ἀδελφοὺς, σιδήρου εὑρετὰς καὶ τῆς τούτου ἐργασίας· ὧν θάτερον τὸν Χρυσὼρ λόγους ἀσκῆσαι καὶ ἐπῳδὰς καὶ μαντείας· εἶναι δὲ τοῦτον τὸν Ἥφαιστον, εὑρεῖν δὲ καὶ ἄγκιστρον καὶ δέλεαρ καὶ ὁρμιὰν καὶ σχεδίαν, πρῶτόν τε πάντων ἀνθρώπων πλεῦσαι· διὸ καὶ ὡς θεὸν αὐτὸν μετὰ θάνατον ἐσεβάσθησαν· καλεῖσθαι δὲ αὐτὸν καὶ Δία μειλίχιον. Οἱ δὲ τοὺς ἀδελφοὺς αὐτοῦ τοίχους φασὶν ἐπινοῆσαι ἐκ πλίνθων. Μετὰ ταῦτ' ἐκ τοῦ γένους τούτων γενέσθαι νεανίας δύο, καλεῖσθαι δὲ αὐτῶν τὸν μὲν Τεχνίτην, τὸν δὲ Γήϊνον Αὐτόχθονα. Οὗτοι ἐπε-

(*) Ἐγεννήθησαν Μημροῦμος] ἐγεννήθησα μῆ κροῦμνος cod. E; ἐγεννήθη Σαμημροῦμος D. ἐγεννήθη σαμῆ κροῦμνος F. G. ὁ καὶ Ὑψουράνιος E. F G. *Gaisford.* Cum Boccharto p. 706 videtur legendum : ἐγεννήθη Σαμημροῦμος ὁ καὶ Ὑψουράνιος. Pluralis ἐχρημάτιζον etc. suadet post Ὑψουράνιος excidisse καὶ Οὔσωος, qui tamquam frater Hyps. memoratur paullo post.

---

quumque vehementior æstus urgeret, in cœlum manus ad solem sustulisse. Quippe deum hunc unum cœli moderatorem esse credebant, eumque propterea Beelsamen, i. e. Phœnicum lingua, cœli dominum, Græca vero Δία, i. e. Jovem, nominabant. »

6. Deinceps Græcorum his verbis traducit errorem : « Neque enim sine ratione pluribus ista modis explicate distinguenda putavimus, sed varias hac etiam in parte nominum quæ rebus attribuuntur rationes ac significationes secuti sumus, quæ Græci homines quum ignorarent, alieno sensu accepere, in errorem ambiguitate significationis inducti. »

7. Porro ex Genere Ævi et Primogeniti filio natos ait esse liberos morti similiter obnoxios, eosque Lucis, Ignis et Flammæ nominibus appellatos, qui quum ignem ex mutua lignorum collisione reperissent, ejusdem usum homines docuerint. Iidem filios genuere, qui mole ac proceritate corporis vulgus hominum longe superarent, quorum nomina montibus iis attributa sunt, quos ipsi prius occuparant. Quare montes Cassius, Libanus, Antilibanus et Brathy (*Bratum ap. Plin., i. e. cypressus arbor; v. Mov.* p. 577) ab illis nomen accepere. Ceterum ab iis procreatus est Samemrumus, qui et Hypsuranius, (*et Usous*) : qui a matribus ejusmodi appellationes invenere, mulierculis, inquam, illis, quæ sui copiam eo tempore obvio cuilibet impudentissime faciebant.

8. Jam vero Hypsuranium in insula Tyro domicilium suum collocasse, ac tuguriorum ex calamis cum junco papyroque contextis efficiendorum artem excogitasse, gravesque cum Usoo fratre inimicitias exercuisse tradit. Ac princeps quidem pellibus, quas feris ab se captis detraxerat, corpus tegere Usous instituit: quumque, turbulenta imbrium ventorumque tempestate coorta, ex Tyri arborum collisione ignis exarsisset, arbore, cujus ante ramos amputarat, navigii loco mari sese, nullo licet exemplo, committere ausus est. Geminos quoque cippos quum igni ventoque dedicasset, mox utrique adorationis cultum exhibuit, quosque venando ceperat ferarum sanguinem libavit. Posteaquam autem supremum isti omnes diem obiissent, qui superstites, inquam, remansere, virgas ac cippos in eorum honorem consecratos adorarunt, festosque dies solenni ritu quotannis peregerunt. (9) At vero multis post seculis, ex illius Hypsuranii sobole Venator et Piscator nati sunt, qui piscationis ac venationis artem invenere, ac toti piscatorum venatorumque nationi suum postea nomen indidere. Ab iisdem fratres procreati duo, qui ferrum ac multiplicem ferri usum reperere. Quorum alter Chrysor nomine, quem Vulcanum esse ait, plurimum operæ ac studii partim in eloquentia, partim in incantationibus ac divinandi artibus collocavit. Is etiam hamum atque escam, piscatorum lineam, ac tumultuarias rates invenit, primusque mortalium omnium navigavit. Quamobrem eum quoque post obitum instar dei coluerunt, ipsumque præterea Jovis μειλιχίου (*Melech? v. Movers* p. 326) nomine appellarunt, nec desunt etiam, qui ab ejusdem fratribus struendorum ex lateribus murorum ac parietum rationem excogitatam esse velint. Ab horum posteris geniti adolescentes duo, quorum unus Artifex, alter vero Terrestris Indigena nuncupatus. Hi quisquiliarum cum

νόησαν τῷ πηλῷ τῆς πλίνθου συμμιγνύειν φορυτὸν καὶ τῷ ἡλίῳ αὐτὰς τερσαίνειν, ἀλλὰ καὶ στέγας ἐξεῦρον. (10) Ἀπὸ τούτων ἐγένοντο ἕτεροι, ὧν ὁ μὲν Ἀγρὸς ἐκαλεῖτο, ὁ δὲ Ἀγρούηρος ἢ Ἀγρότης, οὗ καὶ ξόανον εἶναι μάλα σεβάσμιον καὶ ναὸν ζυγοφορούμενον ἐν Φοινίκῃ· παρὰ δὲ Βυβλίοις ἐξαιρέτως θεῶν ὁ μέγιστος ὀνομάζεται. Ἐπενόησαν δὲ οὗτοι αὐλὰς προστιθέναι τοῖς οἴκοις καὶ περιβόλαια καὶ σπήλαια. Ἐκ τούτων ἀγρόται καὶ κυνηγοί. Οὗτοι δὲ καὶ Ἀλῆται καὶ Τιτᾶνες καλοῦνται. (11) Ἀπὸ τούτων γενέσθαι Ἄμυνον καὶ Μάγον, οἳ κατέδειξαν κώμας καὶ ποίμνας. Ἀπὸ τούτων γενέσθαι Μισὼρ καὶ Συδὺκ (al. libr. Συδέκκ, s. Σεδέκ), τουτέστιν εὔλυτον (εὔλογον Toup.) καὶ δίκαιον· οὗτοι τὴν τοῦ ἁλὸς χρῆσιν εὗρον. Ἀπὸ Μισὼρ Τάαυτος, ὃς εὗρε τὴν τῶν πρώτων στοιχείων γραφήν· ὃν Αἰγύπτιοι μὲν Θωὼρ (l. Θωώθ; inversus ordo supra legitur), Ἀλεξανδρεῖς δὲ Θωύθ, Ἕλληνες δὲ Ἑρμῆν ἐκάλεσαν. Ἐκ δὲ τοῦ Συδὺκ Διόσκουροι ἢ Κάβειροι ἢ Κορύβαντες ἢ Σαμοθρᾷκες. Οὗτοι, φησὶ, πρῶτοι πλοῖον εὗρον. (12) Ἐκ τούτων γεγόνασιν ἕτεροι, οἳ καὶ βοτάνας εὗρον, καὶ τὴν τῶν δακετῶν ἴασιν καὶ ἐπῳδάς. Κατὰ τούτους γίνεταί τις Ἐλιοῦν καλούμενος Ὕψιστος, καὶ θήλεια λεγομένη Βηρούθ, οἳ καὶ κατῴκουν περὶ Βύβλον. Ἐξ ὧν γεννᾶται Ἐπίγειος ἢ Αὐτόχθων, ὃν ὕστερον ἐκάλεσαν Οὐρανόν· ὡς ἀπ' αὐτοῦ καὶ τὸ ὑπὲρ ἡμᾶς στοιχεῖον δι' ὑπερβολὴν τοῦ κάλλους ὀνομάζειν οὐρανόν. (13) Γεννᾶται δὲ τούτῳ ἀδελφὴ ἐκ τῶν προειρημένων, ἣ καὶ ἐκλήθη Γῆ, καὶ διὰ τὸ κάλλος ἀπ' αὐτῆς, φησὶν, ἐκάλεσαν τὴν ὁμώνυμον γῆν. Ὁ δὲ τούτων πατὴρ ὁ Ὕψιστος ἐν συμβολῇ θηρίων τελευτήσας ἀφιερώθη, ᾧ χοὰς καὶ θυσίας οἱ παῖδες ἐτέλεσαν. (14) Παραλαβὼν δὲ ὁ Οὐρανὸς τὴν τοῦ πατρὸς ἀρχὴν, ἄγεται πρὸς γάμον τὴν ἀδελφὴν Γῆν, καὶ ποιεῖται ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἦλον τὸν καὶ Κρόνον, καὶ Βαίτυλον, καὶ Δαγὼν, ὅς ἐστι Σίτων, καὶ Ἄτλαντα. Καὶ ἐξ ἄλλων δὲ γαμετῶν ὁ Οὐρανὸς πολλὴν ἔσχε γενεάν. Διὸ χαλεπαίνουσα ἡ Γῆ τὸν Οὐρανὸν ζηλοτυποῦσα ἐκάκιζεν, ὡς καὶ διαστῆναι ἀλλήλων. (15) Ὁ δὲ Οὐρανὸς ἀποχωρήσας αὐτῆς, μετὰ βίας ὅτε καὶ ἐβούλετο ἐπιὼν καὶ πλησιάζων αὐτῇ, πάλιν ἀπηλλάττετο· ἐπεχείρει δὲ καὶ τοὺς ἐξ αὐτῆς παῖδας διαφθείρειν· τὴν δὲ Γῆν ἀμύνασθαι πολλάκις, συμμαχίαν αὐτῇ συλλεξαμένην· εἰς ἄνδρας δὲ προελθὼν ὁ Κρόνος Ἑρμῇ τῷ τρισμεγίστῳ συμβούλῳ καὶ βοηθῷ χρώμενος, οὗτος γὰρ ἦν αὐτοῦ γραμματεὺς, τὸν πατέρα Οὐρανὸν ἀμύνεται, τιμωρῶν τῇ μητρί. (16) Κρόνῳ δὲ γίνονται παῖδες Περσεφόνη καὶ Ἀθηνᾶ. Ἡ μὲν οὖν πρώτη παρθένος ἐτελεύτα· τῇ δὲ Ἀθηνᾶς γνώμῃ καὶ Ἑρμοῦ κατεσκεύασε Κρόνος ἐκ σιδήρου ἅρπην καὶ δόρυ. Εἶτα ὁ Ἑρμῆς τοῖς τοῦ Κρόνου συμμάχοις λόγους μαγείας διαλεχθεὶς πόθον ἐνεποίησε τῆς κατ' Οὐρανοῦ μάχης ὑπὲρ τῆς Γῆς. Καὶ οὕτω Κρόνος τὸν Οὐρανὸν, πολέμῳ συμβαλὼν, τῆς ἀρχῆς ἤλασε, καὶ τὴν βασιλείαν διεδέξατο. Ἑάλω δὲ ἐν τῇ μάχῃ καὶ ἡ ἐπέραστος τοῦ Οὐρανοῦ σύγκοιτος ἐγκύμων οὖσα, ἣν ἐκδίδωσιν ὁ Κρόνος Δαγῶνι πρὸς γάμον. Τίκτει δὲ παρὰ τούτῳ ὃ κατὰ

---

lateritio luto miscendarum, utriusque vero solis calore exsiccandi et tectorum ædibus imponendi auctores fuere. (10) Alios item duos procrearunt, quorum unus Agri, alter Rustici sive Agricolæ nomen accepit. Et huic quidem simulacrum eximio cultu dedicatum est, addito quoque in Phœnice templo, quod ab aliquot jugatorum boum paribus gestabatur. Idem apud Byblios præ ceteris deorum maximus elogio plane singulari nominatur. Ambo præterea construendis ædibus non solum atria, verum etiam ducta in orbem septa cum speluncis addidere. Ab iis tam agricolarum quam venatorum, qui canibus uterentur, genus propagatum. Iisdem Erronum ac Titanum attributum nomen. (11) Filios reliquere Amynum et Magum, quibus villarum gregumque alendorum rationes feruntur acceptæ. Ex istis nati Misor ac Sydyc, hoc est solutu facilis ac justus, qui salis usum reperere. Misor filium Taautum habuit, primorum in scribendo elementorum inventorem quem Ægyptii Thoor (*Thooth*), Alexandrini Thoyt, Græci Mercurium nominarunt. Ex Sydyc vero Dioscuri seu Cabiri seu Corybantes seu denique Samothraces originem accepere. Hos quoque navigium primos excogitasse ferunt. (12) Ab iis procreati alii, qui non herbas modo, sed etiam venenatorum morsuum curationem et incantationes invenere. Eorundem ætate natus est Eliun quidam nomine Altissimus, itemque femina Beruth appellata. Hi loca Byblo vicina tenuerunt ac Terrestrem quendam sive Indigenam Cœlum postea nuncupatum genuere, a quo etiam illud sublime elementum, quod supra nos volvitur, propter eximiam pulchritudinis ac formæ speciem cœlum vocarunt. (13) Is sororem habuit iisdem parentibus natam, cui nomen Terra, quod propter singularem ejus corporis venustatem cum ea, quam terram vocamus, postea communicarunt. Parens autem illorum Altissimus, quum ferarum congressione periisset, deorum in numerum est relatus, quem libationibus ac sacrificiis liberi coluere. (14) At Cœlus ubi paternum in imperium successisset, Terram sororem matrimonio secum junxit, ex eaque liberos quattuor suscepit, Elum, qui Saturnus dictus est, Bætylum, Dagonem, qui Sito, hoc est frumenti præses, nominatur, et Atlantem. Ex aliis autem uxoribus ingentem liberorum multitudinem genuit, id quod adeo grave et acerbum Terræ accidit, ut zelotypia vehementiore succensa, abs Cœlo multis ante probris onerato divortium fecerit. (15) Cœlus autem, etsi ab ea discesserat, vi tamen quoties libitum erat, eadem oppressa, domum sese denuo recipiebat. Verum quod susceptos ex ipsa filios interficere conaretur, Terra, convocatis auxiliaribus copiis, ejus impetum sæpe propulsabat. Interea Saturnus, ubi virilem ætatem attigisset, Mercurii Trismegisti, qui ipsi a tabulis et codicillis erat, consilio atque opibus, maternas ulturus injurias, Cœlo patri sese acriter objecit. (16) Idem liberos procreavit Proserpinam et Minervam; ac prior quidem virgo diem obiit, Minerva autem Mercurioque auctoribus, Saturnus falcem ex ferro hastamque conflavit. Tum Mercurius Saturni sociis vehemens contra Cœlum pro Terra dimicandi studium magicis cantionibus injecit. Saturnus igitur, his instructus copiis bellum cum patre committit, eoque imperii finibus ejecto,

γαστρὸς ἐξ Οὐρανοῦ ἔφερεν, ὃ καὶ ἐκάλεσε Δημαροῦν. (17) Ἐπὶ τούτοις ὁ Κρόνος τεῖχος περιβάλλει τῇ ἑαυτοῦ οἰκήσει, καὶ πόλιν πρώτην κτίζει τὴν ἐπὶ Φοινίκης Βύβλον. Μετὰ ταῦτα τὸν ἀδελφὸν τὸν ἴδιον Ἄτλαντα ὑπονοήσας ὁ Κρόνος, μετὰ γνώμης τοῦ Ἑρμοῦ εἰς βάθος γῆς ἐμβαλὼν κατέχωσε. Κατὰ τοῦτον τὸν χρόνον οἱ ἀπὸ τῶν Διοσκούρων σχεδίας καὶ πλοῖα συνθέντες ἔπλευσαν· καὶ ἐκριφέντες κατὰ τὸ Κάσσιον ὄρος ναὸν αὐτόθι ἀφιέρωσαν. (18) Οἱ δὲ σύμμαχοι Ἤλου τοῦ Κρόνου Ἐλοεὶμ ἐπεκλήθησαν, ὡς ἂν Κρόνιοι οὗτοι ἦσαν οἱ λεγόμενοι ἐπὶ Κρόνου. Κρόνος δὲ υἱὸν ἔχων Σάδιδον ἰδίῳ αὐτὸν σιδήρῳ διεχρήσατο, δι' ὑπονοίας αὐτὸν ἐσχηκὼς, καὶ τῆς ψυχῆς, αὐτόχειρ τοῦ παιδὸς γενόμενος, ἐστέρησεν. Ὡσαύτως καὶ θυγατρὸς ἰδίας τὴν κεφαλὴν ἀπέτεμεν· ὡς πάντας ἐκπεπλῆχθαι θεοὺς τὴν Κρόνου γνώμην. (19) Χρόνου δὲ προϊόντος Οὐρανὸς ἐν φυγῇ τυγχάνων, θυγατέρα αὐτοῦ παρθένον Ἀστάρτην μεθ' ἑτέρων ἀδελφῶν αὐτῆς δύο, Ῥέας καὶ Διώνης, δόλῳ τὸν Κρόνον ἀνελεῖν ὑποπέμπει· ἃς καὶ ἑλὼν ὁ Κρόνος κουριδίας γαμετὰς ἀδελφὰς οὔσας ἐποιήσατο. Γνοὺς δὲ Οὐρανὸς ἐπιστρατεύει κατὰ τοῦ Κρόνου Εἱμαρμένην καὶ Ὥραν μεθ' ἑτέρων συμμάχων, καὶ ταύτας ἐξοικειωσάμενος ὁ Κρόνος παρ' ἑαυτῷ κατέσχεν. Ἔτι δὲ, φησὶν, ἐπενόησε θεὸς Οὐρανὸς Βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. (20) Κρόνῳ δὲ ἐγένοντο ἀπὸ Ἀστάρτης θυγατέρες ἑπτὰ Τιτανίδες ἢ Ἀρτέμιδες. Καὶ πάλιν τῷ αὐτῷ γίνονται ἀπὸ Ῥέας παῖδες ἑπτὰ, ὧν ὁ νεώτατος ἅμα τῇ γενέσει ἀφιερώθη· καὶ ἀπὸ Διώνης θήλειαι, καὶ ἀπὸ Ἀστάρτης πάλιν ἄρρενες δύο, Πόθος καὶ Ἔρως. Ὁ δὲ Δαγὼν, ἐπειδὴ εὗρε σῖτον καὶ ἄροτρον, ἐκλήθη Ζεὺς Ἀρότριος. Συδύκῳ δὲ, τῷ λεγομένῳ δικαίῳ, μία τῶν Τιτανίδων συνελθοῦσα γεννᾷ τὸν Ἀσκληπιόν. (21) Ἐγεννήθησαν δὲ καὶ ἐν Περαίᾳ Κρόνῳ τρεῖς παῖδες, Κρόνος ὁμώνυμος τῷ πατρὶ, καὶ Ζεὺς Βῆλος καὶ Ἀπόλλων. Κατὰ τούτους γίνονται Πόντος καὶ Τυφὼν καὶ Νηρεὺς, πατὴρ Πόντου. Ἀπὸ δὲ τοῦ Πόντου γίνεται Σιδὼν, ἣ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνον ᾠδῆς εὗρε, καὶ Ποσειδῶν. (22) Τῷ δὲ Δημαροῦντι γίνεται Μελκάθρος, ὁ καὶ Ἡρακλῆς. Εἶτα πάλιν Οὐρανὸς πολεμεῖ Πόντῳ, καὶ ἀποστὰς Δημαροῦντι προστίθεται· ἔπεισί τε Πόντῳ ὁ Δημαροῦς, τροποῦταί τε αὐτὸν ὁ Πόντος. Ὁ δὲ Δημαροῦς φυγῆς θυσίαν ηὔξατο. Ἔτει δὲ τριακοστῷ δευτέρῳ τῆς ἑαυτοῦ κρατήσεως καὶ βασιλείας, ὁ Ἦλος, τοῦτ' ἔστιν ὁ Κρόνος, Οὐρανὸν τὸν πατέρα λοχήσας ἐν τόπῳ τινὶ μεσογείῳ, καὶ λαβὼν ὑποχείριον, ἐκτέμνει αὐτοῦ τὰ αἰδοῖα, σύνεγγυς πηγῶν τε καὶ ποταμῶν. Ἔνθα ἀφιερώθη Οὐρανὸς, καὶ ἀπηρτίσθη αὐτοῦ τὸ πνεῦμα καὶ ἀπέσταξεν αὐτοῦ τὸ αἷμα τῶν αἰδοίων εἰς τὰς πηγὰς καὶ τῶν ποταμῶν τὰ ὕδατα, καὶ μέχρι τούτου δείκνυται τὸ χωρίον. »

23. Τοσαῦτα μὲν δὴ τὰ τοῦ Κρόνου καὶ τοιαῦτά γε τὰ σεμνὰ τοῦ παρ' Ἕλλησι βοωμένου βίου τῶν ἐπὶ Κρόνου, οὓς καί φασι γεγονέναι πρῶτον χρύσεόν τε γένος μερόπων ἀνθρώπων, τῆς μακαριζομένης ἐκείνης τῶν παλαιῶν εὐδαιμονίας. Πάλιν ὁ συγγραφεὺς τούτοις ἐπιφέρει μεθ' ἕτερα λέγων·

---

regnum capessit. Hoc in certamine capta Cœli concubina, cujus ille singulari amore flagrabat. Eam Saturnus Dagoni in uxorem dedit, apud quem susceptum ex Cœlo fœtum enixa Demaroontem nominavit. (17) Tum vero Saturnus ædes suas muro cingit, Byblumque condit urbem Phœniciæ principem. Mox Atlantem fratrem, quod eum suspectum haberet, suadente Mercurio alta terra defossum obruit. Per idem ferme tempus Dioscurorum nepotes quum tumultuariis ratibus navigiisque conflatis navigarent, ad Cassium montem ejecti templum eo loco dedicarunt. (18) Jam vero socios Eli, qui Saturnus idem erat, Eloim quasi Saturnios appellarunt, qui ejusdem Saturni æquales etiam dicebantur. Porro Sadidum filium Saturnus, quod secus aliquid de illo suspicaretur, gladio suo jugulavit, manusque paternas exstincti sanguine cruentavit, ac paulo post filiam quoque suam capite truncavit, ut reliqui omnes dii hanc Saturni mentem penitus obstupescerent. (19) At Cœlus quum interim exularet, post aliquod temporis intervallum Astarten filiam virginem cum duabus aliis sororibus, Rhea nimirum ac Dione, summisit, quæ Saturnum fraude insidiisque tollerent. Verum Saturnus amore blanditiisque captas sorores ambas secum matrimonio copulavit. Quod ubi Cœlus audiisset, Fatum ac Pulchritudinem cum aliis sociis adversus eum expeditionem suscipere jussit, quam pariter utramque Saturnus illecebris delinitam apud se retinuit. Præterea Cœlus, inquit, deus Bætylia reperit, animatos lapides insolenti arte molitus. (20) Ceterum Astarte filias septem Titanidas sive Dianas Saturno peperit, simulque Rhea totidem filios, quorum postremus, ut primum lucem aspexit, consecratus est. Quin etiam ex Dione quidem puellas, ex Astarte vero mares præterea duos Cupidinem Amoremque suscepit. Dagon autem, quod frumentum et aratrum invenisset, Aratrius Juppiter nuncupatus est. Sydyco, quem justum interpretamur, una ex Titanidis, Æsculapium peperit. (21) Saturno præterea liberi tres in Peræa nati, Saturnus ejusdem cum patre nominis, Juppiter Belus, et Apollo. His propemodum æquales Pontus, Typho et Nereus Ponti pater. Ex Ponto Neptunus et Sido nascuntur. Sidonis autem ea suavitas et elegantia vocis erat, ut hymni modulate canendi artem princeps inveniret. (22) A Demaroonte Melcathrus (*Melcarthus; Melicarthus*), qui et Hercules, procreatur : moxque Cœlus ad Demaroontis sese partes adjungens, Ponto a quo defecerat, denuo bellum movet. At Pontus Demaroontem, qui magno impetu suos in fines incubuerat, in fugam vertit; ille autem felicis fugæ gratia sacrificium vovit. Porro Saturnus anno occupati regni altero supra tricesimum, ubi Cœlum patrem mediterraneo quodam in loco structis insidiis captum in potestatem habuisset, verenda ipsi juxta fontes fluviosque amputavit : quo loco Cœlus idem postea consecratus est. Tum vero dispertitus ejus ac dissipatus spiritus est, et sanguis e vulnere delluens in vicinorum fontium ac fluviorum aquas distillavit et locus etiamnum ostenditur. »

23. Hæc sunt quum Saturni, tum eorum quæ Saturni ætate vixerunt, decantati a Græcis ævi laudes egregiæ, quos etiam princeps atque aureum hominum articulate

24. « Ἀστάρτη δὲ ἡ μεγίστη καὶ Ζεὺς Δημαροῦ καὶ Ἄδωδος βασιλεὺς θεῶν ἐβασίλευον τῆς χώρας Κρόνου γνώμῃ. Ἡ δὲ Ἀστάρτη ἐπέθηκε τῇ ἰδίᾳ κεφαλῇ βασιλείας παράσημον κεφαλὴν ταύρου· περινοστοῦσα δὲ τὴν οἰκουμένην εὗρεν ἀεροπετῆ ἀστέρα, ὃν καὶ ἀνελομένη ἐν Τύρῳ τῇ ἁγίᾳ νήσῳ ἀφιέρωσε. Τὴν δὲ Ἀστάρτην Φοίνικες τὴν Ἀφροδίτην εἶναι λέγουσι. Καὶ ὁ Κρόνος δὲ περιιὼν τὴν οἰκουμένην Ἀθηνᾷ τῇ ἑαυτοῦ θυγατρὶ δίδωσι τῆς Ἀττικῆς τὴν βασιλείαν. Λοιμοῦ δὲ γενομένου καὶ φθορᾶς, τὸν ἑαυτοῦ μονογενῆ υἱὸν Κρόνος Οὐρανῷ τῷ πατρὶ ὁλοκαρποῖ (l. ὁλοκαυτοῖ), καὶ τὰ αἰδοῖα περιτέμνεται, ταὐτὸ ποιῆσαι καὶ τοὺς ἅμ' αὐτῷ συμμάχους καταναγκάσας. Καὶ μετ' οὐ πολὺ ἕτερον αὐτοῦ παῖδα ἀπὸ Ῥέας ὀνομαζόμενον Μοὺθ ἀποθανόντα ἀφιεροῖ. Θάνατον δὲ τοῦτον καὶ Πλούτωνα Φοίνικες ὀνομάζουσι. (25) Καὶ ἐπὶ τούτοις ὁ Κρόνος Βύβλον μὲν τὴν πόλιν τῇ θεᾷ Βααλτίδι, τῇ καὶ Διώνῃ, δίδωσι, Βηρυτὸν δὲ Ποσειδῶνι καὶ Καβείροις Ἀγρόταις τε καὶ Ἁλιεῦσιν, οἳ καὶ τὰ τοῦ Πόντου λείψανα εἰς τὴν Βηρυτὸν ἀφιέρωσαν. Πρὸ δὲ τούτων θεὸς Τάαυτος (Ταυθὸς Gsfd.) μιμησάμενος τὸν οὐρανὸν τῶν θεῶν (μιμ. τῶν συνόντων θεῶν Gsfd. e 5 codd. τῶν οὐρανοέντων s. οὐρανιώνων?) ὄψεις, Κρόνου τε καὶ Δαγῶνος καὶ τῶν λοιπῶν, διετύπωσε τοὺς ἱεροὺς στοιχείων χαρακτῆρας. (26) Ἐπενόησε δὲ καὶ τῷ Κρόνῳ παράσημα βασιλείας, ὄμματα τέσσαρα ἐκ τῶν ἐμπροσθίων καὶ ὀπισθίων μερῶν, δύο δὲ ἡσυχῇ μύοντα, καὶ ἐπὶ τῶν ὤμων πτερὰ τέσσαρα, δύο μὲν ὡς ἱπτάμενα, δύο δὲ ὡς ὑφειμένα. Τὸ δὲ σύμβολον ἦν, ἐπειδὴ Κρόνος κοιμώμενος ἔβλεπε καὶ ἐγρηγορὼς ἐκοιμᾶτο· καὶ ἐπὶ τῶν πτερῶν ὁμοίως, ὅτι ἀναπαυόμενος ἵπτατο καὶ ἱπτάμενος ἀνεπαύετο. Τοῖς δὲ λοιποῖς θεοῖς δύο ἑκάστῳ πτερώματα ἐπὶ τῶν ὤμων, ὡς ὅτι δὴ συνίπταντο τῷ Κρόνῳ. Καὶ αὐτῷ δὲ πάλιν ἐπὶ τῆς κεφαλῆς πτερὰ δύο· ἓν ἐπὶ τοῦ ἡγεμονικωτάτου νοῦ, καὶ ἓν ἐπὶ τῆς αἰσθήσεως. (27) Ἐλθὼν δὲ ὁ Κρόνος εἰς νότου χώραν, ἅπασαν τὴν Αἴγυπτον ἔδωκε θεῷ Τααύτῳ (Ταυθῷ Gsfd. hic et in sqq.), ὅπως βασίλειον αὐτῷ γένηται. Ταῦτα δέ, φησί, πρῶτοι πάντων ὑπομνηματίσαντες οἱ ἑπτὰ Συδὲκ παῖδες Κάβειροι, καὶ ὁ ἴδιος (al. καὶ ὄγδοος) αὐτῶν ἀδελφὸς Ἀσκληπιός, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Τάαυτος. Ταῦτα πάντα ὁ Θαβίων, ὃς πάμπρωτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας, τοῖς τε φυσικοῖς καὶ κοσμικοῖς πάθεσιν ἀναμίξας, παρέδωκε τοῖς ὀργεῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ τὸν τῦφον αὔξειν ἐκ παντὸς ἐπινοοῦντες, τοῖς αὐτῶν διαδόχοις παρέδωκαν καὶ τοῖς ἐπεισάκτοις· ὧν εἷς ἦν καὶ Εἰσίριος (1), τῶν τριῶν γραμμάτων εὑρετής, ἀδελφὸς Χνᾶ τοῦ [πρώτου] μετονομασθέντος Φοίνικος. »

28. Εἶθ' ἑξῆς αὖθις ἐπιλέγει· « Οἱ δὲ Ἕλληνες, εὐφυΐα πάντας ὑπερβαλλόμενοι, τὰ μὲν πρῶτα πλεῖστα ἐξιδιώσαντο, εἶτα καὶ τοῖς προκοσμήμασι ποικίλως ἐξετραγῴδησαν, ταῖς τε τῶν μύθων ἡδοναῖς θέλγειν

(1) « ὧν ἦν καὶ εισιριος A. ὧν εἷς ἔτι καὶ C. εἷς ἔτι καὶ D. E. F. G. εἷς ἴριος H. ὧν εἷς ἦν καὶ Ἴσιρις Steph. ὧν εἷς ἦν Ἴσιρις Viger. γρ. ἶρις S. καὶ ἴριος V. » *Gaisfd.*

---

loquentium genus, ob jactatam illam veterum felicitatem nuncupare solent. Verum noster hic scriptor interjectis quibusdam ita prosequitur :

24. « Astarte vero, quae maxima nominatur, Juppiter Demaroon et rex deorum Adodus in ea regione Saturno consentiente regnarunt. Astarte capiti suo, tanquam insigne regni, tauri caput imposuit : quumque terrarum orbem peragraret, lapsam de cœlo stellam reperit eamque in Tyro sancta insula consecravit. Ceterum hanc ipsam Astarten Phœnices Venerem esse memorant. At vero Saturnus, dum orbem lustrat universum, Minervæ filiæ totius Atticæ regnum tradit, ac diræ pestilentiæ inclementia exitioque commotus, filium, quem unum ex legitima uxore susceperat, Cœlo patri totum flammis consumptum immolat, tum sibi ipsa verenda circumscindit, sociosque omnes ad simile factum per vim adigit : nec multo post Muth filium, quem ex Rhea genuerat, vita functum consecrat, quem Phœnices modo Mortem, modo Plutonem appellant. (25) Deinde Saturnus Byblum urbem deæ Baaltidi, quæ etiam Dione vocabatur, Neptuno autem et Cabiris, Agricolis item et Piscatoribus Berytum dono dedit, ubi Ponti reliquias iidem consecrarunt. Ante hos vero Taautus deus, cœlestium deorum, Saturni, Dagonis reliquorumque vultus imitatus sacros signorum characteres expressit. (26) Quin etiam insigne regni Saturno ejusmodi excogitavit, oculos in vultu binos ac totidem in occipite, quorum duo placide connivere ac nictare viderentur : alas item singulis in humeris geminas, ex quibus explicatæ duæ, duæ vero contractæ ac demissæ forent. Atque oculorum symbolo significatum volebat Saturnum et dormiendo cernere et dormire vigilando ; alarum autem, et volare quiescendo et volando quiescere : ceteris autem diis alas in humeris duas tantum attribuit, quippe qui Saturnum ipsum volando sequerentur. Ad ejusdem Saturni caput alas propterea geminas affinxit, quarum altera mentis principatum, altera sentiendi vim indicaret. (27) Saturnus autem quum in Meridiem venisset, Taautum deum Ægypti universæ regem creavit. Atque hæc principes omnium, inquit, Cabiri septem liberi Sydyk cum Æsculapio fratre octavo, ipsiusmet Taauti jussu in commentarios tabulasque retulerant. Thabion autem, primus apud Phœnices ex omni memoria sacrorum interpres, eadem allegoriis quibusdam interpretatus cum rerum naturalium et eorum, quæ passim hoc in mundo contingunt, affectionibus conjungens, prophetis orgia celebrantibus et sacrificiorum mysteriorumque principibus tradidit. Qui deinceps inanem hanc ostentationem, quam omni spe omnique studio augere conati erant, suis quoque successoribus et initiatis reliquere. Horum unus Isiris quidam fuit, trium literarum inventor, frater illius Chnæ, qui primus postea Phœnix vocatus est. »

28. Quibus postea hæc subjicit (Philo) : « At vero Græci, homines præ ceteris gentibus politi admodum et elegantis ingenii, primum quidem istorum pleraque sibi tanquam propria vindicarunt : sed quum aures atque animos fabularum voluptate permulcere vellent, novis eadem ac multi-

ἐπινοοῦντες παντοίως ἐποίκιλλον. Ἔνθεν Ἡσίοδος οἵ τε κυκλικοὶ περιηχημένοι θεογονίας καὶ γιγαντομαχίας καὶ Τιτανομαχίας ἔπλασαν ἰδίας καὶ ἐκτομάς, οἷς συμπεριφερόμενοι ἐξενίκησαν τὴν ἀλήθειαν. Σύντροφοι δὲ τοῖς ἐκείνων πλάσμασιν αἱ ἀκοαὶ ἡμῶν γενόμεναι, καὶ προληφθεῖσαι πολλοῖς αἰῶσιν, ὡς παρακαταθήκην φυλάσσουσιν, ἣν παρεδέξαντο μυθοποιίαν, καθάπερ καὶ ἀρχόμενος εἶπον, ἥτις συνεργηθεῖσα χρόνῳ δυσεξίτητον τὴν κατοχὴν αὐτοῖς εἴργασται, ὥστε τὴν μὲν ἀλήθειαν δοκεῖν λῆρον, τὸ δὲ τῆς ἀφηγήσεως νόθον, ἀλήθειαν. »

29. Ταῦτα ἀπὸ τῆς Σαγχουνιάθωνος προκείσθω γραφῆς, ἑρμηνευθείσης μὲν ἀπὸ Φίλωνος τοῦ Βυβλίου, δοκιμασθείσης δὲ ὡς ἀληθοῦς ὑπὸ τῆς Πορφυρίου τοῦ φιλοσόφου μαρτυρίας.

3.

Porphyrius De abstin. II, 56, et ex eo Euseb. IV, 16, p. 156, A : Φοίνικες δὲ ἐν ταῖς μεγάλαις συμφοραῖς ἢ πολέμων ἢ αὐχμῶν ἢ λοιμῶν ἔθυον τῶν φιλτάτων τινὰ ἐπιψηφίζοντες Κρόνῳ. Καὶ πλήρης γε ἡ Φοινικικὴ ἱστορία τῶν θυσάντων, ἣν Σαγχουνιάθων μὲν τῇ Φοινίκων γλώττῃ συνέγραψε, Φίλων δὲ ὁ Βύβλιος εἰς τὴν Ἑλλάδα γλῶσσαν δι' ὀκτὼ βιβλίων ἡρμήνευσεν.

Novem libri erant sec. Euseb. (fr. 1). Quorum primus introductione, ut videtur, absumptus, reliqui octo Sanchoniathonis narrationem exhibuere.

4.

Eusebius Pr. Ev. IV, 16, p. 156, D : Ἐκ δὲ τοῦ πρώτου συγγράμματος τῆς Φίλωνος Φοινικικῆς ἱστορίας παραθήσομαι ταῦτα· « Ἔθος ἦν τοῖς παλαιοῖς ἐν ταῖς μεγάλαις συμφοραῖς τῶν κινδύνων ἀντὶ τῆς πάντων φθορᾶς τὸ ἠγαπημένον τῶν τέκνων τοὺς κρατοῦντας ἢ πόλεων ἢ ἔθνους εἰς σφαγὴν ἐπιδιδόναι λύτρον τοῖς τιμωροῖς δαίμοσι· κατεσφάττοντο δὲ οἱ διδόμενοι μυστικῶς. Κρόνος τοίνυν, ὃν οἱ Φοίνικες Ἦλ προσαγορεύουσι, βασιλεύων τῆς χώρας, καὶ ὕστερον μετὰ τὴν τοῦ βίου τελευτὴν εἰς τὸν τοῦ Κρόνου ἀστέρα καθιερωθείς, ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ λεγομένης υἱὸν ἔχων μονογενῆ, ὃν διὰ τοῦτο Ἰεοὺδ ἐκάλουν, τοῦ μονογενοῦς οὕτως ἔτι καὶ νῦν καλουμένου παρὰ τοῖς Φοίνιξι, κινδύνων ἐκ πολέμου μεγίστων κατειληφότων τὴν χώραν, βασιλικῷ κοσμήσας σχήματι τὸν υἱὸν βωμόν τε κατασκευασάμενος κατέθυσε. »

5.

Euseb. Pr. Ev. I, 10, p. 40, A : Ὁ δ' αὐτὸς (sc. Φίλων) ἐν τῷ Περὶ τῶν Ἰουδαίων συγγράμματι ἔτι καὶ ταῦτα περὶ τοῦ Κρόνου γράφει·

« Τάαυτος (Ταυθὸς Gsfd.), ὃν Αἰγύπτιοι Θὼθ (Θωὺθ Gsfd. ex 2 codd.) προσαγορεύουσι, σοφίᾳ διενεγκὼν παρὰ τοῖς Φοίνιξι, πρῶτος τὰ κατὰ τὴν θεοσέβειαν ἐκ τῆς τῶν χυδαίων ἀπειρίας εἰς ἐπιστημονικὴν ἐμπειρίαν διέταξεν. Ὧ μετὰ γενεὰς πλείους θεὸς Σουρμουβηλὸς Θουρώ τε, ἡ μετονομασθεῖσα Χούσαρθις (Εὔσαρθις Gaisf. ex 4 codd.), ἀκολουθήσαντες, κεκρυμμένην τοῦ Τααύτου καὶ ἀλληγορίαις ἐπεσκιασμένην τὴν θεολογίαν ἐφώτισαν. »

Καὶ μετὰ βραχέα φησίν·

« Ἔθος ἦν τοῖς παλαιοῖς ἐν ταῖς μεγάλαις συμφοραῖς

---

plicibus postea commentorum, quasi ornamentorum, accessionibus supra modum exaggerarunt. Atque hinc Hesiodus et poetæ cyclici, quorum fabellis omnia circumsonant, propria sibi quædam Gigantum ac Titanum certamina sectionesque (*v. Welcker. Cycl. p.* 95) confinxere. Quæ quum illi passim et ubique jactarent, veritatem ipsam oppresserunt Aures vero nostræ jam inde ab infantia illorum fictionibus assuetæ, et opinionibus per multa secula propagatis occupatæ, quam semel accepere fabularum vanitatem, perinde ac depositum aliquod, ut statim ab initio dixi, custodiunt, quod ab ipso tempore vires ac robur acceperit, possessionemque ita confirmavit suam, ut eam excutere longe difficillimum sit, jamque veritas ipsa nugarum, adulterinæ vero ac spuriæ narrationes loco veritatis habeantur. »

29. Verum satis ista sunto, quæ ex Sanchoniathonis operibus hucusque retulimus, quæ quum a Philone Byblio conversa græceque reddita sunt, tum Porphyrii philosophi testimonio tanquam vera comprobantur.

3.

Phœnices in magnis calamitatibus vel belli vel siccitatis vel pestilentiæ ex carissimis aliquem Saturno sacrificandum destinabant. Multaque ejusmodi sacrificiorum exempla præbet Phœnicia historia, quam Phœnicum lingua Sanchoniatho conscripsit, Philo Byblius vero græce per octo libros interpretatus est.

4.

E libro primo Historiæ Phœniciæ Philonis apponam hæc : « Mos erat apud veteres in magnis calamitatibus eos penes quos aut civitatis aut gentis imperium esset, ut publicum cunctorum exitium redimerent, ad sacrificium aliquos diis infestis devovere. Hi vero mysticis cæremoniis mactabantur. Saturnus igitur, quem Phœnices *El* vocant, rex regionis, et post obitum in astrum ejus nominis consecratus, e puella indigena, cui Anobret nomen, filium habens unigenam, quem propterea *Jeud* nominabant (quæ vox etiamnunc apud Phœnices *unigenam* significat), periculis gravissimis ex bello regioni imminentibus, huncce filium regio cultu ornatum ad aram ad hoc exstructam immolavit. »

5.

Idem Philo in eo libro, quem de Judæis scriptum reliquit, hæc præterea de Saturno commemorat :

« Taautus ille, quem Thoth Ægyptii vocant, quum magna apud Phœnices sapientiæ laude floreret, quæ ad religionem cultumque deorum pertinebant, primus ex humilium ac plebeiorum capitum inscientia vindicata, accommodato ad scientiæ leges ordine exposuit. Cui quum Surmubelus deus et Thuro, quæ mutato nomine Chusarthis appellata, longo ævorum intervallo successissent, occultam ipsius et allegoriarum involutam umbris theologiam illustrarunt. » Idem paullo post dicit :

« Hoc apud veteres in more positum erat, ut in summis

τῶν κινδύνων ἀντὶ τῆς πάντων φθορᾶς τὸ ἠγαπημένον τῶν τέκνων τοὺς κρατοῦντας ἢ πόλεως ἢ ἔθνους εἰς σφαγὴν ἐπιδιδόναι, λύτρον τοῖς τιμωροῖς δαίμοσι. Κατεσφάττοντο δὲ οἱ διδόμενοι μυστικῶς. »

« Κρόνος τοίνυν, ὃν οἱ Φοίνικες Ἦλον (vgo Ἰσραήλ. V. Gsfd.) προσαγορεύουσι, βασιλεύων τῆς χώρας, καὶ ὕστερον μετὰ τὴν τοῦ βίου τελευτὴν εἰς τὸν τοῦ Κρόνου ἀστέρα καθιερωθεὶς ἐξ ἐπιχωρίας νύμφης Ἀνωβρὲτ λεγομένης υἱὸν ἔχων μονογενῆ (ὃν διὰ τοῦτο Ἰεδοὺδ [al. Ἱρούδ s. Ἱεούδ] ἐκάλουν, τοῦ μονογενοῦς οὕτως ἔτι καὶ νῦν καλουμένου παρὰ τοῖς Φοίνιξι,) κινδύνων ἐκ πολέμου μεγίστων κατειληφότων τὴν χώραν, βασιλικῷ κοσμήσας σχήματι τὸν υἱὸν βωμόν τε κατασκευάσας ἄσμενος κατέθυσε. »

Priorem hujus fragmenti partem usque ad verba διδόμενοι μυστικῶς Moversius (l. l. p. 118) non tam Philoni vindicandam censet, quam Porphyrio (ex qua sua hausit Eusebius); verum inde a Κρόνος τοίνυν ipsissima verba Philonis afferri. — Ceterum ex fragm. 4 colligas Philonis σύγγραμμα περὶ Ἰουδαίων partem Phœnicicæ historiæ fuisse : modo recte se titulus habeat. Nam proclivis suspicio est, caput hoc Phœnicicæ historiæ inscriptum fuisse : Περὶ τῶν Ἰεουδαίων : eumque titulum confusum esse cum alio Philonis opere Περὶ Ἰουδαίων, ad quod sequens pertinet fragmentum.

6.

Origenes C. Celsum I, 15, p. 334 ed. Ben. : Ἑκαταίου τοῦ ἱστορικοῦ φέρεται περὶ Ἰουδαίων βιβλίον, ἐν ᾧ προστίθεται μᾶλλον ὡς σοφῷ τῷ ἔθνει ἐπὶ τοσοῦτον ὡς καὶ Ἑρέννιον Φίλωνα ἐν τῷ Περὶ Ἰουδαίων συγγράμματι πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα, δεύτερον δὲ λέγειν, ὅτι, εἴπερ ἐστὶν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ὑπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος καὶ συγκατατεθεῖσθαι αὐτῷ (αὐτῶν?) τῷ λόγῳ. Cf. fragm. Hecat. Abderit.

E PHOENICICON LIBRO SECUNDO.

7.

Joh. Lydi De mens. ed. Hase p. 274 : Οἱ δὲ Φοίνι]κες κατὰ τ[ὸν τῆ]ς ὁμωνυμίας [τρόπον, εἴτε κατ]ά τινα ἀ[λληγορ]ίαν, ἄλλως πως περὶ Κρόνου ἔχου[σιν, ὡς ἐκ τῆ]ς δευτέρας τῶν [Φο]ινικικῶν τοῦ Ἑρεννίου Φίλωνος [ἔστι λαβεῖ]ν· καὶ βασιλεῦσαι δὲ αὐτὸν ἡ ἱστορία πα[ρα]δίδωσιν, [ὡς ἔμπρο]σθεν ἀφηγησάμην, κ[ατά] τε τὴν Λιβύην καὶ Σικελίαν, [οἰκίσαι τε τοὺς τό]πους, καὶ [πόλ]ιν κτίσαι, ὡς ὁ Χάραξ φησὶ τ[ὴν τότε μὲν λεγ]ομένην Κρονίαν, νῦν δὲ Ἱερὰν πόλιν, ὥ[ς Ἰ]σίγον[ος περὶ Ἑλλην]ικῶν θεῶν, καὶ Πολέμων καὶ Αἰσχύλος ἐν τῇ Αἴτνῃ π[αραδιδόασιν.

8.

Steph. Byz. : Νίσιβις, πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. Φίλων ἐν Φοινικικοῖς Νάσιβίς φησι διὰ τοῦ α΄. Οὐράνιος δὲ διὰ τοῦ ε Νέσιβις. Σημαίνει δὲ, ὥς φησι Φίλων, Νάσιβις τὰς στήλας, ὡς δὲ Οὐράνιος, Νέσιβις, φησὶ, σημαίνει τῇ Φοινίκων φωνῇ λίθοι συγκείμενοι καὶ συμφορητοί.

(ΠΕΡΙ ΤΩΝ ΦΟΙΝΙΚΩΝ ΣΤΟΙΧΕΙΩΝ.)

9.

Euseb. P. E. I, 10, p. 40, D : Ὁ δ᾽ αὐτὸς πάλιν περὶ τῶν Φοινίκων στοιχείων ἐκ τῶν Σαγχου-

---

reipublicæ calamitatibus, penes quos aut civitatis aut gentis imperium esset, ii liberorum carissimi ultoribus dæmonibus jugulati sanguine quasi pretio publicum exitium pestemque redimerent. Qui vero tum ad sacrificium devovebantur, mysticis quibusdam ceremoniis jugulabantur. »

« Saturnus igitur, quem Phœnices *El* vocant, quemque post obitum in astrum ejusdem nominis consecrarunt, quum iis in locis regnaret, ac filium unigenam ex nympha quadam indigena, quam Anobretem vocabant, suscepisset, eumque propterea Jedud appellatum, quod ea vox apud Phœnices unigenam etiamnum significet, quumque gravissimum belli periculum universam in regionem incubuisset, illum ipsum regio cultu ornatum ad aram ab sese prius erectam ultro immolavit. »

6.

Hecatæi quoque circumfertur de Judæis libellus, in quo hujus gentis usque adeo sapientiam probat, ut Herennius Philo in suo De Judæis libro dubitet primum an illius historici scriptum illud sit, deinde addat, si quidem illius opus sit, verisimile esse illum fuisse captum veritatis specie quam præferre ei videbatur Judæorum doctrina, illique assensum præbuisse.

7.

Phœnices contra, sive nominis similitudine ducti sive per allegorian quandam, aliter de Saturno habent, quemadmodum ex libro secundo Phœniciorum Herennii Philonis licet deprehendere. Et regnasse eum historia tradit, sicut superius exposui, in Libya et Sicilia, incolisque frequentasse loca et condidisse urbem, ut Charax ait, quæ Cronia vocaretur tunc, nunc Hierapolis, quemadmodum Isigonus de diis Græcis et Polemo et Æschylus in Ætna tradunt.

8.

Nisibis, urbs in Transeuphratensi regione quæ est ad Tigrim amnem. Philo in Phœnicis *Nasibin* per *a* literam, Uranius *Nesibin* per *e* literam scribunt. Vox *Nasibis*, ut Philo ait, columnas significat; Uranius vero inquit vocem *Nesibis* lingua Phœnicia significare lapides collectos et coacervatos.

(DE LITERIS PHŒNICUM.)

9.

Jam considera cujusmodi ea sint, quæ idem Philo *de literis Phœnicum* ex Sanchoniathonis scriptis expressa

νιάθωνος μεταβαλὼν, θέα ὁποῖά φησι περὶ τῶν ἑρπυστικῶν καὶ ἰοβόλων θηρίων, ἃ δὴ χρῆσιν μὲν ἀγαθὴν ἀνθρώποις οὐδεμίαν συντελεῖ, φθορὰν δὲ καὶ λύμην, οἷς ἂν τὸν δυσαλθῆ καὶ χαλεπὸν ἰὸν ἐγχρίμψειεν, ἀπεργάζεται. Γράφει δὲ καὶ ταῦτα πρὸς λέξιν ὧδέ πως λέγων·

« Τὴν μὲν οὖν τοῦ δράκοντος φύσιν καὶ τῶν ὄφεων αὐτὸς ἐξεθείασεν ὁ Τάαυτος, καὶ μετ' αὐτὸν αὖθις Φοίνικές τε καὶ Αἰγύπτιοι· πνευματικώτατον γὰρ τὸ ζῷον πάντων τῶν ἑρπετῶν, καὶ πυρῶδες ὑπ' αὐτοῦ παρεδόθη· παρ' ὃ καὶ τάχος ἀνυπέρβλητον διὰ τοῦ πνεύματος παρίστησι, χωρὶς ποδῶν τε καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἔκτοσθεν, δι' ὧν τὰ λοιπὰ ζῷα τὰς κινήσεις ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ, καὶ κατὰ τὴν πορείαν ἑλικοειδεῖς ἔχει τὰς ὁρμὰς, ἐφ' ὃ βούλεται τάχος· καὶ πολυχρονιώτατον δέ ἐστιν, οὐ μόνον τε ἐκδυόμενον τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε· καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσῃ, εἰς ἑαυτὸν ἀναλίσκεται, ὡς ἐν ταῖς ἱεραῖς ὁμοίως αὐτὸς ὁ Τάαυτος κατέταξε γραφαῖς. Διὸ καὶ ἐν ἱεροῖς τοῦτο τὸ ζῷον καὶ ἐν μυστηρίοις συμπαρείληπται. Εἴρηται δὲ ἡμῖν περὶ αὐτοῦ ἐν τοῖς ἐπιγραφομένοις Ἐθωθιων (*) ὑπομνήμασιν ἐπιπλεῖον· ἐν οἷς κατασκευάζεται, ὅτι ἀθάνατον εἴη, καὶ εἰς ἑαυτὸν ἀναλύεται, ὥσπερ πρόκειται· οὐ γὰρ θνήσκει ἰδίῳ θανάτῳ, εἰ μὴ βίᾳ τινὶ πληγὲν τοῦτο τὸ ζῷον. Φοίνικες δὲ αὐτὸ Ἀγαθὸν δαίμονα καλοῦσιν. Ὁμοίως καὶ Αἰγύπτιοι Κνὴφ ἐπονομάζουσι· προστιθέασι δὲ αὐτῷ ἱέρακος κεφαλὴν διὰ τὸ πρακτικὸν τοῦ ἱέρακος. Καί φησιν ὁ Ἐπήεις [ὁ πήεις cod. A. H.] ἀλληγορῶν (ὁ ὀνομασθεὶς παρ' αὐτοῖς μέγιστος ἱεροφάντης καὶ ἱερογραμματεύς· ὃν μετέφρασεν [εἰς Ἑλλάδα φωνὴν, hæc plurimi codd. om.] Ἄρειος Ἡρακλεοπολίτης) κατὰ λέξιν οὕτως· « Τὸ πρῶτον ὃν θειότατον ὄφις ἐστὶν ἱέρακος ἔχων μορφὴν ἄγαν ἐπίχαρις· ὃς εἰ ἀναβλέψειε, φωτὸς τὸ πᾶν ἐπλήρου ἐν τῇ πρωτογόνῳ χώρᾳ αὐτοῦ· εἰ δὲ καμμύσειε, σκότος ἐγίνετο. Ἔμφασιν διδοὺς ὁ Ἐπήεις, ὅτι καὶ διάπυρόν ἐστι διὰ τοῦ φάναι διηύγασε· φωτὸς γὰρ ἴδιόν ἐστι τὸ διαυγάσαι. » Παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῷ λεγομένου Ὀφίονος Θεοῦ καὶ τῶν Ὀφιονιδῶν, περὶ ὧν αὖθις λέξομεν. Ἔτι μὴν οἱ Αἰγύπτιοι τῆς αὐτῆς ἐννοίας τὸν κόσμον γράφοντες, περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράσσουσι, καὶ μέσα τεταμένον ὄφιν ἱερακόμορφον (οἱονεὶ συνεκτικὸν ἀγαθὸν δαίμονα addit Joh. Lyd. De mens. III, 50, ubi eadem), καὶ ἔστι τὸ πᾶν σχῆμα, ὡς τὸ παρ' ἡμῖν Θῆτα· τὸν μὲν κύκλον κόσμον μηνύοντες, τὸν δὲ μέσον ὄφιν συνεκτικὸν τούτου ἀγαθὸν δαίμονα σημαίνοντες. Καὶ Ζωροάστρης δὲ ὁ μάγος ἐν τῇ Ἱερᾷ συναγωγῇ τῶν Περσικῶν φησὶ κατὰ λέξιν· « Ὁ δὲ θεός ἐστι κεφαλὴν ἔχων ἱέρακος. Οὗτός

(*) Ἐθωθων A. ἐθωθῶν F. G. ἠθυκῶν C. ἐθωθῶν H; ἐθῶν θείων Scaliger. « Genitivum ὄφεων delitescere arbitror; nam de serpentum religione disputatio illa est. » LOBECK. Aglaoph. p. 1340. Titulum desidero ex nomine dei Θώθ, s. Θωύθ, *deus serpens* (*v. Mov.* p. 500) formatum. — Ceterum verba inde a πνευματικώτατον γὰρ usque ad ἀναλίσκεται leguntur etiam ap. J. Lydum De mens. III, 17, non nominato fonte.

de reptilibus quibusdam ac venenum jaculantibus animalibus commemorat; quæ quum nullam hominibus utilitatem afferant, tum pestem iis atque interitum creant, in quos tetrum illud suum et exitiale venenum excusserint. Sic itaque ad verbum ille : « Taautus quidem draconis serpentiumque naturæ divinitatem aliquam tribuebat, quam ejus opinionem Phœnices et Ægyptii postea comprobarunt. Enimvero genus hoc animantis præ cunctis reptilibus vi et copia spiritus abundare docet, ejusque naturam igneam esse, quod etiam propterea celeritatem, inquit, præ se fert omni exceptione majorem, quum neque pedum neque manuum neque alterius cujusquam exterioris membri adminiculum habeat, cujusmodi sunt quibus ad motum reliquæ animantes uti solent. Præterea varias ac multiplices corporis formas ostendit, ac sinuosis intortum spiris, sese, quum libuerit, incitato vibrat impetu. Diuturnæ admodum vitæ est, nec solum exuto senio juvenescit, verum etiam majora corporis simul ac virium accipit incrementa, donec tandem confecto certo quodam annorum curriculo in se ipsum iterum dissolvatur, quemadmodum in sacris etiam tabulis idem Taautus scriptum reliquit. Id quod in causa fuit, cur hoc animantium genus in sacris pariter atque mysteriis adhiberi soleret. De hoc autem in commentariis, quos Ethothia inscripsimus, pluribus a nobis disputatum est, ubi ipsum immortale esse et in sese denuo, quemadmodum ante dicebam, resolvi demonstravimus. Nec etiam ejusmodi animal, nisi vi quadam percussum ante fuerit, morte naturali exstinguitur. Atque illud quidem Phœnices bonum dæmonem, Ægyptii vero Cnephum similiter nuncuparunt, eidemque caput accipitris ob præcipuam quandam ejus volucris vivacitatem addiderunt. Quin etiam Epeis ille, qui summus ab iis sacrorum interpres ac scriba nominatur, quemque Arius Heracleopolites Græca lingua donavit, sic ad verbum allegorice rem istam exposuit : « Unus omnium maxime divinus erat serpens ille, qui accipitris formam præ se ferebat, idemque adspectu jucundissimus, quippe enim ubi oculos aperuisset, continuo primogeniæ suæ regionis loca omnia luce complebat : sin autem conniveret, illico tenebræ succedebant. Ac natura quidem igneum illud esse vi ipsa verbi διηύγασεν, id est *illustrabat*, Epeis manifeste declaravit; lucis enim τὸ διαυγάσαι, hoc est *illustrare*, proprium est. » Pherecydes autem occasione ex Phœnicibus arrepta, theologicam de illo numine, quod Ophionem ipse nuncupat, deque Ophionidis instituit disputationem, nos autem de illis aliquid etiam postea subjiciemus. Ceterum Ægyptii mundum eodem consilio depingentes, rotundum circulum aerio colore, flammisque sparsum exprimunt, cujus in medio serpens extentus accipitris forma collocatur. Ac tota quidem figura Græco Theta persimilis, ita nimirum, ut circulo mundum exhibeant, serpente autem medio illum utrinque conjungente, bonum dæmonem significent. At vero Zoroastres Magus in sacro Persicorum rituum commentario, hæc totidem verbis habet : « Deus autem est accipitris capite, princeps omnium, expers interitus, sem-

ἐστιν ὁ πρῶτος ἄφθαρτος, ἀΐδιος, ἀγέννητος, ἀμερής, ἀνομοιότατος, ἡνίοχος παντὸς καλοῦ, ἀδωροδόκητος, ἀγαθῶν ἀγαθώτατος, φρονίμων φρονιμώτατος· ἐστὶ δὲ καὶ πατὴρ εὐνομίας καὶ δικαιοσύνης, αὐτοδίδακτος, φυσικὸς, καὶ τέλειος, καὶ σοφὸς, καὶ ἱεροῦ φυσικοῦ μόνος εὑρετής. » Τὰ δὲ αὐτὰ καὶ Ὀστάνης φησὶ περὶ αὐτοῦ ἐν τῇ ἐπιγραφομένῃ Ὀκτατεύχῳ.

Πάντες δὲ τὰς ἀφορμὰς παρὰ Τααύτου λαβόντες, ἐφυσιολόγησαν, ὥσπερ πρόκειται. Καὶ τὰ μὲν πρῶτα στοιχεῖα τὰ διὰ τῶν ὄφεων, ναοὺς κατασκευασάμενοι, ἐν αὐτοῖς ἀφιέρωσαν, καὶ τούτοις ἑορτὰς καὶ θυσίας ἐπετέλουν καὶ ὄργια, θεοὺς τοὺς μεγίστους νομίζοντες καὶ ἀρχηγοὺς τῶν ὅλων. » Τοσαῦτα καὶ περὶ τῶν ὄφεων.

ΠΑΡΑΔΟΞΟΣ ΙΣΤΟΡΙΑ.

10.

Suidas : Παλαίφατος, Ἀβυδηνὸς, ἱστορικός. Κυπριακὰ, Δηλιακὰ, Ἀττικὰ, Ἀραβικά. Γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων ἐν τῷ ει' στοιχείῳ τοῦ Περὶ παραδόξου ἱστορίας βιβλίον α', καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ Τρωικῶν.

ἐν τῷ υ' στοιχ., et deinde πρώτου βιβλίου.. Eudocia. Küsterus scribi voluit aut ὡς Φίλων ἐν τῷ περὶ π. ἱ. βιβλίῳ πρώτῳ, aut ἐν τῷ ει' στοιχ. τ. π. π. ἱσ. βιβλίου πρώτου. Bernhardy redintegrandum censet : πλὴν καὶ οὗτος ἔγραψε (quæ verba ex glossa antecedente huc transfert) περὶ π. ἱστορίας, ὡς Φίλων ἐν τῷ * στοιχείῳ τοῦ πρώτου βιβλίου ; Philonemque statuit Palæphati mentionem fecisse in libris De urbibus virisque illustribus. Verum quum constet Philonem Ἱστορίαν παράδοξον tribus libris (vid. fr. 1, 6) scripsisse, eamque versatam esse in sugillandis Græcorum de diis fabulis : probabile sane est eum Palæphati Atheniensis, qui de rebus mythicis earumque interpretatione varia scripsit, itemque Troicorum auctor fuit, mentionem injecisse ; Suidam vero, qui in distinguendis Palæphatis dubius hæret, ad Abydenum retulisse, quæ ad mythographum pertinent. Ceterum ordo alphabeticus ab ejusmodi libro abhorrere videtur. Fortasse igitur scribendum : ἐν τῷ τῆς τριτεύχου τῆς περὶ παρ. ἱστ. βιβλίῳ α'.

ΠΕΡΙ ΠΟΛΕΩΝ ΚΑΙ ΟΥΣ ΕΚΑΣΤΗ ΑΥΤΩΝ ΕΝΔΟΞΟΥΣ ΗΝΕΓΚΕ.

11.

Steph. Byz. : Μεγάλη πόλις... Ἔστι καὶ Ἰβηρίας Μεγάλη πόλις, ὡς Φίλων.

12.

Idem : Ἀγάθη, πόλις Λιγύων ἢ Κελτῶν. Σκύμνος δὲ Φωκαέων αὐτήν φησιν ἐν τῇ Εὐρώπῃ. Τιμοσθένης δὲ ἐν τῷ Σταδιασμῷ Ἀγαθὴν Τύχην αὐτήν φησιν. Εἰ δ' οὕτω λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡς ἐπιθετικὸν, ὡς τὸ Ἡραῖον τεῖχος καὶ Ἥραιον, καὶ Ἑρμαῖος λόφος καὶ Ἕρμαιος. Ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων, Λιγυστίων, ἀπὸ λίμνης Λιγυστίας *. Τάχα δ' ἡ αὐτή ἐστι τῇ πρώτῃ, ὡς Εὔδοξος· βαρύνεται δέ.

13.

Idem : Ἀρτέμιτα, νῆσος Τυρρηνικὴ παρὰ τὴν Αἰθάλειαν νῆσον, ὡς Φίλων.

Ἐγέστα, πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα, ὡς Φίλων, ἀπὸ Ἐγέστου τοῦ Τρωός.

---

piternus, sine ortu, sine partibus, maxime dissimilis, omnis boni moderator, integerrimus, bonorum optimus, prudentium prudentissimus, legum æquitatis et justitiæ parens, se tantum præceptore doctus, naturalis, perfectus sapiens, et sacræ vis physicæ unus inventor. » Eadem insuper Ostanes de illo tradit in eo, quod Octateuchum inscripsit volumine.

Reliqui autem omnes principem illum secuti, de rerum natura, quemadmodum ante dictum est, philosophati sunt : ac primis elementis serpentium forma, in templis quæ construxerant, solenni ritu dedicatis quum sacrificia, tum festos quoque dies et orgia celebrarunt, quod illos deorum maximos esse rerumque omnium principes ac moderatores putarent. » Verum hæc de serpentibus satis.

HISTORIA MIRABILIUM.

10.

Palæphatus, Abydenus historicus, scripsit Cypriaca, Deliaca, Attica, Arabica. Vixit sub Alexandro Macedone, et Aristotelis philosophi deliciæ fuit, ut auctores sunt Philo libro primo De historia Mirabilium, et Theodorus Iliensis libro secundo Troicorum.

DE URBIBUS ET QUOS QUÆQUE EARUM VIROS ILLUSTRES TULERIT.

11.

Megalopolis, urbs Iberiæ, ut Philo ait.

12.

Agathe, urbs Ligurum sive Celtarum. Scymnus Phocæensium in Europa coloniam dicit. Timosthenes in Stadiasmo Agathen Tychen (*Bonam Fortunam*) appellat. Quodsi vero ita dicitur, etiam accentum in ultima syllaba vox Ἀγαθὴ, utpote adjectivum, habuerit, quemadmodum Heræum tichos et Heræum, Hermæus lophos et Hermæus dicitur. Est vero etiam alia urbs Agathe Ligurum, Philone teste, quæ a lacu Liguriæ distat **. Fortasse autem eadem quæ prior est, ut Eudoxus. Accentum in penultima habet.

31.

Artemita, insula Tyrrhenica prope Æthaliam insulam, Philone teste.

Segesta, Siciliæ urbs, ubi aquæ calidæ, Philone testante, ab Segeste Trois filio nomen habet.

14.

Steph. Byz. : Ἀνδανία, πόλις Μεσσήνης... Τὸ ἐθνικὸν Ἀνδανιεὺς, ὡς Φίλων ἐν τῇ Περὶ πόλεων.

Φαραὶ, πόλις Μεσσήνης... Ἔστι δ' ἄλλη Κρήτης, ἄποικος τῆς ἐν Μεσσήνῃ, ὡς Φίλων.

Ἀζανία... μοῖρα τῆς Ἀρκαδίας... Ἔστι καὶ Μασσαλίας (?) ἄλλη, ὡς Φίλων.

Ἄνθεια, πόλις Πελοποννήσου, πλησίον Ἄργους, ὡς Φίλων.

Λάμπη... ἔστι καὶ τρίτη τῆς Ἀργολίδος, ὡς Φίλων.

Βοῦρα, πόλις Ἀχαΐας... Ἐκ ταύτης ἦν Πυθέας, ζωγράφος, οὗ ἐστιν ἔργον ὁ ἐν Περγάμῳ ἐλέφας, ἀπὸ τοιχογραφίας ὢν, ὡς Φίλων.

Ἀθῆναι, πόλεις κατὰ μὲν Ὧρον πέντε, κατὰ δὲ Φίλωνα ἕξ.

Κῦνος, ἐπίνειον Ὀποῦντος, ὡς Φίλων καὶ Παυσανίας (X, 1, 2).

15.

Idem : Ἄργουρα, πόλις Θεσσαλίας, ἡ πρότερον Ἄργισσα... Τὸ ἐθνικὸν δὲ ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων. Ἀπολλόδωρος δὲ (fr. 152) κτλ.

Μελίταια, πόλις Θετταλίας... Θεόπομπος δὲ Μελίτειαν αὐτήν φησιν.. Ἔφορος λ'· « Οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς, φίλοι πρότερον ὑπάρχοντες. »

Μελίτεια. Φίλων οὕτω γράφει, τὰ αὐτὰ πράγματα τῇ εἰρημένῃ προσάπτων.

Βουθόη, πόλις Ἰλλυρίας, ὡς Φίλων, διὰ τὸ Κάδμον ἐπὶ ζεύγους βοῶν ὀχούμενον ταχέως ἀνύσαι τὴν ἐς Ἰλλυριοὺς ὁδόν.

Δυρράχιον, πόλις Ἰλλυρικὴ, Ἐπίδαμνος κληθεῖσα ἀπὸ Ἐπιδάμνου. Τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ Ποσειδῶνος Δυρράχιος· ἀφ' ἧς ἐστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν. « Μετὰ δὲ τὸν Ῥιζονικὸν [κόλπον] Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ πρότερον λεγομένη, ἐφ' ἧς ἵδρυται, » ὡς Φίλων (Στράβων ?). Eadem Constant. Porphyrogenit. De them. II, 9.

15. a.

Eustath. ad Dionys. 752 : Ὅτι Φροῦροι Σκυθικὸν ἔθνος βαρυτόνως, πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας. Τινὲς δὲ Φρῦνοι γράφουσιν ὁμωνύμως τῷ ζῴῳ· φρῦνοι γὰρ, καθὰ καὶ ὁ Φίλων γράφει, οἱ βάτραχοι.

16.

Stephan. Byz. : Βόσπορος, πόλις Πόντου κατὰ τὸν Κιμμέριον κόλπον, ὡς Φίλων.

Ἀμισός... [τὸ ἐθνικὸν] Ἀμισηνός· λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῷ Περὶ πόλεων.

Τίος, πόλις Παφλαγονίας τοῦ Πόντου, ἀπὸ Τίου ἱερέως, τὸ γένος Μιλησίου, ὡς Φίλων.

Μυοῦς, πόλις Ἰωνίας, ὡς Φίλων.

Ἄντισσα, πόλις Λέσβου... ἀφ' ἧς Τέρπανδρος ὁ Ἀντισσαῖος, διασημότατος κιθαρῳδὸς, ἀπὸ Ἀντίσσης τῆς Μάκαρος θυγατρός· ἐν τοῖς Φίλωνος. Ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων (?), καὶ τρίτη Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος. V. Berkel. ad h. l.

Ἁλικαρνασσὸς, πόλις Καρίας... Ἐκαλεῖτο δὲ Ἰσθμὸς καὶ Ζεφύριον, ὡς Φίλων, καὶ Ζεφυρία.

Τελμισσὸς, πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων (p. 665), Λυκίας· ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα.

14.

Andania, urbs Messeniæ. Gentile Andaniensis, ut Philo in libris De urbibus.

Pharæ, urbs Messeniæ. Alia in Creta est, Messeniacæ colonia, ut Philo ait.

Azania, pars Arcadiæ. Est etiam Azania Massiliæ, teste Philone.

Anthea, urbs Peloponnesi, prope Argos, ut Philo.

Lampe, urbs Argolidis, ut Philo.

Bura, urbs Achaiæ. Hinc oriundus Pytheas pictor, cujus opus est Pergami elephas in muro pictus, ut Philo ait.

Athenæ urbes secundum Orum quinque, secundum Philonem sex numerantur.

Cynus, Opuntis navale, ut Philo et Pausanias aiunt.

15.

Cf. Syncell. p. 284, B : Ἐπὶ (ἐν codd.) τούτου τοῦ Ἀντιόχου (sc. sub Antiocho sive Seleuco Callinico) Πέρσαι τῆς Μακεδόνων καὶ Ἀντιόχων ἀρχῆς ἀπέστησαν, ὑπ' αὐτοὺς τελοῦντες ἀπὸ Ἀλεξάνδρου τοῦ κτίστου διὰ τοιαύτην αἰτίαν. Ἀρσάκης τις καὶ Τηριδάτης ἀδελφοὶ τὸ γένος ἕλκοντες ἀπὸ τοῦ Περσῶν Ἀρταξέρξου ἐσατράπευον Βακτρίων ἐπὶ Ἀγαθοκλέους Μακεδόνος ἐπάρχου τῆς Περσικῆς. Ὃς Ἀγαθοκλῆς ἐρασθεὶς Τηριδάτου, ὡς Ἀρριανός φησιν, ἑνὸς τῶν ἀδελφῶν, καὶ τὸν νεανίσκον σπουδάζων ἐπιβουλεῦσαι, διαμαρτήσας ἀνῃρέθη παρ' αὐτοῦ καὶ Ἀρσάκου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ βασιλεύει Περσῶν Ἀρσάκης, ἀφ' οὗ οἱ Περσῶν βασιλεῖς Ἀρσακίδαι ἐχρημάτισαν, ἔτη β', καὶ ἀναιρεῖται καὶ μετ' αὐτὸν Τηριδάτης ἀδελφὸς ἔτη λζ'. Zosimus I, 18 : Ἀντιόχου τῶν ἄνω σατραπειῶν ἄρχοντος, Ἀρσάκης ὁ Παρθυαῖος διὰ τὴν εἰς τὸν ἀδελφὸν Τηριδάτην ὕβριν ἀγανακτήσας, πόλεμον πρὸς τὸν Ἀντιόχου σατράπην ἀράμενος, αἰτίαν δέδωκε τοῖς Παρθυαίοις ἐκβαλοῦσι Μακεδόνας εἰς ἑαυτοὺς τὴν ἀρχὴν περιστῆσαι. Diversas narrationes vide apud Justin. XLI, 4. XII, 4; Strabon. XI, p. 515. — Verba Photii τοῦ υἱοῦ Ἀρσάκου τοῦ Φριαπίτου fortasse ita intelligenda, ut Phriapita (si recte nomen habet) filius fuerit Arsacis ejus, qui Persarum rex fuit sub nomine Artaxerxis II. Id enim suadent verba Syncelli (V. Droysen. *Hellen.* II, p. 328). Nomen *Priapites* idem est quod apud Justin. XLI, 5, *Priapatius* scribitur: *Tertius Parthis rex Priapatius* *fuit, sed et ipse Arsaces dictus.* Pro *Pherecle* Syncellus habet *Agathoclem,* nescio an nominis corruptione, an Agathoclem regem, cujus in hisce historiis Arrianus memoraverit, cum Pherecle confundens. Justinus XLI, 4 et XII, 4, *Andragoram* (*Mandragoram* v. l.), memorat tanquam nobilem Persam, Parthiæque satrapam, *unde postea originem Parthorum reges habuere.* De genuino hujus satrapæ nomine non constat. Raoul-Rochetti opinionem impugnat Droysen. l. l. p. 328. — Ἐπὶ Σεσώστριδος] Cf. Malala p. 26 Bonn : Καὶ ἐν τῷ ὑποστρέφειν αὐτὸν (Sesostridem) ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς χώρας τῆς Σκυθίας ἐπελέξατο ἀνδρῶν νεανίσκων πολεμιστῶν χιλιάδας ιε'· οὕστινας μετανάστας ποιήσας ἐκέλευσεν αὐτοὺς οἰκεῖν ἐν Περσίδι, δόσας αὐτοῖς χώραν ἐκεῖ οἵαν αὐτοὶ ἐπελέξαντο. Καὶ ἔμειναν ἐν Περσίδι οἱ αὐτοὶ Σκύθαι ἐξ ἐκείνου ἕως τῆς νῦν· οἵτινες ἐκλήθησαν ἀπὸ τῶν Περσῶν Πάρθοι, ὅ ἐστιν ἑρμηνευόμενον Περσικῇ διαλέκτῳ Σκύθαι. Eadem Cyrillus p. 35, A; Cedrenus, p. 36 Bonn. Suidas v. Σῶστρις. Justin. XLI, 1 : *Parthi... Scytharum exules fuere... Scythico sermone Parthi exules dicuntur.* Malalæ interpretationem tuetur Pott. in *Ersch u. Gruber. Encycl.* sub v. *Indogerman. Sprache* p. 52, et Droysen. l. l.

E LIBRO SECUNDO.

2.

Stephan. Byz. : Ζηνοδότιον, πόλις Ὀσροήνης πλησίον Νικοφορίου. Ἀρριανὸς Παρθικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Ζηνοδότιος καὶ Ζηνοδοτιεὺς καὶ Ζηνοδοτῖνος ἐπιχωρίως. Hæc probabiliter ex eo loco desumpta, quo de Crassi in Parthos expeditione sermo erat. Cf. Dio Cass. XL, 13, ubi inter urbes a Macedonibus in his regionibus conditas unum Zenodotium non defecisse ad Crassum narratur. Apud Plutarch. in Crasso (c. 17) urbs appellatur Ζηνοδοτία (Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. Quæ e Plutarcho exscripta leguntur in Pseudoappian. Hist. Parth. tom. III, p. 27 ed. Schwgh.).

E LIBRO QUARTO.

3.

Idem : Γάζακα, πόλις μεγίστη τῆς Μηδίας, ὡς Κουάδρατος ἐν ὀγδόῳ Παρθικῶν. Ἀρριανὸς δὲ κώμην

---

centes. Hi Phereclem ab Antiocho rege (quem Deum cognomento appellabant) terræ eorum satrapam constitutum, quod altero fratre abuti per vim fœde conaretur, contumeliam non ferentes necarunt; consciis etiam aliis quinque. Genteque ad defectionem a Macedonibus perducta, imperium ipsi arripuerunt, magnamque sunt potentiam consecuti adeo, ut vel cum Romanis æquo sæpe marte contenderint; interdum etiam victoria bello potiti superiores discesserint. Narrat ad hæc Parthos Sesostridis Ægyptiorum regis tempore, et Iandysi Scytharum, ex Scythia in eum quem nunc tenent locum demigrasse. Quibus Trajanus Romanorum imperator per vim fractis, fœdere icto, regem constituit.

2.

Zenodotium, urbs Osroenes, prope Nicephorium. Arrianus Parthicorum secundo.

3.

Gazaca, urbs maxima Mediæ, sec. Quadratum in octavo

μεγάλην αὐτήν φησιν ἐν Παρθικῶν τετάρτῳ καὶ ἑνικῶς τῆς Γαζάκου λέγων. Τὸ ἐθνικὸν Γαζακηνὸς, ὡς τοῦ Μάζακα Μαζακηνός. Cf. Ammian. XXIII, 6. Apud Strabon. XVI, p. 523, legitur Γάζα, quod corruptum esse et Γάζακα pro Γάζα καὶ restituendum videri monuerunt vv. dd. Cf. Forbiger. *Geogr.* p. 593, not. 7 et 8.

E LIBRO SEXTO.

4.

St. B.: Χολοβητηνὴ, μοῖρα Ἀρμενίας. Ἀρριανὸς ἕκτῳ Παρθικῶν· « Τιγράνης ἀρχόμενος ἄρχεται σατράπης. Ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται. » Τὸ ἐθνικὸν ὁμοίως διὰ τὴν πρόληψιν τῆς ἐν τῷ πρωτοτύπῳ τούτου. Regio aliunde non nota. Nisi fallor, est regio Armeniæ ad Araxam sita quam Κολθηνὴν vocat Ptolemæus.

E LIBRO OCTAVO.

5.

Idem: Ἐλέγεια, χωρίον πέραν Εὐφράτου. Ἀρριανὸς ἐν Παρθικῶν η'. Τὸ ἐθνικὸν Ἐλεγεὺς, ὡς Σελευκιεύς. Cf. Dio Cass. LXVIII, 18. LXXI, 2; Plinius V, 20, 24. Forbiger. p. 605.

E LIBRO NONO.

6.

Idem: Λιβαναὶ, πόλις Συρίας, ταῖς Ἄτραις γειτνιάζουσα. Ἀρριανὸς Παρθικῶν ἐννάτῳ. Libanæ, opinor, eadem est urbs quæ apud Polybium V, 51 vocatur Λίβα.

E LIBRO DECIMO.

7.

Idem: Φάλγα, κώμη μέση Σελευκείας τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι' Παρθικῶν (Παρθενικῶν, i. e. Παρθυηνικῶν, cod. Rhedig.). Ἡ δὲ φάλγα γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ. Τὸ ἐθνικὸν Φαλγηνὸς καὶ Φαλγαῖος. Ad hæc Berkelius: « Vide Bochartum p. 106. Φάλιγα dicitur Isodoro, qui emendari potest: habet enim Ἄλλα pro ἄννα. »

8.

Idem: Χωχὴ, κώμη πρὸς τῷ Τίγριδι ποταμῷ. Ἀρριανὸς δεκάτῳ· « Καὶ βασιλεὺς δ' ἐξελαύνει ἐκ Σελευκείας οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Τίγριδος ἐς κώμην ᾗ τινι Χωχὴ ὄνομα. » Τὸ ἐθνικὸν δύναται καὶ Χωχηνὸς καὶ Χωχαῖος, ὡς τὰ παρακείμενα χωρία, [Καρραῖος], Καρρηνὸς, Βατναῖος, Βατνηνός. Cf. Ammian. XXIV, 6, ubi *Coche* locus audit. V. not Nicolai Dam. fr. 13.

E LIBRO UNDECIMO.

9.

Idem: Νάαρδα, πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, ὡς Ἀρριανὸς Παρθικῶν ἐνδεκάτῳ. Τὸ ἐθνικὸν Νααρδηνὸς τῷ ἐγχωρίῳ τύπῳ. Cf. Josephus A. J. XVIII, 9, 1. 9, 9 (ubi Νέαρδα); in Tab. Peuting. *Naharra.* Plinius VI, 26, 30: *Hipparenum, juxta fluvium Narragam, qui dedit civitati nomen*, ubi Mannertus (*Geogr.* V, 2, p. 283) *Hipparenum* esse putat græcum nomen pro Babylonio *Narraga* (*Naarda*).

10.

Idem: Θεβηθὰ (Θεβιδὰ codd.), φρούριον Μεσοποταμίας. Ἀρριανὸς ἑνδεκάτῃ. Ὁ οἰκήτωρ Θεβηθηνὸς, ὡς Ἄμαθα, Ἀμαθηνός. Locus ignotus. *Dibitach* locum non longe a Tigridis ripa orientali in mappa sua notat Reichardus, nescio qua nisus auctoritate.

E LIBRO DECIMO TERTIO.

11.

Idem: Δόλβα, πόλις τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς ιγ' Παρθικῶν. Τὸ ἐθνικὸν Δολβαῖος καὶ Δολβηνός. Non nota urbs. Fortasse ad *Dolomenem* regionem, quam Strabo p. 736 dicit, pertinet.

Parthicorum. Arrianus vero in quarto Parthicorum magnum vicum esse dicit et singulari numero dicit τῆς Γαζάκου.

4.

Cholobetene, pars Armeniæ. Arrianus sexto Parthicorum: « Tigranes primum fuit satrapa; regio vero, cui præerat, Cholobetene vocatur. »

5.

Elegia, oppidum trans Euphratem situm, teste Arriano in octavo Parthicorum.

6.

Liba, urbs Assyriæ, Atris finitima. Arrianus Parthicorum libro nono.

7.

Phalga, vicus medius inter Seleuciam Pieriæ et Seleuciam Mesopotamiæ. Arrianus decimo Parthicorum. *Phalga* lingua indigenarum *medium* significat.

8.

Choche, vicus ad Tigridem fluvium. Arrianus libro decimo: « Et rex educit e Seleucia urbe non longe a Tigride flumine in pagum cui Choche nomen. »

9.

Naarda, urbs Syriæ ad Euphratem, ut Arrianus ait Parthicorum undecimo.

10.

Thebetha, castellum Mesopotamiæ. Arrianus undecimo.

11.

Dolba, urbs Adiabenes. Arrianus decimo tertio Parthicorum.

12.

St. B. : Χαζηνή, σατραπεία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν τρισκαιδεκάτῳ Παρθικῶν· « Ἐν ταύτῃ τῇ Ὀλβίᾳ καὶ τὰ πεδία τῆς Χαζηνῆς σατραπείας (codd. σατραπείου) ἐπὶ μήκιστον ἀποτεταμένα. » Cf. Strabo XVI, p. 736.

13.

Idem : Ἡφαίστου νῆσοι, τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς ιγ' Παρθικῶν. Τὸ ἐθνικὸν, Ἡφαιστονησιώτης.

E LIBRO DECIMO SEXTO.

14.

Idem : Ἄκρα... Δεκάτη ἐστὶ καὶ περὶ τοῦ Τίγρητος (Πίγρητος codd. Palat.) Ἄκρα. Ἀρριανὸς ἑκκαιδεκάτῃ.

Idem : Ὄραθα, πόλις τῆς ἐν Τίγρητι Μεσήνης. Ἀρριανὸς Παρθικῶν ἑκκαιδεκάτῃ· Τὸ ἐθνικὸν Ὀραθηνός. Oratha urbs eadem est quam *Ur* appellat Marcellin. XXV, 8 (cf. Genesis 11, 28).

E LIBRO DECIMO SEPTIMO.

15.

Idem : Ἄτραι, πόλις μεταξὺ Εὐφράτου καὶ Τίγρητος. Ἀρριανὸς ἑπτακαιδεκάτῳ Παρθικῶν. Cf. supra fr. 6. De Atris a Trajano obsessis v. Dio Cass. LXVIII, 31. Cf. LXXI, 10. Herodian. III, 23, Ammian. XXV, 8.

E LIBRIS INCERTIS.

16.

Suidas v. Ἀμφίλογον : Ἀρριανός. « Ἀξιδάρην δὲ ὅτι ἄρχειν χρὴ Ἀρμενίας, οὔ μοι δοκεῖ εἶναί σε ἀμφίλογον. »

Idem v. Γνῶσις : Ἀρριανὸς ἐν Παρθικοῖς· « Περὶ Παρθαμασίρου δὲ οὐχὶ Ἀξιδάρου εἶναι, ἀλλὰ ἑαυτοῦ τὴν γνῶσιν· ὅτι πρῶτος παραβαίνων τὰ συγκείμενα ἔτυχε τῆς δίκης. »

Παρθαμασίρου] Bernh.; Πάρθου Μαρσίρου vel Μασίρου codd. Vulgo est Παρθαμάσιρις; sed Fronto p. 268 item habet *Parthomasiri regis*, notante Bernhardyo, qui de re annotat hæc : « Trajanus Parthamasirim Armeniorum regem armis expulsum deinde supplicem sibi factum nefarie, si Frontoni p. 248 credimus, jussit trucidari : cujus facinoris causam noluit in Axidarem, Armeniæ præfectum (vid. v. ἀμφίλογον) derivari. » Ἀξιδάρην Dio Cassius LXVIII, 16 vocat Ἐξηδάρην. Cf. idem ib. c. 18 sqq

17.

Eustathius ad Dionys. v. 916 : Ὑπέρκειται τῆς Ἀντιοχείας μ' σταδίους ἡ ᾀδομένη Δάφνη, κατοικία μὲν μετρία, ἄλσος δὲ μέγα ἔχουσα συνηρεφὲς, οὗ κύκλος π' σταδίων, διαρρεόμενον πηγαίοις ὕδασιν, ἔνθα ἐπανηγύριζον οἱ ἐγχώριοι· ὅπου καὶ τέμενος ἄσυλον. Ἀρριανὸς δὲ περὶ τούτων οὕτω γράφει· « Ἐν Δάφνῃ τῇ πρὸς Ἀντιοχείᾳ ἄλσος τι ἱερὸν Ἀπόλλωνος, καὶ αὐτὴ ἐκείνη δάφνη δείκνυται, ἥν τινες γῆθεν ἀνασχεῖν λέγουσιν ἐπὶ τῇ Δάφνῃ τοῦ Λάδωνος, ἣ φεύγουσα τὸν ἐραστὴν Ἀπόλλωνα ηὔξατο τὸν ὑπὸ γῆν ἀφανισμὸν καὶ ἔτυχε τῶν εὐχῶν. »

In Daphne hac Trajanus sacrificia peregit, templumque condidit (v. Malala p. 272. 275 ed. Bonn). Quare Parthicis fragmentum assignavi. Quanquam tantum non omnia quæ ex Arriani libris deperditis Eustathius affert, ex Bithynicis historiis fluxerunt, atque etiam in Ponti ostio Daphne erat (v. Eustath. l. l.) : adeo ut noster quoque locus ex Bithynicis depromi potuerit, ubi de Pontica Daphne loquens auctor etiam alterius Daphnes mentionem injecerit.

12.

Chazene, satrapia ad Euphatem in Mesopotamia. Arrianus Parthicorum libro decimo tertio : « In hac Olbia etiam campi Chazenes satrapiæ longissime porrecti. »

13.

Vulcani insulæ Adiabenes. Arrianus decimo tertio Parthicorum.

14.

Acra ad Tigridem. Arrianus decimo sexto.

Oratha, urbs Mesenes ad Tigridem. Arrianus Parthicorum decimo sexto.

15

Atræ, urbs inter Euphratem et Tigridem sita. Arrianus decimo septimo Parthicorum.

16.

Arrianus : « Quin autem Axidarem Armeniæ præesse oporteat, non debes, mea quidem sententia, dubitare. »

Arrianus in Parthicis : « Quod autem attinet ad Parthamasirum, hanc non esse Axidari, sed suam ipsius sententiam. Ille enim quum primum pactis non steterit, debitas eum pœnas luisse. »

17.

Stadiis quadraginta supra Antiochiam sita est celebris illa Daphne, modici ambitus locum habitationibus suis comprehendens, sed magnum habens lucum umbrosum, octoginta stadiorum ambitu, fontium aquis irrigatum, ubi festa solennia indigenæ celebrant. Ibidem etiam fanum est asylum. Arrianus de his ita scribit : « Daphnæ prope Antiochiam lucus est Apollini sacer, atque illa ipsa laurus monstratur, quam nonnulli e terra prodiisse dicunt in honorem Daphnes Ladonis filiæ, quæ Apollinem amore ejus captum fugiens subter terram abscondi precata votique compos facta sit. »

18.

Malala Chron. XI, p. 273 ed. Bonn. : Καὶ ἐξῆλθεν ἀπὸ Ἀντιοχείας τῆς μεγάλης πόλεμον κατὰ Περσῶν κινήσας ὁ αὐτὸς Τραϊανός· καὶ ἐνίκησεν αὐτοὺς κατὰ κράτος τῷ τρόπῳ τούτῳ. Μαθὼν ὅτι διαφθονεῖται τῷ Σανατρουκίῳ, βασιλεῖ Περσῶν, ὁ ἴδιος αὐτοῦ ἐξάδελφος Παρθεμασπάτης, πέμψας πρὸς αὐτὸν ὑπενόθευσεν αὐτὸν Τραϊανὸς βασιλεὺς, ταξάμενος δοῦναι αὐτῷ τὴν βασιλείαν Περσῶν, ἐὰν συμμαχήσῃ αὐτῷ. Καὶ ὑπονοθευθεὶς ἦλθε πρὸς αὐτὸν νυκτός· καὶ λαβὼν αὐτὸν εἰς τὸ ἴδιον αὐτοῦ μέρος μετὰ τοῦ πλήθους αὐτοῦ ὁ αὐτὸς θειότατος Τραϊανὸς, ὥρμησε κατὰ τοῦ Σανατρουκίου, βασιλέως Περσῶν. Καὶ πολλῶν Περσῶν πεσόντων, συνελάβετο τὸν Σανατρούκιον, βασιλέα Περσῶν, φεύγοντα· καὶ ἐφόνευσεν αὐτόν. Καὶ ἐποίησεν ἀντ' αὐτοῦ βασιλέα Περσῶν τοῖς ὑπολειφθεῖσι καὶ προσπεσοῦσιν αὐτῷ Πέρσαις ὁ αὐτὸς Τραϊανὸς κατὰ τὰς συντάξεις ὀνόματι Παρθεμασπάτην, υἱὸν Ὀσθρόου, γράψας τῇ συγκλήτῳ τῇ ἐν Ῥώμῃ, ὅτι τοσαύτην καὶ ἄπειρον γῆν καὶ ἄμετρα διαστήματα ἀφεστηκότα τῆς Ῥώμης διοικεῖν οὐκ ἀντεχόμεθα, ἀλλὰ παράσχωμεν αὐτοῖς βασιλέα ὑποτεταγμένον τῷ τῶν Ῥωμαίων κράτει. Καὶ ἀντέγραψεν αὐτῷ ἡ σύγκλητος ἀπὸ Ῥώμης ἅπαντα ποιῆσαι ὡς δ' ἂν βούληται καὶ αὐτὸς συνίδῃ συμφέρειν τῇ Ῥωμανίᾳ. Καὶ ἐβασίλευσε Περσῶν ὁ Παρθεμασπάτης. Τὸν δὲ πόλεμον καὶ τὴν κατὰ Περσῶν νίκην τοῦ θειοτάτου Τραϊανοῦ ὁ σοφώτατος Ἀρειανὸς ὁ Χρονογράφος ἐξέθετο, ἱστορήσας καὶ συγγραψάμενος πάντα ἀκριβῶς. De re cf. interpretes ad Dion. Cass. LXVIII, 30.

19.

Suidas v. ναῦς : Ἀρριανός· « Τραϊανὸς ὁ βασιλεὺς περῶν τὸν ποταμὸν, ν' νῆας εἶχε. Τέσσαρες δὲ ἔφερον τὰ σημεῖα τὰ βασιλικὰ, αἵτινες καὶ τὴν στρατηγίδα κάλοις μακροῖς ἐξηρτημένην ἐφεῖλκον. Εἶχε δὲ ἡ ναῦς μῆκος μὲν κατὰ τριήρη μάλιστα, εὖρος δὲ καὶ βάθος καθ' ὁλκάδα, ὅσον μεγίστη Νικομηδὶς ἢ Αἰγυπτία· ἐν ᾗ ἐπεποίητο βασιλεῖ ἀποχρῶντα ἐνδιαιτήματα. Αὕτη δὲ τά τε ἀκροστόλια ἔφερε, καὶ ἐπ' ἄκρῳ τῷ ἱστίῳ τὸ βασιλικὸν ὄνομα, καὶ ὅσοις ἄλλοις βασιλεὺς γεραίρεται, χρυσῷ ἐγκεχαραγμένα. Νενέμητο δὲ τρίχα τὸ πᾶν ναυτικὸν, ὡς μὴ τῷ ξυνεχεῖ πλόῳ ταράττοιντο. »

Cf. Idem v. ἀκροστόλια· Ἀρριανός· « Τὰ δὲ ἀκροστόλια τῆς βασιλίδος νηὸς χρυσᾶ. » De navigatione quam Trajanus in Tigride mare versus instituit, lege Dion. Cassium lib. LXVIII, 28 sqq.

20.

Stephan. Byz. : Βόρσιππα, πόλις Χαλδαίων, οὐδετέρως, ἱερὰ Ἀπόλλωνος καὶ Ἀρτέμιδος, λινουργεῖον μέγα. Λέγεται καὶ θηλυκῶς. Οἱ πολῖται Βορσιππηνοί. Ἀρριανὸς δὲ Βορσιππεῖς αὐτούς φησι. Cf. Strab. p. 739; Justin. XII, 13; Joseph. C. Apion. I, p. 1045. Forbiger *Geogr.* p. 623.

21

Idem : Σωφηνή, χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων (XVI, p. 532)· παρὰ δ' Ἀρριανῷ Σωφανηνὴ τετρασυλλαβῶς.

22.

Idem v. Τύρος : Ἀρριανὸς καὶ τὰ Ἄναθα (sic editt. Ἀνάθα codd.) Τύρον καλεῖ. Locum hunc *Anathan*

18.

Trajanus Antiochia discedens contra Persas arma movit; quos tali commento penitus profligavit. Graves intercedebant inimicitiæ inter Sanatrucium (i. e. *Chosroem I*), Persarum regem, et patruelem ejus Parthemaspatem (*Parthamaspaten, Dio Cass.*). Trajanus itaque imperator, ubi hoc resciverat, in partes suas Parthemaspatem sollicitavit; pollicitus se ei, si se belli socium adjungeret, Persarum regnum daturum. Accepit conditionem Parthemaspates, noctuque cum suis ad Trajanum accessit. Hunc itaque sibi adjungens, Sanatrucium Persarum regem adoritur : Persisque plurimis in prœlio cadentibus, Sanatrucius rex fugam capessit, captusque tandem interficitur. Huic igitur in regno Persarum Parthemaspatem, Osroes filium, ex pacto regem suffecit, Persis qui supererant ad pedes ei procidentibus. Senatum vero Romanorum de his certiorem faciens : « Has, inquit, regiones tantæ quum sint, tantoque intervallo a Roma dissitæ, tenere non possumus : itaque regem potius iis constituamus imperio Romano subjectum. » Rescripsit ei senatus : « Imperatori integrum esse, pro arbitrio suo de rebus omnibus decernere, juxtaque ac ipse Romaniæ utile fore judicaverit. » Sic itaque Parthemaspates Persarum rex factus est. Hæc autem de bello Persico et divi Trajani victoria Arrianus sapientissimus chronographus literis mandavit et usquequaque peraccurate exposuit.

19.

Arrianus : « Trajanus Imperator quinquaginta navibus flumen trajecit : quarum quattuor imperatoria signa ferentes, navem prætoriam funibus longis alligatam trahebant. Hæc vero longitudinem propemodum triremis habebat, latitudinem vero et profunditatem navis onerariæ, quantam habet maxima Nicomedia vel Ægyptia : in qua Imperatori parata erant conclavia, quot satis essent. Hæc et aplustria ferebat, et in summo velo nomen imperatorium, ceteraque quæ Imperatori tribuuntur insignia auro insculpta. Tota vero classis trifariam divisa erat, ne si continuo ordine naves sibi invicem succederent, cursus turbaretur. »

20.

Borsippa, urbs Chaldæorum, neutro genere, Apollini sacra et Dianæ. Magnæ ibi sunt officinæ linteis conficiendis destinatæ. Dicitur etiam genere feminino. Cives Borsippeni. Arrianus vero Borsippenses vocat.

21.

Sophene, regio Armeniæ finitima, uti Strabo dicit; apud Arrianum vero Sophanene, quattuor syllabis, legitur.

22.

Arrianus Anatha locum Tyrum appellat.

vocat Ammian. Marc. XXIV, 1; Ἀναθὼ Isidor. p. 4; τὸ Ἀνάθων φρούριον ap. Theophyl. Simocat. IV, 90. V, 1. 2; Βέθαυνα ap. Ptolem., Φαθοῦσαι ap. Zosimum III, 14; nunc *Anah*, in Euphratis insula castellum. V. Forbiger p. 637, ubi noster locus addendus.

ΒΙΘΥΝΙΚΑ

ΕΝ ΒΙΒΛΙΟΙΣ Η΄.

24.

Photius Bibl. cod. 93 : Ἀνεγνώσθη τοῦ αὐτοῦ τὰ Βιθυνικὰ, ἐν βιβλίοις ὀκτὼ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἆλλα, ὅσα συνέστη περὶ αὐτὴν, εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια. Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι, καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι. (2) Μέμνηται δὲ ἐν ταύτῃ τῇ συγγραφῇ καὶ ἑτέρων πραγματειῶν. Ὧν ἡ μὲν, ὅσα Τιμολέοντι τῷ Κορινθίῳ κατὰ Σικελίαν ἐπράχθη, διαλαμβάνει· ἡ δὲ τὰ Δίωνι τῷ Συρακουσίῳ ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ προτέρου, ἠλευθέρου, καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. (3) Φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν· μετὰ γὰρ τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα καὶ Δίωνα [μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας] ἥδε αὐτῷ ἡ συγγραφὴ ἐξεπονήθη, ἐξ ἀρχῆς μὲν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῷ ἐνδεῶς αὐτὸν ἔχειν παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτῳ βραδυτῆτος ἀποδίδωσιν αἰτίαν. (4) Ἄρχεται μὲν οὖν, ὥσπερ εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τελευτῆς τοῦ ἐσχάτου Νικομήδους, ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὔπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.

E LIBRO PRIMO.

25.

Stephan. Byz : Ὄλυμπος, ὄρος Μυσίας. Ἀρριανὸς Βιθυνιακῶν πρώτῳ. Οἱ οἰκοῦντες Ὀλυμπηνοί.

E LIBRO SECUNDO.

26.

Etym. M. : Ἀφέσιος Ζεὺς ἐν Ἄργει τιμᾶται. Εἴρηται δὲ ὅτι Δευκαλίων τοῦ κατακλυσμοῦ γενομένου διαφυγὼν, καὶ εἰς τὴν ἄκραν τῆς Ἀργοῦς διασωθεὶς, ἱδρύσατο βωμὸν ἀφεσίου Διὸς, ὅτι ἀφείθη ἐκ τοῦ κατακλυσμοῦ. Ἡ δὲ ἄκρα ὕστερον Νεμέα ἐκλήθη, ἀπὸ τῶν Ἄργου βοσκημάτων ἐκεῖ νεμομένων. Οὕτως Ἀρριανὸς ἐτυμολογεῖ ἐν τῷ β΄ τῶν Βιθυνιακῶν.

E LIBRO QUINTO.

27.

Stephan. Byz. : Βιθυόπολις, πόλις ἀπὸ Βίθυος. Τὸ ἐθνικὸν ὤφειλε Βιθυοπολίτης· εὗρον δὲ Βιθυνια–

BITHYNICA.

LIBRIS OCTO.

24.

Legi *Bithynica ejusdem libris octo*, quibus de Bithynia fabulosas narrationes ceteraque ad eam pertinentia accurate perscribit : patriæ nimirum patriam historiam offerens. Nicomedia enim genus se ducere hoc opere ostendit; eaque in urbe natum, altum literisque imbutum, sacerdotium Cereris ejusque filiæ Proserpinæ (quibus sacram esse urbem scribit) gessisse. (2) Meminit vero hoc ipso in libro et aliorum operum : quorum alterum quidem *Timoleontis Corinthii res in Sicilia gestas* continet; alterum vero *res Dionis Syracusani* memoratu dignas refert, quum Syracusas hic omnemque adeo Siciliam a Dionysii secundi, qui primi filius fuit, tyrannide liberavit, insuperque a barbaris, quos, ut tyrannidem firmaret, Dionysius eo adduxerat. (3) Apparet vero hoc opus, quo patriam descripsit, post Alexandri Magni, Timoleontis et Dionis rerum gestarum historias, quarto loco confectum esse. Quanquam enim quum primum vires ad scribendum nactus esset, hoc argumentum tractandum sibi proposuisset, serius tamen id absolvisse, quoniam materia necessaria tum nondum congesta esset. Hanc enim ipsemet cessationis causam affert. (4) Incipit igitur, uti jam diximus, a mythicæ historiæ temporibus, descendit vero usque ad finem Nicomedis ultimi, qui moriens Romanis regnum testamento reliquit, qui quidem Romani jam inde a Tarquinii expulsione regibus parere desierant.

25.

Olympus, mons Mysiæ. Arrianus Bithynicorum primo. Incolæ Olympeni.

26.

Juppiter ἀφέσιος (*dimissor, liberator*) Argis colitur. Etenim Deucalion quum e diluvio salvus evadens in Argolidis promontorium appulisset, Jovi liberatori, quod diluvii periculo ipsum liberasset, aram ædificavit. Promontorium postea appellata est *Nemea* (*pascua*), quod Argus ibi pecora pasceret. Sic Arrianus vocem interpretatur Bithynicorum libro secundo.

27.

Bithyopolis, a Bithya nomen habet. Gentile debebat

πολίτης παρὰ Ἀρριανῷ ἐν πέμπτῳ Βιθυνιακῶν. Δεῖ δὲ τοῦ Βιθυνόπολις εἶναι Βιθυνοπολίτης.

Βιθυόπολις] Βιθονόπολις codd. plurimi, ut videtur. Βιθυνόπολις cod. Rhedig. Βιθυόπολις Salmasius propter sequens Βιθυοπολίτης. Tres nominis formæ fuisse videntur : Βιθυόπολις, Βιθυνιάπολις, Βιθυνόπολις. Probabiliter eadem est urbs, quæ ab aliis vocatur Βιθύνιον (v. Strabo p. 565, Pausan. VIII, 9, Stephan. s. v. etc.).

28.

St. B. : Νικομήδειον, ἐμπόριον Βιθυνίας. Ἀρριανὸς πέμπτῳ Βιθυνιακῶν.

29.

Idem : Μεγαρικόν, πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς πέμπτῳ· « Ἀστακός τε καὶ Ἡραία καὶ τὸ Μεγαρικόν. » [Τὸ] ἐθνικὸν Μεγαρικός. De Heræa cf. Demosthenes in quarto De rebus Bithyniorum, apud Steph. Byz. v. Ἡραία.

Idem : Ἄσταχος, πόλις Βιθυνίας, ἀπὸ Ἀστάκου τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς ἱστορεῖ.

E LIBRIS INCERTIS.

30.

Eustathius in Hom. Il. ε. 408, p. 429 : Ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς, ὅτι « ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ ἐκάλουν πάπαν τὸν Δία καὶ ἄττιν τὸν αὐτόν. » Ὁμοίως καὶ Ἡροδότου (IV, 59) τό, « Καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος. » Ἐξ ὧν συνάγεται θείαν εἶναί τινα λέξιν τὸ πάπας καὶ πάππος καὶ τὰ τοιαῦτα. Cf. Diodor. III, 58, 4 : Ἄττιν, ὕστερον ἐπικληθέντα Πάπαν. V. Bæhr. ad Herodot. l. l. et in indice ad v. παπαῖος.

31.

Eustath. in Dionys. 939 : Ὅτι ὁ Διονύσιος ἐπιτόμῳ ἐγκωμίῳ τὴν Ἀραβίαν σεμνύνας, κατὰ τὸ προσεχὲς ἐπάγει μῦθον, ὅτι ὄντως ἐκεῖ Ζεὺς τὸν Διόνυσον ἐλύσατο παρὰ μηροῦ εὐραφέος· ἀφ' οὗ καὶ Εἰραφιώτης, ὡς προερρέθη, ἐκλήθη κατά τινας. Τοῦτο δὲ Ἀρριανὸς ἐπὶ Σαγγαρίῳ μυθοπλαστεῖ, λέγων ὅτι πρὸς ταῖς ὄχθαις τοῦ Σαγγαρίου ἔρρηξε τοὺς δεσμοὺς τοῦ Διὸς ὁ Διόνυσος ἤδη τρόφιμος ὤν.

32.

Idem in Il. η, 459, p. 691 ed. Rom. : Ὁ Πρίηπος οὐ μόνον ἐν τῷ η λέγεται, ἀλλὰ καὶ διὰ τοῦ α Πρίαπος, καὶ διὰ τοῦ ε δὲ Πρίεπος παρὰ Ἀρριανῷ ἐν Βιθυνιακοῖς, παρ' ᾧ καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Πρίεπος διὰ τὸ γόνιμον.

33.

Idem in Il. γ, 275, p. 414, 13 : Τὸν Ἥλιον δὲ ταμίαν τῶν ὅρκων ἐνταῦθα καλεῖ ὡς πάντα ἐφορῶντα. Διὸ καὶ Βιθυνοί, ὡς Ἀρριανὸς ἱστορεῖ, δίκας ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ ἡλίου, ὡς ἂν ὁ θεὸς ἐποπτεύοι.

34.

Idem in Il. ο, 302, p. 1017 Rom. : Μυκήτων οὐκ ἔστιν οὐδὲ ἴχνος τῆς σπερματικῆς κορυνήσεως οὐδὲ σπερματώσεως, ὡς καὶ οὐδὲ ἄλλων τινῶν. Ἔστι γὰρ κατὰ τὸν μύκητα καὶ τὸ ὕδνον τὸ καὶ γεράνειον κατά τινας, καὶ ἡ ἕλιξ καὶ ἡ πτέρις δέ, ἣν ἔνιοι βλάχνον καλοῦσιν, ὡς καὶ Ἀρριανὸς δηλοῖ ἐν Βιθυνιακοῖς. Hausit sua Eustathius ex Athenæo II, p. 62, F, nisi quod fortasse Arriani mentionem de suo adjecerit. Certe in Epitom. Athenæi Arrianus non citatur. Ceterum v. Stephan. Thes. v. βλῆχνον et βλῆχρον.

---

esse Bithyopolites; at reperi Bithyniapolites apud Arrianum in quinto De rebus Bithyniæ. De Bithynopolis gentile formandum est Bithynopolites.

28.

Nicomedium, emporium Bithyniæ. Arrianus quinto De rebus Bithyniæ.

29.

Megaricum, oppidulum, quod inter Bithyniæ urbes recenset Arrianus libro quinto : « Astacus, Heræa et Megaricum. »

Astacus, urbe Bithyniæ, ab Astaco Neptuni et Olbiæ nymphæ filio, sicut Arrianus in Bithynicis refert.

30.

Facit huc quod Arrianus in Bithynicis tradit, nempe Bithynos in montium cacumina ascendere, ibique *Papam* invocare Jovem itemque *Attim* eundem.

31.

Arrianus fabulatur ad Sangarii fluvii ripas Bacchum, quum jam altilis ad maturitatem fœtus pervenisset, rupisse Jovis vincula.

32.

Dicitur non solum Πρίηπος, sed etiam Πρίαπος, et Πρίεπος apud Arrianum in Bithynicis, ubi Priepus allegorice de sole intelligendus esse dicitur propter fœcunditatem.

33.

Solem Homerus hoc loco juramentorum fidei arbitrum dicit, utpote omnia inspicientem. Quare Bithyni quoque, ut Arrianus narrat, quando lites disceptabant, in solem conversi sedebant, ut sic deus inspiceret.

34.

Fungi neque vestigium germinationis seminalis neque semen ullum producunt, sicuti etiam aliæ quædam plantæ; nam quod de fungis, idem valet de tubere sive geranio secundum nonnullos, de helice et de filice, quam nonnulli *blachnon* vocant, sicuti etiam Arrianus in Bithynicis tradit.

35.

Eustathius ad Dion. 140 : Τὸν δὲ Θρᾳκικὸν τοῦτον Βόσπορον οἱ μέν φασιν εἶναι τὰ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον στενά. Φησὶ γοῦν περί τινος ὁ Ἀρριανὸς ὅτι « Ἐλαύνει ἐπὶ Χρυσόπολιν, ἔνθα ὑπὸ νύκτα περάσας τὸν Βόσπορον » καὶ τὰ ἑξῆς. Οἱ δὲ μάλιστα τὰ ἄνω που τοῦ καλουμένου Ἀνάπλου. Τοῦτον δὲ τὸν Βόσπορον ἐνήξατο, φησὶ, ποτὲ ἡ Ἰὼ βουλαῖς Ἥρας δάμαλις οὖσα. Διὸ καὶ Βόσπορος λέγεται, οἱονεὶ βοὸς πόρος ἐκείνης τῆς οἰστροπλῆγος, περὶ ἧς Ἀρριανὸς οὕτω φησί· « Πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὅ ποτε Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ᾤκουν τῆς Θρᾴκης· ὕστερον δὲ Βόσπορος, ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρηθεῖσαν εἰς τοὺς χώρους τούτους ἀφικέσθαι καὶ ταύτῃ διαπεραιώσασθαι οἱ μῦθοι ἐποίησαν. » Λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι « κατά τινας οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ' ἀπό τινος ἑτέρας ὠνόμασται, ἥτις, φησὶ, Φρυγῶν ἐπικειμένων ἐμβάλλει ἀδεῶς εἰς τὴν θάλασσαν, καὶ περαιοῦται ἀβλαβῶς τὸν κατὰ Καλχηδόνα καὶ Βυζάντιον Βόσπορον· καὶ οὕτω καθηγεμὼν ἐκείνοις γίνεται κατά τινα θεοφορίαν (ἤγουν μαντείαν), ἥτις διεκελεύετο βοῦν ἡγεμόνα καταστῆσαι τῆς ὁδοῦ. Ὃ καὶ ποιήσαντες ἐκεῖνοι διεπεραιώσαντο ἀσφαλῶς. Καὶ μνῆμα (φησὶ) τοῦ πόρου τούτου ἕστηκε βοῦς χαλκῆ, ὑστέρῳ ποτὲ χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. Καὶ τάχα ἐκ ταύτης καί τις ἐκεῖ τόπος καλεῖται Δάμαλις ἕως νῦν. » Pro Δάμαλις (δαμάλιος var. l.; δαμάλη m.) Bernhardyus ex duobus codd. dedit Δαμάλιον, eamque formam haud dubie referri ait ad τεμενικά, quæ Lobeckius uberrima disputatione complexus sit ad Phryn. p. 367 sqq. At vulgatam Δάμαλις tuentur reliqui auctores, qui hujus loci mentionem faciunt, Nicetas Chon. Man. Com. p. 140, A; Leo gramm. p. 490, A; Cinnamus p. 58, A; Tzetzes Chil. I, 829. Polybius IV, 43 et 44 locum illum Βοῦν appellat. Cf. Anthol. Palat. VII, 169; Gillius De Bospor. Thracico 3, 9; Forbiger *Geogr.* p. 390.

36.

Idem ib. 322 : Ὅτι οὐ μόνον Εὐρωπαῖοι Μυσοὶ, ἀλλὰ καὶ Ἀσιανοί. Ὁ Ἀρριανὸς τῶν Εὐρωπαίων Μυσῶν ἀποίκους λέγει τοὺς ἐν τῇ Ἀσίᾳ Ὀλυμπηνοὺς Μυσοὺς, οἵτινες Μυσοὶ ὀνομάζονται ἢ ἀπὸ Μυσοῦ τοῦ Διὸς ἢ ἀπὸ ἑτέρου Μυσοῦ υἱοῦ Ἀργανθώνης τῆς γενναίας, τῆς ὀρεσιβίου, ἢ ἀπὸ τοῦ φυτοῦ τῆς μυσῆς ἢ τοῦ μυσοῦ (ἀμφοτέρως γὰρ λέγεται), ὅπερ τὴν ὀξύην δηλοῖ κατὰ τὴν γλῶσσαν τῶν Λυδῶν, ὡς καὶ ὁ γεωγράφος (Strabo p. 572) φησίν.

7.

Idem ibid. : Ὅτι Θρᾷκες οὐ μόνον Εὐρωπαῖοι, ἀλλὰ καὶ Ἀσιανοὶ, κατὰ τὴν Ἀρριανοῦ ἱστορίαν λέγοντος, ὥσπερ Φρύγας καὶ Μυσοὺς, οὕτω δὴ καὶ Θρᾷκας ἐξ Εὐρώπης διαβῆναι εἰς Ἀσίαν μετὰ Πατάρου τινὸς ἡγεμόνος, ὅτε οἱ Κιμμέριοι τὴν Ἀσίαν κατέτρεχον, οὓς ἐκβαλόντες ἐκ Βιθυνίας οἱ Θρᾷκες ᾤκησαν αὐτοί· καὶ τάχα ἐκ τῶν τοιούτων Θρᾳκῶν πλατυνθέντων καὶ τὸ νῦν λεγόμενον Θρακήσιον τὴν κλῆσιν εὕρηκεν. Ὁ δ' αὐτὸς Ἀρριανὸς καὶ Θρᾴκην τινὰ ἱστορεῖ νύμφην σοφὴν ἀμφὶ ἐπῳδάς τε καὶ φάρμακα, καὶ οἵαν τὰ μὲν ἑλκύσαι (ἐκλῦσαι?) τῶν παθημάτων φαρμάκοις, τὰ δὲ ἐργάσασθαι· ὁποία τις καὶ ἡ Μήδεια ἱστόρηται καὶ ἡ Ἀγαμήδη καὶ ἡ θρυλουμένη Κίρκη· καὶ ἀπὸ ταύτης τῆς Θρᾴκης δοκεῖ ὠνομάσθαι ἡ χώρα, Πέρκη ποτὲ καλουμένη.

35.

Thracicum Bosporum nonnulli esse dicunt maris inter Chalcedonem et Byzantium angustias. Sic Arrianus de quodam dicit : « Proficiscitur versus Chrysopolin, ubi noctu Bosporum trajiciens etc.; » alii vero superiorem maxime Anapli, quem vocant, partem hoc nomine designant. Hunc Bosporum, ait, natando olim trajecit Io Junonis consiliis in juvencam transformata. Atque hinc Bosporus dicitur, quasi trajectus bovis illius œstro agitatæ, de qua Arrianus ita scribit: « Fretum inter Chalcedonem et Byzantium, olim Mysium, a Mysis in Thraciæ litore habitantibus, deinde vero Bosporus vocabatur ab Iûs casu, quam per Junonis iram œstro agitatam in hosce locos venisse ibique trajecisse fabulæ perhibent. » Idem vero addit : « Secundum nonnullos non ab hac quam modo dixi bove Bosporus, sed ab alia quadam nomen habet, quæ, Phrygibus invasione urgentibus, audacter in mare se præcipitavit, atque incolumis Bosporum, qui inter Chalcedonem et Byzantium est, trajecit; atque sic dux illis exstitit juxta oraculum, quod bovem viæ ducem constitui jubebat. Quod facientes illi absque damno transierunt. Cujus trajectus monumentum exstat bos ænea quam postero tempore Chalcedonii consecrarunt. De hac fortasse etiam locus quidam ibi Damalis vocatur etiam nunc. »

36.

Sunt non modo Europæi Mysi, sed etiam Asiatici. Arrianus Europæorum Mysorum colonos esse dicit Olympenos in Asia Mysos, qui Mysi nominantur vel a Myso Jovis filio, vel a Myso alio, Arganthones illius strenuæ et montivagæ filio, vel a planta *myso* sive *mysa* (utrumque dicere licet), quæ Lydorum lingua abietem significat, ut Strabo quoque dicit.

37.

Thraces non solum Europæi sunt, sed etiam Asiatici, secundum Arrianum, ubi dicit, quemadmodum Phryges et Mysos, sic etiam Thraces ex Europa in Asiam transiisse Patara quodam duce, quo tempore Cimmerii in Asiam invaserant, quos e Bithynia pellentes Thraces ipsi hanc regionem occuparunt. [Ac fortasse de hisce Thracibus latius deinceps dispersis Thracesium quod nunc dicimus nomen accepit (v. *Constant. Porphyr. De them.* 1).] Idem Arrianus memorat etiam Thracen quandam puellam sapientem incantationum et herbarum scientia, qua mala et adducere et avertere poterat, sicuti de Medea vel Agamede vel fa-

Ὁ αὐτὸς λέγει καὶ ὅτι ἔθος ἦν Θρᾳξὶ πολλὰς ἔχειν γυναῖκας, ὡς ἂν ἐκ πολλῶν πολλοὺς ἔχοιεν παῖδας, καὶ τὸ ἔθος αὐτοῖς γενέσθαι φησὶν ἀπὸ βασιλέως αὐτῶν Δολόγκου, ᾧ παῖδες πολλοὶ ἐκ πολλῶν γυναικῶν ἐγένοντο.

38.

Eustath. ad Il. λ, 739 p. 881, 60, post memoratas Agameden et Medeam veneficas : Ἀρριανὸς δὲ καὶ Κροκοδίκην τινὰ ἱστορεῖ οὐδὲν ἧττον γυναῖκα γοητεύτριαν. Cf. Eustath. p. 1493, 48. 1657; 52.

39.

Steph. Byz : Ἀβρεττήνη, χώρα Μυσίας, ἀπὸ Βρεττίας νύμφης. Τὸ ἐθνικὸν Ἀβρεττηνὸς, ὡς Ἀρριανός φησιν. Cf. Strabo XII, p. 574, 576; Plinius V, 30, 33.

40.

Eustath. ad Dionys. 809 : Ἀρριανὸς δέ φησιν, ὅτι « Θυνὸς καὶ Μυσὸς υἱοὶ ἦσαν Ἀργανθώνης, ἥτις καλόν τι χρῆμα νύμφης ἦν, ἀφ' ὧν Θυνὸς μὲν Θυνίαν οἰκίσας ἀφ' ἑαυτοῦ ὠνόμασε, Μυσοὶ δὲ ἐπὶ τῷ Μυσῷ ὠνομάσθησαν. »

41.

Idem ib. 793 : Τοὺς δὲ Βιθυνοὺς καὶ ναυτικωτάτους ἱστοροῦσι γενέσθαι ποτὲ, καὶ τὴν αὐτῶν γῆν πάμφορόν τε καὶ εὔδενδρον εἶναί φασι, καὶ λιθοτομίας ἔχουσαν πολλαχοῦ, καὶ κρυστάλλους ἐν ὄρεσι φύουσαν, καὶ ἄλλα πολλὰ ἔχουσαν ἀγαθά. Ἡρόδοτος (VII, 75) δὲ λέγει Θρᾶκας διαβάντας εἰς Ἀσίαν κληθῆναι Βιθυνοὺς, καὶ εἶναι παρ' αὐτοῖς χρηστήριον Ἄρεος. Λέγεται δὲ καὶ ὅτι τὴν ἀπὸ Βοσπόρου γῆν ἕως ἐπὶ Ῥήβαντα Βιθυνοί ποτε κατέσχον. Τὴν δὲ αὐτοῦ ἐπέκεινα ἐπὶ Πόντον ὀρεινὴν οἱ Θυνοὶ ἔσχον ἄχρι ποταμοῦ Κάλητος, ὡς εἶναι ὁμόρους τούς τε Θυνοὺς καὶ τοὺς Βιθυνοὺς, οὕτω καλουμένους ἀπό τινων ἀδελφῶν ἐπιφανῶν Θυνοῦ καὶ Βιθυνοῦ, παίδων Φινέως κατὰ ποίησιν (ἤτοι ποιητῶν καὶ θετῶν), καθά φησιν Ἀρριανὸς, ὃς καὶ γνήσιον παῖδα Φινέως ἱστορεῖ Παφλαγόνα, ἐξ οὗ χώρα Παφλαγονία. Καὶ γῆν λέγει Ῥηβαντίαν τὴν πρὸς τῷ Ψιλλίῳ ποταμῷ, καὶ δημιουργόν τινα ἱστορεῖ παρὰ Βιθυνοῖς Δαίδαλον καλούμενον, οὗ ἔργον ἐν Νικομηδείᾳ γενέσθαι θαυμαστὸν ἄγαλμα Στρατίου Διός. Λέγει δὲ ὁ αὐτὸς Ἀρριανὸς καὶ ὅτι ἄλλοι Ὀδρύσου παῖδάς φασι τὸν Θυνὸν καὶ τὸν Βιθυνὸν, ὧν ἡ χώρα ὁμώνυμος. Eustath. in Il. p. 125, 30, exempla παρηχήσεως afferens : καὶ Ἀρριανός· « Φῦναι Φινέα. » Alia nonnulla ex h. l. excerpsit Eudocia p. 103.

42.

Eustath. in Il. p. 123, 35 : Φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία ὅτι Βριάρεως, Γῆς καὶ Οὐρανοῦ παῖς, θαλαττοκρατήσας ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ, κἀκεῖθεν ὁρμώμενος κατεστρέψατο τὰς Κυκλάδας, ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. Οὗτος δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει εἰς ἐπωνυμίαν. Σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμὸν οὐ πόρρω θαλάσσης λόφον τινὰ, καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος, καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκδιδόναι ἑκατὸν καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω. Excerpsit locum Eudocia p. 144.

In seqq. Eustathius memoria lapsus, ut videtur, dicit : Οὐδὲ ὁ μυθικὸς Βριάρεως φίλα φρονεῖ τῷ πατρὶ ἢ Κρόνῳ ὄντι κατὰ τὸν Ἀρριανὸν ἢ Ποσειδῶνι κα-

---

mosa illa Circe narrant : et ab hac Thrace ei videtur regio quæ prius Perce appellabatur, nomen traxisse. Idem Arrianus moris esse apud Thraces dicit plures ducere uxores, quo ex multis multos liberos suscipiant; atque morem istum iis esse a Dolonco rege, cui ex multis uxoribus multi fuerunt liberi.

38.

Arrianus Crocodicen quandam mulierem haud minus (Medeâ) præstigiatricem memorat.

39.

Abrettene, regio Mysiæ, a Brettia nympha. Gentile Abrettenus, ut Arrianus ait.

40.

Arrianus dicit : « Thynus et Mysus filii erant Arganthones, quæ pulchrum erat puellæ negotium; horum alter, Thynus, Thyniam, quam incolis frequentaverat, de suo nomine appellavit; Mysi autem de Myso nuncupati sunt. »

41.

Bithynos olim classe valuisse tradunt atque terram eorum fœcundissimam et arboribus bene consitam esse aiunt, et lapicidinas multis in locis habere et crystallos in montibus gignere, aliisque bonis divitem esse. Herodotus narrat Thraces qui in Asiam transgressi sint, Bithynos appellatos, apud eosque Martis oraculum esse. Dicitur etiam Bithynos occupasse quondam regionem quæ a Bosporo usque ad Rhebantem fluvium pertinet, ulteriorem vero ad Pontum montuosam Thynos obtinuisse usque ad Caletem fluvium, adeo ut Thyni et Bithyni essent finitimi; nomen vero eos habere a Thyno et Bithyno fratribus, Phinei filiis per adoptionem, ut Arrianus ait, qui etiam genuinum Phinei filium affert Paphlagonem, a quo Paphlagonia regio appellata. Porro regionem ad Psillium fluvium sitam Rebantiam dicit, atque artificem quendam apud Bithynos, Dædalum nomine, memorat, cujus opus Nicomediæ sit admirabile signum Jovis Stratii. Idem Arrianus refert apud alios referri Odrysi filios esse Thynum et Bithynum, a quibus regiones nominatæ sint.

42.

Arrianus ita narrat : Briareus, Cœli et Telluris filius, maris imperium tenens, Eubœa insula sede atque arce utebatur, unde proficiscens Cycladas sibi subjecit. Ab hominibus Ægæon vocabatur. Ab eodem mare Ægæum nomen suum traxisse dicitur. Monumentum ejus monstrari aiunt ad Rhyndacum fluvium haud procul a mari collem quendam, qui Ægæonis vocatur, ex eoque centum profluere scatebras, quas appellant Manus Briarei.

τά τινας. Cf. Eustath. ad Dion. 132 : Αἰγαῖον δὲ πέλαγος, ὥς τισι δοκεῖ, λέγεται παρὰ τὰς ἐν Εὐβοίᾳ Αἰγάς, τόπον οὕτω καλούμενον, ἔνθα τοὺς τοῦ Ποσειδῶνος ἵππους ἀναπαύει ὁ ποιητής· οἱ δὲ παρὰ τὸν Αἰγαίωνα τὸν Ὁμηρικόν.

43.

Eustath. ad Il. β, 754, p. 336, 12, ad verba Ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατος] Κατὰ τὴν ἱστορίαν τοῦ Ἀρριανοῦ καὶ Βιθυνίας ποταμὸς Ὅρκος ὄνομα, ὃς φρικωδέστατος ὅρκων τοῖς ἐκεῖ ἐνομίζετο, πρὸς βίαν εἰς τὰς δίνας ἕλκων τὸν ἐπίορκον, εἰ μὴ δρόμῳ ἐξεπήδησεν.

44.

Idem ad Il. ε, 150, p. 532, 34 : Ὁ μὲν Ὑπείρων ἐκ μόνης τῆς ὑπείρ προθέσεως παρῆκται... οὕτω δὲ καὶ ἐκ τῆς ἀνά ἴσως ὁ Ἄνιος... Ἐκ δὲ τῆς ὑπό Ὕπιος ὁ παρὰ Ἀρριανῷ ποταμός. Eustathius ut reliquis locis, sic hic quoque Bithyniaca ante oculos habuerit; quanquam Hypius fluvius memoratur etiam in Ponti Eux. Periplo c. 13, 2, ubi libri mss. et editt. perperam exhibent Ὕππιος.

45.

Idem in Il. β, 857, p. 364,1 : Ἀρριανὸς δὲ τοιαῦτα περὶ Ἁλιζώνων ἱστορεῖ· « Οὓς Ὅμηρος ἐν Νεῶν καταλόγῳ φησὶν Ἁλιζῶνας, Βιθυνοί εἰσιν, ὧν Ὁδίος καὶ Ἐπίστροφος ἦρχον. Καὶ ἡ Ἀλύβη, ἐν ᾗ λέγει ἀργύρου γενέθλην εἶναι, παραδείκνυται, καὶ οὐκ ἀμαυρὰ ὑπόμνησις ἀργυρίων ἔργα ὑπολελειμμένα ὁρᾶται. Ἁλιζῶνες δὲ οἱ ἄνθρωποι οὗτοι, φησί, καλοῦνται ὅτι πανταχόθεν θαλάσσῃ περιείργονται, ἀπὸ μὲν ἄρκτου καὶ ἀνατολῆς τῷ Εὐξείνῳ πόντῳ, πρὸς μεσημβρίαν δὲ καὶ νότον τῷ Ἀστακηνῷ κόλπῳ τῷ πρὸς Νικομήδειαν, πρὸς δὲ δύσιν καὶ Ζέφυρον τῇ Προποντίδι καὶ τῷ Βοσπόρῳ, ὡς μὴ πόρρω χερρονήσου εἶναι τὰ πολλὰ αὐτῶν, καὶ δικαιότατα λέγεσθαι διεζῶσθαι θαλάσσῃ. » Ὁ δὲ αὐτὸς Ἀρριανὸς λέγει καὶ τὸν ῥηθέντα Ὁδίον Ῥοδοίτην ποτὲ καλεῖσθαι, εἶτα εἰς Ῥόδιον μεταπεσεῖν, εἶτα Ὁδίον κληθῆναι.

46.

Idem ad Dionys. 809 : Ταύτην δὲ τὴν μεγάλην Φρυγίαν καὶ ἱππόβοτον λέγει (Dionysius) καὶ λιπαράν. Ὀλβιωτάτους δὲ τοὺς Φρύγας καὶ Ἀρριανὸς ἱστορεῖ, λέγων καὶ ὅτι λέγονται Φρύγες παλαιότατοι ἀνθρώπων γενέσθαι, καὶ ὅτι μαίνονται τῇ Ῥέᾳ, καὶ πρὸς Κορυβάντων κατέχονται (ἤγουν κορυβαντιῶσι δαιμονῶντες). Ὅταν δὲ κατάσχῃ αὐτοὺς τὸ θεῖον, ἐλαυνόμενοι καὶ μέγα βοῶντες καὶ ὀρχούμενοι προθεσπίζουσι τὰ μέλλοντα, θεοφορούμενοι καὶ μαινόμενοι.

47.

Idem ib. 791 : Ἀρριανὸς δὲ οὕτω γράφει περὶ τῶν τοιούτων· « Ἐπέκεινα Σαγγαρίου ὅμοροι Παφλαγόνων Μαριανδυνοί, ἔνθα πόλις Ἡράκλεια πεπόλισται, ὅπου Κιμμέριοι πόαν φαγόντες ἀκόνιτον ἐδυστύχησαν. Ἦν γὰρ αὐτοῖς πάτριον τὸ ποηφαγεῖν. »

48.

Idem ib. 772 : Ἀρριανὸς δὲ τοὺς περὶ Μεσοποταμίαν Ἀσσυρίους λέγει, ἐν οἷς φησὶ τοὺς πρὸς Εὐφράτῃ ποταμῷ Ἀσσυρίους, ἔστε ἐπὶ Νίνον καὶ Βαβυλῶνα, καθ' ὧν Ἀμαζόνες ἐστράτευσαν, Εὐρυπύλης ἡγουμένης αὐτῶν. Καὶ τοὺς Καππαδόκας δὲ οὕτω ποτὲ ἱστορεῖ λέγεσθαι, ἐν οἷς φησὶ Καππάδοκα παῖδα Νινύου,

---

43.

Secundum Arriani historiam in Bithynia quoque fluvius est, qui Horcus (*jusjurandum*) appellatur. Is horribilissimum ejus regionis incolis jusjurandum est, atque vi in voragines abripit pejerantem, nisi cursu se proripuerit.

44.

Quemadmodum *Hyperon* ex sola præpositione ὑπέρ fortur, sic fortasse *Anius* quoque ab ἀνά, et ab ὑπό *Hypius*, qui apud Arrianum memoratur fluvius.

45.

Arrianus de Halizonibus ita habet : « Quos Homerus in Navium catalogo Halizones dicit, Bithyni sunt, ii quibus Hodius et Epistrophus imperabant; atque Alybe, in qua argenti esse fontem dicit, ostenditur, neque obscura admonitio argenti fodinæ sunt, quas etiamnum cernere licet. Halizones autem, ait, homines isti nominantur, quod quasi zona undique mari cinguntur, nimirum Ponto Euxino ab septentrione et oriente, meridiem versus et austrum Astaceno sinu, qui prope Nicomediam est, occidentem et Zephyrum versus Propontide et Bosporo, adeo ut major regionis pars fere chersonesus sit et justissime mari cingi dicatur. » Idem Arrianus Hodium, quem Homerus dicit, olim Rhodœten appellatum refert, quod nomen deinde in Rhodium, postremo in Hodium abierit.

46.

Phrygiam magnam Dionysius equis feracem et pinguem terram appellat. Arrianus quoque Phryges beatissimos dicit, narratque eos hominum omnium esse antiquissimos, et in honorem Rheæ insanire furore Corybantico afflatos. Quodsi vero numen eos corripuerit, cursitantes et vociferantes saltantesque futura vaticinantur divino instinctu et insania.

47.

Arrianus ita scribit : « Trans Sangarium fluvium finitimi Paphlagonum sunt Mariandyni, apud quos Heraclea urbs exstat, ubi Cimmerii cicutam quum edissent herbam, calamitate affecti sunt. Nimirum gramine vesci iis mos erat. »

48.

Arrianus Assyrios Mesopotamiæ incolas dicit, quo loco memorat Assyrios ad Euphratem fluvium usque ad Ninum et Babylonem habitantes, contra quos Amazones sub Eurypyle expeditionem susceperint. Idem vero etiam Cappadoces quondam Assyrios appellatos esse dicit, quo loco

ἐφ' ὅτῳ Ἀσσύριοι μεταβαλόντες τὸ ὄνομα Καππαδόκαι ὠνομάσθησαν.

49.

Eust. ad Dion. 378 : Τὴν δὲ ῥηθεῖσαν Ἑνετίαν... νῦν μὲν Βενετίαν φαμέν, καθότι καὶ Ἀρριανός φησιν ὅτι « Ἑνετοὶ πονήσαντες ἐν μάχῃ τῇ κατὰ Ἀσσυρίους καὶ ἀποπεράσαντες εἰς Εὐρώπην ᾠκίσθησαν πρὸς Πάδῳ τῷ ποταμῷ, καὶ τῇ ἐπιχωρίῳ γλώττῃ Βενετοὶ εἰς τοῦτο ἔτι ἀντὶ Ἑνετῶν κλῄζονται, καὶ Βενετία ἡ γῆ ἥντινα νέμονται. »

50.

Idem v. 805 : Τούτους τοὺς Βέβρυκας ἱστορεῖται μείζω δοκεῖν ἔχειν τὰ σώματα ἢ καθ' ἡλικίαν ἀνθρώπου, παρ' οἷς καὶ ὁ Βέβρυξ ἐκεῖνος Ἀράντας, « ᾧ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις, εὖρος δὲ, ὡς Ἀρριανός φησιν, ὅσον τοσῷδε μήκει ἐς κουφότητα ξύμμετρον (ἤγουν ὅσον ἦν ξύμμετρον πρὸς τοὺς ὀκτὼ πήχεις τοῦ μήκους εἰς τὸ κούφως βαίνειν τὸν ἄνθρωπον). Κατὰ δὲ τοσούτου ἀνδρὸς νικηφόρος γέγονεν εἰς μονομαχίαν συστὰς νεανίας ἐτῶν ιζ'. »

Etiam quæ sequuntur de Bebryce Danaide, a qua regio Bebrycia nomen habeat, sicuti reliqua plurima, quæ de his regionibus, non nominato fonte, Eustathius affert, ex eodem Arriano fluxisse putanda sunt.

51.

Idem ib. 767 : Ἀρριανὸς δὲ οὕτω φησίν· « Χάλυβες πρῶτοι ἀνθρώπων αἰτίαν ἔχουσι χαλκεύσασθαι. »

52.

Idem ad Dion. 669 : Σκυθῶν δὲ ἡ τοιαύτη πᾶσα γῆ, περὶ ὧν Ἀρριανὸς, ὅτι « σιτοφάγοι ποτὲ καὶ ἀροτῆρες ὄντες καὶ οἰκίας οἰκοῦντες καὶ πόλεις ἔχοντες, ἐπειδὴ ὑπὸ Θρακῶν ἐπλήγησαν, μετέβαλον τὰ πρότερον ἤθη, καὶ ἀρὰς ἐπηράσαντο μεγάλας, μήποτε οἰκίαν ἔτι δείμασθαι, μήτε ἀρότρῳ γῆν ἀναρρῆξαι, μήτε πόλεις δομήσασθαι, μήτε κτῆμα κειμήλιον ἐπικτήσασθαι, ἀλλ' οἴκους μὲν ποιήσασθαι ἁμάξας, τροφὴν δὲ κρέα θήρεια, πόμα δὲ ταὐτὸ καὶ τροφὴν τὸ γάλα, θρέμματα δὲ κεκτῆσθαι μόνα, ἅπερ ἄγεσθαι αὐτοῖς ἔμελλεν ἄλλην γῆν ἐξ ἄλλης ἀμείβουσι· καὶ ἀπὸ τοῦδε ἀντὶ γεωπόνων γενέσθαι νομάδας. »

53.

Idem in Il. v, 1, p. 916, 23 : Ἀρριανὸς δέ φησιν ὅτι οἰκοῦσι τὴν Ἀσίαν οἱ Ἄβιοι Σκύθαι αὐτόνομοι διὰ πενίαν καὶ δικαιότητα.

54.

Idem in Dion. 783 : Περὶ τούτου (de Iride fluvio) ὁ Ἀρριανὸς ταῦτά φησιν· « Αἷμος βασιλεὺς Σκυθῶν, οὗ υἱὸς Ἐρίδιος, ἀφ' οὗ ὁ Ποντικὸς ποταμὸς κληθεὶς Ἐρίδιος ὕστερον εἰς τὸ δεξιώτερον μετωνομάσθη Ἶρις.

55.

Steph. Byz. : Γετία, ἡ χώρα τῶν Γετῶν. Γέτης γὰρ τὸ ἐθνικὸν, οὐ τὸ κύριον. Ἔστι δὲ Θρᾳκικὸν ἔθνος... καὶ κτητικῶς λέγεται Γετικός... Ἀρριανὸς δὲ Γετηνοὺς αὐτούς φησι. In Anabasi Arrianus populum vocat Γέτας. Vocem Γετηνοὺς pro adjectivo κτητικῷ usurpaverit, nisi forte Ἀρριανὸς h. l., ut sæpius, corrupte citetur pro Ῥιανός.

---

meminit Cappadocis Ninya nati, a quo Assyrii Cappadoces appellati sint.

49.

Quam diximus Henetiam nunc Venetiam appellamus, sicuti etiam Arrianus dicit. « Etenim Heneti, ait, prœlio contra Assyrios commisso cladem ferentes in Europam transierunt et ad Padum fluvium sedes fixerunt, ubi lingua indigena Veneti etiamnum pro Henetis vocantur, et Venetia regio quam incolunt. »

50.

Bebryces narrantur majora quam pro vulgari hominum natura habere corpora; apud quos exstitit etiam Bebryx ille Arantas, cui longitudo corporis ad octo cubitus fuisse perhibetur, latitudo vero, ut Arrianus dicit, quanta ad motus facilitatem tantæ proceritati congrueret. Et cum ejusmodi molis viro juvenis annorum septemdecim certamine singulari congressus victoriam deportavit.

51.

Arrianus ita dicit : « Chalybes primi hominum auctores feruntur artem ærariam tractandi.

52.

Talis est Scytharum regio universa, de quibus Arrianus dicit : « Olim frumento vescebantur, agrosque arabant, domusque in urbibus inhabitabant; deinde vero quum a Thracibus pulsati essent, priorem vitæ rationem mutarunt, et cum dira exsecratione jurarunt nunquam se domum ædificaturos neque aratro terram scissuros, neque urbes conditures, neque ullam supellectilem pretiosiorem unquam possessuros, sed domus loco currum habituros, pro cibo carnes ferinas, pro potu simul atque cibo lac, nec quidquam possessuros præter pecora quæ secum ducerent, aliam cum alia regione permutantes. Atque ab eo inde tempore ex agricolis nomades evasisse. »

53.

Arrianus dicit in Asia habitare Abios Scythas, populum liberum suique juris ob paupertatem et justitiam.

54.

De Iride fluvio Arrianus hæc habet : « Hæmus Scytharum rex filium habuit Eridium, a quo Ponticus fluvius nominatus est Eridius, quod nomen postea abiit in *Iris*. »

55.

Getia, Getarum regio. Nam Geta gentile est, non vero proprium; est vero Thracicus populus. Possessive dicitur Geticus. Arrianus autem Getenos eos appellat.

56.

St. B. : Τριῆρες, ἔθνος, ἀπὸ Τριήρου τοῦ Ὀμβριάρεω καὶ Θρᾴκης παιδὸς, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. Cf. id. v. Τρῆρος.

57.

Eustath. ad Il. η, 166, p. 673, 45 : Ἐνυάλιος δὲ κατὰ μὲν τοὺς πλείους ὁ πολεμικὸς ἀπὸ τῆς Ἐνυοῦς. Τινὲς δὲ ὥσπερ τὴν Παλλάδα διὰ φόνον τοῦ Πάλλαντος, οὕτω καὶ τὸν Ἐνυάλιον διά τι τοιοῦτον κεκλῆσθαί φασιν. Ἀρριανὸς γοῦν ἱστορεῖ ὅτι ἐλθὼν Ἄρης εἰς τὰ τῆς Θρᾴκης χωρία, ὅπου τὰ οἰκεῖα ἦν τῷ Ἐνυαλίῳ, ἤθελε ξενισθῆναι· ὁ δὲ οὐκ ἤθελε δέχεσθαι, φάμενος οὐκ ἂν ξενίσαι ἄλλον ἢ ὃς κρείσσων αὐτοῦ τὰ πολέμια ἔλθοι. Καὶ ὅς· « Ὥρα σοι ξενίζειν ἐμὲ, καθότι κρείσσων σοῦ φημὶ τὰ πολέμια εἶναι. » Τοῦ δὲ Ἐνυαλίου ἀποφάσκοντος, ἔρχεται εἰς χεῖρας καὶ ἐπὶ πολὺ τῆς μάχης ἐκταθείσης, τέλος ὁ Ἐνυάλιος πίπτει ὑπὸ τῷ Ἄρεϊ, πληγεὶς ὅπλῳ τῇ ῥομφαίᾳ. Διὸ καθότι μέγα τοῦτο ἆθλον ὁ Ἄρης νέος ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἐπ' αὐτῷ Ἐνυάλιος. Eadem, citato Arriano, attingit Tzetz. Chil. XII, 791.

58.

Idem in Dionys. 828 : Ἔθνος δὲ γυναικεῖον αἱ Ἀμαζόνες πρὸς τῷ Θερμώδοντι, διὸ καὶ ἀπὸ μητέρων ἐγενεαλογοῦντο, καθάπερ Ἀρριανὸς ἱστορεῖ.

Idem ib. : Ὅτι δὲ αἱ Ἀμαζόνες πολλοὺς ἐν Ἀσίᾳ κατέσχον τόπους ποτὲ, δηλοῦσι καὶ κρῆναί τινες Ἀμαζόνων ὁμώνυμοι, καὶ μὴν καὶ πόλεις, οἷον ἡ Ἔφεσος αὐτη, ἡ Ἀναία, ἡ Μύρινα, ἡ Αἰολικὴ Κύμη. Ἔστι δὲ καὶ Ἐλαία τόπος πρὸς τῇ Νικομηδείᾳ κατὰ τὸν Ἀρριανὸν ἀπὸ Ἐλαίας Ἀμαζόνος· καὶ πρὸς τῷ Πόντῳ δὲ Θίβα, τόπος διὰ τοῦ ι ἔχων τὴν παραλήγουσαν, ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέος ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, « ὧν αἱ διάφοροι (τουτέστιν αἱ ὑπερέχουσαι) καὶ ἀξιολογώτεραι, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν, εἰσὶν αὗται πρὸς ὄνομα, Τράλλα, Ἰσοκράτεια, Θίβα, Πάλλα, καὶ ἄλλαι. »

59.

Stephan. Byz. : Ἀμαζόνειον, τόπος ἐν τῇ Ἀττικῇ... Ἔστι καὶ ἄλλο διὰ τοῦ κ Ἀμαζονικὸν ἐν Βοιωτίᾳ. Ἔστι καὶ ἐν Βιθυνίᾳ Μαζαῖον κατὰ παραφθορὰν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. Τὸ ἐθνικὸν Μαζαεὺς, ὡς Μιδαεὺς καὶ Δορυλαεύς.

60.

Eustath. ad Dionys. 549 : Ὅτι ἐντὸς τῆς Μαιώτιδος νῆσος ἀπειρεσίη ἐστήρικται, ἣν καλοῦσι Ταυρικὴν, ἐν ᾗ Φαιναγόρα καὶ Ἑρμώνασσα, Ἰώνων ἄποικοι πόλεις, ὧν ἡγήσατο Φαιναγόρας τις καὶ Ἕρμων, ἀφ' ὧν οἱ τόποι καλοῦνται. Ἀρριανὸς δὲ οὕτω φησί· « Φαιναγόρεια, ἣν ἔκτισε Φαιναγόρας ὁ Τήιος, φεύγων τὴν τῶν Περσῶν ὕβριν· ἔτι δὲ Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μυτιληναίου τινὸς, οὗ τινὰς τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο, καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο. »

61.

Idem ib. 803 : Κατὰ δὲ τὴν Ἀρριανοῦ ἱστορίαν ἐπώνυμός ἐστιν ἡ τῶν Χαλκηδονίων πόλις τῷ Κρόνου

56.

Trieres (*Treres*), a Triere, Ombriarei et Thraces filio, ut Arrianus ait in Bithynicis.

57.

Enyalius secundum plurimos Mars dicitur ab Enyo; nonnulli autem sicuti Palladem a Pallantis cæde, sic Enyalium quoque similem ob causam nomen habere narrant. Arrianus scilicet ita refert : « Mars in Thraciæ veniens regiones, ubi Enyalius habitabat, hospitio excipi ab eo voluit. Ille vero excipere noluit, dicens se non admittere hospitem nisi qui virtute bellica ipsum superaverit. Tum Mars : « Jam igitur hospitium mihi concedes; nam ego me præstantiorem te esse rebus bellicis contendo. » Quod illo negante, ad manus veniunt, et postquam diu certarunt, postremo Enyalius cecidit a Marte romphææ ictu percussus. Arduum hoc certamen quod juvenis adhuc Mars confecisset, Enyalius hinc nominatus est. »

58.

Amazones mulierum est populus ad Thermodontem; quare etiam a matribus generis seriem recensere solebant, ut Arrianus narrat.

Amazones multos in Asia locos tenuisse probant fontes Amazonum cognomines, nec non urbes, ut Ephesus, Anæa, Myrina et Cyme Æolica. Est etiam Elæa locus ad Nicomediam, Arriano teste, ab Elæa Amazone nomen ducens, et ad Pontum Thiba locus (per *i* literam in penultima), qui nominatus est ab una Amazonum ab Hercule interfectarum, inter quas præcipuæ et clarissimæ secundum Arriani historiam fuerunt Tralla, Isocratea, Thiba, Palla, aliæ.

59.

Amazonium locus in Attica. Est etiam in Bœotia quod per *c* literam dicitur Amazonicum. Porro in Bithynia quod per corruptionem abiit in Mazæum, ut Arrianus in Bithyniacis refert. Gentile Mazaeus, ut Midaeus, Dorilaeus.

60.

Intra paludem Mæotidem insula porrigitur ingens, quam vocant Tauricam, in qua Phænagora (*Phanagoria*) et Hermonassa urbes, Ionum coloniæ, quæ deductæ sunt Phænagora et Hermone ducibus, a quibus etiam nuncupatæ sunt. Arrianus vero ita dicit : « Phænagoria, quam condidit Phænagoras Teius, Persarum fugiens insolentiam; præterea Hermonassa, quæ vocatur de Hermonassa uxore Semandri Mytilenæi, qui quum Æoles nonnullos in coloniam deduxisset, et dum urbs condebatur, esset defunctus, uxor ejus imperio urbis potita est eique suum ipsius nomen imposuit. »

υἱῷ Χαλκηδόνι, ἀφ' οὗ πρῶτα μὲν ὁ ἐκεῖ που ῥέων ποταμὸς ἐκλήθη Χαλκηδὼν, ἔπειτα ἡ πόλις, Δωριέων ἀποικησάντων ὑστέροις χρόνοις, ὁμώνυμος γίνεται τῷ ποταμῷ. Ἱστορεῖ δὲ ὁ αὐτὸς καὶ ὅτι τοῖς Χαλκηδονίοις ἀποφρὰς νομίζεται παντὸς μηνὸς φθίνοντος ἐνάτη (ἤγουν ὡς τοῖς Ἀττικοῖς ἀρέσκει, αἱ εἰκοσταὶ πρῶται τῶν ὅλων μηνῶν ἀπαίσιοι αὐτοῖς κρίνονται), διότι ἐν τοιαύταις ἡμέραις ἄλλας τε δυστυχίας αὐτοὶ ἔπαθον, καὶ Φαρνάβαζος δὲ ὁ Πέρσης τοὺς αὐτῶν παῖδας ἐκτεμὼν εἰς τὸν Δαρεῖον ἀνέπεμψε. Κατασκῆψαι δέ φησιν αὐτοῖς καὶ νόσον ἐκ θεομηνίας, τὸ αὐτοὺς τὰ σφῶν ἀποτέμνειν αἰδοῖα, διότι θυσιῶν τινων κατημέλησαν.

62.

Steph. Byz. Ἀλμήνη, πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, ὡς Ἀρριανός. Τὸ ἐθνικὸν Ἀλμήνιος, ὡς Παλλήνιος, ἢ Ἀλμηνίτης, ὡς Σινωπίτης. Urbs aliunde non nota; Ἀρμένη et Ἀμελητὸς memorantur in Anonymi Peripl. Ponti Euxin. § 24 et 17. Hic vel ille locus ap. Arrianum intelligendus. Gail. tom. III, p. 42, nostrum locum tanquam e Periplo Arriani desumptum posuit. Nescio quam ob causam, quum nulla ibi ejus mentio fiat, et commodissime ad Bithynica referatur.

63.

Eustathius ad Dion. 270 : Ὅτι Εὐρώπη ἡ χώρα ἐξ Εὐρώπης λέγεται, καθὰ καὶ ὁ Λυκόφρων (v. 1398) φησίν· ἀφ' ἧς ὁ Σαρπηδὼν, ὡς ἱστορεῖ Εὐριπίδης ἐν Ῥήσῳ (v. 29). Ἀγήνορος δὲ αὕτη θυγάτηρ, ἣν Ταῦρος ὁ τῆς Κρήτης βασιλεὺς ἐλῄσατο, ναυμαχίᾳ τὴν Τύρον ἑλών. Σημείωσαι δὲ ὅτι ἄλλος ἐστὶν οὗτος παρὰ τὸν Λύκιον Σαρπηδόνα. Σαρπηδὼν μὲν γὰρ οὗτος, ὁ τῆς ῥηθείσης Εὐρώπης, ἀδελφός ἐστι Μίνωος καὶ Αἰακοῦ κατὰ τὸν Ἀρριανόν· ὁ δὲ ἐκ Λυκίας Σαρπηδὼν ὁ Ὁμηρικὸς οὐκ ἂν εἴη τούτῳ σύγχρονος.

64.

Idem : Δάλμιον, πόλις Δαλματίας μεταξὺ Ἰλλυρίας καὶ Ἰταλίας... Ἀππιανὸς δὲ τὴν πόλιν Δέλμινον, Κουάδρατος δὲ Δάλμινον. Φασὶ δὲ αὐτοὺς καὶ Δαλμάτας.

28.

Idem : Πήλιον. Ἔστι καὶ Πήλιον Ἰλλυρίας πόλις, ἧς μέμνηται Κουάδρατος. Τὸ ἐθνικὸν Πηληνός.

29.

Dio Cassius LXX, 3 : Κουάδρατος δὲ γηραιὸν μέν φησιν αὐτὸν (Antoninum Pium) τελευτῆσαι, τὴν δὲ τελευτὴν ἡδίστην αὐτῷ κατ' ἴσον ὕπνῳ τῷ μαλακωτάτῳ γενέσθαι.

30

Zosimus V, 27 : Μητρόπολις δὲ Φλαμινίας (sc. ἡ Ῥαβέννη) πόλις ἀρχαία, Θεσσαλῶν ἀποικία, Ῥήνη κληθεῖσα διὰ τὸ πανταχόθεν ὕδασι περιρρεῖσθαι, καὶ οὐχ, ὡς ὁ Ὀλυμπιόδωρος ὁ Θηβαῖός φησι, διὰ τὸ Ῥῶμον, ὃς ἀδελφὸς γέγονε Ῥωμύλῳ, τῆς πόλεως ταύτης οἰκιστὴν γεγονέναι· Κουαδράτῳ γάρ, οἶμαι, θετέον ἐν τῇ κατὰ τὸν βασιλέα Μάρκον ἱστορίᾳ τοῦτο περὶ τῆς πόλεως ταύτης διεξελθόντι.

31.

Agathias I, 6, p. 27 ed. Bonn. : Οἱ δὲ Ἀλεμανοί, εἴγε χρὴ Ἀσινίῳ Κουαδράτῳ ἕπεσθαι, ἀνδρὶ Ἰταλιώτῃ καὶ τὰ Γερμανικὰ ἐς τὸ ἀκριβὲς ἀναγεγραμμένῳ, ξύγκλυδές εἰσιν ἄνθρωποι καὶ μιγάδες, καὶ τοῦτο δύναται αὐτοῖς ἡ ἐπωνυμία. Germanicum bellum (an. 166 sqq.) fortasse singulari opere Asinius Quadratus tractavit.

NICAGORAS ATHENIENSIS.

Suidas : Νικαγόρας, Μνησαίου ῥήτορος, Ἀθηναῖος, σοφιστής. Γέγονε δὲ κατὰ Φίλιππον τὸν Καίσαρα. Βίους ἐλλογίμων, Περὶ Κλεοπάτρας τῆς ἐν Τρῳάδι, Πρεσβευτικὸν πρὸς Φίλιππον τὸν Ῥωμαίων βασιλέα. Eadem Eudoc. p. 309.

Cf. idem : Μαΐωρ, Ἀράβιος, σοφιστής, ἔγραψε Περὶ στάσεων βιβλία ιγ'. Συνεχρόνισε δὲ Ἀψίνῃ καὶ Νικαγόρᾳ ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

Idem : Μινουκιανός, Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθηναῖος, σοφιστής, γεγονὼς ἐπὶ Γαλιηνοῦ. Τέχνην ῥητορικήν, καὶ Προγυμνάσματα, καὶ λόγους διαφόρους.

Philostratus Vit. Sophist. c. 27, p. 271 ed. Kayser. : Νικαγόρου δὲ τοῦ σοφιστοῦ μητέρα σοφιστῶν τὴν τραγῳδίαν προσειπόντος, διορθούμενος ὁ Ἱππόδρομος (Larissæus, sophista) τὸν λόγον, « Ἐγὼ δέ, ἔφη, πατέρα Ὅμηρον. »

Idem ibid. c. 33, p. 275 : Περὶ δὲ Φιλοστράτου τοῦ Λημνίου... καὶ περὶ Νικαγόρου τοῦ Ἀθηναίου, ὃς καὶ τοῦ Ἐλευσινίου ἱεροῦ κήρυξ ἐστέφθη, καὶ Ἀψίνης ὁ Φοῖνιξ ἐφ' ὅσον προὔβη μνήμης τε καὶ ἀκριβείας, οὐκ ἐμὲ δεῖ γράφειν· καὶ γὰρ ἂν καὶ ἀπιστηθείην ὡς χαρισάμενος, ἐπειδὴ φιλία μοι πρὸς αὐτοὺς ἦν.

Præterea in Porphyrii libro I τῆς Φιλολογ. ἀκροάσεως ap. Euseb. P. E. p. 464 Nicagoras tanquam unus ex interlocutoribus introducitur. Porro obiter mentionem ejus injicit Himerius Ecl. VII, p. 166 ed. Wernsdorf.

LUPERCUS BERYTIUS.

Suidas : Λούπερκος, Βηρύτιος, γραμματικός, γεγονὼς μικρῷ πρὸ τοῦ Κλαυδίου τοῦ δευτέρου Καίσαρος χρόνων. Ἔγραψε Περὶ τοῦ ἂν γ', Περὶ τοῦ ταώς, Περὶ τῆς Καρίδος, Περὶ τοῦ παρὰ Πλάτωνι ἀλεκτρυόνος, Κτίσιν τοῦ ἐν Αἰγύπτῳ Ἀρσινοήτου, Ἀττικὰς λέξεις, Τέχνην γραμματικήν, Περὶ γενῶν ἀρρηνικῶν καὶ θηλυκῶν καὶ οὐδετέρων βιβλία ιγ', ἐν οἷς πολλὰ κατευδοκιμεῖ Ἡρωδιανοῦ.

26.

Gerunium, urbs Italiæ, quam Quadratus Geryniam vocat.

27.

Dalmium, urbs Dalmatiæ inter Illyriam et Italiam. Appianus eam Delminum, Quadratus vero Dalminum vocat.

28.

Pelium etiam Illyriæ urbs est, cujus meminit Quadratus.

29.

Quadratus senem Antoninum diem obiisse tradit, mortemque ei dulcissimam, quasi suavissimo somno fuisse.

30.

Flaminiæ metropolis est Ravenna, prisca sane urbs, colonia Thessalorum, Rhene dicta, quod eam aquæ ab omni parte circumfluunt; non autem propterea, velut Olympiodorus Thebanus ait, quod Remus, Romuli frater, hujus urbis conditor fuerit. Nam Quadrato, opinor, assentiendum est, qui in historia Marci (Aurelii Antonini) imperatoris id commemoravit.

31.

Alemani, si Asinio Quadrato, homini Italo, qui res Germanicas accurate conscripsit, credimus, convenæ sunt et colluvies; quod et nomen eorum indicat.

CALLINICUS PETRÆUS.

Suidas : Καλλίνικος, Γαΐου, ὁ καὶ Σουκτώριος ἐπικληθεὶς, σοφιστὴς, Σύρος · ὡς δέ τινες Ἀράβιος, τὸ δὲ ἀληθὲς Πετραῖος· σοφιστεύσας ἐν Ἀθήναις. Ἔγραψε πρὸς Λοῦπον Περὶ κακοζηλίας ῥητορικῆς, Προσφωνητικὸν Γαλιηνῷ, Πρὸς Κλεοπάτραν, Περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία δέκα, Πρὸς τὰς φιλοσόφους αἱρέσεις, Περὶ τῆς Ῥωμαίων ἀνανεώσεως, καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους (*).

Idem : Γενέθλιος, Γενεθλίου, Παλαιστῖνος ἐκ Πετρῶν, σοφιστὴς, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διασήμῳ (**.)

Idem : Ἰουλιανὸς, Δόμνου, ἀπὸ Καισαρείας Καππαδοκίας, σοφιστὴς, σύγχρονος Καλλινίκου τοῦ σοφιστοῦ, γεγονὼς ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως.

Ex libris decem *De Alexandriæ historiis* nihil est servatum præter ea quæ ex Porphyrio Suctorium secuto affert Hieronymus. Vid. Porphyr. fr. 7, § 2. Probabile vero est etiam reliqua quæ de Lagidarum historia Porphyrius habet ex eodem fonte fluxisse. Quæ quum optimæ sint notæ, vehementer Callinici opus desideramus. Eodem referenda est mentio Callinici apud Hieronymum Præfat. in Danielum : *Ad intelligendas autem extremas partes Danielis multiplex Græcorum historia necessaria est, Suctorii* (*Sertorii* Voss.) *videlicet Callinici, Diodori, Hieronymi, Polybii, Posidonii, Claudii Theonis et Andronici cognomenti Alypii, quos et Porphyrius esse secutum se dicit.* Quænam sit Cleopatra, ad quam scripsisse dicitur, vel cui libros De Alexandria dedicavit, nescio. Haud magis constat de declamatione Περὶ Ῥωμαίων ἀνανεώσεως. Fortasse huc pertinet fragmentum, quod Leo Allatius edidit in Exc. Var. Græcorum sophist. et rhetor. p. 256 (et deinde Orellius una cum Philonis Byzantii libello De VII orbis spectaculis. Lips. 1816, p. 37) :

(*) Σουκτώριος] Bernhardy. e codd. AV. dedit Σουητώριος. Aldus nomen mutavit in Σουτώριος, *sutorius*. Syrium potius nomen fuerit *Suctorius* Callinicus est etiam apud Hieronymum in Daniel. — Κακοζηλίας] Suidas s. h. v. : Καλλίνικος ἔγραψεν ὁ Σύρος Περὶ κακοζηλίας ῥητορικῆς.— Γαλιηνῷ] sic correx. Jonsius Histor. Phil. III, 14, 5. Γαληΐνω cod. A; Γαλλήνῳ BVE. Sic Γαλήνου pro Γαλιηνοῦ codd. perperam etiam s. v. Ἔφορος et Μινουκιανός. — φιλοσόφους] Sic ex AE Bernhardy.; φιλοσόφων vgo. Sec. Libanium in Ep. 1 ad Aristænetum Callinicon urbs Mesopotamiæ (quæ sec. Chron. Alex. a Seleuco II an. 242 a. Chr. condita est) nomen habet a Callinico sophista, qui ibi sit occisus (cf. Thomas Mag. p. 345, 10 Ritschel). De his vide quæ disputat Droysenius *Hellen.* II, p. 602 et 705 sq.

(**) Scripta ejus recensens Suidas ait : ἔγραψε... καὶ μελέτας, ὧν ἐστιν Ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν. Argumentum hujus μελέτης erat, opinor, historia Clitomachi Thebani, quam narrat Pseudocallisthenes I, 46, ubi : Τοῦ δὲ κήρυκος πυθομένου αὐτοῦ τίς καλεῖται, καὶ ποίας πόλεως τυγχάνεις, ἵνα σε ἀγορεύσω; εἶπεν· « Κλειτόμαχος μὲν καλούμενος πόλιν δ' οὐκ ἔχω. » Narrationem hanc postea demum in Pseudocallisthenem illatam esse satis liquet; fortasse ex Genethlio.

ΚΑΛΛΙΝΙΚΟΥ ΣΟΦΙΣΤΟΥ

ΕΚ ΤΩΝ ΕΙΣ ΤΑ ΠΑΤΡΙΑ ΡΩΜΗΣ.

Οὔτε ἡ καθ' ἡμᾶς γῆ πρὸς ἕτερον οὐδὲν εὐαρμόστως εἶχεν, πλὴν βασιλείας, οὔτε ἡ βασιλεία πρὸς ἄλλο χωρίον οὐδὲν πλὴν ταύτης ἐχώρησεν. Ἡ δὲ τῶν φόρων σύνταξις οὔθ' ἡμετέρα πλεονεξία γίγνεται, οὔτε τῶν διδόντων ζημία, ἀλλ' εἰς τὸ μάχιμον γένος δαπανωμένη, δι' ἐκείνων πάλιν εἰς τοὺς διδόντας ἐπάνεισιν, ὥστε δανείσμασι προσεοικέναι τὸ διδόμενον μᾶλλον, ἢ φόρων ἐπαγωγῇ. Ἀλέξανδρος μὲν γὰρ οὐδὲν τῶν περὶ Κλέαρχον σεμνότερον διεπράξατο, ἀνδρῶν κρατήσας ἀνανδρίᾳ συντρόφων, ἐκκλίνας τοὺς εἰδότας νικᾶν, πρὸς δὲ Πέρσας ἀγωνισάμενος τοὺς παιδευθέντας ἡττᾶσθαι· ταὐτὸν παθὼν τοῖς ὄναρ εὐτυχοῦσιν, ἐν τῇ τῆς εὐτυχίας ἀκμῇ καταλύσας αὐτὴν, καὶ τοσοῦτον ἄρξας τὸν ἅπαντα χρόνον, ὅσος ἡμῖν οὐκ ἀρκεῖ τὴν ἡμετέραν ἐπελθεῖν. Τοῖς μὲν οὖν πολλοῖς εἴρηται, τυφλῶν εἶναι ζημίαν τὸ μὴ τὸν ἥλιον βλέπειν· ἐγὼ δ' ἂν ἐπὶ τῶν θεωμένων φήσαιμι, τὴν ἴσην εἶναι ζημίαν, εἴ τις μὴ ταύτην θεάσαιτο,

IN PATRIA ROMÆ.

Nec loci hujus ingenium æque ad aliud quam ad imperium accommodatum, neque aliud usquam solum tanti imperii capax fuit. Tributorum exactio neque nobis in immodicæ cupiditatis quæstum, neque in pendentium damnum exsolvitur; sed in bellatores milites erogata, rursum per eos in conferentium potestatem redit; ita ut potius mutua dari pecunia, quam solvi vectigalia videantur. Alexander nihil sane grandius illis, qui cum Clearcho militiæ nomina dederunt, devictis hominibus effeminatis, patravit, dum examinata bello pectora victoriasque parare sueta declinans, cum Persis vinci minime nesciis certamen instituerit; similia passus iis, qui per insomnia sunt fortunati, in ipso felicitatis flore principatu destructo. Qui tamdiu regnavit, quamdiu nostrum imperium peragrari vix potest. Multorum itaque sermone pervulgatum est, magnum damnum cæcis esse, solem non adspicere. Verum ego dixerim, eos qui vident, non minus accipere detrimenti, si Romam non viderint. Et qui lucis hujus usu fruuntur, qui urbem nostram aspectu non usurparunt, vitam

καὶ τῶν παρελθόντων εἰς φῶς ὅσοι μὲν ἀπείρατοι τῆς ἡμετέρας ἔμειναν, νόθον τινὰ βίον, ὡς εἰπεῖν, διαντλοῦσιν, ὅσοι δὲ ἐν πείρᾳ γεγένηνται, γνήσιοι τοῦ βίου μέτοχοι, καὶ πλέον τῶν ἑτέρων διαλλάττουσιν, ἢ τῶν βεβήλων οἱ τελεσθέντες.

Alia declamatio epidictica, ὁ μεγάλος βασιλικὸς λόγος, memoratur apud Menandrum De encom. in Walz. Rhett. Gr. tom. IX, p. 217 (coll. p. 245), et inde ap. Josephum Racendytum in Synopsi rhetor. ap. Walz. tom. III, p. 549, ubi sic : Θεωρήσεις δὲ πάλιν, πότερον ἔνδοξον αὐτοῦ τὸ γένος ἢ οὔ· κἂν μὲν ἔνδοξον ᾖ, ἐπεξεργάσῃ τὰ περὶ τούτου· ἐὰν δὲ ἄδοξον ᾖ, ἢ εὐτελές, μεθεὶς καὶ τοῦτο ἀπ' αὐτοῦ τοῦ βασιλέως τὴν ἀρχὴν ποιήσῃ, ὡς Καλλίνικος ἐποίησεν ἐν τῷ μεγάλῳ Βασιλικῷ.

EPHORUS CUMANUS.

Suidas : Ἔφορος, Κυμαῖος, ἱστορικὸς, ὁ νεώτερος. Ἔγραψε τὰς Γαλιηνοῦ ἱστορίας ἐν βιβλίοις κζ'. Κορινθιακά. Περὶ τῶν Ἀλευαδῶν, καὶ ἄλλα. Liber De Aleuadis pertinet non ad Ephorum, sed ad Euphorionem. Idem statuo de Corinthiacis, quæ vix diversa fuerint ab Euphorionis libro Περὶ Ἰσθμίων.

NICOSTRATUS TRAPEZUNTIUS.

Euagrius Hist. Eccles. V, 24 : Νικοστράτου τε τοῦ σοφιστοῦ τοῦ ἐκ Τραπεζοῦντος συγγράψαντος τὰ ἀπὸ Φιλίππου τοῦ μετὰ Γορδιανὸν ἐκτίθεται ἕως Ὀδαινάθου τοῦ ἐκ Παλμύρας καὶ τῆς Οὐαλεριανοῦ πρὸς Πέρσας ἀφίξεως.

NICOMACHUS.

(DE REBUS GESTIS AURELIANI.)

Flavius Vopiscus in Aureliano c. 26 : *Post hæc Palmyram iter flexit, ut ea oppugnata, laborum terminus fieret. Sed in itinere a latronibus Syris male accepto frequenter exercitu, multa perpessus est, et in obsidione usque ad ictum sagittæ periclitatus est. Epistola ipsius exstat ad Mucaporem missa, in qua de ejus belli difficultate ultra pudorem imperialem fatetur : « Romani me modo dicunt bellum contra feminam gerere, quasi sola mecum Zenobia et suis viribus pugnet, ac non hostium, quantum, si vir a me oppugnandus esset, in conscientia et timore longe deteriore. Dici non potest quantum hic sagittarum, qui belli apparatus, quantum telorum, quantum lapidum : nulla pars muri est quæ non binis et ternis balistis occupata sit : ignes etiam tormentis jaciuntur. Quid plura? Timet quasi femina, pugnat quasi pœnam timens; sed credo adjuturos Rom. remp. deos, qui nunquam nostris conatibus defuerunt. » Denique fatigatus et præ malis fessus, literas ad Zenobiam misit, deditionem illius petens, vitam promittens: quarum exemplum indidi : « Aurelianus imperator Rom. orbis, et receptor Orientis, Zenobiæ ceterisque quos societas tenet bellica. Sponte facere debuistis id quod meis literis nunc jubetur : deditionem præcipio impunitate vitæ proposita, ita ut illic, Zenobia, cum tuis agas vitam, ubi te ex senatus amplissimi sententia collocavero. Gemmas, argentum, aurum, sericum, equos, camelos in ærarium Rom. conferatis. Palmyrenis jus suum servabitur. » Hac epistola accepta, Zenobia superbius insolentiusque rescripsit quam ejus fortuna poscebat. Credo ad terrorem : nam ejus quoque epistolæ exemplum indidi. « Zenobia regina Orientis Aureliano Augusto. Nemo adhuc præter te quod poscis literis petiit. Virtute faciendum est quidquid in rebus bellicis est gerendum. Deditionem meam petis, quasi nescias Cleopatram reginam perire maluisse quam in qualibet vivere dignitate. Nobis Persarum auxilia non desunt, quæ jam speramus, pro nobis sunt Sarraceni, pro nobis Armenii. Latrones Syri exercitum tuum, Aureliane, vicerunt: quid igitur si illa venerit manus quæ undique speratur? Pones profecto supercilium, quo nunc mihi deditionem, quasi omnifariam victor, imperas. » Hanc epistolam* Nicomachus *se transtulisse in Græcum ex lingua Syrorum dicit ab ipsa Zenobia dictatam. Nam illa superior Aureliani græca missa est.* « Censent Savaro ad Sidonium et Meursius ad Nicomachum, eundem esse (Nicomachum nostrum), qui vitam Apollonii Tyanei consignavit, de qua sic Sidonius Epp. VII, 3 : *Apollonii Pythagorici etiam, non ut Nicomachus senior e Philostrato, sed ut Tuscius Victorianus e Nicomachi schedio exscripsit, quia jusseras, misi.* » Vossius, p. 288. Quod sane verisimillimum est. Quare etiam ea quæ Flavius Vopiscus 22 sqq. de Tyana urbe et de Apollonio, Aurelianum, cui subito adstitisse dicitur, ad clementiam in victos hortante, reliquis fusius exponit, ex eodem Nicomacho hauserit.

---

spuriam quandam, ut ita dicam, exantlaverunt; qui vero eam experimento cognoverint, ut par est, vitæ participes sunt, præcelluntque aliis magis, quam profanis ii qui mysteriis sacrorum initiati sunt.

CALLICRATES TYRIUS.

(DE VITA REBUSQUE AURELIANI.)

Flavius Vopiscus Aurel. c. 4 : *Matrem quidem ejus* (Aureliani) *Callicrates Tyrius, Græcorum longe doctissimus scriptor, sacerdotem templi Solis in eo vico, in quo habitabant parentes, fuisse dicit, habuisse quin etiam nonnihil divinationis, adeo ut aliquando marito suo jurgans ingesserit, quum ejus et stultitiam increparet et vilitatem,* « *En imperatoris patrem;* » *ex quo constat illam mulierem scisse fatalia. Idem dicit auspicia imperii Aureliano hæc fuisse : primum pueri ejus pelvem serpentem plerumque cinxisse neque unquam occidi potuisse, postremo ipsam matrem, quæ hoc viderat, serpentem quasi familiarem occidere noluisse. His accedit quod ex palliolo purpureo, quod Soli sui temporis imperator obtulerat, sacerdos mulier crepundia filio fecisse perhibetur. Addit etiam illud, quod vinctum fasciola Aurelianum aquila innoxie de cunis levaverit et in aram posuerit, quæ juxta sacellum forte sine ignibus erat. Idem auctor est, vitulum matri ejus natum miræ magnitudinis, candidum, sed purpurantibus maculis, ita ut haberet in latere uno avem, in alio coronam. Multa superflua in eodem legisse memini, quippe qui asseverat etiam, rosas in ejusdem mulieris chorte nato Aureliano exisse purpureas, odoris rosei, floris aurei.*

THEOCLES.

(VITÆ CÆSARUM.)

Flavius Vopiscus in Aurel. c. 6 : *Refert Theoclius* (l. *Theocles* s. *Theoclus*), *Cæsarianorum temporum scriptor, Aurelianum manu sua bello Sarmatico uno die quadraginta et octo interfecisse; plurimis autem et diversis diebus ultra nongentos quinquaginta : adeo ut etiam ballistia pueri et saltatiunculas in Aurelianum tales componerent, quibus diebus festis militariter saltitarent :*

Mille, mille, mille decollavimus,
unus homo mille decollavimus,
mille vivat qui mille occidit.
Tantum vini habet nemo
quantum fudit sanguinis.

Hæc video esse perfrivola; sed quia supra scriptus auctor ita eadem ut sunt latine, suis scriptis inseruit, tacenda esse non credidi. Idem apud Maguntiacum tribunus legionis sextæ Gallicanæ, Francos irruentes, quum vagarentur per totam Galliam, sic adflixit, ut trecentos ex his captos, septingentis interemptis, sub corona vendiderit. Unde iterum de eo facta est cantilena :

Mille Sarmatas, mille Francos
semel et semel occidimus.
Mille Persas quærimus.

Præterea Flav. Vopiscus ad *Græcos scriptores* provocat in Aurel. c. 15. 16. 24; ubi aut Theocles aut Nicomachus aut Callicrates intelligendus esse videtur; aut denique Asclepiodotus quidam, qui ipse quoque idem argumentum Diocletiani et Constantii temporibus tractasse videtur.

ASCLEPIODOTUS.

Vopiscus Aurel. c. 44 : *Verconius Herennius, præfectus prætorio Diocletiani, teste Asclepiodoto, sæpe dicebat, Diocletianum frequenter dixisse, quum Maximiani asperitatem reprehenderet, Aurelianum magis ducem esse debuisse quam principem. Nam ejus ferocitas eidem displicebat. Mirabile fortasse videtur quod compertum Diocletiano Asclepiodotus Celsino consiliario suo dixisse perhibet. Sed de hoc posteri judicabunt. Dicebat enim quodam tempore Aurelianum Gallicanas consuluisse Druidas, sciscitantem utrum apud ejus posteros imperium permaneret : tum illas respondisse dixit, nullius clarius in republica nomen quam Claudii posterorum futurum. Et est quidem jam Constantius imperator ejusdem vir sanguinis, cujus puto posteros ad eam gloriam quæ a Druidibus prænuntiata sit pervenire.*

ZENOBIA.

Trebellius Pollio in Triginta tyr. c. 30, de Zenobia, Palmyrenorum regina : *Ipsa latini sermonis non usquequaque ignara, sed ut loqueretur pudore cohibita; loquebatur et ægyptiace ad perfectum modum. Historiæ Alexandrinæ atque orientalis ita perita, ut eam epitomasse dicatur; latinam autem græce legerat.* «Sed, credo, epitomen si quam fecit, juvandæ suæ memoriæ scripserat, non in usus publicos.» Vossius p. 280.

DEXIPPUS ATHENIENSIS.

Quæ de Dexippo traduntur, paucis exponit Niebuhrius (Præfat. ad Exc. Dexippi, in Corp. Script. Hist. Byz. vol. I, p. XVI) hunc in modum :

« *Publius Herennius Dexippus* (1), Ptolemæi f. (2) Atheniensis, pago Hermensis, e Cerycum gente (3) , summos in civitate honores adeptus est, rex creatus atque archon eponymus ; splendideque agonothetæ munere Panathenæis functus ; clarus orator atque historiarum scriptor ; propter quas fortunæ simul atque industriæ dotes statuæ honore ornatus est, cujus basis cum titulo exstat. Sed longe præclariorem sæculorumque memoria dignum honorem sibi comparavit quo tempore, effusis in Græciam per Propontidis claustra Herulis, captisque Athenis, cives secum in saltus invios ex urbis clade profugos confirmavit; bellique ab iis dux constitutus, advectæ in Atticæ oram Romanæ classi, cui Cleodamus præerat, conjunctus, ultionem de barbaris aliquam sumpsit, tribus millibus ex ipsorum numero per occasionem interfectis (4). Quo facto vir eximius post quingentos annos Athenienses armis desuetos ad rem gloriamque militarem revocavit : Mithridatico enim bello non sua neque sponte arma moverat infelix civitas. Quum igitur de hac Dexippi gloria titulus statuæ sileat, creditum est prius positam esse quam illam adipisceretur : cui opinioni facile accederem , si historia ævi , « quam partim ex libris , partim e vita hauserit , » ut epigramma prædicat, diversa esse posset ab illa omnis ævi, cujus notitiam ex Eunapio et Photio habemus. Ea in primo Claudii Gothici Aug. anno desinebat ; Athenarum autem cladem Syncellus, qui hoc Dexippi opus legebat, sub Gallieno contigisse refert : neque si eam cum continuatore Dionis (5) , quem Zonaras sequitur, biennio serius accidisse statuamus , ut illo ipso Claudii anno primo , 269, acciderit, difficultas expediretur. Ita aut fingendum erit priorem exstitisse editionem , de qua nemo quicquam tradidit, aut concedendum, lævam hominum in honoribus æstimandis mentem eum, quo ad majorum gloriam elatus est , propterea neglexisse, quia, tumultuarie a congregata multitudine collatus , nullum in fastis urbanis locum haberet : librorum famam extulisse , res fortiter gestas silentio transmisisse : — rem , propter ejus ævi pravitatem, plane non incredibilem.

« Vitam usque ad Probi principatum perduxit , quum jam sub Valeriano claruisset (6).

« Dexippi opera , quæ ad historiam pertinebant, tria legit Photius (7) : de quibus singulis agendum est.

« I. Τὰ μετὰ Ἀλέξανδρον, libris quattuor comprehensa ; ex quibus notissimam satrapiarum divisionem recitat Photius; scriptoremque in universum cum Arriano consentire docet. Ad hanc Macedonicam historiam referenda esse quæ ill. Maius inventa in codicis palimpsesti paginis 81. 82. 100. 101 edidit, uno verbo monuisse ad probandum sufficit: siquidem oratio Hyperidis, sive adsumpta sive ficta, belli Lamiaci tempus spectat.

« II. Χρονικὴν ἱστορίαν, sive annales (8), quam Photius σύντομον ἱστορικὸν vocat, per Olympiades, archontumque et consulum fastos ab historiæ initiis, omissis tamen fabulosis primordiis , usque ad Claudii Gothici annum primum deducti, præcipua circa temporum rationem cura adhibita. Horum duodecimus liber a Stephano ethnicographo citatur (9); ubi Herulorum mentio certissime comprobat locum de quo agitur non multum ab operis fine afuisse : constat igitur scriptorem his duodecim « chartis omne ævum explicuisse. » Ex hisce annalibus Syncellum quæcunque e Dexippo habet petiisse arbitror : at Constantiniana excerpta illis prorsus aliena sunt : neque enim prolixas orationes capere potuisset breviloquens annalium ratio , qui fere singulis libris sæculum comprehendebant; unde Trebellius Pollio (10) Dexippum *omnia breviter persecutum esse* scripsit.

« III. Igitur eclogas de legationibus ad Σκυθικὰ pertinere jam Vossius perspexit (11) : eademque earum ratio est quas ex titulo de sententiis edidit ill. Maius. Σκυθικὰ, *de bello Scythico* vertere debebam ; quoniam illud intelligitur, quod, cœptum sub Decio, usque ad Aureliani pacem duravit.

« Orationem Dexippi, scribendique genus, ingenti laude effert Photius, eo usque ut *Thucydi-*

1. « Nomen integrum exhibet inscr. 380 Corp. inscrr. græc. — 2. Sic inscriptio : nam Suidas s. v. Δέξιππος , Dexippum patrem illi tribuit. — 3. Vid. Bœckh. ad Inscr. — 4. Hanc rei gestæ seriem , paululum ab illa diversam , quam Gibbonus, nunquam sine honoris præfatione nominandus, excogitavit , nunc demum , editis ab ill. Maio excerptis de sententiis (fr. 23) constituere licet. » — 5. In eclogis quas ill. Maius edidit., Coll. Vat. II, p. 240. — 6. Eunapius Vita Porphyrii in f. — 7. Cod. 82. — 8. Eunapius in Hist. (v. infra p. 671). Idem Vita Porph. l. 1. — 9. s. v. Ἔλουροι. — 10. Gordian. 2. — 11. De histor. Græc. p. 242. — 12. Præf. ad coll. Vatic. II. p. XXVIII.

dem perspicue loquentem dicat, quæ mira est viri prudentis a vero aberratio. Nemo enim in eo quicquam præter inanem degeneris ævi rhetorem agnoscet, ut mirum sit qui tam puerilia sectetur, inter res arduas positum, magna gessisse. »

DE DEXIPPO TESTIMONIA.

Corp. Inscr. tom. I, p. 439, N° 380. Inscriptio Athenis reperta prope fontem, in basi marmorea, quæ olim statuam sustinuerat Q. Epicteti, postea sublatam.

Κατὰ τὸ ἐπερώτημα τῆς ἐξ Ἀρείου πάγου βουλῆς καὶ τῆς βουλῆς τῶν ΨΝ καὶ τοῦ δήμου τῶν Ἀθηναίων, τὸν ἄρξαντα τὴν τοῦ βασιλέως ἐν Θεσμοθέταις ἀρχὴν, καὶ ἄρξαντα τὴν ἐπώνυμον ἀρχὴν, καὶ πανηγυριαρχήσαντα καὶ ἀγωνοθετήσαντα τῶν μεγάλων Παναθηναίων, οἴκοθεν ἱερέα παναγῆ, Πόπλιον Ἑρέννιον Δέξιππον Πτολεμαίου Ἕρμειον, τὸν ῥήτορα καὶ συγγραφέα, ἀρετῆς ἕνεκα οἱ παῖδες.

Ἀλκῇ καὶ μύθοισι καὶ ἐν βουλαῖσι κρατίστους
  Ἄνδρας ἀγακλειτοὺς γείνατο Κεκροπίη·
Ὧν ἕνα καὶ Δέξιππον, ὃς ἱστορίην ἐπαθρήσας
  Αἰῶνος δολιχὴν ἀτρεκέως ἔφρασεν.
Καὶ τὰ μὲν αὐτὸς ἐπεῖδε, τὰ δ' ἐκ βίβλων ἀναλέξας
  Εὕρατο παντοίην ἱστορίης ἀτραπόν.
Ἦ μέγα κλεινὸς ἀνὴρ, ὃς νοῦ ἄπο μυρίον ὄμμα
  Ἐκτείνας, χρονίους πρήξιας ἐξέμαθεν.
Φήμη μὲν περίβωτος ἀν' Ἑλλάδα, τὴν ὁ νεανθὴς
  Αἶνος Δεξίππῳ δῶκεν ἐφ' ἱστορίῃ.
Τοὔνεκα δὴ καὶ παῖδες ἀγακλειτὸν γενετῆρα
  Μορφήεντα λίθον θῆκαν ἀμειβόμενοι.

« Statua hæc superstiti posita videtur ab ipsius filiis, non a pueris Atticis, ut erat qui putaret. Hinc v. 11 : παῖδες ἀγακλειτὸν γενετῆρα. Dux exercitus fuisse in hoc titulo non dicitur, licet in priore parte ejus honores accurate enumerentur : igitur hic titulus illo anno videtur vetustior esse, contra quam Corsino visum est. Senatus nunc est virorum DCCL, quod novum prorsus : lectio tamen verissima est. Post Claudium, atque, ut ego arbitror, inde ab Hadriano, institutis tredecim tribubus, senatus ad pristinum D numerum, additis paucis praeterea aliis, redactus est, quod multi testantur tituli, et ex Pausania quoque colligitur (I, 3, 4) : postea cur auctus sit numerus, nescimus. — Mox formula ἄρξαντα... ἀρχὴν docet universum archontum collegium thesmothetarum nomine venisse ea ætate. — Herennius hereditarium sacerdotium habuit, quod ex Cerycum gente fuit. Cf. De Herenniis N° 190, et nota N° 353 Herennium hierocerycem esse Ἕρμειον, ut noster Dexippus est Ἕρμειος. De versibus cf. Jacobs. in Animadv. ad utramque Anthologiæ editionem. » Boeckh.

Suidas : Δέξιππος, Δεξίππου, ὁ Ἑρέννιος χρηματίσας, Ἀθηναῖος ῥήτωρ, γεγονὼς ἐπὶ Βαλεριανοῦ καὶ Γαλλιηνοῦ καὶ Κλαυδίου δευτέρου καὶ Αὐρηλιανοῦ, τῶν βασιλέων Ῥωμαίων.

Trebellius in Gallien. c. 23 : *Gotthi Cyzicum et Asiam, deinceps Achaiam omnem vastarunt et ab Atheniensibus duce Dexippo, scriptore horum temporum, victi sunt.*

Photius cod. 82 : Ἀνεγνώσθη Δεξίππου τὰ μετὰ Ἀλέξανδρον, ἐν λόγοις τέσσαρσιν. Ἀνεγνώσθη δὲ αὐτοῦ καὶ ἕτερον σύντομον ἱστορικὸν, μέχρι τῆς Κλαυδίου ἐπιτρέχον τὰς κεφαλαιώδεις πράξεις βασιλείας. Ἀνεγνώσθη δὲ αὐτοῦ καὶ τὰ Σκυθικὰ, ἐν οἷς αἱ Ῥωμαίων αὐτῷ καὶ Σκυθῶν ἀναγράφονται πρὸς ἀλλήλους μάχαι τε καὶ ἀξιόλογοι πράξεις. Ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ ὄγκῳ καὶ ἀξιώματι χαίρων, καὶ (ὡς ἄν τις εἴποι) ἄλλος μετά τινος σαφηνείας Θουκυκίδης, μάλιστά γε ἐν ταῖς Σκυθικαῖς ἱστορίαις.

Diversorum Dexipporum, ut videtur, scripta confundit Tzetzes Chil. IX, 274 :

Δέξιππος ὁ φιλόσοφος, μύστης ὢν Ἰαμβλίχου
πολλὰ μὲν συνεγράψατο καὶ ἕτερα βιβλία,
ὧν τῷ ἑνὶ ἐνέτυχον τῷ εἰς Κατηγορίας·
ἔγραψε δὲ καὶ Σκυθικὰ, ἃ μέχρι νῦν οὐκ οἶδα,
καὶ ἕτερα ὡς εἴρηκα· μόνον τὸ ἓν δ' ἀνέγνων.

Cf. Maius in Collect. Nov. Vatic. tom. II, p. 346 not.

Eunapius in Vit. Porphyrii sub fin. : Τοὺς χρόνους (τοῦ Πορφυρίου βίου) ἐς Γαλλιηνὸν καὶ Κλαύδιον εἰκάζειν συνέβαινεν, Τάκιτόν τε καὶ Αὐρηλιανὸν καὶ Πρόβον· καθ' οὓς ἦν καὶ Δέξιππος ὁ τὴν Χρονικὴν ἱστορίαν συγγράψας, ἀνὴρ ἁπάσης παιδείας τε καὶ δυνάμεως λογικῆς ἀνάπλεως.

Eunapii De Chronicis Dexippi locum vide in fragmentis.

ΤΑ ΜΕΤΑ ΑΛΕΞΑΝΔΡΟΝ.

1.

Photius cod. 82 : Ἄρχεται δὲ (sc. Δέξιππος) ἐν τοῖς μετὰ Ἀλέξανδρον ἀπ' αὐτῆς τῆς τοῦ βασιλέως τελευτῆς, καὶ διέξεισιν ὅπως εἰς τὸν ἀδελφὸν Ἀλεξάνδρου τὸν Ἀριδαῖον, ὃς ἦν ἐκ Φιλίνης τῆς Λαρισσαίας τῷ Φιλίππῳ γεγεννημένος, ἡ τῶν Μακεδόνων ἀρχὴ πε-

RES SUCCESSORUM ALEXANDRI.

1.

Rerum post Alexandrum gestarum narrationem Dexippus ab ipso regis excessu inchoat; refertque ut ad Alexandri fratrem Aridæum (qui ex Philine Larissæa Philippo natus fuerat) Macedonum regnum devenerit; ad illum,

ριέστη εἰς αὐτόν τε καὶ εἰς τὸν μέλλοντα Ἀλεξάνδρου παῖδα τίκτεσθαι ἐκ Ῥωξάνης (ἐν γαστρὶ γὰρ ἔχουσα καταλέλειπτο) καὶ εἰς τοὺς ἀμφὶ Περδίκκαν, οἳ κρίσει τῶν Μακεδόνων ἐπετρόπευον αὐτοῖς τὴν ἀρχήν. Διέξεισι καὶ ὅπως ἡ τοῦ Ἀλεξάνδρου διενεμήθη ἀρχή. Τὰ μὲν οὖν τῆς Ἀσίας οὕτω· Πτολεμαῖος ὁ Λάγου Αἰγύπτου πάσης καὶ Λιβύης καὶ τῆς ἐπέκεινα γῆς, ὁπόση Αἰγύπτῳ συνάπτει, ἄρχειν ἐτάχθη· ὁ δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ ἐπὶ τῇ σατραπείᾳ ταύτῃ τεταγμένος Κλεομένης ὕπαρχος Πτολεμαίῳ ἀποκατέστη. Λαομέδων δὲ ὁ Μυτιληναῖος Σύρων ἡγεῖσθαι ἀπεφάνθη, καὶ Φιλώτας μὲν Κιλικίας, Πίθων δὲ Μηδίας, Εὐμένης δὲ Καππαδοκίας τε καὶ Παφλαγονίας καὶ τῶν ἐπὶ τὸν Εὔξεινον πόντον κατιόντων μέχρι καὶ εἰς Τραπεζοῦντα, Ἀντίγονος δὲ Παμφυλίων καὶ Κιλίκων μέχρι Φρυγίας, Καρῶν δὲ Ἄσανδρος, Μένανδρος δὲ Λυδῶν, Λεώνατος δὲ τῆς ἐφ' Ἑλλησπόντῳ Φρυγίας. Καὶ τῶν μὲν Ἀσιανῶν οὕτω· τῶν δ' Εὐρωπαίων Θράκης μὲν καὶ Χερρονήσου Λυσίμαχος, Ἀντίπατρος δὲ ἐπὶ πᾶσι Μακεδόσι καὶ Ἕλλησι καὶ Ἰλλυρίοις καὶ Τριβαλλοῖς καὶ Ἀγριᾶσι καὶ ὅσα τῆς Ἠπείρου ἐξέτι Ἀλεξάνδρου στρατηγὸς αὐτοκράτωρ ἐτέτακτο. Τὴν δὲ κηδεμονίαν καὶ ὅση προστασία τῆς βασιλείας Κράτερος ἐπετράπη, ὃ δὴ πρώτιστον τιμῆς τέλος παρὰ Μακεδόσι· Περδίκκας δὲ τὴν Ἡφαιστίωνος χιλιαρχίαν. Ἦσαν δὲ ἄρχοντες Ἰνδῶν μὲν ἁπάντων Πῶρος καὶ Ταξίλης· ἀλλ' ὁ μὲν Πῶρος οἱ ἐν μέσῳ Ἰνδοῦ ποταμοῦ καὶ Ὑδάσπου νέμονται, Ταξίλης δὲ τῶν λοιπῶν. Πίθων δέ τις τῶν τούτοις ὁμόρων ἡγεῖτο, πλὴν Παροπαμισαδῶν. Οἱ δὲ συνάπτοντες Ἰνδοῖς, ὅσοι ὑπὸ τοῖς Καυκασίοις ὄρεσι νέμονται, Ὀξυάρτῃ τῷ Βακτρίῳ, ὃς ἦν Ῥωξάνης πατήρ, εἰς ἀρχὴν ἀπενεμήθησαν· ἧς ἐτέχθη παῖς μετὰ τὸν τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον, ᾧ τὸ Μακεδόνων πλῆθος τοῦ πατρὸς τὴν προσηγορίαν Ἀλέξανδρον ἔθεντο. Ἀραχωσίων δὲ καὶ Γαδρωσίων ἐπῆρχε Σιβύρτιος, καὶ Στασάνωρ ὁ Σόλιος Ἀρείων καὶ Δράγγων ἡγεῖτο. Φιλίππου δὲ ἦν ἀρχὴ Σογδιανοὶ καὶ Ῥαδαφέρνους (l. Φραταφέρνους) Ὑρκανία καὶ Νεοπτολέμου (deb. Τληπολέμου) Καρμανία. Πέρσαι δὲ ὑπὸ Πευκέστῃ ἐτάχθησαν. Τὴν δὲ Σογδιανῶν βασιλείαν Ὀρώπιος (?) εἶχεν, οὐ πάτριον ἔχων ἀρχήν, ἀλλὰ δόντος αὐτοῦ Ἀλεξάνδρου· ἐπεὶ δὲ τύχη τις αὐτῷ συνέπεσεν, ἐπαναστάσεως αἰτίαν φεύγοντι, παραλυθῆναι τῆς ἀρχῆς, τότε κοινῶς (ἐκεῖνος?) αὐτῶν τὴν ἀρχὴν εἶχε. Βαβυλωνίων δὲ καὶ τῆς μέσης τῶν ποταμῶν Τίγρητος καὶ Εὐφράτου, τῶν μὲν Σέλευκος, τῆς δὲ Μεσοποταμίας Ἀρχέλαος ἦρχε. Τοσόσδε ἀριθμὸς ἐθνῶν τε καὶ ἔθνεσιν ἀρχόντων ἦν, ὅτε Περδίκκας μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τὰς ἀρχὰς ἔνειμε. Καὶ τὰ ἄλλα διέξεισιν ἐν πολλοῖς, ὡς κἂν τούτοις Ἀρριανῷ κατὰ τὸ πλεῖστον σύμφωνα γράφων. De re v. Droysen. *Hellenism.* tom. I, p. 48 sqq.

Cf. Schol. Lucian. p. 19 ed. Jacobitz. : Περδίκκας, Πτολεμαῖος καὶ Σέλευκος] Οὗτοι οἱ τρεῖς διάδοχοι ἦσαν Ἀλεξάνδρου, καὶ ὁ μὲν Περδίκκας συνδιῴκει Ἀριδαίῳ τῷ βασιλεύοντι μετ' Ἀλέξανδρον, ἀσθενεῖ ὄντι, τὴν βασιλείαν, ὁ δὲ Πτολεμαῖος ἦρχεν Αἰγύπτου, καὶ Σέλευκος τῶν περὶ Βαβυλῶνα τόπων, ὡς ἱστορεῖ Δέξιππος.

2.

Exc. Vatican. De sentent. (cod. p. 81. 82. 101. 102) p. 319-323 ed. Mai., p. 29-24 ed. Niebuhr. in Corp. Scr. Byz. tom. I : *** τὸ αὔχημα,

---

inquam, et Alexandri filium, qui exspectabatur de Roxane, quæ prægnans relicta fuerat, itemque ad Perdiccam et socios, qui Macedonum decreto pro dictis regibus imperium procurabant. Narrat deinceps, ut Alexandri regnum sit divisum. Asiæ quidem hoc modo : Ptolemæo Lagi filio totius Ægypti et Libyæ et omnis ultra hanc regionis Ægypto adjacentis imperium datum : Cleomenes vero, ab Alexandro rege huic satrapiæ impositus, vicariam Ptolemæo præstare operam jussus est. Laomedon Mytilenæus Syriam tenuit; Pithon vero Mediam; Eumenes Cappadociam et Paphlagoniam gentesque ad Pontum Euxinum sitas usque ad Trapezuntem. Antigonus Pamphyliis et Cilicibus præfectus est usque ad Phrygiam; Asandro Cares obvenerunt, Lydi Menandro. Leonatus Phrygiam Hellesponticam obtinuit. Atque ita quidem Asia distributa. In Europa vero Thracia et Chersonesus Lysimacho cessit; Antipater præfuit universæ Macedoniæ et Græciæ, Illyriis item et Triballis atque Agrianis, iisque omnibus, quibus in Epiro fuerat ab Alexandro adhuc superstite cum summa potestate imperator præpositus. Curatoris porro officium quæque ad regiam pertinebant tutelam, Cratero mandata, quod summum est apud Macedones dignitatis culmen. Perdiccas Hephæstionis chiliarchiam tenuit. Indorum omnium præfecti Porus et Taxiles fuere. Ac Poro quidem quæ Indum inter et Hydaspem fluvios jacent, Taxilo vero reliqua sunt attributa. Pithon quidam horum finitimis imperavit, exceptis Paropamisadis. Qui vero Indis contermini sunt sub Caucasiis montibus incolentes, Oxyartæ Bactriano, Roxanes patri, obtigerunt. Hac Roxane filius natus est, post Alexandri patris obitum, quem æque parentis nomine Alexandrum Macedones appellarunt. Arachosiis et Gedrosiis Sibyrtius præfuit. Stasanor Solensis apud Arios et Drangos regnavit. Philippus Sogdianis imperavit, ut Radaphernes (*Phrataphernes*) Hyrcaniæ, et Neoptolemus (*Tlepolemus*) Carmaniæ. Persæ Peucestæ paruerunt; Sogdianorum regnum Oropius tenuerat, non a patre relictum, sed ab Alexandro acceptum; qui postquam in eam calamitatem incidit, ut perduellionis reus regno exuendus esset, tum ille (*Philippus*) imperium Sogdianorum obtinuit. Babyloniorum vero ejusque regionis, quæ media Tigrim inter et Euphratem fluvios sita est, ita distributum imperium, ut illis quidem Seleucus, Mesopotamiæ vero Archelaus imperaret. Hic itaque gentium eorumque præfectorum recensus, ubi Perdiccas post Alexandri excessum regna distribuit. Reliqua quoque, sicuti hæc, fuse persequitur Dexippus, in plerisque cum Arriano consentiens.

2.

*** quam nacta est gloriam non diminuens, sed præter-

ὃ κέκτηται μὴ καταλύσασα, πρὸς δὲ τῷδε καὶ ἄρχειν ἑτέρων δικαιοῦσα, καὶ γινώσκουσα ὡς πολυπραγμοσύνῃ μὲν βεβαιοῦται ἀρχὴ πᾶσα, ἀπραγμοσύνῃ δὲ φθείρεται· ἕλοιτό τε ἂν οὐδαμῶς τις, ἀνδρὶ ἐοικὼς προτιμᾶσθαι ἑτέρων ἀξιοῦντι καὶ μεῖζον ἐς τὸ κοινὸν φρονεῖν, καταλύειν εἰς ἑαυτὸν τὴν κοινὴν εὔκλειαν, εἰ μὴ τῷ συμβάντι ἐξωσθῇ (Nieb., ἐξισώσθη cod.). Μηδὲ τὸν μὲν ἀντίπαλον δόξαι ἐπιθεραπεύειν (δόξαιτε θερ.? Nieb.), παρορᾶν δὲ τό τε ἡμέτερον (ὑμ.? N.) φρόνημα καὶ τὴν ἐκ τοῦ θεοῦ ὑπουργίαν, ἣν χρὴ πεύσαντες (ἢ χρὴ πιστεύσαντας? Bekk.) δι' αὐτῶν νοήσασθαι· περιέσται γὰρ ὑμῖν τὸ τῆς δαιμονίας σπουδῆς μὴ ἀναξίους φανῆναι, καὶ τά τε ἕτοιμα ἐς τὸ ὑπακούειν οἰκειώσασθαι, καὶ τὰ ἔτι μέλλοντα σὺν ἐκπλήξει τοῦ ἀδήλου προσάγεσθαι. Σωφροσύνη δὲ ἀνδρῶν τοῖς τε ἐκ τῆς τύχης προφαινομένοις εὖ χρήσασθαι, καὶ ἅμα συνέσει ἐς τὰς πράξεις ἰόντας μὴ παριέναι τῶν κοινῶν τὸ ἐφεστηκὸς, μηδὲ μεταστάντων εἰς μεταμέλειαν ἥκειν τοῦ παροφθέντος. Ἀρετὴ ἡ μὲν πρωτίστη ἐν τῷ τὰ κράτιστα εὖ γνῶναι, δευτέρα δὲ ἡ ἐν ἔργοις. Ἀμφοῖν δὲ ὁ παρὼν καιρὸς δεῖται, καὶ τοῦ γε πράττειν ἑτοιμοτάτου, ὡς ἥ γε ἄνευ τοῦ προμηθοῦς σὺν τῷ ὀκνεῖν μέλλησις χρηστὸν μὲν οὐδὲν ἤνεγκε, τοὺς δὲ χρησαμένους πολλάκις ἐπ' οὐδενὶ μετρίῳ ἔσφηλε. Ταπειναὶ μὲν οὖν φύσεις οὐκ εὐπαράκλητοι ἐς σπουδὴν τῶν ἀρίστων, διότι παραδειγμάτων τε καλῶν ἀμοιροῦσιν ἰδίων τε καὶ πατέρων τῶν ἑαυτῶν, καὶ τῇ σφῶν μὲν ἀνανδρείᾳ ῥαθυμοτέραις κέχρηνται ταῖς ἐπιτηδεύσεσιν. Οἷς δὲ ἡ ἀρετὴ διά τε αὐτῶν καὶ προπατόρων ἐκτήθη, φόβου αἰσχύνης μᾶλλον ἢ ὄκνου ἐς τοὺς κινδύνους ἡττῶνται, καὶ ἐθελοντεὶ τὸν τῶν καλῶν πόνον ὑφίστανται.

β'. Ὅτι φέρει αἰσχύνην ὁμοίως θράσει τε ἀλογίστῳ τῆς μὴ προσηκούσης εὐκλείας ὀρέγεσθαι, καὶ διαδοχὴν ἔργων ἀρίστων ἀνανδρίᾳ ἐν ἑαυτῷ καταλῦσαι.

γ'. Ὅτι οὐ ταὐτὸν εὐβουλία καὶ ὄκνος· ὁ μὲν γὰρ σὺν τῷ περιδεεῖ διαμέλλει, ἡ δὲ τὰ κράτιστα ἑλομένη ὥρμησεν ἐς τὰ ἔργα.

δ'. Ὅτι τοῖς ἀνδρείᾳ χρωμένοις ἐς τὰ ἔργα τὸ θεῖον συνέπεται.

ε'. Ὅτι ἰσχυρότατον στάσις ταράξαι εὐεξίαν καὶ εὐταξίαν φθεῖραι πόλεώς τε καὶ στρατοπέδων. — Ἔνθα δὴ καὶ ἄλλα τῶν ἀνελπίστων ἄνθρωποι κατεργάζονται· τόλμῃ γὰρ πρὸ δυνάμεως πιστεύσαντες ἐπὶ τοῖς πολέμοις — τῶν ἀεὶ μοχθούντων. — Ἀνέγκλητοι δὲ σύμμαχοι, κἂν ἐλάττους ὦσιν, ἅμα προθυμίᾳ συμφορώτεροι ἢ πλήθει περιόντες, ὕποπτοι ὑπελείποντο.

ϛ'. Ὅτι τοὺς πραγμάτων μεγάλων προστασίαν ἐξ ἀρχῆς ἑλομένους οὐδὲ ἐθέλοντας ἔστι κινδύνων ἔξω καὶ πολέμων εἶναι· νομίζοντες γὰρ οἱ ἐν τῷ παρόντι ἰσχύοντες τῶν ἀρετῇ διαφερόντων οὐκ ἀκινδύνους τὰς ἡσυχίας, σὺν τῷ περιδεεῖ τοῦ μήποτε ὑπ' αὐτῶν ἀχθῆναι (ἀρχθῆναι? Bekk.), καὶ μὴ κινουμένοις ἐπέρχονται, βεβαιοτάτην σφίσιν ἀσφάλειαν εἶναι νομίζοντες, εἰ κἂν ταῖς δοκούσαις ἀπραγμοσύναις τὰ ἰσχυρὰ προκαταλήψονται. Ἄριστον δὴ τὸ μέλλον δέος ἔστω (ἔσω? B.) τοῦ παρόντος ἐν ἀσφαλεῖ θέσθαι, καὶ μὴ ἀναμείναντας προπαθεῖν κακῶς οὐκ ἀπὸ τοῦ ἴσου ἀμύνεσθαι· βέλτιον γὰρ τὸ μὴ συμβησόμενον προελπίσαντας φυλάξασθαι,

---

ea aliis quoque imperare contendens, ac probe gnara intento in multa studio omne regnum stabiliri, desidia autem subverti. Neque quisquam qui se ceteris antestare ac dignitate in rep. fulgere velit, publicam gloriam sua culpa imminui æquo animo feret, nisi rerum necessitate cogitur. — Neque adversario videamini obsequi, vestram autem confidentiam abjicere, deique etiam auxilium spernere, quo fretos bono animo vos esse oportet. Quippe reliquum vobis erit, ut ne divina cura indigni videamini, atque ut omnes, qui ad obediendum parati sunt, vobis adjungatis; eos qui cunctantur incertorum casuum metu, concilietis. Est autem humanæ temperantiæ, bonis a fortuna oblatis recte uti, simulque sapienter negotia tractando haud negligere futuram publicarum rerum sortem, neque, si res aliter ceciderint, rem omissam ægre ferre. Prima virtus est, quid optimum sit, recte dispicere; proxima in agendo versatur : utraque autem præsens tempus indiget, et præterea promptissimo opere. Nam agendi mora consilio destituta nihil utile efficiet; imo ii qui ita se gerunt, non mediocria detrimenta capere solent. Qui ergo humiliore loco nati sunt, haud facile ad studium rerum optimarum hortando impelluntur : carent enim illustribus exemplis, sive suis propriis sive parentum. Et hi quidem ob suam ignaviam socordius vitæ rationes instituunt; quibus vero et sua et majorum suorum virtus inest, ii in periculis timori magis turpitudinis, quam pigritiæ, obnoxii sunt, ultroque honestos labores excipiunt.

2. Æque turpe est stulta audacia incongruam gloriam appetere ac præclari operis exercitationem propria ignavia omittere.

3. Alia est matura deliberatio, alia segnities : namque hæc cum timore restitit, illa ubi optime decrevit, ad opus incumbit.

4. Audentes manumque operi admoventes deus adjuvat.

5. Nihil validius seditione est ad bonum publicum perturbandum, atque ad civitatis castrorumque ordinem subvertendum. — Hinc alia quoque insperata homines faciunt. Audacia enim potius quam viribus confisi in bellis — hominum semper ærumnosorum. Inculpati autem socii, etiamsi pauciores numero, tamen alacritate utiliores quam numero præstantes, ut suspecti deferebantur.

6. Qui semel magnarum rerum regimini præfuerunt, iis, ne si velint quidem, carere periculis bellisque licet. Etenim illi, qui præsenti potentia pollent, existimantes, intutam esse præclarorum virorum quietem, metuque perciti, ne summa rerum priventur, etiam ubi nullæ res novæ moventur, vigilant, atque ita firmissimam sibi securitatem fore existimant, si in pace quoque munitum, ut ita dicam, locum præoccupent. Optime autem facit, qui a futuro timore in præsentia cavet neque se patitur ante lædi, ne postea paribus viribus repugnare non possit. Præstat enim id etiam, quod futurum non est, præsentientem cavere, quam spe quietis ignaviam propriam fovere, præsentique

ἢ ἀπραγμοσύνης ἐλπίδι τὸ ἄνανδρον * αὐτὸν θεραπεύσαντας καὶ τὴν παροῦσαν ἀρχὴν ἀποθεμένους, ἐν τοῖς δεινοῖς ἀσθενείᾳ ἐνδοῦναι. Προφυλακὴ δὲ τοῦ μέλλοντος ἄδειαν κτᾶται.

ζ'. Ὅτι ἐν τοῖς πολέμοις μάλιστα αἱ τῆς τύχης πλεονεξίαι ἄλλοτε ἐπ' ἄλλους ὁρμὴν ἔχουσι, κατὰ τὸ ἀεὶ συμβαῖνον περιήκουσαι. Κάλλιόν τε ὑμῖν ὑπὲρ τοῦ ποιῆσαι μᾶλλον ἢ παθεῖν αἱρεῖσθαι τὸ ἀγώνισμα. Καλοῖς δὲ ἔργοις ἀεὶ συνέπεται καλὸς ἔπαινος, ὥς τά γε ἐναντία φήμην ἀναξίαν ὑμῶν ἔχει τῆς εὐκλείας. Ταῦτα τοῦ Ὑπερίδου.

[Suidas v. Ἐπιμᾶλλον : Δέξιππος· « Τῶν δέ τινων τοῖς Ὑπερίδου λόγοις ἐπιμᾶλλον ἀχθέντων. »]

η'. Ὅτι [οὐ] χρὴ ταῖς ἡδίσταις ἀκροάσεσιν ἀγομένους συνεῖναι ταῖς δυσχερείαις ἐπὶ τῶν πράξεων, ἀλλ' ἕως περ ἔστι τις ἄδεια, βουλῇ χρωμένους τὸ βέλτιον αἱρεῖσθαι, μηδὲ σφαλέντας μεταμέλειαν ἔχειν τοῦ γνωσθέντος. Ἀμαθία γὰρ οὐκ ἐπαινεῖται, διότι καὶ σφάλλεται· εὐβουλία τε ἄριστον, ἐπειδὴ ξύνεσίς ἐστι τοῦ μέλλοντος· τό τε γὰρ συμφέρον λογισμῷ ἐπέγνω, καὶ τὸ ἐναντίον προμαθοῦσα ἐφυλάξατο. Αἱ δὲ ὀξεῖαι καὶ ἀπερίσκεπτοι ἐγχειρήσεις ταχείας καὶ τὰς μεταμελείας ἤνεγκαν. Ἥ τε τῶν λόγων ἰσχὺς, ἐλπίδων μὲν καὶ ἐπιθυμιῶν νικηθεῖσα, ἐς μὲν τὴν παραυτίκα πειθὼ εὖ συγκεῖσθαι ἔδοξεν, ἔργῳ δὲ οὐ συνήνεγκεν. Ὀρέγεται δὲ εἰρήνη μὲν τοῦ εὖ γνῶναι, πόλεμος δὲ μάλιστα· κἂν τύχῃ μὲν τοῦ προσήκοντος, ἐλάχιστα ἢ οὐδὲν ἂν σφάλλοιτο, διαμαρτὼν δὲ πλείστῳ καὶ παντὶ χρῷτ' ἂν τῷ ἐναντίῳ. Παραινῶ δὲ τοῖς...

θ'. Ἐλπίσαμεν.. μη.. ἐπὶ μεγάλαις... εἰσαῦθις φιλίας διδόντες.

ι'. Ὅτι ἐν τοῖς.. πολέμοις τὸ μὲν χρηστὸν ἑτέρων, τὸ δὲ δυσχερὲς ἴδιον [τῶν] διακινδυνευο [όντων] γίνεται. Ἄμεινον δὴ.. ὑπερφρονήσαντας ἐκδέξασθαι.. πεῖραν. Εἰ δέ τις θράσει ἀλογίστῳ.. [ἰέ]ναι πρὸς πόλεμον ἡγεῖται, εἰ τὴν Ἀλεξάνδρου [συμ]φορὰν... σκεψάσθω τὸ.. πεῖραν φοβερόν.. καὶ τὴν.. παρασκευάζει.. δοκεῖ καὶ ὁ ἐπι.. το διαφερόντως.. κινδύνους εὔτολμος.. τι προμηθὲς μαλακίαν ἡγοῦντο... τὸ δὲ.. ὄντος καὶ ἡ δόξα.. πρὸς μὴ βουλόμενον ἐκ.. καὶ τὸν τοῦ ἐπικινδυν.. καὶ ἐκ τοῦ δὲ.. διότι οὗτος.. ῥώμῃ καὶ παρασκευῇ [ὑπὲρ] τῆς αὐτῶν ἐλευθερώσεως μείζονα ἀνθρωπίνης ἐλπίδος ἐννοήσαντες πρᾶξαι ἐπεχείρησαν. Ἀρετῇ γὰρ καὶ παρασκευῇ τῆς Μακεδόνων δυνάμεως ἀναμφιλόγως πάντας ἀνθρώπους ὑπερβαλλούσης, οἱ δὲ, καίπερ ἀρρωστίᾳ τῇ οἰκείᾳ οὐδὲ τῶν πολεμίων τοῖς προσοίκοις ἀξιόμαχοι νομιζόμενοι, προθυμίᾳ τῇ σφετέρᾳ καὶ πόθῳ τῆς παλαιᾶς εὐπραξίας ἐς τὸ ἂν τοῖς [ἀντιστῆναι? N.] Μακεδόσι κατὰ παρασκευὴν ὡρμήθησαν.. χρὴ δὲ.. μὲν προπαθόντας καὶ ὡς ἀπὸ τῆς ὁμοίου ἀ.. τοῖς.. νήσας καὶ δωρεὰς ἐοικυίας ἀντιδιδόναι καὶ ὑπο.. αὖθις ζήλῳ τῶν προσγενομένων ἐφεδρεύειν ἐν τῷ εὖ ποιεῖν.

ια'. Ὅτι πιστοῦται εὔνοια συμμάχων, μάλιστα δὲ τοὺς προϋπάρξαντας χάριτος, ἧς κα.. τοὺς τὴν μετουσίαν ἥξειν.. τῶν ὁμοίων ἐπὶ τὰς εὐεργεσίας τρέπονται· χρεῶσται.. τοῖς ἐπαγγελθεῖσι παρ' ἡμῶν ἤδη τιθέμενοι.. μὴ συναινεῖν· καὶ πρεσβευομένοις παρὰ τοὺς βασιλεῖς σπουδῇ πάσῃ συν.. ἡμῶν καὶ τῶν.. ελλει.. τὰ δὲ πλήθη ὡς τῶν τοῦτον.. πρέσβεων βουλομένοις τὴν εὐθὺς ἡκίστους ὄντες.. ἐφ' ἑαυτὸν..

ιβ'. Ὅτι οἱ δει.. συγχωρήσεως οὐ δεῖται.. σφετερωθέντες εἰ δοξάζετε.. τὸ αὐτὸ πεῖραν.. ἑτοίμως.. σοὶ δὲ γνώριμον.. ὃς ἐπιτάττομεν.. ὡς αὐτῶν πραγμάτων συμφορ.. κάλλιστα.. καιροῦ τυχοῦσιν καὶ εἰ.. σὺν μὲν τῷ.. τούτου βλαβερᾶς.. ἐπ' ἀμφοτέροις καὶ σὺν τῷ δικαίῳ καὶ ἅμα συμφέροντι.. ἀσφάλειαν βεβαίως ὄντες· πολέμου δὲ παρασκευὴ φυλακὴ εἰρήνης βεβαιοτάτη· τὰ γὰρ .. μέχρι τούτου οὐκ ἀν.. δὲν πράξειν.

ιγ'. Ὅτι.. οἱ κρατήσαντες ἡττηθῆναι...

Quæ leguntur § 1-7 petita sunt ex oratione Hyperidis, qua Athenienses, post nuntiatam mortem Alexandri, ad bellum contra Macedones suscipiendum excitavit. Quæ sequuntur § 8 ex Phocionis, ni fallor, oratione, qua dissuadebat bellum, deprompta sunt.

---

potentia omissa, quum mala deinde ingruerint, infirmitate laborare. Etenim futuri cautio securitatem parit.

7. In bellis præpotentia fortunæ modo huc modo illuc transgreditur, pro præsente semper eventu vices alternans. Ceteroquin honorificentius vobis erit, si ob faciendum, quam si ob patiendum aliquid, certamen susceperitis. Jam egregia facinora semper subsequitur clara laus, contraria autem facta indignam pariunt claritate vestri nominis existimationem. *Hæc sunt Hyperidis.*

[Dexippus ait : « Quum autem nonnulli Hyperidis verbis magis offenderentur. »]

8. Haud decet orationum suavitate seductum in rebus exsequendis difficultate laborare; sed donec aliqua tranquillitas est, deliberato consilio oportet meliora eligere, ne postea detrimentum passi rem præcognitam vana pœnitentia requiramus. Inscitia illaudabilis est, quia errore prolabitur : prudentia est optima, quia futuri præscia est, et quid sit utile, ratiocinando cognoscit, contrarium autem prævisum vitat. Subitanea atque inconsiderata incepta celerem pœnitentiam provocant. Eloquentiæ vis, si spei alicui vel cupiditati sit obnoxia, e vestigio quidem persuadere videtur, re vero ipsa non prodest. Pax bono consilio eget, multo vero magis bellum : in quo si quis verum providerit, rarissime aut nunquam offendit : qui secus facit, contraria plerumque sorte utitur. Hortor autem. . . . .

ΧΡΟΝΙΚΑ.

Eunapius (qui Dexippum continuavit) in Exc. De sent. p. 56 ed. Niebuhr. : Δεξίππῳ τῷ Ἀθηναίῳ κατὰ τοὺς Ἀθήνησιν ἄρχοντας, ἀφ' οὗ παρὰ Ἀθηναίοις ἄρχοντες, ἱστορία συγγέγραπται, προσαριθμουμένων τῶν Ῥωμαϊκῶν ὑπάτων καὶ πρό γε αὐτῶν ὑπάτων καὶ ἀρχόντων ἀρξαμένης τῆς γραφῆς. Τὸ δὲ ἐν κεφάλαιον τῆς ἱστορίας τὰ μὲν ἀνωτέρω καὶ ὅσα τὸ ποιητικὸν νέμεται γένος, ἐφεῖναι καὶ ἐπιτρέψαι τῷ πιθανῷ καὶ μᾶλλον ἀναπείθοντι τὸν ἐντυγχάνοντα, τὰ δὲ προϊόντα καὶ ἐπὶ πλέον μαρτυρούμενα συνενεγκεῖν καὶ κατακλεῖσαι πρὸς ἱστορικὴν ἀκρίβειαν καὶ κρίσιν ἀληθεστέραν. Βιάζεται γοῦν καὶ συναριθμεῖται τὸν χρόνον εἴς τε τὰς Ὀλυμπιάδας περιγράφων καὶ τοὺς ἐντὸς ἑκάστης Ὀλυμπιάδος ἄρχοντας. Πρόθυρα δὲ κάλλους ἀνάμεστα προθεὶς τῆς συγγραφῆς, καὶ προϊὼν τά τε ἔνδον ἐπιδείξας σεμνότερα, τὸ μὲν μυθῶδες καὶ λίαν ἀρχαῖον ἀφαιρεῖ, καὶ ἀφίησιν ὥσπερ φάρμακον παλαιὸν καὶ ἀδόκιμον εἰς τοὺς συντεθεικότας· Αἰγυπτίους δὲ χρόνους ἀναλεγόμενος καὶ συνωθούμενος ἐπὶ τὰ πρῶτα καὶ τελεώτερα (παλαιότερα conj. Bekk.) τῶν παρ' ἑκάστοις ἀρχῶν, τοὺς ἡγεμόνας καὶ πατέρας τῆς ἱστορίας ἐκτίθησιν, ἔνδηλος ὢν καὶ σχεδόν τι μαρτυρόμενος, ὅτι τῶν ἀπιστουμένων ἕκαστον ἕτερος προλαβὼν εἴρηκεν. Καὶ περιφέρει γε τὴν ἱστορίαν ἐκ πολλῶν καὶ παντοδαπῶν τῶν ταῦτα εἰρηκότων ὥσπερ ῥωπόν τι καὶ ποικίλον καὶ χρήσιμον εἰς ἓν μυροπώλιον τὴν ἰδίαν ἐξήγησιν κατακεκλεισμένην καὶ συνηγμένην. Πάντα δέ, ὅσα πρός τε τὸ κοινὸν ἁπάντων ἀνθρώπων ἀξιόλογα καὶ κατ' ἄνδρα δι' ἀρετὴν περιττοῦ τινος ὀνόματος τετυχηκότα, λάβρως ἐπιδραμὼν καὶ διαθέμενος τῷ λόγῳ, τελευτῶν εἰς Κλαύδιον καταλύει τὴν συγγραφήν, καὶ Κλαυδίου τῆς βασιλείας ἔτος τὸ πρῶτον, ἐς ὃ καὶ τῆς βασιλείας ἤρχετο καὶ ἐτελεύτα, ἐνιαυτὸν ἄρξας Ῥωμαίοις ἕνα· οἱ δὲ καὶ ἕτερον αὐτῷ χαρίζονται. Εἶτα Ὀλυμπιάδας καταλογίζεται τόσας καὶ τόσας καὶ ὑπάτους καὶ ἄρχοντας ἐπὶ ταύταις, τὴν χιλιάδα τῶν ἐτῶν ὑποβαλὼν, ὥσπερ ἀγωνιῶν, εἰ μὴ πολλῶν λίαν ἐτῶν ἀποδοίη λόγον τοῖς ἐντυγχάνουσιν.

Ἐγὼ δὲ ὁ τοῦτο τὸ ἔργον εἰς νοῦν βαλόμενος, ὑπ' αὐτοῦ Δεξίππου ταῦτα ἔχων ἐκδιδάσκεσθαι καὶ συλλαμβάνειν, ὅσος καὶ ἡλίκος ὁ κίνδυνος κατὰ τὸν ἐνιαυτὸν ἕκαστον ἱστορίαν γράφειν, καὶ πρὸς τοὺς ἐντυγχάνοντας ὁμολογεῖν, ὅτι ταῦτα οὐκ ἔστιν ἀληθῆ κατὰ τοὺς χρόνους, ἀλλὰ τῷ μὲν οὕτως, τῷ δὲ ἑτέρως ἔδοξε, καὶ περιφανῶς ἑαυτοῦ κατηγορεῖν, ὥσπερ ἐκεῖνος, ὅτι χρονικὴν ἱστορίαν γράφων πλανωμένην τινὰ καὶ μεστὴν τῶν ἀντιλεγόντων ὥσπερ ἀπρόεδρον ἐκκλησίαν ἐκτίθησι τὴν γραφήν, ὀξέως δὲ καὶ τῆς Βοιωτίας ἀκούων παροιμίας, ὅτι οὕτως αὐλεῖν οὐ πρέπει, κἀκεῖνα προσελογιζόμην, ὅτι τέλος ἱστορίας καὶ σκοπὸς ἄριστος τὰ πραχθέντα ὅτι μάλιστα δίχα τινὸς πάθους εἰς τὸ ἀληθὲς ἀναφέροντα γράφειν, οἱ δὲ ἀκριβεῖς λογισμοὶ τῶν χρόνων, ὥσπερ ἄκλητοι μάρτυρες αὐτομάτως ἐπεισιόντες, εἰς ταῦτα ὠφελοῦσιν οὐδέν. Pluribus in hanc sententiam disputatis, mox iterum Dexippi mentio fit in hisce : Κωλύει μὲν γὰρ ἴσως οὐδὲν καὶ περιττόν τι μαθεῖν, ἄλλως τε καί, ὥς φησιν αὐτὸς Δέξιππος, τῶν

CHRONICA.

Dexippus Atheniensis historiam composuit secundum seriem archontum Atheniensium, inde ab illis certe temporibus, a quibus esse apud Athenienses archontes cœperunt. Simulque cum iis etiam consules Romanos ex ordine adscripsit. Ceterum quum ante consulum et archontum tempora scriptum exordiatur, hoc unum maxime sibi proposuit historicus, ut antiqua nimis et quæ a poetarum gente traduntur, probabilitati suæ permittat et prout cuique lectori videbitur, esse sinat : posteriora autem, quæ testimoniis magis abundant, conferat ad historicam severitatem et sub verioris criticæ regulas redigat. Cogit igitur digeritque tempus juxta Olympiadum seriem juxtaque occurrentes in unaquaque Olympiade archontes. Jam pulcherrimo historiæ suæ procœmio proposito, pergit porro, et ipsum scripturæ corpus venustius adhuc ostendens, fabulosa quidem et prisca nimis resecat, atque apud horum auctores tanquam pharmacum vietum et reprobatum, otiosa esse sinit : Ægyptiaca vero tempora supputans atque ad antiquiores purioresque, qui sunt apud quamque gentem, fontes revocans, principes patresque historiæ in medium profert; plane demonstrans ac propemodum testimoniis comprobans, unumquodque ex his incredibilibus alium ex alio historico fuisse mutuatum. Ipse autem e multis et omnigenis, qui de his rebus scripserunt, historiam conficit; cinnum veluti varium et perhumum ad unicam pigmentarii officinam, ad suam videlicet narrationem, cogens atque cumulans. Omnia vero, quæ sive generatim inter homines illustria, sive singillatim ob alicujus virtutem præstante fama inclaruerunt, celeriter percurrens atque in suam lucubrationem adsumens, finem historiæ facit in Claudii anno primo, quo is regnum et auspicatus est et finivit, anno uno Romanis imperitans; quanquam nonnulli duos ei imperii annos largiuntur. Deinde Olympiadum numerum supputat et archontum consulumque, annorum chiliadem exhibens, laboriose admodum æstuans, nisi permultorum annorum lectoribus suis rationem reddiderit. Ego vero, qui de hoc opere lucubrando consilium cepi, ab ipso quidem Dexippo discere potui et cognoscere, quale quantumque periculum sit per annos singulos historiam deducere, ac porro lectoribus confiteri, hoc et illud secundum temporum rationem non vere esse dictum, sed aliis aliter esse visum, atque ita se ipsum perspicue coarguere, ut reapse Dexippo accidit, quod historiæ chronicæ quivis auctor fallacem quandam et plenam repugnantiarum, ceu concionem præside carentem, edit scriptionem : Bœoticum quoque proverbium auditurus, quod sic tibiis sonare non licet. Denique et illud mecum reputavi, finem historiæ scopum optimum esse, ut res gestæ, duce omnino veritate, absque ullo affectu scribantur : accuratos autem temporum calculos, si velut testes non advocati adsint, prædictæ rei nihil prodesse.

Nisi forte inania etiam discere animus fert; præsertim quum chronici scriptores, ut ait ipse Dexippus, vel omnes

μὲν χρονικῶν ἢ πάντων ἢ τῶν πλείστων διαπεφωνημένων, τῶν δὲ ὑπερόρων καὶ φανερῶν πράξεων συμπεφωνημένων.

3.

Syncellus p. 177, D : Ἡρακλειδῶν κάθοδος Ὕλλου τοῦ πρεσβυτέρου παιδὸς Ἡρακλέους ἡγουμένου τῆς κατὰ Πελοποννησίων μάχης, ἥτις ἐπεκράτησεν ἱκανοῖς ἔτεσι μεταξὺ Πελοποννησίων καὶ τῶν Ἡρακλειδῶν. Τότε Ῥόδος ἡ νῆσος οἰκίζεται παρὰ Λακεδαιμονίων, ὡς Δέξιππος (Ζεύξιππος Goar.) ἱστορεῖ, μετοικησάντων ἐκ Πελοποννήσου διὰ τὴν τῶν Ἡρακλειδῶν ἐπίθεσιν.

4.

Idem p. 263, D : Ἀλέξανδρος οὖν κ' ἄγων ἔτος, κατὰ Δέξιππον, πᾶσαν ἄσκησιν ἠσκημένος σωματικὴν, αὐτοῦ τε γνησιώτατος Ἀριστοτέλους γεγονὼς τοῦ δαιμονιῶντος φοιτητὴς, ἐπὶ τὴν πατρῴαν παρῆλθε βασιλείαν.

Antecedit apud Syncellum locus de majoribus Alexandri inde a Carano. Hunc quoque, sicuti ea quæ deinceps de Alexandro ipso, deque ejus successoribus usque ad eversum a Romanis imperium sequuntur, omnia e Dexippo fluxisse, a Syncello autem ex Eusebio petita esse censuit Scaliger, ideoque omnia hæc tanquam Dexippi excerpta in græcum suum Eusebium recepit. In Scaligeri autem arbitrio acquiescentes etiam hodie viri docti, qui hujus loci mentionem faciunt, Dexippum laudare solent. Id vero perperam fit. Ex Eusebio Armen. certo nunc constat locum Syncelli non esse petitum ex Eusebio. Comparatis autem inter se quæ de Macedonum regibus apud Syncellum et Eusebium leguntur, facile intelligitur utriusque narrationem ex eodem fonte derivari, adeo ut locis haud paucis singula verba apud utrumque legantur eadem. Hunc vero fontem Dexippum esse vel propterea negaveris, quod Eusebius (p. 195) data opera duces suos recensens, Dexippi mentionem non injecerit. Contra vero Porphyrium disertis verbis testatur suppeditasse sibi quæ de Alexandri in Macedonia successoribus tradidit. Ex eodem Porphyrio etiam ea fluxisse, quæ de majoribus Alexandri Eusebius et Syncellus exhibent, consentaneum est. Quanquam Syncellus sua non ex ipso Porphyrio sed ex Africano vel ex alio chronographo descripserit.

5.

Syncellus p. 334, C : Ἐν τούτοις τοῖς χρόνοις (sc. Claudii imperatoris) ἐφάνη τὸ ὄρνεον ὁ Φοῖνιξ, καθὼς ἱστοροῦσιν Αἰγύπτιοι, πρὸ χνδ (χν δὲ codd. A B) ἐτῶν φανεὶς, ὡς καὶ Δέξιππος συμφωνεῖ. Hæc alibi non traduntur, quantum scio. Numerus χνδ' corruptus fuerit. Fort. fuit χιλίων τετρακοσίων ἑξάκοντα. De phœnice ave quæ sub Tiberio an. 34 p. C. visa esse dicitur, v. Tacit. Ann. VI, 28.

E LIBRO DECIMO.

6.

Stephan. Byz. v. Δυρράχιον : Δέξιππος δὲ ἐν Χρονικῶν ι' φησὶν οὕτω· « Καὶ Μακεδόνων τὴν μὲν Ἐπίδαμνον, εἰς ὕστερον δὲ Δυρράχιον μετονομασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαίμονα οὖσαν, κατὰ κράτος αἱροῦσιν. Eadem e Stephano Constantinus Porphyr. De them. II, 9.

7.

Idem : Σουχχαῖοι, ἔθνος Μαυρούσιον, ὡς Δέξιππος Χρονικῶν δεκάτῳ. Nescio an horum *Succhæorum urbs Succabar* (Ζουχάβαρι Ptolem.), *colonia Augusta,* ap. Plinium V, 2, 1, et oppidum *Sugabarritanum* in Mauritania ap. Ammian. 29,5 (cf. Forbiger. *Geogr.* p. 878).

8.

E LIBRO DUODECIMO.

Idem : Ἕλουροι, Σκυθικὸν ἔθνος, περὶ ὧν Δέξιππος ἐν Χρονικῶν ιβ'.

---

vel certe plurimi invicem dissideant in rebus illustribus ac manifestis, quas per se ipsas in controversiam nemo revocat aut diffitetur.

3.

Heraclidarum descensus, Hyllo, seniore Herculis filio, belli adversus Peloponnesios duce. Quod quidem bellum per annos sat multos inter Peloponnesios et Heraclidas viguit. Tunc Lacedæmonii, Heraclidarum invasione afflicti, ut Dexippus auctor est, Peloponneso migrantes Rhodum insulam incolis frequentarunt.

4.

Alexander vicesimum agens annum... regnum paternum suscepit.

5.

His temporibus (Claudii I imperatoris) apparuit phœnix avis, ut Ægyptii fabulantur, quæ apparuerat etiam ante annos 654. Concinit etiam Dexippus.

6.

Dexippus Chronicorum libro decimo ita scribit : « Et Macedonum Epidamnum, quæ postea Dyrrhachium nominata est, urbem Macedoniæ magnam et opulentam, vi capiunt. »

7.

Succhæi, populus Maurus, ut Dexippus ait, Chronicorum libro decimo.

8.

Heluri (*Herules*) gens Scythica, de quibus Dexippus Chronicorum libro duodecimo.

9.

Lampridius in Alexandro Severo c. 49 : *Dexippus dicit eum* (Alexandrum Severum) *cujusdam Martiani filiam duxisse, eundemque ab eo Cæsarem nuncupatum : verum quum vellet insidiis occidere Alexandrum Martianus, detecta factione, et ipsum interemptum et uxorem abjectam. Idem dicit fuisse patruum Antoninum Heliogabalum Alexandri, non sororis uxoris ejusdem filium.*

Occidere Al. Martianus] « Tu vero lege Herodianum, qui invidia hujus facti atrocissimi Mammæam onerat. » *Casaub.* — *abjectam*] « in Africam relegatam. » *Idem.* — *fuisse patruum*] « Scimus hoc falsum : sed vellem exstarent græca Dexippi verba : nam fortasse illa quasi præteriens aut aliud agens legit Lampridius. » *Idem.*

10.

Jul. Capitol. in Gordianis c. 9 : *Appellato igitur Gordiano imperatore, juvenes qui auctores hujus facinoris erant, statuas Maximini dejecerunt, imagines perfregerunt, nomen publicitus eraserunt; ipsum etiam Gordianum Africanum appellarunt. Addunt quidam Africani cognomentum Gordiano idcirco inditum, non quod in Africa imperare cœpisset, sed quod de Scipionum familia originem traheret. In plurimis autem libris invenio et hunc Gordianum et filium ejus pariter imperatores appellatos, et Antoninos cognominatos; alii vero Antonios. Post hoc Carthaginem ventum cum pompa regali et fasciis laureatis; filiusque legatus patris, exemplo Scipionum, ut Dexippus Græcæ historiæ auctor ait, gladii potestate succinctus est.*

11.

Idem ib. c. 19 : *Cordus dixit uxorem eum* (Gordianum juniorem) *nunquam habere voluisse. Contra Dexippus putat ejus filium esse Gordianum tertium, qui post hoc cum Balbino et Pupieno sive Maximo puerulus adeptus est imperium.*

Id. c. 23 : *Dexippus quidem asseverat ex filio Gordiani tertium Gordianum esse natum.*

Idem ibid. c. 2 : *Gordiani non, ut quidam imperiti scriptores loquuntur, duo sed tres fuerunt, idque docente Arriano scriptore Græcæ historiæ, docente item Dexippo Græco auctore, potuerunt addiscere, qui, etiamsi breviter, ad fidem tamen omnia persecuti sunt.*

21.

Idem in Maximo et Balbino c. 1 : *Quum igitur duo consulares et eminentes quidem viri, Maximus et Balbinus* (*quorum Maximus a plerisque in historia reticetur, et loco ejus Pupieni nomen infertur, quum et Dexippus et Arabianus Maximum et Balbinum dicant electos contra Maximinum post Gordianos, quorum alter bonitate, virtute alter ac severitate, clari habebantur*) *ingressi essent curiam* etc.

Pro *Arabianus* lege *Arrianus*, uti est in c. 2 et 7. Scriptor hic, Dexippi, ut videtur, æqualis, (et fortasse Arrianus consul a. U. 995 sub Gordiano imp.) aliunde non notus est, nisi quod Euagrius (Hist. Eccles. V, 24), postquam dixerat Eusebium in Historia Romana ab Octaviano et Trajano progressum esse usque ad mortem Cari, addit : Γέγραπται δὲ περὶ τῶν χρόνων τούτων ἔνια Ἀρριανῷ τε καὶ Ἀσινίῳ Κουαδράτῳ.

Idem ibid. c. 15 : *Dexippus Græcorum scriptor Maximum et Balbinum imperatores dicit factos contra Maximinum post Gordianos duos et a Maximo victum Maximinum, non a Pupieno.*

Ibid. c. 7 : *Sane quod nullo in loco tacendum est, quum et Dexippus et Arrianus et multo alii Græci scripserunt, Maximum et Balbinum imperatores contra Maximinum factos, Maximum autem cum exercitu missum, et apud Ravennam bellum parasse, Aquileiam autem nisi victorem non vidisse : Latini scriptores non Maximum, sed Pupienum contra Maximinum apud Aquileiam pugnasse dixerunt, eundemque vicisse : qui error unde natus sit scire non possum, nisi forte idem est Pupienus qui et Maximus.* (Est M. Clodius Pupienus Maximus.)

13.

Jul. Capitolinus in Maximino jun. c. 6 : *Denique quum caput Maximini pilo circumferretur, et ex hoc ingens gaudium esset, prope par erat, quod et filii caput pariter portaretur. Addit Dexippus tantum odium fuisse Maximini, ut, interfectis Gordianis, viginti viros senatus crearerit, quos opponeret Maximino : e quibus fuerunt Balbinus et Maximus, quos contra eum principes fecerunt. Idem addidit in conspectu Maximini jam deserti a militibus Anolinum præfectum prætorio ipsius et filium ejus occisum.*

14.

Idem in Maximo et Balbino c. 16 : *Sub his pugnatum a Carpis contra Mœsos fuit, et Scythici belli principium et Histriæ excidium eo tempore; ut autem Dexippus dicit, Histricæ civitatis. Dexippus Balbinum satis laudat, et dicit forti animo militibus occurrisse atque interfectum; ut mortem non timeret : quem in omnibus disciplinis instructum fuisse dicit. Maximinum vero negat ejusmodi*

virum fuisse, qualem Græci plerique dixerunt. Addit præterea, contra Maximum Aquileiensium tantum odium fuisse, ut de crinibus mulierum suarum arcubus nervos facerent, atque ita sagittas emitterent. Dexippus et Herodianus, qui horum principum historiam persecuti sunt, Maximum et Balbinum fuisse principes dicunt delectos a senatu contra Maximinum post interitum duorum Gordianorum in Africa, cum quibus etiam puer tertius Gordianus electus est.

Cf. Euagrius Histor. Eccl. V, 24 : Καὶ Δεξίππῳ δὲ πλεῖστα περὶ τούτων πεπόνηται, ἀπὸ μυθικῶν ἀρξαμένῳ καὶ λήξαντι ἐς τὴν Κλαυδίου τοῦ μετὰ Γαλιηνὸν βασιλείαν· ᾧ συναπείληπται περὶ ὧν Κάρποι καὶ ἕτερα βάρβαρα ἔθνη κατὰ τὴν Ἑλλάδα καὶ Θράκην καὶ Ἰωνίαν διαπολεμοῦντες ἔπραξαν.

15

Trebellius in Triginta tyrannis c. 32 : *Docet Dexippus, Titum tribunum Maurorum, qui a Maximino inter privatos relictus fuerat, timore violentæ mortis, ut alii dicunt, invitum vero et a militibus coactum, ut plerique asserunt, imperasse, atque hunc intra paucos dies post vindicatam defectionem, quam consularis vir Magnus Maximino paraverat, a suis militibus interemptum. Imperasse autem mensibus sex.*

16.

Syncellus p. 376, A : Σκύθαι περαιωθέντες οἱ λεγόμενοι Γότθοι τὸν Ἴστρον ποταμὸν ἐπὶ Δεκίου πλεῖστοι τὴν Ῥωμαίων ἐπικράτειαν κατενέμοντο. Οὗτοι τοὺς Μυσοὺς φεύγοντας εἰς Νικόπολιν περιέσχον· Δέκιος δὲ ἐπελθὼν αὐτοῖς, ὡς Δέξιππος ἱστορεῖ, καὶ τρισμυρίους κτείνας ἐλαττοῦται κατὰ τὴν μάχην, ὡς καὶ τὴν Φιλιππούπολιν ἀπολέσαι ληφθεῖσαν ὑπ' αὐτῶν καὶ Θρᾷκας πολλοὺς ἀναιρεθῆναι. Ἐπανιοῦσι δὲ Σκύθαις ἐπὶ τὰ σφέτερα ὁ αὐτὸς Δέκιος ἐπιθέμενος ἀναιρεῖται ἐν Ἀβρύτῳ, τῷ λεγομένῳ φόρῳ Θεμβρωνίῳ, σὺν τῷ παιδὶ διὰ νυκτὸς ὁ θεομάχος. Οἵ τε Σκύθαι μετὰ πλείστων αἰχμαλώτων καὶ λαφύρων ἐπανέρχονται. Καὶ τὰ στρατόπεδα βασιλέα πάλαι τινὰ γενόμενον ὕπατον Γάλλον ἀναγορεύουσιν ἅμα Βολουσιανῷ τῷ Δεκίου παιδί· οἳ καὶ βασιλεύουσι, κατὰ Δέξιππον, μῆνας ιη' πράξαντες οὐδὲν ἀξιόλογον· κατὰ δὲ ἄλλους τινὰς ἔτη γ' καὶ καθ' ἑτέρους ἔτη β'. — Syncellus hæc, sicuti reliqua, procul dubio e Chronicis Dexippi, non vero ex Scythicis historiis, petivit.

16 a.

Cram. Anecd. Paris. II, p. 153, 20 : Μέχρι τούτου (i. e. usque ad Praxidamantem (Πρασιδάμας cod.) Alexandrinum, Olymp. 249 stadio victorem) τὴν τῶν Ὀλυμπιάδων ἀναγραφὴν εὕρομεν. Καὶ ὁ μὲν Εὐσέβιος ταῦτα. Ἄλλοι δὲ χρονογράφοι καὶ Δέξιππος ὁ Ἀθηναῖος καὶ τῶν ἐφεξῆς Ὀλυμπιάδων τῶν τε ἐν αὐταῖς νικησάντων μέμνηται. Ἀμέλει τὴν χρονικὴν ἱστορίαν ὁ Δέξιππος μέχρι τῆς διακοσιοστῆς ἑξηκοστῆς δευτέρας Ὀλυμπιάδος (269 p. C.) συγγράψας, Διονύσιον Ἀλεξανδρέα φησὶν ἐπὶ ταύτης νικῆσαι.

ΣΚΥΘΙΚΑ.

17.

Exc. De sentent. p. 323 ed. Mai., p. 21 ed. Niebuhr. : *** τύχας ἀνδρῶν καὶ καταστάσεις πόλεων καὶ ἐθνῶν νεωτερίζουσαι ἐλάττους τε ὁμοίως καὶ διαφερόντως περὶ εἰρήνην πόλεμον συμβαίνουσιν ἄγοντος τοῦ χρόνου μηδεμιᾶς· ἀλλὰ μετατρέποντος ἄλλη ἄλλους πρός τε τὸ ἄμεινον· καὶ μὴν τὰ γιγνόμενα ἐν τοῖς ἀνθρωπείοις ἄριστοι γνώμην (γνῶναι? B.) οἱ μὴ χαλεποὶ δέξασθαι τὰς ἐξαλλαγὰς τῶν ἡμερῶν καὶ χρόνων· μηδὲ ἐτῶν τούτους ὅσοι πολέμου τε καὶ στρατοπέδων ἐξηγοῦνται μνήμῃ προγενομένων ἔχειν ἐπὶ τὰ συμφορώτατα ἑκάστους καὶ τοῖς προσπίπτουσιν κακου.. της τῶν ἱστορηθέντων νεωτέρων τε καὶ παλαιοτέρων.. πρὸς δὲ τοὺς κατα..

κατ' ἀνθρώπους ἧς ἀπορῇ λύσις.. ἡ γὰρ ἰσχύοντας κατὰ τῶν τι.. τῷ συνενέχοντι ἐν.. η αποκνήμη.. ὡς ἀλίσχεσθαι δέον.

Corruptissima hæc ex præfatione operis petita esse videntur.

16.

Scythæ qui Gothi appellantur, Istro trajecto, Romanum imperium sub Decio multitudine sua depopulabantur. Hi Mœsos, qui Nicopolim confugerant, obsidione cinxerunt : sed Decius, ut ait Dexippus, impressione in eos facta, etsi triginta millia occidit, nihilominus prœlio inferior discessit, ita ut Philippopolim quoque ab iis captam amiserit, et magna Thracum multitudo perierit. Scythas autem qui in patriam se referebant persequens impius Decius circa Abrytum in loco quod Forum Thembronium dicitur, cum filio noctu trucidatur : quamobrem Scythæ cum magno captivorum atque exuviarum numero discesserunt. Exin exercitus Gallum exconsulem et Volusianum Decii filium imperatores crearunt : qui regnaverunt, ut ait Dexippus, menses octodecim, nullo insigni facinore edito; secundum alios regnarunt annis tribus, secundum nonnullos annis duobus.

16 a.

Usque ad Olymp. 249, qua Praxidamas vicit, Olympiades recensitas invenimus apud Eusebium. Alii chronographi inter eosque Dexippus sequentes quoque Olympiades nominaque eorum qui iis vicerunt, consignarunt. Et Dexippus quidem Chronica sua deduxit usque ad Olympiadem ducentesimam sexagesimam secundam, qua Dionysium Alexandrinum vicisse refert.

18.

Exc. De strategem. c. IV Ἐκ τῶν Δεξίππου. Πολιορκία Μαρκιανουπόλεως.

Μαρκιανούπολιν, τὸ δὲ ὄνομα Τραϊανοῦ τοῦ βασιλέως τὴν ἀδελφὴν ἐνδεδωκέναι τῇ πόλει λέγουσιν οἱ ἐγχώριοι· ταύτην δὴ οὖν τὴν πόλιν οἱ Σκύθαι ὡς δὴ κατὰ κράτος ἁλώσιμον εἶναι νομίσαντες, ἀπεῖχον μὲν τῆς εὐθὺ προσβολῆς, λίθους δὲ ὅτι πλείστους παρεφόρουν πρὸ τοῦ τειχίσματος, ὡς χύδην καὶ σωρηδὸν κατανενημένοις ἀφθόνως ὑπάρχειν χρῆσθαι· (2) ᾤοντο γὰρ φόνον τε πολὺν ἐπὶ τοῦ τείχους οὕτω συμβήσεσθαι, καὶ τῶν πολεμίων ἐν τῷ φυλάσσεσθαι μᾶλλον ἢ ἐν τῷ ἐπιχειρεῖν ὄντων, ῥαστώνῃ τὴν πόλιν αἱρήσειν. (3) Τοῖς δὲ ἐν τῷ ἄστει πάλαι τε παρεσκεύαστο ὅσα εἰς πολιορκίαν ἐπιτήδεια, καὶ Μάξιμος, ἀνὴρ γένος μὲν τῶν ἀπόρων μεταβου * φιλοσοφίᾳ δὲ ἄρα συζῶν, οὐ μόνον στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου ἀγαθοῦ ἔργα ἐν τῷ τότε ἕτοιμος ὢν ἐπιδείκνυσθαι, ἐπεθάρρυνέ τε ἑκάστους καὶ παρῄνει, (4) ὅτε δὴ ἐκ χειρὸς ἀκροβολίζοιντο οἱ πολέμιοι, τοῦ ἀμύνεσθαι ἀπεχομένους ὑπὸ ταῖς ἐπάλξεσιν ἱσταμένους ἔχειν σφῶν αὐτῶν φυλακήν, τάς τε ἀσπίδας προϊσχομένους καὶ ὅσα δύναται στέγειν καὶ ἀποκρούεσθαι τὰς τῶν ἐναντίων βολάς. (5) Ὡς δὲ ἱκανῶς ἔχειν ἐδόκει τοῖς βαρβάροις τῆς τῶν λίθων παρασκευῆς, ἀθρόοι περιχυθέντες ἐν κύκλῳ τὸ τεῖχος, οἱ μὲν ἀκόντια μεθίεσαν, οἱ δὲ λίθοις ἠκροβολίζοντο τοὺς ἐπὶ τῶν ἐπάλξεων, καὶ συνεχείᾳ [ἐχρῶντο] τῶν μεθιεμένων, ὡς χαλάζῃ τῇ πυκνοτάτῃ προσεοικέναι κατὰ τὸ ἐπάλληλον τῆς φορᾶς. (6) Οἱ δέ γε εἴσω τοῦ ἄστεως, σφᾶς τε αὐτοὺς κατὰ τὸ δυνατὸν καὶ τὸ τεῖχος ἐφύλασσον· ἀπεῖχον δὲ τοῦ ἀμύνεσθαι, ἧπερ αὐτοῖς προσετέτακτο. (7) Ὡς δὲ ἐπ' οὐδενὶ ἔργῳ λαμπρῷ ἥ τε τῶν λίθων ἐκενώθη τοῖς βαρβάροις παρασκευή, καὶ ὅσα ἐκ χειρὸς ἢ ἀπὸ τόξου ἀκόντια, ἥ τε ἐλπὶς αὐτοῖς τοῦ σὺν οὐδενὶ πόνῳ τὴν πόλιν αἱρήσειν ἀνάλωτο, ἀθυμίᾳ δὴ εἴχοντο, καὶ τῶν στρατηγῶν ἀνακαλεσάντων ἀπήεσαν, οὐ πόρρω τῆς πόλεως τὴν στρατοπεδείαν ποιούμενοι· καὶ γὰρ ἦν τῆς ὥρας ἀμφὶ ἡλίου δυσμάς. (8) Διαλιπόντες δὲ ἡμέρας οὐ μάλα συχνὰς καὶ ἐπελθόντες αὖθις καὶ περιστάντες ἐν κύκλῳ τὸ τεῖχος ἠκροβολίζοντο· ὅτε δὴ Μάξιμος τοῖς ἐν τῷ ἄστει καιρὸν εἶναι τῆς ἐπιθέσεως ἐπηγγέλλετο. (9) Γίνεται δὴ οὕτω· καὶ ἀναθαρρήσαντες διὰ τὴν ἐν τῇ προτέρᾳ τῶν βαρβάρων ἄπρακτον ἀναχώρησιν, βοήν τε ἦραν καὶ λίθους καὶ ἀκόντια, ὡς εἶχον, μεθίεσαν· (10) οἱαδηοῦν πυκνῶν ἀλλήλοις ἐφεστηκότων τῶν βαρβάρων καὶ διὰ τὸ ἀπροσδόκητον τοῦ ἀντίπαλον ἂν σφίσιν ἄνωθέν τι ἀπαντῆσαι οὐκ ἐς τὸ ἀκριβὲς πεφραγμένων, [πρὸς δὲ καὶ ἀθρόαις ταῖς βολαῖς, καὶ ταῦτα ἐκ μετεώρου βαλλομένων,] καὶ διὰ τὸ πλῆθος τῶν ἐναντίων, οὐδὲ ἐθέλοντας ἦν ἁμαρτεῖν τοὺς ἀπὸ ἄστεως. (11) Βιαζόμενοι δὴ οὖν οἱ Σκύθαι καὶ μὴ ἀντιδρᾶν ἔχοντες τοὺς Μυσούς, διά τε τὰς ἐπάλξεις καὶ τὴν ἐκ τῶν θυρῶν χαιροφυλακήν, ἀπαγορεύοντες πρὸς τὰς πληγάς, καὶ ὡς οὐκ ἦν αὐτοῖς περαιτέρω καρτερεῖν, ἀνεχώρησαν ἄπρακτοι.

DE BELLO SCYTHICO.

18.

Ex Dexippi Historiis. Obsidio Marcianopolis.

Marcianopoli urbi a Trajani imperatoris sorore *Marcia* nomen inditum esse indigenæ dicunt. Hanc igitur urbem quum vi capi posse Scythæ (*i. e. Gothi*) putarent, non continuo tamen in muros impetum fecerunt, verum lapides quamplurimos ante mœnia contulerunt, qui passim acervatimque cumulati largam usibus copiam suppeditarent. (2) Etenim opinabantur et cædem in mœnibus collocatorum ingentem eo modo futuram, et hostibus ad tuendum se ipsos magis quam ad aggrediendum obsessores intentis, urbem se facili negotio expugnaturos esse. (3) Oppidani vero jam antea quæcumque ad obsidionem sustinendam necessaria essent apparaverant, atque Maximus, vir genere quidem e pauperum (?) familia oriundus, studiis vero philosophiæ innutritus, non solum ducis munere, sed etiam militis egregii officio fungi tunc paratus, animos singulorum erigebat et confirmabat, eosque hortabatur, (4) ut, dum eminus hostes jacularentur, ipsi a propugnando abstinerent, sed tuerentur se pinnis murorum scutisque prætentis, et si quibus aliis muniri corpora ac retundi hostium missilia possent. (5) Jam ubi lapidum copiam sufficientem coacervasse sibi Scythæ videbantur, confertim circa mœnia circumfusi partim jaculis partim lapidibus collocatos in propugnaculis petebant, tantaque missilium crebritas erat et continuitas, ut grandini densissimæ foret æquiparanda. (6) Oppidani vero et murum et se ipsos, quantum ejus fieri poterat, salvos præstabant, a propugnando autem, prouti jussum erat, abstinebant se. (7) Itaque quum absque ullo emolumento lapidum apparatus et reliquorum copia telorum, quæ manu vel arcu emittuntur, exhausta Scythis essent, atque spes urbis nullo labore capiendæ evanuisset, despondere animos cœperunt. Quare a ducibus revocati abierunt, nec procul ab urbe castra metati sunt : jam enim ad finem dies vergebat, sole occidente. (8) Intermissis deinde diebus haud ita multis, de novo aggressi ac murum undique circumsistentes, velitationem instaurarunt. Tum vero Maximus adesse oppidanis nuntiat propugnandi hostis opportunitatem. (9) Igitur impetum faciunt, ac fiduciam assumentes ex eo, quod in priori aggressione barbari re infecta recesserant, sublato clamore bellico, lapides et jacula prout quisque poterat temere in hostem intorquent. (10) Videlicet quum conferti et conglobati inter se barbari adstarent, et propterea, quod desuper hostile quiddam iis venturum minime exspectabant, non satis corpora muniissent, [præterea etiam crebris ictibus et quidem desuper peterentur,] denique ingens esset hostium multitudo : fieri omnino non potuit, ut vel volentes oppidani irritum telum aliquod emitterent. (11) Ita quum Scythæ opprimerentur et par pari Mysis referre nequirent propter pinnarum tutamina scutorumque præsidia opportuna, fatentes se diutius non posse ictus sustinere, re infecta abscesserunt.

Excerpta hæc De strateg. ex codice Sanctæ Lauræ, in Atho monte monasterii, descripsit Minoydes Minas, primumque edidimus ad calcem Josephi tom. II. — 1. Cf. quæ leguntur apud Jornandem De reb. Get. c. 16 : *Qui* (Gothi) *ductu Ostrogothæ regis mox Danubium vadati et secundo Mœsiam populati, Marcianopolim ejusdem patriae urbem famosam metropolim aggrediuntur diuque obsessam accepta pecunia ab his qui inerant, reliquere* (sec. Dexippum Gothi ἀπαγορεύοντες ἀνεχώρησαν ἄπρακτοι). *Et quia Marcianopolim nominavimus, libet aliquot de ejus situ breviter intimare. Nam hanc urbem Trajanus imp. hac re ædificavit, ut fertur, eo quod Marciæ sororis suæ puella, dum lavat in flumine illo, quod nimiæ limpiditatis saporisque in media urbe oritur, Potami cognomento, exindeque vellet aquam haurire, casu vas æneum, quod ferebatur, in profundum cecidit, metalli pondere gravatum, et longe post emersit : quod certe non erat usitatum, aut vacuum sorberi aut certe semel voratum undis respuentibus renatare. His Trajanus sub admiratione compertis, fontique numinis quiddam inesse credens, conditam civitatem germanæ suæ nomine Marcianopolim nominavit.* ἀπεῖχον μὲν] Dübner.; ἐπεῖχον μὲν cod. — κατανενημένοις] Dübner.; κατανεμειμένων (sic) apographum — 2. μᾶλλον ἢ ἐν τῷ ἐπιχ. κτλ.] μᾶλλον πάντες (πάντας vel πάντ' conj. Minas) ἐπιχειρεῖν ὄντων ῥᾴστων ἢ τὴν πολ. αἱρ. codex. — 3. μεταδου] sic cod.; num τῶν ἀπόρων μετοίκων? τῶν εὐπόρων καὶ μεγάλων? — 4. ὅτε δὴ] ὅτε δὲ cod. — αὐτῶν φυλακήν. Hic in margine apographi (incertum an etiam codicis) adscriptum : ἐκ τῶν ἀκροβολιστῶν. Incipit cod. fol. 75. — 5. τῆς τῶν λίθ.] fortasse excidit τὰ ante τῆς; quamquam ferri vulgata potest. — μεθίεσαν] μετίεσαν cod. — ἠκροβολίζοντο] in margine notatur : ἐκ τῶν ἀκροβολιστῶν. — ἐχρῶντο supplevi. — 6. ἧπερ] Minas; εἴπερ codex. — 7. εἴχοντο, ut infra V, § 9. codex ἔσχοντο; — 9. προτέρᾳ] προτεραίᾳ conj. Minas. — μεθίεσαν] μεθης αν codex. — 10. τοῦ ἀντίπαλον] Dübner.; τοῦ ἀντιπάλου cod. — πρὸς δὲ καὶ.. ἐκ μετεώρου βαλλομένων.] Hæc uncis inclusi, utpote quæ sententiam interturbent. Ab epitomatore male inculcata. — 11. δὴ οὖν] δηλοῦν codex.

19.

Exc. De sentent. p. 324 ed. Mai., p. 22 ed. Nieb : Ὅτι Δέκιος, βασιλεὺς Ῥωμαίων.. εἶχεν τὴν Θρᾴκιον δύναμιν.. ὀρρωδῶν [μή τι νεώ]τερον γένηται περὶ τῆς ἀρχῆς τὴν κατάστασιν.. ἐπιστολῆς.. εἰς αὐτοὺς ἐπεξιέναι τοῖς πολεμίοις.. βουλόμενον τῆς δι' ἀνθρώπους οὐκ ἐμφαιν..ους ἄγειν· μὴ περαιτέρω πράσσοντες ἄνθρωποι ἀπο.. οὐκ εὐκαίρου προθυμίας τὴν πεῖραν λάβωσι.. πρὸς τὴν.. ἐπικουρίαν παραγίνεσθαι. Καὶ ὁ μέν.. βασιλέως ἡμεροδρόμου φέρων τὴν..

Πρίσκῳ, ὃς δὴ τῆς τῶν.. ων.. ἐπί τε εἰρήνης τὰ πολλὰ ἐχρηματίσε.. τὰ τοῦ πολέμου· τὸ δὲ.. ὃς δὲ τότε πόλεμος... ἐμήνυσαν. Καὶ ἐπεὶ ἠθροίσθησαν.. ἐδήλου γὰρ ἡ γραφὴ τάδε.

« Ὅτι ποθοῦμεν.. ὦ ἄνδρες.. ἀσφαλὲς ὄψει τῶν δρώντων.. μενον. Ἐπεὶ δὲ.. μὲν.. πορευόμενοι.. δὲ κατὰ πολλὰ σκεδασθέντες.. ἀναγκαῖον διδαχῇ· ἅμα τῇ.... πράττοντες ἂν ὑμεῖς... ἐμοί· εἴ γε.. διὰ τί.. εἴ τις ὑμῶν διαμέλλοιτο· ἐξαγγέλλεται γάρ.. νεότητι οὐ κατὰ καιρὸν θαρροῦντας, καὶ τούτῳ ἔκπληξιν ἐς τοὺς ἐναντίους ἕξειν νομίζοντας, οἷα δὴ πολέμων ἀπειράτους, εὐτολμότερον αὐτοῖς μᾶλλον ἢ προμηθέστερον παρὰ τὴν ἀπουσίαν τῶν προαγωνισμάτων συνίεσθαι. Καὶ ἔστι μὲν ἁπάντῃ (οὐ πάντῃ? B.) ὑπαίτιος ὑμῶν ἡ ἐπιχείρησις διότι καὶ ὑπὲρ καλῶν ἔργων· συνευξαίμην δ' ἂν καὶ πείρᾳ δύνασθαι συμφορωτάτους γενέσθαι. Ἐπέσκεμμαι δὲ ὡς ἐν τοῖς πολέμοις τὸ ἀνδρεῖον μετὰ μὲν ἐμπειρίας ἰσχυρὸν, ἄνευ δὲ τούτου ἀσθενές· καὶ θρασύτης λογισμῶν ἄμοιρος ἡ δὲ (ἤδη?) σὺν τῷ μὴ κατὰ καιρὸν εὐτόλμῳ ἔσφηλε. Κράτιστοι δὲ οἱ συνέσει τὸ διάφορον τῶν ἐκβησομένων εἰδότες μᾶλλον ἢ θυμῷ ἐς τὰς μάχας καθιστάμενοι. Παραινῶ μὴ δὴ ἐς τὸ ἕτοιμον τῆς γνώμης καὶ τοῦ πλήθους τὸ ἀβέβαιον ἰδόντας, τοῦ κοινοῦ τῆς ἀσφαλείας ὑφέσθαι· ἀποκινδυνεύσεται γὰρ ὑμῖν σωτηρία οὕτως ἐς μηδὲν δέον, καὶ θράττεσθαι ἡ διάνοια ὑμῶν δόξει μᾶλλον ἢ ἐπιβούλιος περὶ τῇ πάσῃ πόλει τοῦ ἐκβησομένου ἔχουσα τὴν πεῖραν. Ὑπαίτιος δὲ ὁμοίως ὅ τε ἀνανδρίᾳ τὸν ἐφεστηκότα ἀγῶνα ἐξιστάμενος, καὶ ὁ θρασύτητι ἐς τοὺς [μὴ] προσήκοντας κινδύνους ἰών, [παρὸν] βίον σὺν ἀσφαλείᾳ σώζεσθαι.

19.

Nuntiatur enim, eos juventuti intempestive confidentes atque hinc terrorem hosti tanquam belli imperito se incussuros existimantes, audacius quam prudentius sine prævia exercitatione depugnare paratos. Non est quidem quaquaversus molitio vestra culpabilis, quoniam in rebus gloriosis versatur; optamus autem ipso etiam experimento vos fieri apprime utiles. Nimirum vigor animi in bellis cum disciplina conjunctus validum scutum est, infirmum autem, si illa careat; tum et audacia sine recto consilio præterque idoneum tempus ferociens, in perniciem ruit. Porro fortissimi evadunt non tam ii qui impetu cæco feruntur, quam qui futurorum eventuum momenta ponderare queunt. Auctor autem vobis sum, ne, dum mentis vestræ alacritatem, multitudinis autem inconstantiam respicitis, tutelam reip. negligatis. Sic enim vestra salus nullo cum emolumento periclitaretur fractusque magis vester animus videretur, quam sollers in urbis universæ cura vel conjiciendorum eventuum peritus. Æque culpabilis est, qui meticuloso animo oblatum sibi certamen respuit, atque ille, qui insana audacia in aliena pericula semet conjicit, ubi tuto vivere licebat.

Λογισμῷ δὲ πιστεύων ἀνὴρ βεβαιότερος ἢ ἀμαθίας σχήματι (λήματι B.) πρὸς τὰς ἀδήλους φορὰς τῶν πραγμάτων ἐξορμώμενος. Αἵ τε ἐν τοῖς πολέμοις συντυχίαι ἢ κατὰ τὸ ἀναγκαῖον τὴν τόλμαν διδόασιν ἐξιοῦσιν ἐς τοὺς κινδύνους, ἢ ἀδείας περιουσίᾳ τὴν μετὰ τοῦ ἀσφαλοῦς σύνεσιν παρέχονται, ὡς μὴ σὺν δέει τι μᾶλλον ἠπειγμένως ἢ προμηθείᾳ πρᾶξαι.

« Λογιζόμενοι δὲ τάδε μὴ ἴτε πρὸς ἄνδρας ἐς ἀγῶνα κατ' ἐρημίαν τῶν συλληψομένων ἐχυρᾷ δυνάμει ἐξιόντας (ἐπιόντας? B.) καὶ πολλῇ μὲν ἵππῳ, πολλοῖς δὲ ὁπλίταις καὶ ψιλοῖς παρεσκευασμένους, ἔτι δὲ πεῖραν πολεμικὴν φοβεροὺς καὶ σωμάτων ὄψει δεινούς, καὶ ὅπλων ἀνασείσει, ἀπειλαῖς τε καὶ βοῆς μεγέθει ἱκανωτάτους προεκφοβῆσαι τοὺς πρῶτον ἐς αὐτοὺς ἰόντας. Μὴ δὴ πρὸς τούσδε ἀποκινδυνεύσητε, ἐξὸν ἀπὸ τῶν τειχῶν σὺν ἀσφαλείᾳ ἀμύνεσθαι. Καὶ γὰρ ἡ ἐλπὶς τοῖς πρῶτον ἐς μάχην ἰοῦσιν ἰσχυρόν τι ἔδοξεν εἶναι καὶ προσαγωγότατον εἰς κατόρθωσιν· ἀλλ' ἐν τοῖς περιφανεστάτοις ὤφθη *, ὅταν τῷ ἀληθ.. (ἀληθεῖ N.) μάχηται. Εὔδηλον δὲ δήπου, οἶμαι, ὡς κἂν τοῖς ἐξ ἴσου οὖσιν ἄνευ στρατηγοῦ κατὰ μόνας ἀποκινδυνεύειν σφαλερώτατον· τὸ δὲ ὑπὸ ἡγεμόνι τε ἄγεσθαι καὶ ἐς κοινωνίαν ἥκειν ἑτέροις τοῦ κινδύνου ἔν τε ἐνθυμήσεσι κἂν τοῖς ἔργοις ἀσφαλέστατον, ῥᾳδίαν ἔχον τὴν παρὰ τοῦ πέλας ἐπανόρθωσιν. Κρεῖττόν τε σὺν ἑτέρῳ κατορθοῦντας δόξης ἔλαττον ἔχειν, ἢ δίχα τοῦ προμηθοῦς κατὰ μόνας ἐπιχειρήσαντας σφαλῆναι. Καὶ ἀπόντος μὲν πολὺ ἀπὸ σφῶν τοῦ ἐπιβοηθήσοντος, οἷα δὴ μονωθέντας, δρᾶσαί τι σὺν εὐχερείᾳ σύγγνωμον· ἀνδρῶν δὲ οὐκ ἄπωθεν ὄντων ἄριστα πολέμῳ ὡμιληκότων καὶ πεῖραν παρασχομένων τοῦ νικᾶν, καὶ ταῦτα τὸ ἀδεὲς ἐς τοὺς κινδύνους ἐν τῷ διὰ μέσου ἐκ τῆς τῶν τειχῶν ὀχυρότητος ἔχοντας, πρᾶξαί τι παρὰ τὴν τοῦ ἄρχοντος καταίνεσιν, κἂν τῳ ἄμεινον ἐκβῇ, οὐκ ἀνεπίκλητον ἐφάνη διά τε τὸ δυσπειθὲς τὸ περὶ τὸν προστάξαντα, καὶ ὅτι σὺν τῷ ἀμφιβόλῳ τοῦ κινδυνεύματος ἐπεχειρήθη.

« Εἰ δέ τις προαστείων τε καὶ ἐνδιαιτημάτων τέρψεως ἀποστερούμενος ἄχθεται, καὶ ὅσα πλούτου ἐγκαλλωπίσματα, γνώτω τὸ μὲν ἀλγεινὸν εἰς ὀλίγον τε καὶ ἐν ὀλίγῳ τὴν αἴσθησιν οἶσον, οἷα δὴ ἐν οἰκοδομαῖς κείμενον, καὶ ἡμῶν οὐ διὰ μακροῦ ἐπιστησομένων, ὡς (τῶν? B.) κωλῦσαί τε τὸν παντελῆ τούτων ἀφανισμὸν καὶ ἀναλαβεῖν αὐτὰ δαψίλειαν τῆς ἐκ τούτου χορηγίας οὐκ ἀδυνάτων, τὸ δὲ τῆς σφετέρας σωτηρίας ἐπικίνδυνον οὐκ ἰασόμενος. Ὅθεν τῇ παραυτίκα ἀχθηδόνι τὸ εἰς ἅπαν ἀσφαλὲς ἀντιτιθεὶς οὕτω λογιζέσθω, διότι μηδὲ ἐς πάντας, ἀλλ' ὅσοι δυνατοὶ τὸ λυπηρὸν τὴν ἀναφορὰν ἔχει, παρ' οἷς πλούτῳ ἰσχύουσι καὶ ἄνευ τοῦ ἡμετέρου ταχεῖα τῶν ἀφαιρεθέντων ἡ διόρθωσις. Παυστέον δὴ οὖν ὑμῖν τῆσδε τῆς ὁρμῆς, εἰ μήτε ἑαυτοῖς ἐπιβούλως καὶ ἐς τὸν ἄρχοντα ἐναντίως πράσσετε, καὶ εἴσω τειχῶν μενετέον. Ἡμᾶς δὲ οὔτε τῇ παρασκευῇ οὔτε ταῖς γνώμαις τῆς τῶν κοινῶν σωτηρίας ἀφεστηκότας ὀλίγων ἡμερῶν ἐπιστησομένους ἅμα τῇ δυνάμει ἐλπίζετε, καὶ εἴσω τειχῶν τὰ ἐς τὴν τοῦ ἔξωθεν ἀγῶνος κατόρθωσιν ἡμῖν μελήσει. Προαποδείκνυται δὲ οὐ πόρρω τοῦ ἀληθοῦς εἶναι τὸ ἐπάγγελμα ἐκ τῶν πρὸς Νικοπόλει πραχθέντων, εἴ γε μὴ μεγαληγορεῖσθαι δεήσει. Χρὴ δὲ ἐν τοῖς μεγίστοις τῶν

Vir qui mentis nixus consilio est, constantiam magis servat, quam is qui imperitorum ritu incerto rerum cursui se committit. Casus bellici vel coactam audaciam iis suppeditant, qui pericula adeunt, vel oblata immunitate prudentiam cum securitate exhibent; ita ut jam necesse non sit subitaneo potius opere quam proviso consilio agere.

« Hæc igitur reputantes, ne certamen ineatis ipsi auxiliis destituti adversus homines qui fortibus copiis prævalent, quique multo equitatu multoque gravis levisque armaturæ milite instructi sunt : contra homines, inquam, peritia quoque bellica formidabiles et corporum aspectu terrificos, tum et armorum sonitu et minis et profunditate clamoris valde idoneos ad eos territandos, qui primo cum iis prœliantur. Adversus hos, inquam, ne acie periclitari velitis, quandoquidem mœnibus tuto vosmet potestis protegere. Etenim spes magnum habere efficaxque momentum videtur in iis qui primum in prœlium prodituri sunt ad rem gerendam feliciter; verum ea in clarissimis viris decepta est, quum veræ rerum rationi repugnat. Sed enim exploratum mihi videtur, cum paribus quoque sine duce singillatim tentare belli aleam periculosissimum fore : secus autem duce regi, periculique socios adsciscere tum in deliberando tum in agendo tutissimum est, quoniam de proximo suppetiæ adsunt. Et quidem præstat, re bene cum socio gesta, paulo minorem gloriam consequi, quam imprudenter et solitarie agentes a proposito aberrare. Sane si longe absit is, a quo magnopere juvari possimus, tunc a nobis solitariis procliviter fieri aliquid, ignoscibile est : verum enimvero si prope adsint viri bello egregie exerciti et victoriis adsueti; et si præsertim a periculo, objecta mœnium firmitate, interim tuti simus; tunc qui aliquid præter ducis dictamen facit, etiamsi id forte evenerit, culpabilis est, tum propter inobedientiam, tum quia se in ambiguum discrimen conjecit.

« Quodsi quis suburbanis suis hortorumque amœnitatibus atque ejusmodi divitiarum ornamentis spoliatus mœret, is velim sciat, molestiam quidem brevem exiguique sensus fore : tum quia in ædificiis vertitur, tum quia brevi nos aderimus ad prohibendam horum omnimodam vastitatem, fructusque eorum affluentes aliquando recuperare possumus, neque vestræ salutis discrimen semper manebit. Quare unusquisque cum præsenti molestia perbrevi perpetuam securitatem contendens, secum reputet, incommodum hoc non ad omnes pertinere, sed ad eos qui divitiis affluunt, et qui sine nostra etiam ope detrimenta sua facile instaurabunt. Ergo a præcipiti hoc consilio desistite; nisi forte in vosmet ipsi conjuratis, et nisi a duce aperte deficitis; atque intra mœnia consistite. Nos autem neque armis neque voluntate publicam salutem deserturos, paucosque post dies adfuturos cum exercitu speratote; vobisque intra mœnia manentibus, curæ nobis fore pugnam fortiter in aperto campo cernendi. Porro constat sponsionem nostram haud procul veritate consistere, ex iis quæ apud Nicopolim gesta fuerunt; quin opus ulla jactantia sit. Oportet autem, quum de summa re agitur, iis uti consiliariis et adjutoribus, qui

ἀγώνων τούτοις συμβούλοις τε ἅμα καὶ βοηθοῖς χρῆσθαι, οἳ ἂν ἐν τοῖς φθάνουσιν ἔργοις σαφῆ τοῦ συμφέροντος ἐπιδείξωνται τὴν δήλωσιν, ἐμπειρίαν ἔργων καὶ πρὸς....

Prima hujus fragmenti pars tam lacera est, ut de singulorum sensu verborum certius aliquid asseverari nequeat. In universum tamen satis patet narrari, quomodo Decius ad Priscum, Philippopolitanorum a Scythis obsessorum ducem (v. Jornandes De rebus Get. c. 18), epistolam miserit, qua hortabatur imperator, ne contra hostem exirent prœlio periclitaturi, antequam ipse cum exercitu advenisset (250 p. C.). Hanc epistolam deinde in concione, ut videtur, Priscus recitavit. De obsidione Philippopolis vide fr. 20.

20.

Exc. De strategem. c. V: Ἐκ τῶν Δεξίππου. Πολιορκία Φιλιππουπόλεως.

Τὴν Φιλιππούπολιν, ἔστι δὲ ἡ πόλις αὕτη μεθόριος μὲν τῆς Θρᾳκῶν καὶ Μακεδόνων γῆς, κεῖται δὲ ἐπὶ τῷ Ἕβρῳ ποταμῷ, οἰκιστὴν δὲ αὐτῇ γενέσθαι λέγουσι Φίλιππον τὸν Ἀμύντου, Μακεδόνων ἄρχοντα, ἀφ' οὗ δὴ καὶ τὸ ὄνομα τῇ πόλει ἐγένετο· (2) ταύτῃ δὴ οἱ Σκύθαι ὡς ἀρχαιοτάτῃ καὶ μεγίστῃ προσέβαλλον ἐς πολιορκίαν. Ἐπολεμεῖτο δὲ αὐτοῖς ὁ πόλεμος ὧδε. (3) Ὑπερφέροντες τῶν κεφαλῶν τὰς ἀσπίδας τῶν μεθιεμένων ἐν σκέπῃ εἶναι, κύκλῳ τῆς πόλεως περιῄεσαν, καταθεώμενοι ὅπῃ εὐαποτείχιστον ᾖ καὶ ἐπίβατον ἐν τῇ προσαγωγῇ τῶν κλιμάκων ὑπάρχοι διὰ στενότητα ἢ καὶ χθαμαλότητα τῶν τειχῶν. (4) Καὶ τὸ μὲν πρῶτον ἐποιοῦντο προσβολὰς ἐπ' ἀκροβολισμοῖς καὶ τοξείαις· οἱ δὲ ἄνωθεν ἠμύνοντο καρτερῶς, ὅπῃ πελάζοιεν οἱ πολέμιοι. (5) Αὖθις δὲ αὖ τῆς πόλεως ἐπείραζον, κλίμακας πηξάμενοι καὶ μηχανάς· τὰ δὲ μηχανήματα ἦν ξύλα πεπηγότα τετράγωνα, ἐπιτεχνήματα οἰκίσκοις ἐμφερῆ· καὶ αὐτῶν βύρσας ὑπερτείνοντες, ὡς παντὸς τοῦ μεθιεμένου ἀβλαβῶς ἔχειν προσπίπτοντες ταῖς πύλαις, σφῶν δὲ τὰς ἀσπίδας προβεβλημένοι, καὶ μετακινοῦντες αὐτὰ τροχοῖς καὶ μοχλίαις. (6) Οἱ δέ τινες ξύλα προμήκη, σιδήρῳ καταπεφραγμένα, ὡς μὴ ἀποθραύεσθαι ἐν τῇ προσβολῇ, μετεωρίζοντες ἐπείρων ἀναράσσειν τῷ τείχει· ἕτεροι δὲ κλίμακας προσερείδοντες τὰς μὲν ἐπ' εὐθὺ πεπηγυίας, τὰς δὲ ὑποτρόχους, κινουμένας ἐπὶ θάτερα· αἳ δὴ ὅτε προσάγοιντο, κάλοις ἀπ' ἄκρων τῶν κλιμάκων ἠρτημένοις ἀνέπτυσσον ὡς ὀρθουμένας ἐπιβάλλειν τοῖς τείχεσιν. (7) Ἦσαν δὲ οἳ καὶ πύργους ξυλίνους τῷ τείχει ὑποτρόχους ἐπῆγον, ὡς ὅτε πελάσαιεν, ἐπιβολῇ γεφυρῶν τὴν διάβασιν ἀπὸ τούτων ἐξ ἰσοπέδου ποιήσοντες. Καὶ ἥδε μὲν αὐτοῖς ἀφθονία μηχανημάτων. (8) Ἀντήρκουν δὲ πρὸς ἕκαστα οἱ Θρᾷκες, τὰ μέν τινα τῶν μηχανῶν λίθοις μεγάλοις ἁμαξιαίοις συναράσσοντες αὐτοῖς ἀνδράσι, τὰ δὲ καὶ καταπιμπράντες δᾳσὶ καὶ θείῳ καὶ πίσσῃ· τῶν δὲ κλιμάκων κατεκυλίνδουν δοκοὺς ἐγκαρσίας καὶ λίθους, ὡς ὑπὸ τῇ βιαίᾳ φορᾷ τάς τε ἀσπίδας τῶν ἐπαγόντων καὶ τὰς κλίμακας ἐν τῇ ἐμβολῇ ἀποθραύεσθαι. (9) Ὡς δὲ οὐδὲν ἐπλεονέκτουν ταῖς μηχαναῖς οἱ πολέμιοι, ἀθυμίᾳ δὴ εἴχοντο, καὶ βουλὴν τιθεμένοις ᾗ δεῖ πολεμεῖν, ἐδόκει χώματα χοῦν μετέωρα πρὸς τὴν πόλιν, ὡς εἶναι σφίσιν ἐπίσου πρὸς τοὺς ἐναντίους μάχεσθαι. (10) Ἔχουν δὲ ὧδε· ξύλα ἐκ τῶν πέριξ οἰκοδομημάτων συνεφόρουν, καὶ προβαλλόμενοι πρὸ σφῶν τὰς ἀσπίδας, ἐνέβαλλον αὐτὰ εἰς τὴν τάφρον κατ' εὐθὺ καὶ παράλληλα, ὅπῃ συμβαίνει. (11) Ποιήσαντες δὲ ταῦτα, χοῦν καὶ ὕλην παντοίαν ἐπεφόρουν μεταξὺ τοῦ χείλους ἑκατέρου τῆς

---

præcedente opera manifestam ediderint utilitatis suæ demonstrationem; agendi peritiam et...

20.

E Dexippi Historiis. Obsidio Philippopolis.

Philippopolis in confiniis Thraciæ et Macedoniæ ad Hebrum fluvium sita est; condidisse urbem traditur Philippus Amyntæ filius, Macedonum rex, a quo etiam nomen adepta est. (2) Hanc igitur urbem Scythæ adorti obsidione cinxerunt. Gestum vero bellum est hunc in modum. (3) Clypeos supra capita sustinentes, ut tuti essent ab iis quæ desuper in ipsos conjicerentur, urbem circumibant, spectantes ubi circumvallari facile ob angustiam, vel scalis admotis conscendi murus ob humilitatem posset. (4) Ac primum quidem jaculatorum et sagittariorum velitatione oppidanos lacessebant. Hi vero fortiter hostem, ubicumque appropinquaret, propulsabant. (5) Altera deinde aggressione Scythæ ipsam urbem tentarunt scalis atque machinis. Quæ quidem machinamenta erant ligna quadrata, ita inter se compacta, ut domuncularum speciem præ se ferrent. His pelles superinduxerant, ne damnum afferrent quæ in portas aggredientes dejicerentur. Scuta autem prætendentes, rotis atque vectibus machinas promovebant. (6) Nonnulli ligna prælonga et, ne confringerentur in oppugnatione, ferro munita in altum attollentes muro illidere tentabant. Alii scalas applicabant partim rectas, partim rotis instructas et plicatas bifariam, quas ubi advexissent, funibus ex summis scalis dependentibus explicabant, adeo ut in rectarum modum muris apponerentur. (7) Erant etiam qui ligneas turres rotis item impositas adducebant, ut, ubi muro appropinquassent, jactis pontibus de plano transire ex iis in murum possent. Atque hæc quidem Scythis erat copia machinarum. (8) Quibus singulis Thraces suam opponebant industriam. Etenim partem machinarum magnis lapidibus plaustralibus una cum viris pessumdabant, partem etiam facibus, sulphure ac pice incendebant. In scalas autem devolvebant trabes transversas atque lapides, qui impetus vi et scuta admoventium et scalas ipsas confringebant. (9) Quum itaque machinis hostes nihil proficerent, dejectis erant animis. Tum deliberantibus quid faciendum esset, visum est aggeres jacere contra urbem sublimes, quorum opera pede plano cum hoste congrederentur. (10) Jaciebant vero hunc in modum: nimirum trabes ex vicinis ædificiis congestas, prætentis scutis sese tuentes, in fossam injiciebant rectas et alteras juxta alteras, uti fieri solet. (11) Quo peracto, aggerem

τάφρου. Καὶ οὕτω ταχεῖαν εἰργάσαντο τοῦ χώματος τὴν αὔξησιν. (12) Ὁρῶντες δὲ τὸ πραττόμενον οἱ Θρᾶκες, καὶ ὅτι πρὸς σφᾶς τὸ χῶμα ἀντετειχίζετο, ξύλα πηξάμενοι καὶ τούτοις σανίδας προσαρτήσαντες, πρόβλημα μετέωρον ἐπὶ τῷ τειχίσματι ἤγειρον. (13) Καὶ ἐπὶ τῷδε ἐμηχανήσαντο τοιόνδε· καθῆκαν ἀπὸ τοῦ τείχους νύκτωρ ἀπὸ κάλων, ὑπ' αὐτό που τὸ ἡσυχάζον, ἄνδρα εὔτολμόν τε καὶ γενναῖον, δόντες αὐτῷ φέρειν ἐπὶ τὸ χῶμα δᾷδα ἡμμένην καὶ σκεῦος, ἵνα πίττα τε ἦν καὶ θεῖον καὶ τὰ τοιαῦτα. (14) Ἐμβάλλει δὴ οὖν τὸ πῦρ τοῖς ἀνέχουσι τὸ χῶμα ξύλοις, καὶ ἀθρόα γίνεται καέντων τοῦ χώματος ἡ κατάπτωσις. (15) Ἐπεὶ δὲ καὶ ἐν τούτοις μεῖον εἶχον οἱ Σκύθαι, ἐδόκει αὐτοῖς κτείνειν τὰ ἀχρεῖα τῶν ὑποζυγίων καὶ τῶν αἰχμαλώτων ὅσοι νόσῳ ἢ χρόνῳ διὰ γῆρας ἐκακοπάθουν· κτείναντες [δ'] ἐνέβαλον εἰς τὴν τάφρον, καὶ ὕλην παντοίαν ἐπεφόρουν. Τὰ δὲ σώματα ἄρτι τριταῖα γινόμενα ὕψος οὐ μέτριον παρεῖχον ἐξοιδοῦντα τῷ χώματι. (16) Οἱ δὲ Θρᾶκες μέρος τι τοῦ τείχους διακόψαντες, ὅσον ἐς μέγεθος πυλίδος στενῆς, εἰσεφόρουν κατὰ τοῦτο παρὰ σφᾶς ὅσαι νύκτες τὸν χοῦν· ὡς δὲ πάντῃ ἄποροι τῇ γνώμῃ ἐγίνοντο οἱ βάρβαροι, ἐδόκει ἀναχωρεῖν. Καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος τοῖς Σκύθαις ἐγένετο.

Quæ hoc fragmento narrantur de Gothis ab obsidione Philippopoleos re infecta discedentibus, aliunde, quantum scio, comperta non habebamus. Statuendum igitur est Gothos primo quidem impetu nihil proficientes, relicta Philippopoli, in alias Mœsiæ urbes arma vertisse, deinde vero, victo denique et interfecto Decio, iterum Philippopolitanos aggressos atque urbe potitos esse. Nam captam a Gothis Philippopolim præter alios ipse etiam narrat Dexippus apud Syncellum p. 376 (v. fr. 16). Cf. Ammianus XXXI, 5: *Ceciderunt... imperatores Decii pater et filius. Anchialus capta et tempore eodem Nicopolis. Post clades acceptas excisa est Philippopolis.* Quo loco quæ de Anchialo et Nicopoli eodem fere tempore sub Decio a Scythis appetitis leguntur, quæri potest num recte dicta sint. Nam secundum Trebellium in Claudio c. 12 eæ urbes Claudii et Quintilli temporibus (270 p. C.) vastatæ sunt. Trebellius vero ducem in his secutus esse videtur optimum harum rerum testem, Dexippum nostrum, cujus ipso illo loco mentionem injicit. Ceterum quum etiam Decii temporibus Nicopolim Scythæ aggressi, sed ab imperatore repulsi sint, uti colligitur ex Dexippi fragm. 19 extr. (collato Jornande l. l.: *Cnica, rex Gothorum, Nicopolim accedit, quæ juxta Iatrum fluvium est constituta... ubi Decio superveniente imperatore, tandem Cnica in Hæmoniæ partes recessit*), facile fieri potuit ut Ammianus hoc cum altero Scytharum in Nicopolim impetu, quem eodem anno fecerunt, quo Anchialus sub Claudio vastata est, confunderet. — 2. πόλεμος ὧδε] πολ. ὡς δὲ ὑπερφ. codex. — 3. μεθιεμένων] μεθειμένων codex. — Verba sequentia ita delineavit Minas ut in codice exarata spectantur. Ductus litterarum simillimi iis, quos exhibent codicis Valesiani sive Peiresciani excerpta Περὶ ἀρετῶν et codicis Vaticani excerpta Περὶ γνωμῶν (cf. L. Dindorf. in præfat. ad Diodor. vol. II). Ductus autem vocabuli ab ipso librario non intellecti (quod indicat accentuum omissio) sonant ενοχεπιειναι, quod esse ἐν σπέπῃ εἶναι vidit Dübnerus. — 5. αὖ τῆς] Dübner. αὐτῆς codex; αὐτοὶ voluit Minas; fortasse leg. αὐτῆς τῆς πόλεως. — καὶ μεταχινοῦντες] Participia in hac descriptione pro temporibus finitis ponuntur. — 6. προσερείδοντες τὰς] προσηρίδοντας codex. — ὑποτρόχους] ὑπὸ τροχοῖς codex et h. l. et mox iterum. — ἀπ' ἄκρων τῶν] ἀπαιρόντων codex. — 7. πελάσαιεν] πελάσοιεν codex. — ποιήσοντες] Minas. ποιήσοντας codex. — 8. ἀνδράσι] Circa hæc incipit cod. fol. 76. — 9. ἢ δεῖ] εἴδει codex; ἤδη Minas; ceterum malim τί δεῖ ποιεῖν, etsi hoc paullo longius ab acceptis recedit. — χοῦν] γοῦν codex. — 10. πρὸ σφῶν] Minas. πρὸς σφῶν cod. — κατ' εὐθὺ] καὶ εὐθὺ codex. — 12. σανίδας] Minas. σανίδα codex. — ἤγειρον] ἔγειρον codex. — 13. ἐπὶ τῷδε] Minas; ἐπεὶ τόδε codex. — 15. μεῖον] σημεῖον codex. — κτείνειν] καὶ codex. Sin retines καὶ, neque ab ipso Epitomatore oratio turbata est, pro ἐνέβαλλον et ἐπεφόρουν infinitivus modus reponendus. Post κτείναντες addidi particulam δέ.

silvamque variam inter utrumque fossæ labium ingerebant. Atque sic celeriter moles excrescebat. (12) Verum Thraces ubi aggerem istum contra ipsos strui conspexerant, trabes impingentes tabulasque iis applicantes propugnaculum sublime in muro excitabant. (13) Præterea vero etiam hoc machinati sunt. Etenim sub ipsam fere noctem concubiam funibus demittunt virum audacem et generosum, quem incensa face aggeri admovenda atque vase picis, sulphuris, aliarum hoc genus rerum pleno instruxerant. (14) Is igitur ignem injicit trabibus, quæ aggerem sustinebant. Incensis, confestim tota moles corruit. (15) Postquam igitur etiam hæc minus successerant Scythis, placuit mactare jumenta inutilia et captivos morbo vel senio confectos. Mactatos deinde in fossam jecerunt, silvamque variam ingesserunt. Quæ quidem cadavera quum inde a die tertio extumescere cœpissent, altitudinem aggeris haud mediocriter augebant. (16) At Thraces, perrupta muri parte tantæ magnitudinis, quanta portæ est angustæ, per eam quaque nocte aggerem in urbem inferebant. Tum vero barbari summa consilii inopia laborantes recedendum esse decreverunt. Atque ita obsidionem Scythæ solverunt.

21.

Exc. De sentent. p. 328 ed. Mai., p. 26 ed. Nieb.:

« .. καὶ καρτερίᾳ οἱ πόλεμοι μᾶλλον ἢ πλήθει κρίνονται. Ἡμῖν δύναμίς τε οὐ φαύλη (δισχίλιοι γὰρ οἱ σύμπαντες ἠθροίσθημεν), καὶ τὸ χωρίον ἐρυμνότατον, ὅθεν ὁρμωμένους χρὴ τοὺς πολεμίους κακοῦν σποράσι τε ἐπιτιθεμένους καὶ τὰς παρόδους αὐτῶν ἐνεδρεύοντας· ἐξ ὧν κρατοῦσι μὲν ἡμῖν τῷ τρόπῳ τούτῳ ῥώμη ἔσται, καὶ δέος οὐ μέτριον παρέξομεν τοῖς ἐναντίοις· συνισταμένων δὲ ἀντιστησόμεθα, προ... ὅπλων οὐ φαῦλον τὸ ἐρυμνὸν τοῦ χωρίου καὶ τήνδε τὴν ὕλην ἔχοντες. Οἵ τε ἐναντίοι ἐκ διαφόρων προσβάλλοντες οἷα οὐ πάντη καταφανέσι ταράξονται, οὐκ ἐν τῷ ἴσῳ τρόπῳ τοῖς πρόσθεν πολεμήσουσι, τάξιν τε αὐτῶν λύοντες καὶ οὔθ' ὅπου τὰ τοξεύματα καὶ ἀκόντια μετιέναι χρὴ εἰδότες, καὶ τῶν τε ἀφιεμένων ἀτυχήσουσι, καὶ ὑφ' ὑμῶν ἔτι μᾶλλον κακώσονται. Ἡμεῖς τε τῇ ὕλῃ πεφραγμένοι ἐπίσκοπα καὶ ἐξ ὑπερδεξίων μεθήσομεν, καὶ ἀσφαλέστεροι μὲν εἰς τὸ δρᾶν ἐσόμεθα, οὐ ῥᾷστοι δὲ βλάπτεσθαι. Περὶ δὲ αὖ τῆς ὁμόθεν μάχης, εἰ δὴ καὶ αὐτῆς δεήσαι, ἐκεῖνο χρὴ λογίζεσθαι, ὡς οἱ μέγιστοι κίνδυνοι μεγίστας καὶ προθυμίας παρέχονται, καὶ ἐν τῷ ἀπόρῳ τῆς σωτηρίας ἡ ἀντίτασις ἑτοιμοτέρα, καὶ πολὺ τὸ ἀνέλπιστον ἐξέβη, βιαζομένων τε ὑπὲρ τοῦ ἀμηχάνου καὶ ἀμυνομένων ὑπὲρ τῶν σπουδῆς ἀξίων τιμωρίας ἐλπίδι. Οὐδὲ γὰρ ἔστιν ὅτῳ ἂν πρὸ ἡμῶν μείζους γένοιντο ὑποθέσεις τῆς ἀγανακτήσεως, οἷα δὴ γενῶν τῶν ἡμετέρων καὶ πόλεως ὑπὸ τῶν ἐναντίων κατεσχημένης. Συνεπίθοιντο δὲ ἂν αὐτοῖς καὶ ὅσοι ἀνάγκῃ ἄκοντες συστρατεύουσιν, ὅτε τὴν ἡμετέραν ἔφοδον αἴσθοιντο, ἐλευθερίας τῆς σφετέρας ἐλπίδι.

« Πυνθάνομαι δὲ καὶ τὴν βασιλέως δύναμιν τὴν ναυτικὴν οὐχ ἑκὰς εἶναι ἀρήξουσαν ἡμῖν, ᾗ συνταχθέντας συνεισβαλεῖν κράτιστα. Καὶ ἐπὶ τῷδε ἡγοῦμαι ὡς καὶ τοὺς Ἕλληνας ἐς τὸ αὐτὸ τοῦτο πρόθυμον ἐπάξομεν. Αὐτὸς δὲ δὴ ὢν οὐκ ἔξω κινδύνου οὐδὲ εὐτυχέστερον πράττων ἐπὶ ταῦτα ἵεμαι, ἀρετῆς ἐπιθυμῶν καὶ διακινδυνεύων, τὰ τιμιώτατα δὲ θέλων περιποιήσασθαι καὶ ἐς ἐμαυτὸν μὴ καταλῦσαι τῆς πόλεως τὴν ἀξίωσιν. Καὶ παραινῶ ὧδε γινώσκειν. Ἔπεισι μὲν ἡ τελευτὴ πάντας ἀνθρώπους καταλῦσαι τὸν βίον, ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν ἆθλον κάλλιστον καὶ δόξαν ἀΐδιον φέρων. Εἰ δέ τινα καὶ ἐπὶ τοῖς εἰρημένοις τὸ τῆς πόλεως πταῖσμα ἐκπλήσσει, καὶ δι' αὐτὸ ἄθυμός ἐστιν, ἴστω τάς τε πλείστας τῶν πόλεων ἐξ ἐνέδρας ὑπὸ τῶν πολεμίων ᾑρημένας..... καὶ τῶν ἀντιστάντων αὐτοὺς τὸ ἀντίπαλον ἐρημωθέντας.. ον δὲ τοῦ βαρβαρικοῦ ἐπιτίθεσθαι. Καὶ τῷ... ἀνθισταμένῳ συνοισόμεθα... ον τῇ παρόδῳ χρήσονται ἀθρόον.... ἱκανοὶ εἴημεν· ἀναχωρήσομεν ἐς τὸ μετέωρον σὺν ἀσφαλείᾳ.... μένων ἐπιθησόμεθα, κἂν τούτῳ τῶν ἐναντίων αἱ ἀπορίαι πρὸς ἡμῶν ἔσονται.

« Συστήσεσθαι δὲ ἡμῖν καὶ ἐκ τῆς τύχης τὸ εἰκὸς ἄγει· ἥ τε γὰρ ὑπόθεσις δικαιοτάτη, καθ' ἣν ἀμυνούμεθα τοὺς προαδικήσαντας, καὶ τὸ δαιμόνιον ταύτῃ ὡς ἐπὶ πολὺ βραβεύει τὰ ἀνθρώπεια, προθυμότατον ὂν συμφορὰς ἐλαττῶσαι καὶ ἐς τὰ ἀμείνω συνάρασθαι. Καλὸν δὴ γνωρίσαι τὸ πάτριον ἡμῶν σχῆμα, καὶ αὐτοὺς τοῖς Ἕλλησιν ἀρετῆς καὶ ἐλευθερίας γενέσθαι παράδειγμα, καὶ παρά τε τοῖς οὖσι καὶ τοῖς ἐπιγιγνομένοις εὐκλείας

21.

« .. et fortitudine magis bella quam numero militum cernuntur. Nobis non pœnitendæ copiæ sunt; bis enim mille cunctim censemur: locus vero munitissimus, unde discurrentibus licet nobis hostes male mulcare, dum palantes aggredimur, eorumque itineribus insidiamur. Quibus artibus facti superiores, et vires augebimus, et non modico adversariis terrori erimus: qui si in aciem processerint, resistemus, quia præter arma non est inutilis hæc loci munitio silva: siquidem hostes diversis partibus incurrentes, nos haud satis sibi exploratos pertimescent; neque pari jam conditione pugnabunt; et solvent ordines; ac dum neque sagittas neque jacula ad certum scopum emittent, et vanos ictus edent, et a nobis potius lædentur, qui nemore protecti certissima tela ex opportunissimis locis jaculabimur, tuti ad feriendum, alienis vero ictibus minime expositi. Jam ad ipsum prœlium quod attinet, si forte id patrare opus fuerit, reputandum est, a maximis periculis maximum animi vigorem suppeditari: et quanto salus incertior est, tanto contentionem acriorem fieri. Multa etiam insperata eveniunt, dum pro rebus arduis contendimus et cara quæque protegimus spe ultionis. Age vero neque ante nos quisquam majoris iræ materiam habuit, qui videlicet genus nostrum et urbem in potestate hostium videmus. Tum et alii, qui coacti cum hostibus militant, in hos arma convertent, simulac incursionem nostram cognoverint, de sua quoque libertate sperantes.

« Audio regis quoque navales copias haud procul esse, opem nobis ferentes; quibuscum nos consociati præclarissime prœlium inibimus. Insuper existimo Græcos quoque ad eandem animorum alacritatem a nobis excitatum iri. Ego vero ipse haud me periculo submovens, neque beatiore sorte utens, in hanc belli aleam descendo virtutis ergo, tuendique res carissimas, et ne urbis dignitatem in me ipso dedecorem: vobisque auctor sum, ut cum animis vestris sic reputetis: mortem scilicet omnes homines vita spoliare; verumtamen in certaminibus pro patria obeundis pulcherrimum præmium gloriamque immortalem secum ferre. Quodsi quem, propter ea quæ diximus, captivitas urbis territat atque idcirco prostrato animo est, is cogitet, plerasque urbes hostium insidiis esse captas... ad altiora loca incolumes recedemus. Atque ita hostium difficultates e re nostra erunt.

« Jam et ipsa fortuna in nostris jure meritoque partibus esse debet, quia justissima est belli causa, dum aggredientes repellimus. Tum et Deus sic plerumque humana gubernat, ut calamitosos libentissime sublevet ac meliore sorte donet. Interest etiam nostræ meminisse patriæ dignitatis, nosque ipsos Græciæ virtutis ac libertatis exemplar proponere, sempiternamque laudem a præsentibus posterisque consequi, dum reapse demonstramus, vigorem Atheniensium nullis

ἀειμνήστου μετασχεῖν, ἔργῳ δεικνύντας, ὡς καὶ ἐν ταῖς συμφοραῖς τὸ φρόνημα τῶν Ἀθηναίων οὐχ ἥττηται. Σύνθημα δὲ τοῦ πολέμου παῖδας καὶ τὰ φίλτατα ποιησάμενοι καὶ τὸ ταῦτα διασώσασθαι, ἐς τὴν ἀντίστασιν συνταττώμεθα, θεοὺς ἐφόρους ἀρωγοὺς ἐπικαλεσάμενοι. » Καὶ ὁ μὲν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀθηναῖοι τοῖς τε λεχθεῖσι πολὺ ἐπερρώσθησαν (δυνατὰ ἐς τὴν ἀντίστασιν τὰ εἰρημένα), καὶ ἐπὶ τούτῳ ἐξηγεῖσθαι σφῶν αὐτῶν ἠξίουν.

Ὅτι τῶν τὰ ἄριστα προελομένων ἡ προθυμία, κἂν τὸ ἔργον μὴ συνακολουθήσῃ, ἐπαινεῖται.

Ὅτι ἀλγεινοτέρα ἀνδρὶ ἀρχὴν ἔχοντι τοῦ παντὸς ἡ ἀποτυχία μᾶλλον ἢ ἑκάστῳ ἡ καθ' αὑτὸν κάκωσις· τῷ γὰρ ἰδίῳ περιγραφὴ ἡ τύχη τοῦ συμβάντος, εἰς δὲ τὸν ἄρχοντα προσχωρεῖ τοῦ συνενεχθέντος ἡ αἴσθησις. Ῥοπὴ δὲ οὐκ ἐλαχίστη πεπειθὼς τῇ (sic) γνώμῃ παραπλησίως ἔχειν· καὶ τὸ εἰκὸς τούτου οὐκ ἀπε.. γεῖν ἐπ' εὐνοίᾳ. Καὶ παρίσταται δ' ἐμοὶ ἀπὸ τῶν αὐτῶν θαρρεῖν, ἀφ' ὧν καὶ τὸ δυσχερὲς ὡρμήθη.

Ὅτι φησὶν ὁ Δέξιππος πρὸς τοὺς Ἕλληνας δημηγορῶν· « Καὶ μή τῳ παραστῇ ὡς.. τῆς σωτηρίας ὑμῶν με.. ὀψὲ περι.. τὴν.. ην. Ἔγνων τε γὰρ τὰ κοινῇ λυσιτελῆ.. ἄλλος καὶ πρᾶξαι .... ἐπαίτιος ὅτου ἐστὶν ἐπισκέψασθαι τὰ συνοίσοντα καὶ .... ἀνὴρ ἐκ τοῦ δικαίου τὴν ἀρχὴν ἔχων καὶ πολιτεύων ἄριστα πειθοι * * *

De re, ad quam hoc fragmentum (Dexippi oratio ad Athenienses, qui, urbe capta, cum illo profugerant) pertinet, præter Zosimum (I, 39, 1) cf. Trebellius in Gallieno c. 13 : *Inter hæc Scythæ per Euxinum navigantes, Istrum ingressi, multa gravia in solo Rom. fecerunt. Quibus compertis, Gallienus Cleodamum et Athenæum Byzantios instaurandis urbibus muniendisque præfecit. Pugnatum est circa Pontum, et a Byzantiis ducibus victi sunt Barbari. Veneriano item duce, navali bello Gotthi superati sunt, tum ipse Venerianus militari periit morte. Atque inde Cyzicum et Asiam, deinceps Achaiam omnem vastarunt, et ab Atheniensibus duce Dexippo, scriptore horum temporum, victi sunt. Unde pulsi per Epirum, Acarnaniam, Bœotiam, pervagati sunt* (an. 267 p. C.).

22.

Trebellius in Claudio c. 12 : *Quo* (Claudio) *ad deos atque ad sidera demigrante, Quintillus frater ejusdem... suscepit imperium. Sub hoc barbari qui superfuerant, Anchialo vastata, conati sunt Nicopolim etiam obtinere. Sed illi provincialium virtute obtriti sunt. Quintillus autem ob brevitatem temporis nihil dignum imperio gerere potuit. Nam septimadecima die, quod se gravem et serium contra milites ostenderat ac verum principem pollicebatur, eo genere quo Galba, quo Pertinax, interemptus est. Et Dexippus quidem Quintillum* (*Claudium* ego) *non dicit occisum, sed tantum mortuum : nec tamen addidit morbo, ut dubium sentire videatur.*

23.

Exc. De strateg. c. VI, p. 15 : Ἐκ τῶν Δεξίππου. Σίδης πολιορκία.

Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Σίδην· πόλις δὲ αὕτη τῶν ἐν Λυκίᾳ. Ὡς παρασκευή τε πᾶσα ἦν ἄφθονος εἴσω τείχους καὶ πλῆθος ἀνδρῶν οὐ νωθρῶς ἁπτομένων τοῦ ἔργου, μηχανὰς ἐποιοῦντο, καὶ προσῆγον τῷ τείχει. (2) Οἱ δὲ καὶ πρὸς ταύτας ἀντήρκουν, καθιέντες ὅσα κωλύματα. Πύργους δ' ἐπὶ τούτῳ ξύλου ἰσομετρήτους τῷ τείχει κατεσκεύαζον καὶ ἐκίνουν ὑποτρόχους ὡς ἐγγὺς ἵστασθαι. (3) Προεβέβληντο δὲ τῶν πύργων οἱ μὲν σίδηρον ἐπὶ λεπτὸν ἐληλασμένον καὶ ἐπὶ πολὺ τῶν ξύλων καταπεπηγότα, οἱ δὲ δέρριν καὶ ὅσα πυρὶ οὐχ ἁλώσιμα. (4) Ἀντεμηχανήσαντο δὲ καὶ οἱ ἐκ τοῦ

1. De Sides Pamphyliæ urbis obsidione aliunde non constat; res in idem, opinor, tempus cadit, quo Anchialus Thraciæ urbs capta est. Jornandes c. 20 Gothos refert regnante *Gallieno* in Asiam involantes devastasse Ephesum, Trojam, Anchialum (quod de Anchiale Ciliciæ urbe intelligendum esse videtur), Dexippum secutus Trebellius in Claudio c. 12 : *Sub hoc* (Quintillo) *barbari Anchialo vastata conati sunt*, etc. (fr. 22). — 1. εἴσω τείχους] Dübner. εἴσω ψύχους codex. — 2. καὶ ἐκίνουν] Minas. κλείνουν ὑπὸ τροχοὺς cod. — 3. δέρριν] δέρρεις?

cladibus exstingui. Tesseram vero pugnæ liberos nostros et carissima quæque atque horum salutem nobis proponentes, in aciem prodeamus, custodum deorum ope implorata. » Sic ille concionatus est. Athenienses autem, dictis magnopere confirmati (nam pugnæ stimulos concio subjecerat), ut se in aciem duceret, ipsum rogabant.

Studium exsequendi rem optime deliberatam, etiamsi opere interdum cassum fiat, nihilominus commendatur.

Homini magistratum gerenti publica calamitas magis molesta est, quam suum cuique infortunium. Nam privatum hominem rei publicæ fortuna leviter tangit; veruntamen ad magistratum sensus quoque ejus pertinet.. Jam licet mihi ex eadem re lætitiam capere, unde olim molestia orta est...

Dexippus in concione ad Græcos sic ait.... vir justum imperium consecutus atque optime remp. gerens ***.

22.

E Dexippi Historiis. Sidæ obsidio.

Scythæ Siden, quæ Lyciæ urbs est, obsidentes, quum largus omnis generis apparatus intra muros esset, atque multitudo virorum ad defendendam urbem paratissimorum, machinas fabricarunt easque ad mœnia adduxerunt. (2) Verum his quoque oppidani restiterunt demittentes quæcunque impedimento esse possent. Tum Scythæ turres ligneas ejusdem cujus murus erat altitudinis construxerunt, quas rotis impositas quam proxime admovere. (3) Munierunt vero turres alii ferri tabulis tenuibus, quas ad ligna locis plurimis affixerunt, alii pellibus ceterisque rebus, quæ igne vastari haud facile possunt. (4) Contra oppidani tale quid excogitarunt. Ligna permagna erigebant ubi impetum fa-

ἄστεως τοιόνδε· σανίδας μεγάλας ὀρθίας προστησάμενοι καθ' ὅ τι ἔμελλον οἱ ἐναντίοι ποιήσασθαι τὴν προσαγωγὴν τῶν μηχανῶν, (5) καὶ αὖ ἐγκάρσια ξύλα καὶ ἰκρία ταύταις παραπήξαντες, μέσαις αὐταῖς ἐτεκταίνοντο θυρίδας, ὅσον εἰς ὑποδοχὴν ἀνδρὸς τὴν ἄχρι στέρνου, ὡς ὑπερέχοντας αὐτῶν κατὰ ὕψος ἐκ μετεώρου ἔχειν ἀμύνασθαι. (6) Ποιήσαντες δὲ ταῦτα ἐκ μετεώρου καθίεσαν ἀρτῶντες κύκλῳ ἐφεστρίδας τε καὶ νάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μήτε εὔφλεκτα εἴη καὶ τῇ ἁπαλότητι αὐτῶν κατέχοι τὰ προσπηγνύμενα, οὐχ ἀντικόπτοντα τῇ βίᾳ πληγῆς. Γενομένης δὲ πείρας ἐπὶ τούτοις ἑκατέρωθεν καὶ μάχης κρατερᾶς, ὡς ἄπρακτος ἦν τοῖς Σκύθαις ἡ διατριβὴ καὶ οὐδὲ ἐν προὐχώρει εἰς ἐλπίδας, ἀνεχώρουν.

24.

Exc. De legat. p. 11. ed Niebuhr. Bonn. : Ὅτι Αὐρηλιανὸς κατὰ κράτος νικήσας τοὺς Ἰουθούγγους (*) Σκύθας, καὶ κατὰ τὴν τοῦ Ἴστρου περαίωσιν ἐς τὴν ἀποφυγὴν πολλοὺς τούτων ἀνελὼν, οἱ λειπόμενοι ἐς σπονδὰς ἧκον καὶ πρεσβείαν ἐστείλαντο. Τὴν δὲ αἴτησιν τῆς εἰρήνης ἐδόκει μὴ σὺν τῷ ἄγαν περιδεεῖ καὶ καταπεπληγότι ἐκ τῆς ἥττης ποιεῖσθαι, ὡς ἂν ὑπάρχοι σφίσι καὶ τῶν πρόσθεν φοιτώντων χρημάτων παρὰ Ῥωμαίων ἡ ἀποδοχὴ, μὴ ἐς τὸ ἀδεὲς πάντη τῶν ἐναντίων καθισταμένων. Ὁ δὲ Ῥωμαίων βασιλεὺς Αὐρηλιανὸς ὡς ἐπύθετο ἀφιγμένην τὴν Ἰουθούγγων πρεσβείαν, ἐς τὴν ὑστεραίαν φήσας χρηματιεῖν περὶ ὧν ἥκουσι, διέταττε τοὺς στρατιώτας ὡς ἐς μάχην, ἐκπλήξεως εἵνεκα τῶν ἐναντίων. Ἐπεὶ δὲ καλῶς εἶχεν αὐτῷ ἡ διακόσμησις, ἐπὶ ὑψηλοῦ βήματος μετέωρος βέβηκε, καὶ ἁλουργίδα ἀμπέχων, τὴν πᾶσαν τάξιν ἐποίει ἀμφ' αὐτὸν μονοειδῆ. Παρεστήσαντο δὲ καὶ τῶν ἐν τέλει ὅσοι ἀρχάς τινας ἐπιτετραμμένοι, σύμπαντες ἀφ' ἵππων. Κατόπιν δὲ βασιλέως τὰ σήματα ἦν τῆς ἐπιλέκτου στρατιᾶς· τὰ δέ εἰσιν ἀετοὶ χρυσοῖ καὶ εἰκόνες βασίλειοι καὶ στρατοπέδων κατάλογοι γράμμασι χρυσοῖς δηλούμενοι· ἃ δὴ σύμπαντα ἀνατεταμένα προὐφαίνετο ἐπὶ ξυστῶν ἠργυρωμένων. Ἐπὶ δὲ τούτοις ὧδε διακοσμηθεῖσιν Ἰουθούγγους ἠξίου [παρελθεῖν]. Τοὺς δὲ συνέβη θαμβήσασθαι ἰδόντας καὶ ἐπὶ πολὺ σιγῇ ἔχειν. Ἐπεὶ δέ σφισιν ἐκ τοῦ βασιλέως ἀπεδόθη λέγειν, διά τινος ἑρμηνέως ἔλεξαν τοιάδε· « Οὔτε τῇ ἐπὶ καιροῦ συμβάσῃ κακοπραγίᾳ ἡμῶν παρὰ τὸ εἰκὸς καταπεπληγότες, οὔτε δυνάμεως ἐνδεῶς ἔχοντες ἢ καὶ πολέμων ἄπειροι καθεστηκότες, ἀσθενείας εὐπρεπείᾳ κατὰ τὸ ἡμῖν αὐτοῖς μόνοις συμφέρον ἐς τὴν εἰρήνην σπεύδομεν· ἀλλὰ περίεστι μὲν ἡμῖν τοσοῦτον τῆς ἐν τοῖς πολέμοις περιουσίας πλήθους εἵνεκα καὶ ἰσχύος, ὥστε μέρει ἐλαχίστῳ τὰς πρὸς Ἴστρῳ πόλεις ἐπελθόντες Ἰταλίαν μικροῦ πᾶσαν κατειλήφαμεν, ἱππικῷ μὲν στρατεύσαντες ἐς μυριάδας δ', καὶ τούτων οὐ μιγάδων οὐδὲ ἀσθενῶν, ἀλλὰ Ἰουθούγγων καθαρῶς, ὧν πολὺς ἐφ' ἱππομαχίᾳ λόγος. Ἀσπίδα δὲ ἄγομεν διπλασίαν δυνάμεως τῆς ἱππικῆς, οὐδ' ἐν τούτοις ταῖς ἑτέρων ἐπιμιξίαις ἐπισκιάζοντες τοῦ σφετέρου στρατοῦ τὸ ἀνανταγώνιστον. Ἔχοντες δὲ καὶ οὕτω παρασκευῆς διακρίνε-

6. Verba ἀρτῶντες... εὔφλεκτα εἴη, non nominato auctore exhibet Suidas v. ἐφεστρίδες. Pro μήτε Suidas præbet μή.

(*) E Dexippo hauserit Suidas : Ἰουθοῦγγοι, ὄνομα ἔθνους. « Οἱ δὲ ἐπεραιώσαντο τὸν Ἴστρον, δόντων ἑκόντων εἶναι τὴν δίοδον Ἰουθούγγων ἔχθει τῷ πρὸς Ῥωμαίους. »

cturi hostes essent. (5) His deinceps transversas trabes et tabulas applicarunt, in mediis autem fecerunt ostiola, ejus magnitudinis, ut virum usque ad pectus excipere possent. Hoc igitur modo altius quam hostes positis e sublimi propugnare licebat. (6) Præterea ex alto demisere et circumcirca alligarunt cilicia atque vellera, quippe cujusmodi munimenta et inflammatu difficilia essent et mollitie sua vim illisorum infringerent neque ea repercuterent. Post hæc quum utrimque rei periculum facientes pugnassent strenue, Scythæ vero operam et tempus frustra impenderent nec quidquam ex voto iis procederet, soluta obsidione hostes abierunt.

24.

Imperator Aurelianus (an. 270 p. C.) quum Juthungos Scythas acie devicisset, et multos eorum in ipso Istri trajectu fugientes interemisset, reliqui bellum fœdere finire voluerunt, et legatos miserunt. Neque tamen cum nimio timore nimiaque perturbatione, quasi clade sua perculsis pacem sibi petendam esse ducebant, ne tributo, quod antea Romani penderant, hostibus ab omni metu solutis, in posterum privarentur. Sed Romanorum imperator Aurelianus, ut Juthungorum legatos advenisse intellexit, quum dixisset, se cum his postridie acturum de his, quorum causa legati venerant, hujusmodi hostibus terroris injiciendi gratia militum aciem condicta die tanquam ad pugnam instruxit. Ut illi recte se habere visa est exercitus dispositio, altum suggestum sublimis, purpura indutus, ascendit, et omnem exercitum, qui ipsum circumstabat, in formam lunæ disposuit. Aderant et ex his, qui in exercitu imperia habuerant, omnes ab equis. A tergo imperatoris erant signa coadunati exercitus. Hæc vero erant aquilæ aureæ et imagines imperatorum, et eorum qui militiæ nomina dederant, catalogi et enumerationes, aureis litteris perscriptæ. Quæ omnia explicata et illustri loco posita in hastis argentatis conspicua erant. His ita præparatis Juthungos jussit adesse. Ut hæc viderunt, obstupefacti longo tempore silentium tenuerunt. Postquam ab imperatore illis dicendi facultas data est, ita per interpretem locuti sunt : « Neque quia adversa fortuna, quæ nobis hoc tempore contigit, ultra modum animos nostros abjecit et perculit, aut quia destituti copiis et viribus sumus, aut rei militaris imperiti, infirmitatem nostram honesto prætextu tegentes, neque quidquam nisi utilitatem nostram spectantes, ad pacem festinamus. Sed multæ nobis adhuc suppetunt ad bellum gerendum facultates, sive multitudine militum, sive viribus opus est. Nam et minima nostri parte urbes ad Istrum sitas invadentes, parum abfuit quin omnem Italiam ceperimus. Quadraginta equitum millia in pugnam educimus, quæ non ex convenis aut imbecillibus, sed ex Juthungis pure constant, quorum in equestri prœlio magna fama est. Peditum autem

σθαι, οὐ διαγινώσκομεν ἐς ἀντιλογίαν ἥκειν τῆς συμφορᾶς πέρι. Οὐ διὰ τὸ μὴ κατὰ κράτος νενικῆσθαι, κατὰ δὲ τὸ ἄδηλον τοῦ ἐκβησομένου εἰρήνην πολέμου προτιμῶμεν, εἰκάζοντες καὶ ὑμῖν ὡς γένοιτ' ἂν διὰ γνώμης πρὸς Ἰουθούγγους εὖ παρασχὸν τῆς πρόσθεν διαφορᾶς συμβῆναι, οἷα δὴ ὑπούσης καὶ παλαιᾶς ἀμφοῖν τοῖν γενοῖν πρὸς ἄλληλα πίστεως ἐς τὸ ἡσυχάζειν, δι' ἣν χρὴ τὴν ἐπὶ καιροῦ διαφορὰν ἀπερίσκεπτον ἐν τῷ παρόντι καταλύσαντας πρὸς τὸ παλαίτερον καὶ λυσιτελοῦν μετατίθεσθαι ἑκατέροις. Ἔν τε τῷ πολέμῳ οὐκ ἐπὶ πλεῖστον ταῖς καταδρομαῖς ληϊζόμενοι, ἀλλ' ὅσον ἐς ἀφορμὴν τῶν ἐπιτηδείων ἀγαπῶντες τὴν ἄθροισιν, μέχρι τῆς γενομένης μάχης ἡσυχίᾳ τὸν καιρὸν διετρίβομεν, ὡς τοῖς ἐπιοῦσιν ὑμῖν σὺν τῇ ὑμετέρᾳ δυνάμει τὸ καθ' αὐτοὺς ἀντιτάξαντες. Ὃ δὴ καὶ νῦν ποιεῖν παρεσκευάσμεθα· καὶ τό τε ὑμέτερον πρὸς πάντα κίνδυνον ἐκ τούτου ἀδεέστερον ἕξει, καὶ τῶν μεγίστων στρατοπέδων συνελθόντων οὐδ' ἡτισοῦν ἑτέρα χεὶρ ἀξιόμαχος ἡμῖν νομισθήσεται. Εἰ δέ τις τῇ εὐτυχίᾳ τοῦ πολέμου ἐπαιρόμενος ὀλίγωρός ἐστι πρὸς τὴν σύμβασιν, γνώτω οὐ βεβαίῳ πράγματι θρασυνόμενος, καὶ ὅτι ἐπὶ παντὶ φέρον (σφαλερὸν? N.) τῆς δοκούσης εὐπραγίας ἡττηθέντας καὶ πρὸς τὴν παροῦσαν τῆς τύχης ἀκμὴν ἀποκλίναντας τῶν ἀμεινόνων ἐξηρτῆσθαι μόνων ἐλπίδων, καὶ ὑπὸ τοιαύταις ἀνομίαις (ἀνοίαις? B.) τῆς τε πρὸς θάτερον μεταβολῆς ὑπεριδεῖν καὶ συμμαχίαν εὔκαιρον διδομένην παραιτήσαθαι. Πεφύκασί τε αἱ μείζους στρατιαί, παρὰ μὲν τὴν πρώτην θάρσει οἰκείας δυνάμεως ἐπαιρόμεναι καὶ ἐλαχίστῃ προμηθείᾳ χρώμεναι, σὺν καταφρονήσει τῶν ἀντιπολεμούντων ἐπὶ τὰς μάχας πορεύεσθαι καὶ κατὰ τὸ ἀφύλακτον ὡς ἐπὶ πολὺ τὸ ἧττον ἔχειν, αἱ δὲ τῷ αἰφνιδίῳ καὶ παρ' ἐλπίδα χωρήσαντι* λογισμῷ τε ἀσφαλεῖ καὶ περιουσίᾳ δυνάμεως βεβαίως χρησάμεναι δυσμαχώτατοι τοῖς ἀντιπάλοις γίνεσθαι. Σὺν δὴ τοιαύτῃ ἐλπίδι καὶ ἡμεῖς, διχῇ τὴν δύναμιν διελόντες τὸ πρῶτον, καὶ ἐν τῷ ποταμῷ τὰ πολλὰ τύχῃ μᾶλλον ἢ ἀρετῇ ὑμετέρᾳ σφαλέντες, οὐκ ἀπροσδόκητοί ἐσμεν ἀλλὰ νῦν, ἅμα τῷ τοῦ μέλλοντος προμηθεῖ, οὐχ ὑπόστατοι ὑμῖν γενέσθαι. Κράτιστον δὴ τούτων εἵνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ τὰ τοῦ πολέμου πράγματα σὺν ἡμῖν τίθεσθαι, τῇ τε παρ' ἡμῖν συμμαχίᾳ ῥωσθέντας πλέον ἔχειν πρὸς τοὺς ἐπιόντας. Εἰ δὲ ταῦτα ποιεῖν ὧδε κρίνοιτε, ὑπάρχειν ἡμῖν δίκαιον καὶ ὅσα ἐν χρυσοῦ ἀσήμου τε καὶ ἐπισήμου δόσεσι καὶ ἀργύρου παρ' ὑμῶν ἐφοίτα ἐπὶ φιλίας βεβαιότητι. Ἀπειπαμένων γὰρ, ὅσα ἐχθροὺς ἀμυνόμενοι, καθότι δυνατὸν πολεμήσομεν. » Πρὸς ταῦτα ὁ Ῥωμαίων βασιλεὺς ἔλεξεν ὧδε· « Εἰ μὲν [μὴ] ἐς ἀφανὲς καθέντες τὴν γνώμην ὑμῶν, περὶ ὧν πρεσβεύεσθε, ἐδιδάσκετε, οὐθ' ἡμῖν τοῖς ἐκδεξαμένοις τὸν λόγον χαλεπὴν παρεῖχετ' ἂν τὴν ἀπόκρισιν. Ἐπεὶ δὲ τὰ εἰρημένα ἐς μὲν εὐπρέπειαν σύγκειται, ἔργῳ δὲ ἐναντίως ἔχει, πῇ μὲν εἰρήνης μνημονευόντων, ὅτε δ' αὖθις πόλεμον ἐπανατεινομένων ὑμῶν, ὧν συγχεῖν ἐοίκατε ἑκάτερον ἐκ θατέρου, ἀμφίβολον καὶ ἡμῖν καθίσταται πρὸς ὅ τι χρὴ πρῶτον ἀποκριναμένους μὴ ἁμαρτάνειν. Λέλειπται

---

duplicem equitatus numerum producimus; in his quoque nulla peregrinorum admixtione invictum agminis eorum robur deminuentes. Itaque quanquam hujusmodi apparatu ad dimicandum instructi, minime tamen de eventu decertandum esse ducimus. Non autem quia victi sumus, sed propter eventuum incertitudinem, pacem bello præponimus, præsertim quum vos quoque, data occasione, ad componendas simultates cum Juthungis propensos esse suspicemur, quoniam aliqua inter utramque gentem antiqua et inveterata ad quietem mutuo colendam fides exstat. Quamobrem oportet inconsiderate susceptum hoc tempore dissidium deponere, et ad antiquam concordiam, quæ est utrisque utilior, redire. Et in ipso bello quidem non admodum crebras incursiones facientes prædas egimus, necessarias res comparare qua occasio tulit studentes, ceteroquin usque ad hanc proximam pugnam in otio et quiete tempus contrivimus, et quando hostes vestri in vos irruerunt, contra ipsos una cum vestro exercitu in acie stetimus. Quod et adhuc nunc facere parati sumus, ut vestrum periculum levemus nostro, et tutius vobis sit. Nam conjunctis maximis nostris exercitibus, nulla alia manus par nobis in conserenda pugna censebitur. Sin autem quis prospero rerum in bello successu elatus contemnit et alienus est a pace: sciat, se haud satis firma et stabili re inniti, sed in summum discrimen adduci, quicunque, secundæ fortunæ specie victus et præsenti felicitati confisus, sola meliorum successuum spe nitatur, quique in ea animi immoderata elatione ad mutationem rerum non advertat et suppetias opportune sibi oblatas respuat. Ex quo fere ita comparatum est, ut propriarum virium fiducia præcipue majores copiæ fretæ, minima providentia in rebus suis utentes, ad pugnandum accedant et hostes contemptui habeant, a quibus minime sibi caventes superantur. Quæ vero in repentinis et insperatis casibus consilio tuto et virium præstantia cum firmitudine utuntur, magna cum difficultate ab hostibus expugnari possunt. Hujus rei fiducia, quamvis, acie bipartita ad fluvium, fortuna potius quam vestra virtute nobis cladem intuleritis, haud spe destituti sumus, diligentiore posthac nostris rebus cautione adhibita, fore ut nos sustinere minime valeatis. Itaque potius est, ut vos commoda, quæ ex pace proveniunt, percipiatis, et junctis nobiscum bellicis viribus, nostris auxiliis confirmati, superiores vestris hostibus, si qui vos adoriantur, evadatis. Quod si ita fieri debere judicaveritis, quod auri facti vel infecti vel etiam argenti a vobis antea nobis redibat, ad amicitiæ confirmationem vos præstare æquum est. Si id denegaveritis, vos qua hostes ulciscemur, et quantum in nobis erit, bello persequemur. « Ad hæc Romanorum imperator hæc dixit: » Siquidem aperte et dilucide vestram sententiam exponentes, ea, de quibus legati estis, nos docuissetis, nobis, qui vestrum sermonem excepimus, ad eum minime dubia aut difficilis præbita esset responsio: sed quoniam ea quæ dicta sunt, decorum quid et honestum præ se ferunt, re ipsa vero secus se habent, quum modo pacis mentionem faciatis, modo rursus bellum minemini et intendatis, quorum utrumque in utroque confundere et involvere videmini, dubitationem nobis attulistis, cui primum debeamus respondere, ne in aliquo offendamus. Sed aliquid tamen etiam

δέ τι καὶ ἐκ τῶν παρόντων βουλεύσασθαι· χρὴ γὰρ τὼ διττὼ τούτω λόγω διελόντας ἀπαντᾶν πρὸς ἄμφω· εἰ μὲν γὰρ καθαρῶς εἰρήνην ἐπαγγέλλεσθε, τί δεῖ μεμνῆσθαι χρημάτων αἰτήσεως; καίτοι κἂν τούτῳ οὐ σὺν τῷ προχείρῳ ἡ βουλὴ τοῖς νενικηκόσιν πρὸς τὴν ἄρνησιν ἢ τὴν καταίνεσιν. Εἰ δὲ ἔτι σκοπεῖν ὑμῖν πρὸς τὸ συμφέρον καὶ τὰς ἐκ τοῦ πολέμου πλεονεξίας ἡγεῖσθε τὴν σύμβασιν, καὶ ἡττηθέντες ὥσπερ δασμοὺς παρ' ἡμῶν ἀπαιτήσοντες ἥκετε, τῆς ῥαστώνης τὸ τερπνὸν, ὅσον εἰρήνη δίδωσιν, ἐκ παντὸς μεταδιώκειν ἡμᾶς νομίζοντες, ἔχεσθε τῆς ὁμοίας τῇ πρόσθεν ἐπιχειρήσεως, μηδ' εἰς εὐεργεσίας λόγον προϊσχόμενοι τοῦ πολέμου τὴν κατάλυσιν αἰτεῖτε μισθὸν τῆς συγχωρήσεως, ὠνητὴν καὶ οὐκ ἐθελούσιον ποιούμενοι τὴν παροῦσαν ἐς τὴν φιλίαν πρόκλησιν. Οὐ γὰρ δὴ πολέμων ἀπείρους ὄντας ἡμᾶς τῷ πλήθει τῆς πολλὰ δὴ κομπασθείσης ὑφ' ὑμῶν δυνάμεως ἐκπλήξετε· οὐδὲ πλούτῳ λαφύρων Ἰταλικῶν ἐπικομιζόμενοι (1), ἀδεῶς ἐπ' οἴκου πορεύσεσθε· ἀλλὰ δῆλαι μὲν ὑμῶν αἱ πεζαὶ παρασκευαὶ, οὐκ ἄδηλοι δὲ αἱ τῶν ἱππέων, πρὸς ἃς ἐς τρόπον τὸν δυνατὸν ἀντιστησόμεθα. Τολμῶμέν τε γὰρ μετ' ἀσφαλείας, καὶ ἀναχωροῦμεν σὺν προμηθείᾳ, οἷα δὴ λογισμῷ ἡγεμόνι ἐς πάντα χρώμενοι, οἷς ἡ ἰσχὺς βεβαιοτάτη, καὶ ἐμπειρίαν πολεμικῶν ἔργων διαφερόντως ἔχοντες. Ὑμεῖς δὲ μετά τε τοῦ προχείρου ἔπιτε, καὶ διαμαρτάνοντες τῶν ἔργων διὰ τὸ μὴ προσκέψασθαι ἐφ' ἃ δεῖ ἐλθεῖν, πείρᾳ τὴν βλάβην τοῦ προπετοῦς φερόμενοι μεταγινώσκετε. Τοῖς γὰρ ζέσει ἐς τὰς πράξεις, μὴ [συνέσει], συμφερομένοις ἀνάγκη τοῦ βελτίστου ἁμαρτάνειν. Καὶ ταχεῖαι μὲν ὑμῶν αἱ ἐπιχειρήσεις, δι' ὀλίγου δὲ αἱ μεταμέλειαι. Καὶ τὸ σύμπαν κατὰ τὸ εἰκὸς θαύματος ἀπήλλακται, ἀντιπάλους ἡμῖν τυχόντας καὶ ἠθῶν ἀνομοίων καὶ ἐς τὰς γνώμας πραττομένων διεστάναι οὐκ ἀποπεποιηκὼς (2), καὶ ὑμᾶς μὲν ἀμαθίᾳ, ἡμᾶς δὲ λόγῳ συνεῖναι, σὺν ᾧ μάλιστα καὶ τὸ κρατεῖν τοὺς ἥσσους τῶν πλειόνων περιγίνεται, συνέσει πρὸ δυνάμεως πιστεύοντας. Τούς τε πλείονας σὺν τῷ ἀλογίστῳ διὰ μάχης ἰόντας κάκιον ἀμανᾶσθαι (3), ἔργου πείρᾳ μᾶλλον ἢ λόγου κομπωδεστέρᾳ προσποιήσει διδάσκεσθε, βλέψαντες ἐς τὰ Σκυθῶν πάθη· μετὰ σαφεστάτων γὰρ τεκμηρίων καὶ οὐκ ἀμάρτυρα λέξομεν. Οὗτοι δὴ τριάκοντα μυριάσι στρατοῦ ἐφ' ἑκατέρας τὰς ἠπείρους σκεδασθέντες πάσῃ τῇ δυνάμει ἡττήθησαν πρὸς ἡμῶν, καὶ λαμπρὰ τοῖς νενικηκόσιν ὑπελείποντο τῆς οἰκείας ἀρετῆς ὑπομνήματα, ὧν τὴν εὔκλειαν ἐς τὸ παντελὲς ἕξομεν νῦν τε καὶ ἔπειτα, τῷ χρόνῳ συμπαραθέουσαν. Τάς τε Ἀλαμανῶν (4) συμφορὰς ἄγειν * σφᾶς τοῦ προχείρου τῷ ἀναρριφθέντι τῆς ἐπιχειρήσεως ταχυτέραν καὶ δι' ὀλίγου ἔθεντο τὴν μετάγνωσιν. Ἡμεῖς τε ἐπὶ ταῖς πλημμελείαις ὑμῶν, αἷς εἰς ἡμᾶς ἐπλημμελήσατε, οὐκ ἀποχρῆν ἡγούμεθα ἣν ἐπάθετε τιμωρίαν, εἰ μὴ καὶ τὸν Ἴστρον ὑπερβάντες ἐν ὅροις τοῖς ὑμετέροις τὴν ὀργὴν ὡς προαδικήσαντας ὑμᾶς (5) ἀποπλήσαιμεν. Πόλεμον γὰρ ἐπὶ σπονδαῖς ἀκήρυκτον ἐφ' ἡμᾶς ἠγείρατε, ἐγκλήματα μὲν ὡς εἰς προαδικήσαντας εἰπεῖν οὐκ ἔχοντες, ἐπιθυμίαις δέ τισι καὶ ἐλπίσι κουφισθέντες, σὺν αἷς ὅμιλος ἀλόγιστος ἐπαίρεται, στρατιᾶς καὶ πο-

(1) πλοῦτον ἐπικομιζ. H.; πλούτῳ ἐπικομπαζόμενοι N.

2. ἀπεικότως? — 3. ἀμύνασθαι? Hœsch., ἀπαλλάττεσθαι? B. δαμνᾶσθαι? Mai. — 4. Sic Nieb. pro γαλμιόνων. Locus mutilus. — 5. ὧν προηδικήσατε ἡμᾶς? B.

in præsentia considerare licet. Oportet enim, divisa duplici vestra oratione, in utramque partem occurrere. Si enim pure et sincere pacem denuntiaretis, quid attinuit pecuniarum exactionis meminisse? etiamsi victoribus non satis constaret, an denegarent aut concederent, quod ab illis petitur. Si vero ex pace etiam commodis vestris et exspectatis belli lucris consulere censetis, et quanquam victi quasi tributa a nobis petitis, nihil magis nos amplecti et persequi quam voluptatem ex otio, quod pax tribuit, existimantes : eandem vos quam antea superbiam ostenditis, tantumque abestis ut beneficii loco belli cessationem habeatis, ut etiam mercedem pacis postuletis, et venalem, non spontaneam adhortationem ad amicitiam, quam nunc proponitis, faciatis. Non enim nos tanquam bellorum rudes et imperitos magnitudine tantarum, quas vos jactatis, virium perterrefacietis. Neque vero spoliis Italicarum opum onusti impune domum revertetis : vestræ pedestres copiæ nobis sunt notæ, neque equestres ignotæ, quibus quantum in nobis erit quacunque via resistemus. Audemus enim cum securitate, recedimus cum providentia, et in omnibus rebus prudentia duce utentes, quæ plurimum valet, usu et rei militaris peritia præstamus. Vos cum ardore et promptitudine aggredimini, deinde rerum adeptione frustrati, quia qua progredi oportebat, non ante providistis, damnum experientia ipsa ex vestra temeritate reportantes pœnitentia ducimini. Qui enim fervidius quam prudentius ad res gerendas feruntur, hos optato rerum successu destitui necesse est. Conatus et aggressiones vestræ sunt subitæ et repentinæ et brevi post pœnitentia. In universum non est quod miremur, vos quum adversarii nobis sitis et diversorum morum, etiam rerum gerendarum consiliis a nobis distare * * et vos temeritate, nos consilio congredi, quo paucioribus quoque non raro plures vincere contigit, dum prudentia potius quam viribus nitebantur. Plures autem temere et imprudenter prœlium ineuntes malo affici, re ipsa potius quam verborum elegantiore ornatu docemini Scytharum mala intuentes. Manifestissimis enim indiciis et testimoniis nota testataque dicemus. Illi exercitu trecentorum millium hominum ab utraque parte ripæ expositorum pugnantes, omnibus viribus sunt a nobis deleti et superati. Cujus nostræ virtutis clara victoribus relicta sunt monumenta, ex quibus immortalem nobis gloriam et nunc et sequenti tempore duraturam peperimus. Alemanorumque (?) calamitatis (meminisse decet), quorum temerariam et inconsultam ad aggrediendum irruptionem celerior brevi post pœnitentia est consecuta. Et vero pro his, quæ in nos admisistis et commeruistis, eas quas luistis pœnas minime sufficere judicavimus, nisi quoque, trajecto Istro, in vestris ipsorum finibus iram nostram in vos, qui nos priores injuria affecistis, explevissemus. Bellum enim, dum adhuc fœdus erat, ultro et non indictum adversum nos excitastis. Et quum, quod nobis objiceretis, non haberetis, quia vobis

λέμου ἀντιλαμβάνεσθε. Ὅθεν οὐκ ἔξω προσδοκίας ἄγομεν καὶ παρὰ τοῦ θείου ἔσεσθαι ἡμῖν ἀρωγὰ, οἷα δὴ ἡμῶν μὲν θεσμὸν τὸν ἐπὶ σπονδαῖς οὐκ ἀτιμασάντων, Ἰουθούγγων δὲ ἄδικον ὁδόν τε ἐφ' ἡμᾶς ἐλθόντων, καὶ ὅρκους καὶ πᾶσαν πίστεως βεβαιότητα παρὰ φαῦλον τιθεμένων. Τοῖς τε αὖ φθάνουσι κατορθώμασιν τὸ μέλλον λαμβάνοντες, καὶ περὶ τῶν ἐσομένων οὐκ ἀπεικότως πρὸς τοῖς εἰρημένοις χρηστὰ δοξάζομεν. Ἡ μὲν γὰρ ἐπ' εὐπραγίᾳ ἐλπὶς θάρσος φέρει, φόβον δὲ ἡ ἐπὶ τῷ ἐναντίῳ. Λογισμῷ τε ἡγεμόνι πρὸς τὰς πράξεις χρώμενοι, τάς τε δόξας τῶν συμβησομένων οὐκ ἀβασανίστως προσιέμεθα, κἂν τοῖς παροῦσιν, οἷα ἄνδρες ἀθληταὶ κινδύνων τῶν ἀρίστων, οὐκ ἐκπληττόμεθα ταῖς τοῦ πολέμου χαλεπότησιν, ἐξ ὧν τὸ ἐλπιζόμενον κέρδος οὐκ ἀσθενὲς καὶ περιττότερον τῆς ἀχθηδόνος. Τὸ γὰρ πλῆθος ὑμῶν σώμασί τε ἥκιστα ἰσχύει καὶ φρονήμασιν. Ἀπείληπται γὰρ Ῥοδανοῦ (Ἠριδανοῦ? Val.) μὲν εἴσω καὶ τῶν ἡμετέρων ὁρίων· σπανίῳ δὲ ἀγορᾷ συνεχόμενον καὶ τῇ ἄλλῃ ταλαιπωρήσει, τοῖς ἀλγεινοῖς τοῖς μὲν ἤδη σύνεστι, τοῖς δὲ μέλλει. Καὶ προκαμὸν ἐν τῷ ἀεὶ μοχθεῖν ἀτολμότερον ἔσται καὶ χρῆσθαι αὐτῷ παρέξει ἀμαχεὶ ὅ τι ἂν βουλώμεθα, ὡς ἂν πρὸς τὴν χρόνιον διατριβὴν ἀπειρηκότι. Ὅθεν ὑμῖν τε τὸ πᾶν περιφανῶς κινδυνεύεται, καὶ ἡ τῆς εἰρήνης ὑμῶν αἴτησις ἐπ' εὐπρεπείᾳ τοῦ φόβου σύγκειται, ὅπως ἂν τὸ σφέτερον δέος ἐπηλυγάζησθε. Ἣν τί δεῖ προσίεσθαι, καλῶς ὑπάρχον πανταχόθεν ἀποκλεισθεῖσιν ὑμῖν τῆς οἴκαδε πορείας καὶ οἷον εἴσω πυλῶν ἀπειλημμένοις χρῆσθαι εὖ τε καὶ μὴ, ὅπως ἂν ἔχωμεν πρὸς ὑμᾶς διανοίας; » Ἐπὶ τούτοις λεχθεῖσιν ἐκ τοῦ βασιλέως κατεπλάγησάν τε Ἰουθοῦγγοι, καὶ ὡς οὐδὲν αὐτοῖς κατὰ τὰς ἐλπίδας ἐπράττετο, παντελῶς τῶν σπονδῶν ἀπογνώσει ἐχόμενοι παρὰ τοὺς σφετέρους ἀπεχώρησαν.

Ὅτι ἐπὶ Αὐρηλιανοῦ οἱ Βανδῆλοι κατὰ κράτος ἡττηθέντες παρὰ Ῥωμαίων πρεσβείαν ἐποιήσαντο πρὸς Ῥωμαίους περὶ διαλύσεως πολέμου καὶ συμβάσεως. Καὶ πολλὰ ἀναμεταξὺ εἰπόντων ἀλλήλων, τοῦ τε βασιλέως καὶ τῶν βαρβάρων, διελύθη μὲν ὁ σύλλογος, τῇ δὲ ὑστεραίᾳ τό τε πλῆθος τῶν Ῥωμαίων στρατιωτῶν αὖθις ἠθροίσθη, καὶ ἐρομένου βασιλέως, ὅ τι σφίσι περὶ τῶν παρόντων λῷον εἶναι δοκεῖ, κρίνοντες τὴν εὐτυχίαν τὴν ὑπάρχουσαν προμηθείᾳ τῆς ὑπὲρ τῶν ὄντων ἀσφαλείας διασώσασθαι, καὶ βοῇ τὸ βουλόμενον σημαίνοντες, σύμπαντες ἐς τὴν κατάλυσιν τοῦ πολέμου ἐχώρησαν. Καὶ οἷδε μὲν ὧδε συνενέχθησαν γνώμῃ· οἱ δὲ τῶν βαρβάρων βασιλεῖς καὶ ἄρχοντες, ἥκοντες καθότι σφισὶ προειρημένον, ἔδοσαν ὁμήρους σφῶν αὐτῶν, οὐ τὰ δεύτερα ἀξιώσεως καὶ τύχης. Οἵ τε γὰρ βασιλεῖς τοὺς παῖδας ἑκάτεροι διδόασιν ἐς τὴν ὁμηρείαν, ἐνδοιάσαντες οὐδὲν, καὶ ἕτεροι ἅμα αὐτοῖς οὐ μάλα πόρρω ἀξιώσεως. Καὶ ἐπὶ τούτοις ἐχώρησάν τε πρὸς σύμβασιν, καὶ αἱ σπονδαὶ ἐγένοντο. Συνεμάχουν δὲ ἀπὸ τῆσδε Ῥωμαίοις Βανδήλων ἱππεῖς εἰς δισχιλίους (*), οἱ μέν τινες

(*) « Hinc oritur mihi suspicio Dexippi esse fragmentum, quod anonymum v. διοσημεία citat Suidas : « Παρῆσαν δὲ οἱ δισχίλιοι (χίλιοι codd. AVC.) Σκύθαι, πάσης ὀξύτεροι διοσημείας (ἤτοι ἀστραπῆς ἢ πρηστῆρος ἢ κεραυνοῦ ἢ σκηπτοῦ ἢ διάττοντος ἀστέρος.) » Mai.

---

nullam injuriam feceramus, in spes et cupiditates quasdam erecti, quibus vulgus imperitum effertur, exercitu comparato, nos aggredimini. Quare speramus, deum nobis auxilio futurum. Sanctitatem enim fœderum minime derisui et ludibrio habemus. Juthungi contra iniqua ratione nos adoriuntur, et jusjurandum et cetera quantumvis firma fidei vincula pro nihilo ducunt. Equidem ex rebus ad voluntatem nostram fluentibus, quid consecuturum sit conjicientes, eventus rerum non absque veri similitudine, ex his quæ ante dicta sunt, lætos fore, exspectamus. Etenim ex secundis rebus spes fiduciam affert, contraria autem timorem. Prudentia duce in rebus administrandis utentes, quæ accidere possunt, non nisi re bene perpensa, opinione præcipimus, et in præsentia tanquam viri gravibus quibusque periculis exercitati, belli difficultatibus non terremur, quibus non levia commoda, sed laboribus longe majora comparantur. Nam vulgus vestrum neque corporis neque animi viribus pollet. Inclusum enim inter Rhodanum et nostros fines, alimentorum penuria aliisque incommodis laborans, multis malis hoc ipso tempore premitur, aliis mox premetur. Fractum et debilitatum, quia sine intermissione laborat, minus audet et timidius est. Itaque diuturnioris tum studii tum operæ nescium sese nobis sine prœlio præbebit paratum subire, quicquid de eo statuere voluerimus : ex quo omnes vestræ res in apertum discrimen adducuntur. Tota autem vestra pacis petitio nihil est nisi decorum timoris prætextum, quo metum vestrum tegere cupitis. Quam cur accipiamus, data nobis occasione vos undique ab reditu exclusos et quasi intra claustra coercitos bene aut male habendi, utcumque nobis pro animi nostri erga vos affectu videbitur? » His ab imperatore dictis, Juthungi valde sunt consternati, quumque minime negotium, ut speraverant, confecissent, pace prorsus desperata, ad sua redierunt.

Sub Aureliano (an. 271 p. C.; Aureliani an. 2) Vandali a Romanis acie superati sunt. Itaque legationem ad Romanos decreverunt, quæ de bello pacificatione finiendo ageret. Et quum multa inter se imperator et barbari disseruissent, solutum est colloquium. Postridie multitudo militum Romanorum rursus convenit, et quum eos imperator interrogasset, quid illis optimum esse videretur, quum statuerent præsentem prosperitatem tueri et rerum, quibus potiebantur, fruitioni prospici oportere, suam de ea re voluntatem voce significaverunt et universi in sententiam finiendi belli iverunt. Sic igitur inter illos convenit. Itaque barbarorum reges et principes venerunt, et ut illis erat præceptum, ex suis obsides qui non in secundis partibus fortunæ et dignitatis hærebant, dederunt; uterque enim rex et proximi dignitate una cum ipsis sine mora filios suos pro obsidibus tradiderunt. His legibus ad pacta et conventiones ventum est, et fœdera sunt inita : Vandali Romanis duo mille equites auxiliarios ex fœdere suppeditabant, quorum nonnulli ex tota exercitus multitudine delecti et in belli societatem adscripti, alii spontaneam militiam subeuntes nomina dederunt. Reliquus Vandalorum exercitus, salvus et incolu-

αἱρετοὶ ἐκ τοῦ πλήθους ἐς τὴν συμμαχίαν καταλεχθέντες, οἱ δὲ καὶ ἐθέλοντες ἑκούσιον στρατιὰν ὑποδυόμενοι. Ὁ δὲ λοιπὸς Βανδήλων ὅμιλος ἐπ' οἴκου ἐκομίζετο, παρέχοντος τοῦ Ῥωμαίων ἄρχοντος ἀγορὰν ἔστε ἐπὶ τὸν Ἴστρον. Καὶ τὸ μὲν πλεῖστον αὐτοῦ ἀπαθὲς διεσώθη· ὅσοι δὲ παραβάσει τῶν σπονδῶν ἐπὶ λείας συλλογὴν ἀφθόνως ἀπεσκεδάσθησαν, ἀνῃρέθησαν σύμπαντες ὑπὸ τοῦ ἡγεμόνος τῶν ξενικῶν στρατοπέδων, οὐ μείους γενόμενοι πεντακοσίων. Οἷα γὰρ δὴ διὰ φιλίας τῆς χώρας πορευόμενοι, καὶ θάρσει τῆς γενομένης πρὸς Ῥωμαίους εἰρήνης ἐπαρθέντες, τῆς πάσης τάξεως προεξαίροντες κατά τινας αἰφνιδίους ἐπιδρομὰς προσέβαλλον γνώμῃ τοῦ ἄρχοντος, καὶ οὐκ ὀλίγα τῆς χώρας ἐκακούργουν. Καὶ τὸ ἔργον τοῦτο τὸν ἐργασάμενον παρὰ τῷ βασιλεῖ κατατοξευθῆναι *. Οἱ δὲ λοιποὶ Βανδήλων διεσκεδάσθησαν καὶ ἀπενόστησαν ἐπ' οἴκου. Βασιλεὺς δὲ Ῥωμαίων τὴν πλείστην δυνάμεως τῆς πεζικῆς καὶ ἱππικῆς ἐκπέμπει ἐπ' Ἰταλίας. Καὶ διαλιπὼν οὐ μάλα συχνῶν ἡμερῶν, τήν τε ἀμφ' αὐτὸν τάξιν ἑταιρικήν, καὶ ὅση δορυφορία τοῦ ἄρχοντος, τῶν τε συμμάχων ὅσοι ἦσαν Βανδήλων, καὶ τοὺς ὁμηρεύειν αὐτῷ δοθέντας παῖδας ἐπαγόμενος, καὶ αὐτὸς ἐπὶ Ἰταλίας ἐξήλαυνε σπουδῇ διὰ τὴν τῶν Ἰουθούγγων αὖθις παρουσίαν.

25.

Jornandes De rebus Get. c. 22 : *Geberichus primitias regni sui in Vandalica gente extendere cupiens contra Visumar eorum regem, (Asdingorum e stirpe, quæ inter eos eminet, genusque indicat bellicosissimum, Dexippo historico referente, qui eos ab Oceano ad nostrum limitem vix in anni spatio pervenisse testatur præ nimia terrarum immensitate*) etc.

SEDIS INCERTÆ.

26.

Suidas v. Ἵππος : Δέξιππος· « Ὁ δὲ ἵππος αὐτῷ ἤσκητο ἄρα καὶ ἄνευ ἡνίας ἐλαυνόμενός τε ὠκύτατα φέρεσθαι, καὶ βάδην προϊόντος πρᾳότατα ἵστασθαι, καὶ ἐκκλίνοντος, ὅπως περιοίσεται καὶ κυκλώσεται, εὐκαμπέστατα ἐπιστρέφειν. » Hæc ex Parthicis fluxisse suspicor. Cf. equus egregie doctus, quem Angarus Osroenus Trajano donum misit, ap. Dio Cass. LXVIII, 18.

27.

Idem : Παραπολύ, ἀντὶ τοῦ πάνυ, παντελῶς. Δέξιππος· « Παραπολὺ ἀπελείποντο τοῦ πείσεσθαι τοῖς εἰσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι. »

28.

Idem : Πατασσούσῃ, ὑπὸ δειλίας κλονουμένῃ. Δέξιππος· « Ἦν δὲ τοῦ καθηγουμένου πρὸς πᾶν τὸ ἀπαγγελλόμενον ἔκπληξις· ὑπὸ γὰρ ἐμφύτου δειλίας καὶ ἀπειρίας τῶν πολεμικῶν ἀναπεπταμένοις μὲν τοῖς ὠσί, τεθορυβημένοις δὲ τοῖς ὀφθαλμοῖς, πατασσούσῃ δὲ τῇ καρδίᾳ, ἀεί τι ἀκούσεσθαι ἐλπίζων, τοῖς ἀρχομένοις κατάδηλος ἦν ὡς φυγῇ χρήσεται. »

29.

Idem v. Ἀπὸ δὴ et εὐθαρσῶς : Δέξιππος· « Ἀπὸ δὴ τούτων πάντων ἀναπειθόμενος τῶν πλεονεκτημάτων, πάντα τὸν ἀνθιστάμενον τιθεὶς ἐν δευτέρῳ, εὐθαρσῶς ἐπῄει· συνηνεχθήτην δὴ ἄμφω ἀλλήλοιν. »

30.

Idem v. Παραχρῆμα : « Καὶ ὡς ἐν τῷ παραχρῆμα ὡρμηντό τε (τότε? Bernh.) ἐξιέναι καὶ ψηφί-

---

nis conservatus, Romanorum imperatore vitæ necessaria usque ad Istrum iis præbente, domum rediit. Sed quicumque ab exercitu violatis fœderibus, ad prædandum et rapinas faciendas longius excesserunt, omnes a duce exterarum copiarum (erant autem non minus quam quingenti) sunt cæsi et perempti. Hi enim specie amicitiæ, fiducia pacis cum Romanis factæ elati, nullo servato ordine, venia a suo duce impetrata in repentinas quasdam incursiones eruperant et non pauca regionum loca, qua iter habuerant, vastaverant et damnis affecerant. At ille, qui tantum facinus admisit, est ab eorum rege jaculis confectus. Reliqui Vandalorum separati domos suas repetierunt. Romanorum vero imperator, præmissa majore parte suarum copiarum, sive pedestrium sive equestrium, non longo post est eas subsecutus intervallo, et secum cohortem auxiliariorum retinens, omnes hastatos, qui ejus custodiam agebant, una cum Vandalis, quotquot illi auxiliarii aderant, et pueris, qui illi obsides dati erant, magna celeritate in Italiam contendit, in quam Juthungi denuo irruperant.

26.

Dexippus : « Equus ejus ita institutus erat, ut et sine habenis velocissime ferretur, et illo pedetentim incedente, placidissime staret, et declinante ut locum aliquem circumiret, agilissime se converteret. »

27.

Dexippus : « Multum aberat ut iis qui pacem suadebant, obtemperarent. »

28.

Dexippus : « Dux vero ad quemvis nuntium, qui afferebatur, animo expavescebat. Quum enim ob insitam timiditatem et rerum bellicarum imperitiam arrectis esset auribus oculisque attonitis et corde palpitante, quasi identidem novi aliquid auditurus, milites, quibus præerat, manifeste inde conjiciebant, eum fugam animo meditari. »

29.

Dexippus : « His igitur rebus omnibus, quibus inter ceteros præstare se sentiebat, adductus, omnesque adversarios impares sibi judicans, fidenti animo eum adortus est. Ambo igitur in mutuum certamen ruerunt. »

30.

Dexippus : « Quum autem subito impetum cepissent ad bel-

σματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμητό τε (τε del. censet Bernh.) πᾶς ἐς τὴν ἐπιχείρησιν. » Δέξιππός φησι.

31.

Idem v. Ῥωμαίων ἀρχή. « Αὕτη τῆς Ἀσσυρίων καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ ὑπερῆρεν ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω Ἰνδοὺς καὶ Ἐρυθρὰν θάλατταν καὶ Νεῖλον καὶ Καταρράκτας καὶ λίμνην Μαιῶτιν· ὅσα δὲ πρὸς δυσμὰς* Ὠκεανόν τε αὐτὸν, ὃν δὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως ἢ πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι· εἴγε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. Λεγέτω μὲν οὖν, ὅτῳ δοκεῖ, ὡς ἀναμφίλογοι τῶνδε πρὸς τὰ παλαιὰ αἱ ὑπερβολαὶ, πλήθει τε χειρὸς τῶν ἐπελθόντων εἰκάζοντι καὶ τόλμαις ἑκατέρων καὶ στρατηγήσεσι καὶ μηχανήσεων ἐπινοίαις καὶ τῶν ἀντιπολεμησάντων ἀρετῇ. » Δέξιππος.

« Ὅτι τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι τὸ φιλόμαχον ἐθνῶν (τοῦ ἔθνους conj. Niebuhr.) καὶ τὸ εὐσύντακτον τῆς δυνάμεως. Πάντες γὰρ οἱ πρὸς ἑσπέραν θυμικώτεροί εἰσι τῶν ἐπὶ θάτερα κατοικούντων. Περιττεύει δὲ Ῥωμαίοις τὸ τεταγμένον ἐν τῷ ἔργῳ καὶ τεχνικὸν, ᾧ καὶ Γαλατῶν ἐπεκράτουν, καὶ ἐν τοῖς πρὸς τοὺς ὁμόρους πολέμοις τριβέντες καὶ περιόντες (l. τριβέντες, περιῆσαν) τῶν [μὲν] βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ ἀνδρείᾳ. »

Utrumque locum exscripsi. Uter ad Dexippum pertineat dubitari potest. Etenim vulgo legitur Δέξιππος δὲ (pro quibus Niebuhrius dedit : Δέξιππός φησιν ὅτι κτλ.), adeo ut posterior locus ad Nostrum referendus sit. At particula δὲ deest in codd. AV ap. Gaisford. Quare Dexippi mentionem ad priorem locum retulit Bernhardyus. Plerumque Suidas præponit, non postponit nomen auctoris. Ceterum nescio an fuerit : Δέξιππος δ' i. e. Χρονικῶν βιβλίῳ δ'.

32.

Idem v. Σεμνόν. Δέξιππος· « Σεμνὸν γὰρ αὐτὸν ἀπέφαινε τά τε ἄλλα καὶ ὅτι οἱ ὁ πατὴρ εὖ στρατηγήσειε.

ARRIANUS.

Vide Dexippi fragm. 11 et 12.

---

lum proficiscendi, et expeditionem illam publice decrevissent, et quilibet ad rem aggrediendam cupide se compararet... »

31.

« Romanorum imperium regna tam Assyriorum et Persarum quam Macedonum veterum longo intervallo superavit, limitibus constitutis versus orientem Indis, mari Rubro, Nilo, Catarractis et palude Mæotide; ad occidentem vero (*Rheno et Danubio et*) Oceano ipso, quem fabulam esse, neque nisi ad delectationem a poetis nomen ejus decantari rebus ipsis declaratum est : siquidem etiam Britannorum regio, quam circumfluens insulam effecit, nunc inventa in finibus imperii Romani numeratur. Concedat igitur, ab hoc imperio citra controversiam res veterum superari, si cui libeat et ingentes copias adversariorum contendere et audaciam utrorumque disciplinamque militarem, postremo machinarum inventa et hostium virtutes. » *Dexippus.*

« Causam, quare imperium Romanorum adeo fuerit auctum, fuisse bellicam fortitudinem gentis et disciplinam militarem. Omnes enim occidentales sunt animosiores iis qui ex altera parte habitant. Sed Romani et ordine et arte in bellis excellunt, qua etiam Gallos vicerunt; et in bellis contra finitimos exercitati, barbaros quidem sollertia, Græcos vero natura et fortitudine superarunt. »

32.

Dexippus : « Auctoritatem ei conciliabant quum alia, tum etiam illud, quod pater ejus laudabiliter exercitum duxisset. »

PORPHYRIUS TYRIUS.

Eusebius (Chron. p. 195 Mai.) primum Chronicorum librum excerpsisse se dicit tum ex aliis auctoribus, quos nominatim recenset, tum *e Cassii Longini octodecim libris, quibus Olympiades CCXXVIII complexus est, ... e Porphyrii denique nostræ ætatis philosopho, ab Ilio capto usque ad Claudii dominationem* (i. e. usque ad Ol. 262, 1; 269 p. C.).

Horum alter, si Niebuhrium audias (*Kleine Schriften* I, p. 188) non diversus fuerit a Dionysio Cassio Longino, multifariæ viro eruditionis (πολυμαθὴς καὶ κριτικὸς appellatur ap. Suid. v. Λογγῖνος, et περιπατοῦν μουσεῖον ap. Eunap. Vit. Porphyr. p. 7 Boisson.), Porphyrii nostri magistro, quem supplicio Aurelianus imperator affecit (an. 273 p. C. Zosimus I, 56. Cf. P. J. Schardam Diss. De vit. et script. Longini in Ruhnken. Opusc. p. 306 ed. Friedem.). Suidas quidem inter opera Longini Chronica non recenset, neque aliud quidpiam ad historiam propius pertinens affert præter scriptum, cui titulus erat : Τίνα παρὰ τὰς ἱστορίας οἱ γραμματικοὶ ὡς ἱστορικὰ ἐξηγοῦνται. Sed non id egit grammaticus, ut omnia Longini opera recenseret, idque ipse fatetur titulis recensitis clausulam subjiciens : καὶ ἄλλα πολλά. Sic v. c. omisit peramplum opus, supra viginti complectens volumina, quod inscribebatur Φιλολόγοι, et cujus compendium fuisse videntur Φιλολόγου ἱστορίας libri quinque, quos Suidas inter scripta Porphyrii recenset. (*)

Quodsi vero ex hac parte nihil est quod Niebuhrii conjecturæ refragetur, illud tamen ipsum etiam Niebuhrium offendit, quod Cassius Chronicis suis nonnisi 228 Olympiades (**) complexus sit. Exspectabas eum ad suam ipsius ætatem Annales perduxisse. Porro quæ hinc oritur dubitatio nescio an augeatur loco Gellii in N. A. XVII, 21, ubi hæc : *Vixisse* (Homerum statuunt) *annis post bellum Trojanum, ut Cassius in primo Annalium de Homero atque Hesiodo scriptum reliquit, plus centum atque sexaginta annis.* Quod nisi fortasse ex Cassii Heminæ Historia Romana fluxisse putaveris (cui opinioni res tradita parum favet), non novi equidem Cassium aliquem, ad quem illud referri apte possit, præter illum, cujus Chronica Eusebius adhibuit. Quare pronior sum in eam sententiam, ut Auli Gellii supparem fuisse, Annalesque ejus usque ad ipsius auctoris tempora pertinuisse censeam. (†)

Porphyrii Chronica ex uno Eusebio accuratius novimus. Excerpsisse ex iis testatur quæ habet de temporibus Lagidarum regumque Macedonicorum. Præterea vero etiam Seleucidarum laterculum ex eodem fonte petitum esse luce clarius est. Utinam Eusebius in excerpendo minus parcum paulloque diligentiorem se præstitisset. Sæpius enim accidit ut personas, res annosque pessime misceat, ne dicam quod in delectu rerum enotandarum subactum judicium desideratur. Vel sic tamen hæc Porphyrii fragmenta inter sui generis reliquias locum longe principem absque controversia obtinent (*).

Chronologica nonnulla e libro XII (**) operis, quod Κατὰ Χριστιανῶν Porphyrium scripsisse constat, Hieronymus affert in Commentar. ad Daniel., ubi in præfatione ita habet : *Ad intelligendas autem*

(*) Idem opus laudat Eusebius, qui in Præp. Ev. p. 464-468 e Porphyrii libro primo τῆς Φιλολόγου ἀκροάσεως peramplum locum adjecit de furtis ac plagiis scriptorum. Ex eodem fonte Clemens Alex. in sexto Stromatum libro, ubi idem argumentum prolixe admodum tractat, hausisse putandus est.

(**) Progressus auctor fuerit usque ad Ol. 229, 2. 138 p. C., sive usque ad mortem Hadriani.

(†) Eundem puto Tertullianus in Apolog. c. 19 *Cassium Severum* dicit, et cum Cornelio Nepote, Diodoro, Thallo componit. V. Thalli fr. 1.

(*) Letronnius *Inscr. de l'Eg.* p. 72 de fragmento, quod est de Lagidarum temporibus : « Le fragment de cet auteur, que nous a conservé Eusèbe, donne, comme on sait, de la dynastie des Lagides, un tableau chronologique d'une exactitude qui n'a été bien reconnue et sentie que depuis la découverte de certains papyrus grecs-égyptiens. Tous les détails de ce fragment, tels que la succession et la durée des regnes, l'usage des doubles dates pour ceux de Philométor, d'Evergète II, de Soter II, d'Alexandre I, de Cléopatre, concordent merveilleusement avec les dates de ces papyrus; et l'on ne peut douter que l'auteur de ce tableau n'ait eu sous les yeux, en les composant, une suite de documents originaux et contemporains. » — Similiter regum Macedonicorum laterculum Niebuhrius (*Kl. Schrift.* p. 221) appellat *eine unvergleichliche Urkunde.*

(**) Hieronymus in Daniel. init. tom. III, p. 1073 : *Contra Prophetam Danielem duodecimum librum* (sc. operis Contra Christianos) *scripsit Porphyrius, nolens eum ab ipso, cujus inscriptus est nomine, esse compositum : sed a quodam qui temporibus Antiochi, qui appellatus est Epiphanes, fuerit in Judæa : et non tam Danielem ventura dixisse, quam illum narrasse præterita. Denique quidquid usque ad Antiochum dixerit, veram historiam continere : si quid autem ultra opinatus sit, quia futura nescierit, esse mentitum. Cui solertissime responderunt Eusebius Cæsariensis episcopus tribus voluminibus (i. e. libris XVIII-XX,) Apollinarius quoque uno grandi libro, hoc est vicesimo sexto, et ante hos ex parte Methodius.*

extremas partes Danielis multiplex Græcorum historia necessaria est, Suctorii Callinici, Diodori, Hieronymi, Polybii, Posidonii, Claudii Theonis, et Andronici cognomenti Alypii, quos et Porphyrius esse secutum se dicit. Ex Callinici Suctorii libris decem De Alexandria fluxerint, quæ de Lagidarum temporibus Porphyrius in Chronicis suis exposuit (vid. fragm. 7, § 2, not. 2).

Quod attinet Porphyrii Φιλόσοφον ἱστορίαν ἐν βιβλ. δ′ (Suidas), fragmenta ejus conjungenda sunt cum Vita Pythagoræ, quam fausta fortuna etsi mutilam nobis servavit. De opere isto ita Eunapius Procem. p. 2 ed. Boiss.: Τὴν φιλόσοφον ἱστορίαν καὶ τοὺς τῶν φιλοσόφων ἀνδρῶν βίους Πορφύριος καὶ Σωτίων ἀνελέξαντο· ἀλλ' ὁ μὲν Πορφύριος (οὕτω συμβὰν) εἰς Πλάτωνα ἐτελεύτα καὶ τοὺς ἐκείνου χρόνους, Σωτίων δὲ καὶ καταβὰς φαίνεται, καίτοιγε ὁ Πορφύριος ἦν νεώτερος. « Non enim distinguendum esse inter τοὺς Βίους φιλοσόφων et τὴν Φιλόσοφον ἱστορίαν patet ex Cyrillo C. Jul., qui e libro τῆς Φιλ. ἱστορίας locos affert qui in Vita Pythagoræ, quam habemus, adhuc leguntur. (Vide Holstenii Dissert. De scriptis Porphyrii cap. VIII, et Vitam Pythag. p. 32. 18. 21. 12. 27 ed. Holst.). Comparare licet etiam Damascii Ἱστορίαν φιλόσοφον (Suidas v. Δαμάσκιος et Δῶρος), de qua Küsterus ad Suid.: « Hujus operis partem fuisse Vitam Isidori philosophi, ex qua prolixa apud Photium excerpta leguntur, recte viri docti conjecerunt. Supra enim v. Γρηγόριος ἀδελφ. Suidas fragmentum ex Damascii Historia philosophica adducit, quod αὐτολεξεὶ quoque legitur apud Photium in Excerptis e Vita Isidori. » — Ceterum etiam in Historia philosophica ad tempora rerum et virorum accurate definienda attendisse Porphyrium, colligitur vel ex iis quæ habet Eusebius Chron. p. 139: Ὁ Πορφύριος ἐν τῷ πρώτῳ τῆς Φιλοσόφου ἱστορίας ὧδέ πως ἐπιτέμνεται πρὸς λέξιν· « Ἀπὸ τῆς ἁλώσεως Ἰλίου ἐπὶ τὴν τῶν Ἡρακλειδῶν κάθοδον ἔτη π′ φησὶν εἶναι ὁ Ἀπολλόδωρος· ἀπὸ δὲ τῆς καθόδου εἰς τὴν Ἰωνίας κτίσιν ἔτη ἑξήκοντα, ἐντεῦθεν εἰς Λυκοῦργον ἔτη ἐννέα καὶ ἑκατὸν καὶ πεντήκοντα, ἀπὸ δὲ Λυκούργου εἰς τὴν πρώτην Ὀλυμπιάδα ὀκτὼ καὶ ἑκατόν· τὰ δὲ πάντα ἀπὸ τῆς ἁλώσεως Ἰλίου ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα ἔτη ἑπτὰ καὶ υ′. » Similiter Aristoxenus (fr. 23) in Vita Pythagoræ, ubi de παλιγγενεσίας epochis sermo est, tempora inde a Troja usque ad Pythagoram supputat. Ad eundem locum pertinuerint quæ apud Suidam leguntur v. Ὅμηρος: Πορφύριος δὲ ἐν τῇ Φιλοσόφῳ ἱστορίᾳ πρὸ ρλβ′ (annis ante Olymp. 1 Homerum floruisse dicit). Ἐτέθη δὲ αὕτη μετὰ τὴν Τροίας ἅλωσιν ἐνιαυτοῖς ὕστερον υζ′. — Librum secundum nemo excitat. In libro tertio De vita Socratis exponebatur. V. Theodoret. Therap. lib. I; Socrat. H. Eccl. III, 23; Nicephor. Call. X, 36; Cyrill. C. Julian. VI, p. 208 (Aristox. fr. 28). Stephan. Byz. v. Γάδρα. — Libro quarto De Platone sermo erat. Cyrill. lib. VIII. Eodem pertinent quæ blaterat Tzetzes Chil. XI, 533. VII, 495. 540. 576. — Librum nescio quem ejusdem operis indicat Malala p. 56 Bonn.: Τὸν δὲ Πλούταρχον τὸν Χερονήσιον (i. e. τὸν Χαιρωνέα), sc. de vetere Græcorum barbarorumque philosophia disserentem, Πορφύριος ἐν τῇ Φιλοσόφῳ αὐτοῦ χρονολογίᾳ ἐδόξασεν. (Malala, ut Sallustium et Ciceronem τοὺς σοφωτάτους Ῥωμαίων ποιητὰς fuisse dicit, sic alios scriptores diversissimos appellat χρονογράφους.)

« *Gregor. Abulpharagius* in Hist. dynast. p. 84 Porphyrium nominat Syrum et inter alia ejus scripta librum Historiæ philosophorum laudat, cujus tractatus quartus exstet syriace. » Reinesius, laudante Bernhardyo ad Suid. v. Πορφύριος.

ΒΑΣΙΛΕΙΣ ΜΑΚΕΔΟΝΩΝ.

REGES MACEDONUM.

1.

Syncell. p. 261, D: Ὁ περὶ τῆς βασιλείας Μακεδόνων λόγος διὰ τὴν ἀρετὴν Ἀλεξάνδρου καὶ Φιλίππου τοῦ πατρὸς αὐτοῦ τοῖς φιλομαθέσι περὶ ταῦτα σπουδάζουσιν ἀναγκαῖος πέφυκε. Προκείσθω γοῦν κεφαλαιωδῶς ὑπὸ μίαν σύνοψιν ἀρχόμενος ἀπὸ Καράνου τοῦ πρώτου βασιλέως Μακεδόνων ἕως Ἀλεξάνδρου. Τὸ μὲν οὖν πρῶτον γένος τοῖς βασιλεῦσι τῶν Μακεδόνων εἰς Ἡρακλέα ἀναφέρεται. Μετὰ γὰρ τὴν ἅλωσιν Τροίας ἔτεσιν π′ Ἡρακλεῖδαι κατέσχον τὴν Πελοπόννησον, ἐξ ὧν αἱ τῶν Κορινθίων καὶ Λακεδαιμονίων βασιλεῖαι

De regno Macedonum propter Alexandri et Philippi patris virtutem in harum literarum studiosorum gratiam sermo nobis instituendus est. Igitur regum eorum recensum compendioso modo sub unum oculorum subjiciemus conspectum, et a Carano ordientes usque ad Alexandrum M. progrediemur. In Herculem itaque generis originem primam Macedonum principes referunt. Annis etenim a Trojana clade octoginta Peloponnesum occupaverunt Heraclidæ, a quibus Corinthiorum et Lacedæmoniorum regna primitus instituta; postera vero ætate paucis Heraclidarum adhuc

πρῶται συνέστησαν. Χρόνοις δὲ ὕστερον περὶ τὰ τέλη τούτων ἡ τῶν Μακεδόνων ἦρξατο βασιλεία οὕτως.

Κάρανος (1) ὁ Ἀργεῖος ἀδελφὸς ὢν Φείδωνος, ἑνὸς τῶν ἀφ' Ἡρακλέους καταγόντων τὸ γένος καὶ τῆς Ἀργείας βασιλεύοντος, σπουδάζων ἑαυτῷ χώραν κατακτήσασθαι δύναμιν ἤθροισε παρὰ τοῦ ἀδελφοῦ καὶ ἐκ τῆς ὅλης Πελοποννήσου, μεθ' ὧν τοῖς ὑπὲρ Μακεδονίαν τόποις ἐπιστρατεύσας, συμμαχήσας ἅμα καί τινι τῶν Ὀρεστῶν λεγομένων δυνάστῃ περὶ τὴν χώραν κατὰ τῶν πλησιοχώρων βαρβάρων, τὴν ἡμίσειαν ἔλαβε χώραν καὶ πόλιν ἤγειρε κατὰ χρησμὸν καὶ βασιλείαν ἐν αὐτῇ συνεστήσατο, ἣν οἱ κατὰ γένος ἐξ αὐτοῦ καὶ μετ' αὐτὸν διεδέχοντο. Οὗτος ὁ Κάρανος ἀπὸ μὲν Ἡρακλέους ια' ἦν, ἀπὸ δὲ Τημένου τοῦ μετὰ τῶν ἄλλων Ἡρακλειδῶν κατελθόντος εἰς Πελοπόννησον ἕβδομος. Γενεαλογοῦσι δ' αὐτὸν οὕτως, ὥς φησιν ὁ Διόδωρος, [καὶ add. Scalig. perperam] οἱ πολλοὶ τῶν συγγραφέων, ὧν εἷς καὶ Θεόπομπος· Κάρανος Φείδωνος τοῦ Ἀριστοδαμίδα τοῦ Μέροπος τοῦ Θεστίου (Θεοστίου codd.) τοῦ Κισσίου (Κισσοῦ B.) τοῦ Τημένου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου (Κλεοδάτου A. Κλεοδίου B.) τοῦ Ὕλλου τοῦ Ἡρακλέους. Ἔνιοι δὲ ἄλλως, φησί, γενεαλογοῦσι, φάσκοντες εἶναι Κάρανον Ποίαντος τοῦ Κροίσου τοῦ Κλεοδαίου τοῦ Εὐρυβιάδα τοῦ Δεβάλλου (Δαιβάλλου cod. B.) τοῦ Λαχάρους τοῦ Τημένου, ὃς καὶ κατῆλθεν εἰς Πελοπόννησον. Οὗτος ὁ Κάρανος λ' ἔτη ἐβασίλευσε· μεθ' ὃν Κοῖνος παῖς ἔτη κη'. Μετὰ δὲ τοῦτον ὁ υἱὸς Τυριμμᾶς ἔτη με', καὶ τὴν λοιπὴν τῆς Μακεδονίας προσελάβετο χώραν, καὶ καθ' ὅλου τὴν βασιλείαν ηὔξησεν. [Εἶτα Περδίκκας ἔτη μη'. m.] Εἶτα Ἀργεῖος παῖς (Τυριμμᾶ h. v. delet m.) ἔτη λδ', μεθ' ὃν Φίλιππος υἱὸς Ἀργείου ἔτη λε'. Πρὸς οἷς Ἀλκέτας ὁ Φιλίππου υἱὸς ἔτη.... [Pro his Scaliger : Πρὸς οἷς Ἀερόπας ὁ Φιλίππου υἱὸς ἔτη κγ'. Ἀλκέτας ἔτη κη']. Εἶτ' Ἀμύντας υἱὸς Ἀλκέτου ἔτη [μβ' suppl. Scal.]. Ἑξῆς

superstitibus, Macedonum regnum hoc ordine principium habuit.

Caranus Argivus, Phidonis Argivorum regis, eorum unius, qui ab Hercule genus ducunt, frater, provinciæ sibi comparandæ cupidus ex fratris viribus et tota Peloponneso acie conflata et in superiorem Macedoniæ provinciam expeditione suscepta, Orestarum ita dictorum principi cuidam loco illo cum vicinis bello decertanti operam locat et auxiliaribus armis sub eo meretur; acquisitæ deinde regionis partem dimidiam sibi victor vindicat et oraculi monitu civitate constructa regnum instaurat, quod ordine deinceps posteri tenuerunt. Caranus iste ab Hercule undecimus, a Temene vero et Heraclidis in Peloponnesum olim irrumpentibus septimus numeratur. Generis ejus seriem, teste Diodoro, scriptorum plerique, quorum unus est Theopompus, ita describunt. Caranus, Phidonis frater, filius Aristodamidæ, filii Meropis, filii Theostii, filii Cissii, filii Temenis, filii Aristomachi, filii Cleodæi, filii Hylli, filii Herculis. Aliter, inquit iterum, generis laterculum disponunt alii, Caranum Pœantis filium asserentes ex Crœso nati, cujus pater Cleodæus, Cleodæi Eurybiadas, tum hujus Deballus, hujus iterum Lachares ac hujus Temenus, qui in Peloponnesum descendit. Caranus iste annis triginta regnum tenuit; quem Cœnus filius annis viginti octo excepit; post hunc Tyrimmas annis 45, qui reliquam Macedoniam imperio adjunxit et quaqua versus auxit. [*Deinde Perdiccas annis* 48;] tum Argeus filius annis 34; successit Philippus Argeo natus annis 35, [*deinde Aeropas annis* 23, *Alcetas Philippi annis* 28], tum filius Alcetæ Amyntas annis [42], tum Alexander

FRAGM. I. Quæ de regibus Macedonum apud Eusebium et Syncellum leguntur, ex eodem promanarunt fonte. Nam rationes chronologicæ eædem in re summa sunt apud utrumque; et in eo capite quod est de Alexandri in Macedonia successoribus, ambo in singulis verbis sæpenumero consentiunt. In Syncello nulla est auctoris, ex quo hæc petita sint, facta mentio; Eusebius vero in ea parte, ubi Alexandri successores recenset, Porphyrium tanquam fontem suum profitetur. Consentaneum igitur est quæ de antiquioribus Macedonum regibus antecedunt, item ex Porphyrio esse deprompta. — 1. In margine codicum h. l. legitur regum laterculus hicce : Κάρανος ἀπὸ Πελοποννήσου ἐκτὸς Ἄργους βασιλεύει Μακεδόνων (hæc om. B.). Κάρανος ἔτη λ'. Κοῖνος (κοινὸς B. κυνὸς A.) ἔτη κη'. ὁμοῦ νη'. Τυρίμμας μγ' (με' Goarus). αργ'. Περδίκκας μη'. ρνα'· Ἀργαῖος λδ'. (λα' A.) ρπε'. Φίλιππος λε'. (ιε'. m.) ρζ'. (σ'. G.). Ἀερόπας κγ'. (ιγ' m.) σιγ'. Ἀλκέτας κη'. σμα'. Ἀμύντας μβ'. σπγ. Ἀλέξανδρος μδ'. (μγ'. m.) τκς'. Περδίκκας κγ'. τμθ'. Ἀρχέλαος ιδ'. τξγ'. Ὀρέστης γ'. τξς'. Ἀρχέλαος δ'. το'. Ἀμύντας δ' (α' B.) τοδ'. Παυσανίας α'. τοε'. Ἀμύντας ε'. (β'. m.) τοζ'. Ἀργαῖος β'. (Ἀργαῖος β'. om. A.) τοθ'. Ἀμύντας ια'. τζ'. (ις'. τζθ' B.) Ἀλέξανδρος α'. (δύο m.) τζθ'. Πτολεμαῖος ἔτη γ' τζε'. (Hæc de Ptolemæo om. A. In B est πτολομαῖος.) Περδίκκας ς'. υα'. Φίλιππος κγ'. υκδ'. Ἀλέξανδρος (ὁ Φιλίππου add. B) ιβ'. υλς' Φίλιππος Ἀριδαῖος ζ'. (ἀριδαῖος ιζ' B. .... δας ζ' G.) υμγ'· Κάσανδρος (κάσσανδρος A.) ιθ'. υξβ'. Παῖδες Κασάνδρου (κασσάνδρου A.) γ'. (δ' m.) υξε'. Δημήτριος Ἀντιγόνου s. υοα'. Πύρρος μῆνας ζ'. (υοβ' addit m.) Λυσίμαχος ε'. (ε', μῆνας ε' B.) υοζ'. Πτολεμαῖος ὁ Κεραυνὸς β'. υοθ'. Μελέαγρος μῆνας β'. Ἀντίπατρος ἡμέρας με'. Σωσθένης β'. υπά. (υπα' om. A.) Ἀντίγονος ὁ Γονατᾶς μδ'. (μδ' om. A.) φκε'. Καὶ ἀναρχίας ἔτη β'. (φκζ'. m.) Δημήτριος υἱὸς Ἀντιγόνου ι' (ι'. καὶ B.). φκζ'. (φλζ' m.) Ἀντίγονος ιβ'. (ιβ' om. A.) φλζ'. (φμθ' m.) Φοῦσκος (Φίλιππος m.) μβ'. φζα'. (φ... A.) Φίλιππος (Περσεὺς m.) ι'. χα'. Περσεὺς (Ψευδοφίλιππος m.) μῆνας γ'. (γ'. om. A.) Reliquos regum laterculos, qui sunt apud Eusebium in Canone et pag. 255 et in Excerptis Barbaris in subjecta tabella composuimus. — Et Syncelli et Eusebii locus mutilus est, ita tamen ut in plerisque alter ex altero possit redintegrari. Supplementa uncis inclusimus. Nihil Eusebius tradit de majoribus Carani; sed sermonem de iis fuisse in libro, quem ob oculos habebat, testantur verba : *Et Macedonum quidem genus hac ratione a probatæ fidei scriptoribus ad Herculem usque refertur.* Syncellus de his laudat Diodorum et Theopompum. Utriusque scriptoris mentionem ex Porphyrio fluxisse puta. Jam quod ipsam chronologiam attinet, quanquam uterque laterculus

Ἀλέξανδρος Ἀμύντου [ἔτη μδ' Scal.]. Οὗτος κατὰ τὴν Ξέρξου διάβασιν Πέρσαις ἔδωκεν ὕδωρ καὶ γῆν. Οὗτος ἔσχε δύο υἱούς, Περδίκκαν καὶ Ἀμύνταν, ὧν Περδίκκας μὲν ἐβασίλευσεν ἔτη [κγ' Scal.]. Ἀμύντας δὲ πάντα τὸν βίον ἰδιωτικῶς ζήσας κατέλιπεν υἱὸν Ἀριδαῖον, οὗ παῖς γέγονεν Ἀμύντας ἕτερος ὁμώνυμος τῷ πάππῳ, περὶ οὗ ἑξῆς λεχθήσεται, πῶς ἐπὶ τὴν βασιλείαν παρῆλθε. Μετὰ γὰρ Περδίκκαν Ἀρχέλαος ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιδ', πρὸς ὃν καὶ Εὐριπίδης ὁ τραγῳδοποιὸς παραγενηθεὶς πάντα τὸν χρόνον διῆξε τιμώμενος παρ' αὐτῷ. Ἀρχελάου δ' ἀναιρεθέντος διεδέξατο τὴν βασιλείαν Ὀρέστης υἱὸς αὐτοῦ ἔτη δ'. Ὃν ἀνεῖλεν Ἀερόπας (Ἀρχέλαος m.) ἐπίτροπος καὶ ἐβασίλευσε μετ' αὐτὸν ἔτη δ'. Μεθ' ὃν Ἀμύντας ἔτος α' βασιλεύσας ὑπὸ Μακεδόνων ἐξεβλήθη. ** Καὶ Ἀμύντας ὁ προρρηθεὶς καθείρχθη (l. κατήχθη) υἱὸς μὲν Ἀριδαίου τοῦ υἱοῦ Ἀμύντου τοῦ Ἀλεξάνδρου, καθ' ὅν, ὡς προείρηται, γέγονεν ἡ Ξέρξου διάβασις ἐπὶ τὴν Ἑλλάδα. [supplet m. : Διεδέξατο Παυσανίας ἔτος α', εἶτα Ἀμύντας ἔτη ε', εἶτα ἄλλος Ἀργεῖος β', εἶτα ἄλλος Ἀμύντας ιϛ'.] Ἀμύντου τοίνυν τούτου βασιλεύσαντος ἔτη ιϛ' διεδέξατο τὴν ἀρχὴν Ἀλέξανδρος, υἱὸς αὐτοῦ πρῶτος, ἔτος α'. Μετὰ δὲ τοῦτον Πτολεμαῖος ἦρξεν ὁ λεγόμενος Ἀλωρίτης, ἀλλότριος τοῦ γένους, ἔτη [γ']. Τοῦτον ἀνελὼν Περδίκκας υἱὸς καὶ αὐτὸς Ἀμύντου [κατέσχεν τὴν βασιλείαν ἔτη ϛ'. Εἶτα Φίλιππος m.] ἔτη κγ' κρατήσας τῆς βασιλείας Μακεδόνων, δεόντως τε ἅπαντα πράξας καὶ κατὰ τάξιν μεγίστην πασῶν τῶν κατὰ τὴν Εὐρώπην ἀναδείξας τὴν Μακεδόνων ἀρχήν. Οὗτος τοὺς περὶ τὴν χώραν ἅπαντας ἐδουλώσατο πολεμίους, βουληθεὶς καὶ αὐτοὺς Ἕλληνας ὑπὸ χεῖρα ποιήσασθαι, μεγάλην κτησάμενος δύναμιν, καὶ Τριβάλλους

